Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: uqy-ap

Πρόκλος ὁ Διάδοχος · Proclus the Successor

Proclus Diadochus

Σχόλια εἰς τὴν Πλάτωνος Πολιτείαν

Period: *Ὀψιμαρχαία* Late Antique
Dialect: *Κοινὴ φιλοσοφική* Philosophical Koine
Domain: *Φιλοσοφία* Philosophy
Format: *Πραγματεία* Treatise
Affiliation: Neoplatonist

in R.1.1.(1)

ΠΡΟΚΛΟΥ ΦΙΛΟΣΟΦΟΥ ΛΥΚΙΟΥ ΠΛΑΤΩΝΙΚΟΥ ΔΙΑΔΟΧΟΥ ΕΙΣ ΤΑΣ ΠΟΛΙΤΕΙΑΣ ΠΛΑΤΩΝΟΣ ΥΠΟΜΝΗΜΑ. Τὰ τῆς βίβλου κεφάλαια. Περὶ τοῦ τίνα χρὴ καὶ πόσα πρὸ τῆς συναναγνώσεως τῆς Πολιτείας Πλάτωνος κεφάλαια διαρθρῶσαι τοὺς ὀρθῶς ἐξηγουμένους αὐτήν. Περὶ τῶν πρὸς τὸν ὅρον τῆς δικαιοσύνης τὸν τοῦ Πολεμάρχου ῥηθέντων ὑπὸ τοῦ Σωκράτους συλλογισμῶν. Περὶ τῶν ὑπὲρ δικαιοσύνης τεττάρων λόγων ἐν Πολιτείᾳ πρὸς τὰ Θρασυμάχου τέτταρα δόγματα περὶ αὐτῆς. Περὶ τῶν ἐν τῷ δευτέρῳ τῆς Πολιτείας εἰρημένων θεολογικῶν τύπων. Περὶ ποιητικῆς καὶ τῶν ὑπ' αὐτὴν εἰδῶν καὶ τῆς ἀρίστης ἁρμονίας καὶ ῥυθμοῦ τὰ Πλάτωνι δοκοῦντα. Α′. Περὶ τῶν ἐν Πολιτείᾳ πρὸς Ὅμηρον καὶ ποιητικὴν Πλάτωνι ῥηθέντων. Β′. Περὶ τοῦ τρόπου τῆς τῶν θείων μύθων διασκευῆς παρὰ τοῖς θεολόγοις αἰτίων ἀποδόσεις καὶ λύσεις τῶν πρὸς αὐτοὺς ἐπιστάσεων. Γ′. Τίνες οἱ παρὰ τοῖς θεολόγοις θεομαχίας διάφοροι τρόποι, τὴν ἐν αὐτῇ ἀπόρρητον ἀλήθειαν εἰς φῶς ἄγοντες. Δ′. Πῶς ἄν τις ὑπὲρ τῶν θείων ἀπολογήσαιτο μύθων τῶν δοκούντων τοὺς θεοὺς αἰτιᾶσθαι τῶν κακῶν. Ε′.

in R.1.2

Πῶς τὴν τῶν ὅρκων σύγχυσιν δοκεῖ ἡ ποίησις εἰς θεοὺς ἀναπέμπειν, ἡ ἀληθὴς περὶ αὐτῶν ὑφήγησις. ς′. Τίς ἐστιν ἡ ἐν τῇ ποιήσει τοῦ Διὸς τῶν θεῶν εἰς ἔριν κατάστασις διὰ Θέμιδος, ἀνάπτυξις τῆς ὅλης τοῦ μύθου θεωρίας. Ζ′. Τίς ἡ τῶν θεῶν κρίσις ἡ ἐν τοῖς μύθοις τοῖς τοῦ ποιητοῦ καὶ τίνας αἰνίσσεται βίων διαφοράς. Η′. Τίνες εἰσὶν αἱ ἐν ταῖς θεομυθίαις μεταβολαὶ τῶν θεῶν εἰσαγόμεναι καὶ κατὰ πόσους τρόπους αὐτὰς διατιθέασι καὶ διὰ ποίας αἰτίας. Θ′. Περὶ τῆς τοῦ ἐνυπνίου πομπῆς δοκούσης ψεῦδος ἐπὶ θεοὺς ἀναπέμπειν πῶς ἀπολογητέον, ἀψευδὲς τὸ θεῖον δεικνύουσιν. Ι′. Κοινὴ ἀπολογία ὑπὲρ τῶν Ὁμηρικῶν μύθων καὶ τῶν Πλατωνικῶν, ἐν οἷς περὶ τῶν ἐν Ἅιδου λέγουσι δικαιωτηρίων καὶ τῶν ἐν αὐτοῖς λήξεων τῶν διαφόρων, ἃς ἔχουσιν αἱ ἐξελθοῦσαι τῶν σωμάτων ψυχαὶ κατὰ τὰ ἰδιώματα τῆς ἐν σώματι ζωῆς. ΙΑ′. Τίνες αἰτίαι, δι' ἃς ἡ ποίησις ἀναπέμπει θρήνους κἀπὶ τοὺς ἥρωας καὶ ἐπὶ τοὺς θεοὺς καὶ ἐπὶ τὸν ἄριστον αὐτὸν τῶν ἡρώων καὶ ἐπὶ τὸν μέγιστον τῶν θεῶν. ΙΒ′. Τίς αἰτία τοῦ ἐν τοῖς θεοῖς λεγομένου γέλωτος ἐν τοῖς μύθοις, καὶ διὰ τί ἡ ποίησις ἐπὶ τῷ Ἡφαίστῳ τοὺς θεοὺς ἐποίησε γελῶντας ἀσχέτως. ΙΓ′. Ἀπολογία ὑπὲρ τῶν ἐν τῇ Ὁμήρου ποιήσει δοκούντων εἰς καταφρόνησιν σωφροσύνης τοὺς ἀκούοντας κινεῖν παντοδαπῶν τρόπων. ΙΔ′. Τί αἰνίττεται ἡ τοῦ Διὸς πρὸς τὴν Ἥραν συνουσία, καὶ τίς ὁ τῆς Ἥρας κόσμος, καὶ τίς ὁ τόπος, ἐν ᾧ ἡ

συνουσία, καὶ τίς ὁ ἔρως τοῦ Διός, καὶ τίς ὁ θεῖος ὕπνος, καὶ ἁπλῶς πάσης ἐκείνης τῆς μυθολογίας ἐξήγησις. ΙΕ′.

in R.1.3 Τί αἰνίττεται ἡ μυθολογία περὶ Ἀφροδίτης καὶ Ἄρεως καὶ τῶν Ἡφαίστου δεσμῶν, οἷς λέγει συνδεῖν ἀμφοτέρους τὸν Ἥφαιστον. Ις′. Τίνα ῥητέον πρὸς τὰς τοῦ Σωκράτους ἐπιστάσεις περὶ φιλοχρηματίας τῆς παρ' Ὁμήρῳ τοῖς ἥρωσιν ἀποδιδομένης. ΙΖ′. Πῶς δεῖ ἀπολογεῖσθαι ὑπὲρ τῆς φαινομένης περὶ τὸ θεῖον ὀλιγωρίας ἐν τῇ ποιήσει τῶν ἡρώων. ΙΗ′ Πῶς ἀπολογητέον ὑπὲρ τῆς τῶν ἡρώων ἐν τῇ ποιήσει περὶ τὸν βίον φαινομένης ὀλιγωρίας ἢ ὅλως ἀτόπου παρὰ τοῖς ποιηταῖς ἐν τοῖς μύθοις ἱστορίας. Α′. Ὅτι πανταχοῦ τὸν Ὅμηρον ὡς ἡγεμόνα πάσης ἀληθείας ὁ Πλάτων εἴωθε γεραίρειν. Β′. Διὰ τίνας αἰτίας ἐν Πολιτείᾳ τὴν Ὁμήρου ποίησιν ὡς ἀνεπιτήδειον ἀκούειν τοῖς νέοις ἀπεδοκίμασεν. Γ′. Ὅτι διὰ πάσης τῆς ἑαυτοῦ συγγραφῆς Ὁμήρου ζηλωτής ἐστιν ὁ Πλάτων ταῖς τε λεκτικαῖς ἀρεταῖς καὶ ταῖς πραγματικαῖς. Δ′. Πῶς ἄν τις ἀπολογήσαιτο πρὸς τὰ ἐν Φαίδρῳ ῥηθέντα περὶ Ὁμήρου, ἐν οἷς δοκεῖ τὸν Στησίχορον ὡς μουσικώτερον προκρίνειν. Ε′. Τίνες εἰσὶν αἱ τρεῖς ἕξεις τῶν ψυχῶν, καὶ πῶς τὴν ποιητικὴν τριττὴν ἀποδείξομεν κατὰ ταύτας συνδιαιρουμένην τὰς τρεῖς ἕξεις ἐν ἡμῖν. ς′. Ὅτι κατὰ Πλάτωνα τὰς τρεῖς ἰδέας τῆς ποιητικῆς ἀποδείξομεν τοιαύτας οὔσας καὶ τοσαύτας. Ζ′. Ὅτι καὶ ἡ Ὁμήρου ποίησις ἐπιδείκνυσιν τὰς τρεῖς ἰδέας ἐν ἑαυτῇ τῆς ποιητικῆς. Η′. Τί ἐστιν ὅπερ ὁ Σωκράτης ἐν τῷ δεκάτῳ τῆς Πολιτείας ἐκβάλλει τῆς Ὁμήρου ποιητικῆς, καὶ διὰ τίνας αἰτίας, καὶ ὅτι οὐχ ὅλην αὐτήν, ἀλλ' ὅτι τὸ ἔσχατον αὐτῆς ἀποδοκιμάζει μόνον. Θ′.

in R.1.4 Τίνα ἄν τις ἀπολογήσαιτο πρὸς τοὺς ἐλέγχοντας λόγους, ὡς οὐκ ὄντα τὸν Ὅμηρον ἀνθρώπων παιδευτικὸν οὐδὲ ὅλως πολιτικόν. Ι′. Διὰ ποίας αἰτίας ὁ Πλάτων ἐλέγχειν εἵλετο τὸν Ὅμηρον ὡς μὴ ὄντα παιδευτικὸν ἀνθρώπων ἱκανόν. Περὶ τῶν ἐν τῷ τετάρτῳ τῆς Πολιτείας ἀποδείξεων τοῦ τρία εἶναι μόρια τῆς ἀνθρωπίνης ψυχῆς καὶ τέτταρας τὰς ἐν αὐτοῖς ἀρετάς. Περὶ τῶν ἐν τῷ πέμπτῳ τῆς Πολιτείας δεικνύντων λόγων κοινὰς εἶναι τὰς ἀρετὰς καὶ τὴν παιδείαν ἀνδρῶν καὶ γυναικῶν. Περὶ τῶν Θεοδώρου τοῦ Ἀσιναίου λόγων τῶν κατασκευαζόντων τὴν αὐτὴν ἀρετὴν ἀνδρὸς εἶναι καὶ γυναικός, καὶ ὧν ὁ Σωκράτης εἶπεν ἐξέτασις. Περὶ τοῦ ἐν τῷ πέμπτῳ τῆς Πολιτείας λόγου δεικνύντος, τίς ἡ τῶν φιλοσόφων φιλομαθία καὶ τίς ἡ τῶν πολλῶν. Περὶ τοῦ ἐν Πολιτείᾳ λόγου τοῦ δεικνύντος, τί ποτέ ἐστι τἀγαθόν. Περὶ τοῦ ἐν τῷ ἑβδόμῳ τῆς Πολιτείας σπηλαίου. Μέλισσα εἰς τὸν ἐν Πολιτείᾳ λόγον τῶν Μουσῶν. Περὶ τῶν δεικνύντων τριῶν λόγων εὐδαιμονέστερον τοῦ ἀδίκου τὸ δίκαιον. Περὶ τῶν ἐν τῷ δεκάτῳ τῆς Πολιτείας κεφαλαίων. Εἰς τὸν ἐν Πολιτείᾳ μῦθον. Τίς ἡ πρόθεσις τοῦ μύθου παντός. Πόσα δεῖ προληφθῆναι τῶν ψυχικῶν κρίσεων. Πῶς δεῖ νοεῖν τὸ εἰσιέναι καὶ ἐξιέναι ψυχὴν ἀπὸ σώματος. Πῶς ἡ τῶν παίδων βρῶσις γίνεται ἐκ τοῦ παντός, καὶ πῶς τοῦτο φιλεῖται ψυχῇ ἐκ τοῦ οὐρανοῦ κατιούσῃ. Ἐπίσκεψις τῶν ὑπ' Ἀριστοτέλους ἐν δευτέρῳ τῶν Πολιτικῶν πρὸς τὴν Πλάτωνος Πολιτείαν ἀντειρημένων. ΠΡΟΚΛΟΥ ΛΥΚΙΟΥ ΠΛΑΤΩΝΙΚΟΥ ΔΙΑΔΟΧΟΥ περὶ τοῦ τίνα χρὴ καὶ πόσα πρὸ τῆς συναναγνώσεως τῆς Πολιτείας Πλάτωνος κεφάλαια διαρθρῶσαι τοὺς ὀρθῶς ἐξηγουμένους αὐτήν.

in R.1.5.(1-4) Τοὺς προλόγους τῶν Πλατωνικῶν διαλόγων ὅπως χρὴ διατιθέναι τὸν μὴ παρέργως αὐτῶν ἁπτόμενον δηλῶσαι βουλόμενος, ἐνδείξομαι καὶ ὑμῖν ἐφ' ἑνὸς τοῦ τῆς Πολιτείας συγγράμματος· ὑμεῖς δὲ ὥσπερ ἴχνεσιν ἑπόμενοι τοῖς ῥηθησομένοις λόγοις, τὸν αὐτὸν καὶ ἐπὶ τῶν ἄλλων τρόπον μετιόντες τὰς ἐξηγήσεις στοχάζοισθε ἂν τῆς περὶ ταῦτα μεθόδου. δεῖ γὰρ δὴ μήτε τοὺς πολλοὺς τῶν ἐξηγητῶν μιμουμένους ξηρὸν καὶ ἐλλιπῆ τὸν τόπον τοῦτον παραλείπειν, τοσοῦτον μόνον προαυδῶντας τὸ πρόβλημα περὶ οὗ ὁ λόγος, μήτε προσπεριβάλλεσθαι πόρρωθέν τινας καὶ μηδὲν προσᾳδούσας τοῖς προκειμένοις ζητήσεις ἐν τοῖς πρὸ τῆς λέξεως σκέμμασιν, ὥσπερ ἑτέρους οἶδα τῶν Πλάτωνος φίλων ἀμήχανον ὅσην ἀπεραντολογίαν ἐπεισάγοντας διὰ τὰς πρὸς τοὺς ἑτεροδόξους ἀντιρρήσεις, ἀλλ' αὐτὸ μόνον τὸ

προκείμενον σύγγραμμα προστησαμένους ὑπ’ ὄψιν ἄγειν τοῖς συσχολάζουσιν, τὴν πρόθεσιν διερευνωμένους ἑκάστου, τὸ εἶδος, τὴν ὕλην, τὰ δόγματα, συνῃρημένως τὴν δι’ ὅλου τοῦ συγγράμματος διήκουσαν τῶν λόγων ὑπόθεσιν. οὕτω γὰρ ἂν τοῖς ἀκούουσι γένοιτο καταφανὲς τὸ πᾶν βούλημα τοῦ διαλόγου. Φέρ’ οὖν ὅπερ εἶπον τὸν τύπον ἐπὶ τῆς Πολιτείας ἐπεκδιηγήσωμαι. λέγω τοίνυν πρὸ τῆς ἀναγνώσεως τῆς Πολιτείας ἑπτὰ ταῦτα χρῆναι τὸν πρεπόντως αὐτῆς ἀκουσόμενον διεγνωκέναι.

in R.1.6 πρῶτον μέν, ὅστις ποτέ ἐστιν αὐτῆς ὁ σκοπός, ὃν δεῖ καταδήσασθαι κατ’ ἐκείνους, οὓς πολλάκις οἶδα κανόνας εἰπὼν περὶ τῆς εὑρέσεως τῶν ἐν τοῖς Πλατωνικοῖς διαλόγοις σκοπῶν. δεύτερον δέ, ποῖόν ἐστιν τῶν λόγων εἶδος, καθ’ ὃ τὴν Πολιτείαν διέθηκεν ὁ τῆς Πολιτείας συγγραφεύς· δῆλον δὲ ἔσται καὶ τοῦτο τοῖς μεμνημένοις τῶν ἐν τοῖς διαλόγοις εἰδῶν, ποῖά τε καὶ πόσα τυγχάνει ὄντα. τρίτον δὲ τὴν ὕλην καθ’ ἑαυτὴν ἐπισκέψασθαι τῶν ἐν τῇ Πολιτείᾳ λόγων, ἣν ἔν τε προσώποις καὶ τόποις καὶ καιροῖς θεωρεῖσθαι συμβέβηκεν· οἶδα γοῦν καὶ περὶ τούτων εἰπών, ὡς ἄρα δέοι συμβαίνοντα δείκνυσθαι πάντα πρὸς τὸν ἑκάστου διαλόγου σκοπόν. τέταρτον, ἐπειδὴ περὶ πολιτείας ὁ πολὺς ἐν τῷδε τῷ συγγράμματι λόγος, διελέσθαι τὰς πολιτείας κατὰ Πλάτωνα τοῦτον τὸν τρόπον, ὃν ἐνταῦθα καὶ ἀλλαχοῦ παρ’ αὐτῷ διῄρηνται, καὶ εἰπεῖν ὑπὲρ τῆς ποίας ἐστὶν αὐτῷ πολιτείας ὁ λόγος. πέμπτον τὴν κατὰ λόγον μόνον πολιτείαν αὐτὴν ἐφ’ ἑαυτῆς λαβόντας ἀπὸ τῶν κατὰ τὰ πάθη πολιτειῶν, κατιδεῖν εἰ μία μόνον ἢ καὶ πολλαί, καὶ εἰ πολλαί, πόσαι καὶ τίνες, καὶ ταῦτα καταδησάμενον δι’ ἀναγκαίων λόγων, περὶ ποίας τῶν πολλῶν τούτων ἔσται προηγουμένως ἡ θεωρία τῷ λογισμῷ λαβεῖν. ἕκτον αὐτὴν πάλιν τὴν ἐγκριθεῖσαν θεάσασθαι ποσαχῶς αὐτὸς ἀξιοῖ Πλάτων ἡμᾶς ὁρᾶν, καὶ εἰ μηδένα τρόπον ἀδιερεύνητον ἀφῆκεν τῆς περὶ αὐτὴν θεωρίας. ἕβδομον τὴν δι’ ὅλου τοῦ συγγράμματος διήκουσαν τῶν δογμάτων ἀκολουθίαν ὑπ’ ὄψιν ἀγαγεῖν καὶ ἐπιδεῖξαι, καθάπερ αὐτὸς ἐν τῷ Φαίδρῳ φησίν [p. 264c], ὡς εἰς ἑνὸς ζῴου μέρη τε καὶ μέλη συντεταγμένα πρὸς ἄλληλα σύστασιν τὴν πραγματείαν ἅπασαν ἀπηκριβωμένην· ἐν γὰρ ταύτῃ τῇ διεξόδῳ καὶ τὸ πλῆθος τῶν κεφαλαίων ἔσται γνώριμον, καὶ ἡ ἐν αὐτοῖς εἰρομένη τάξις κατάδηλος ὀφθήσεται, καὶ ὅπως εἰς τὸν ἕνα βλέπει πάντα σκοπόν.

in R.1.7 Πρῶτον οὖν εἰ βούλεσθε τῶν ἑπτὰ τούτων ὃ πρῶτον εἴπομεν σκοπήσωμεν· τοῦτο δὲ ἦν τὸν σκοπὸν αὐτὸν ἰδεῖν τῆς πολιτείας. δοκῶ γάρ μοι πολλῶν διαμφισβητούντων ἀκούειν ἀνδρῶν εὖ μάλα προϊσταμένων τῆς ἑαυτῶν δόξης. εἰσὶ γοῦν τινες συχνοὶ περὶ δικαιοσύνης τὴν πρόθεσιν εἶναι διατεινόμενοι καὶ ἀξιοῦντες ἡμᾶς ἐννοεῖν, πρῶτον μὲν ὅτι τοῦτ’ ἐστὶν τὸ πρῶτον ἐν τῷ συγγράμματι ζήτημα, τί ποτέ ἐστιν τὸ δίκαιον καὶ τίς ὁ δίκαιος, καὶ οἱ πρὸς Κέφαλον λόγοι καὶ Πολέμαρχον καὶ Θρασύμαχον περὶ τούτου γεγόνασιν. δεύτερον δὲ ὅτι καὶ ἡ περὶ πολιτείας σκέψις δικαιοσύνης ἕνεκα τοῖς περὶ αὐτῆς ἐπεισῆλθεν λόγοις, ἵν’ ἐν μεγάλοις γράμμασιν θεάσασθαι δυνηθῶμεν, ὅσα μὴ ῥᾴδιον ἐν μικροῖς ἰδεῖν, ἀπὸ τῆς Ἀδειμάντου καὶ Γλαύκωνος ἀπορίας τῆς ἀκριβεστέρας περὶ δικαιοσύνης ζητήσεως ἀρξαμένης, καὶ τοῦ Σωκράτους ἐναργέστερον αὐτὴν δεῖξαι τοῖς παροῦσιν ἐθελήσαντος ἀπὸ τῶν περὶ πολιτείας τούτων λόγων. εἰ οὖν τὸ μὲν ἕνεκά του σκέψεως ἀξιοῦται, τὸ δὲ οὗ ἕνεκά ἐστιν ἐν τοῖς ζητουμένοις, ἀνάγκη δήπου φασὶν ἐκεῖνον τίθεσθαι σκοπόν, οὗ ἕνεκα θάτερον εἰσῆκται τῶν ζητημάτων· τὸ μὲν γάρ ἐστι προηγούμενον, τὸ δὲ ἐμπῖπτον τοῖν δυοῖν. τρίτον τοίνυν καὶ αὐτὸν μαρτυρεῖν τὸν Σωκράτη πολλάκις βοῶντα περὶ δικαιοσύνης εἶναι τὴν πρόθεσιν, ὅταν ἄλλου του μεμνημένος εἰς τὴν δικαιοσύνην ἐμπέσῃ προαγόμενος ὑπὸ τῶν λόγων καὶ ἐπάγῃ συχνόν· οὗ δὴ ἕνεκα ἡμῖν ἐστιν ἡ ζήτησις · καὶ τέλος ὅταν ἀποτελέσῃ τὸν δίκαιον, καὶ περὶ τῶν ἐν Ἅιδου τιμῶν ὧν λαγχάνει διαλεχθεὶς ἐπιφέρῃ, πάντων ἕνεκα χρῆναι δικαιοσύνην ἐπιτηδεύειν καὶ ζῆν οὕτως ὡς ὑπὸ θεοῖς ἀθλοθέταις ἀγωνιζομένους, καὶ τῶν ἄθλων μεγάλων ὄντων τῆς τοιᾶσδε ζωῆς [X p.

in R.1.8 621cd]. οὗτοι μὲν οὖν τοιούτοις δή τισιν χρῶνται λόγοις εἰς τὸν περὶ δικαιοσύνης ἡμᾶς ἄγουσι σκοπόν. —Ἕτεροι δὲ οὐκ ἐλάττους τούτων οὐδὲ ἀνεχεγγυώτερα γράφοντες περὶ πολιτείας εἶναι τὴν πρόθεσιν ἀξιοῦσιν, εἰ καὶ πρότερον ζήτημα γέγονεν περὶ δικαιοσύνης, οὐχ ὡς προηγούμενον ὄν, ἀλλ' ὡς εὐρυπρόσωπον τῷ περὶ πολιτείας σκέμματι παρέχον ὁδόν. καὶ μαρτύρονται καὶ οὗτοι τὴν ἐπιγραφὴν ἀρχαιοτάτην οὖσαν· καὶ γὰρ Ἀριστοτέλης ἐπιτεμνόμενος τὴν πραγματείαν ταύτην οὕτωσί φησιν, ἐπιτέμνεσθαι τὴν Πολιτεία ν , καὶ ἐν τῷ Συσσιτικῷ τοῦτον αὐτὴν προσαγορεύει τὸν τρόπον καὶ ἐν τοῖς Πολιτικοῖς ὡσαύτως, καὶ Θεόφραστος ἐν Νόμοις καὶ ἄλλοθι πολλαχοῦ. τῆς δὲ ἐπιγραφῆς ἀρχαίας οὔσης τοῦτ' εἶναι πᾶσι δῆλον, ὡς οἱ ἐκ τῶν πραγμάτων ὑπὸ τοῦ Πλάτωνος ἐπιγεγραμμένοι διάλογοι, καὶ μὴ ἐκ προσώπων ὡς ὁ Ἀλκιβιάδης ἢ Φαίδων, καὶ ἐκ τῶν ἐν τοῖς διαλόγοις ζητουμένων πραγμάτων, ἀλλ' οὐ τῶν περιστατικῶν, ὥσπερ τὸ Συμπόσιον, οὗτοι δ' οὖν πάντες ἀπὸ τοῦ προηγουμένου προβλήματος ἔχουσιν ἐπιγραφήν, ἀλλ' οὐκ ἀπὸ τοῦ ἕνεκά του καὶ μὴ προηγουμένην ἔχοντος τὴν σκέψιν. τὸν γοῦν Σοφιστὴν οὕτως ἐπέγραψεν, ἐπειδὴ τοῦτ' ἦν τὸ προκείμενον εἰς τὴν ἐν ἐκείνῳ τῷ διαλόγῳ σκέψιν, ὁ σοφιστής· καίτοι καὶ περὶ τοῦ ὄντος εἴρηται μυρία καὶ περὶ τοῦ μὴ ὄντος, ἀλλὰ ταῦτα συνέωσται πρὸς τὸν περὶ τοῦ σοφιστοῦ λόγον. ὡσαύτως δὲ καὶ τὸν Πολιτικὸν ἀπὸ τοῦ προηγουμένου ζητήματος ἐπέγραψε, καίτοι περὶ τῆς ἀνακυκλήσεως τοῦ κόσμου πολλὰ διεξελθών [p.

in R.1.9 272e]· ἀλλ' ὡς καὶ τούτων τοῦ πολιτικοῦ ῥηθέντων χάριν ἡ ἐπιγραφὴ μόνον ἀπείληφεν τὸν πολιτικόν. οὕτω τοίνυν καὶ τοῦτο τὸ ἐπίγραμμα τῆσδε τῆς πραγματείας, ἡ πολιτεία ὄν, ἐναργέστατα παρίστησιν, ὅτι τὸ ζητούμενον τοῦτ' ἐστὶν ἐν ταύτῃ προηγουμένως, εἴπερ αἱ ἀπὸ τῶν πραγμάτων ἐπιγραφαὶ τῶν μὴ περιστατικῶν ἀπ' αὐτῶν κεῖνται τῶν ζητουμένων προηγουμένως ἐν τοῖς διαλόγοις. πρῶτον μὲν οὖν ὅπερ ἔφην δύο ταῦτα δείξαντες περὶ τῆς ἐπιγραφῆς, ἓν μὲν ὅτι ἀρχαία καὶ οὐ νενοθευμένη καθάπερ ἄλλαι τῶν ἐπιγραφῶν προσθέσεις οὖσαι τῶν νεωτέρων τῆς ἐξουσίας ἀπολαυόντων, ἕτερον δὲ ὅτι πραγματικὴ καὶ ἀπὸ τῶν προηγουμένων, ἀλλ' οὐ περιστατικῶν, ἵνα μὴ τὰς ἀπὸ τῶν προσώπων ἢ ἀπὸ τῶν περιστατικῶν παραφέρωμεν, ἐναργῆ ταύτην οἴονται πεπορίσθαι τὴν ἐπιγραφήν, περὶ πολιτείας εἶναι τὴν πρόθεσιν. δεύτερον δὲ καὶ οὗτοι μαρτύρονται τὸν Πλάτωνα σαφῶς ἐν πέμπτῳ λέγοντα τῶν Νόμων αὐτόν [p. 739b ss.], πρώτην εἶναι καὶ ἀρίστην πολιτείαν, ἐν ᾗ πᾶσα κοινωνία πάντων ἐστίν, γυναικῶν παίδων κτημάτων χρημάτων, εἴτε θεῶν οὖσαν εἴτε θείων τινῶν φύσει, παράδειγμα πολιτείας οὖσαν τῆς τῷ ὄντι θείας· δευτέραν δὲ ἐκείνην τὴν ἐν Νόμοις, ἣν ἐκδιδάσκειν φησίν, ἀθανασίας πῃ κἀκείνην μετέχουσαν καὶ οὐ πόρρω τῆς πρὸ αὐτῆς οὖσαν· τρίτην δὲ μετ' αὐτὴν διαπερανεῖσθαι συνᾴδουσαν μὲν ταύταις, πολὺ δὲ λειπομένην ἀμφοτέρων. εἰ οὖν τὴν μὲν διϊέναι φησίν, τὴν δὲ εἰσαῦθις ἀξιώσειν λόγου, δῆλον δήπουθεν ὅτι τὴν πρὸ τούτων ὡς ἤδη που διαπερανάμενος οὔτε λέγειν οὔτε λέξειν φησίν. ποῦ δὴ οὖν πάντα κοινὰ εἶναι καὶ μηδὲν ἴδιόν ἐστιν παρ' αὐτῷ κεκηρυγμένον ἢ ἐν τῇδε τῇ πραγματείᾳ; καὶ τί τὸ μάλιστα χαρακτηρίζον τὴν πολιτείαν ταύτην ἢ τὸ διὰ πάντων κοινόν; εἰ οὖν ταύτην εἰρηκέναι φησὶν οὕτως ὡς τὴν δευτέραν λέγειν καὶ τὴν τρίτην διαπερανεῖσθαι, παντί που δῆλον, ὅτι τὸν αὐτὸν τρόπον τῶν τε Νόμων ὁ σκοπός ἐστιν περὶ τῆς δευτέρας πολιτείας, καὶ ταύτης τῆς προκειμένης πραγματείας περὶ τῆς πρώτης, καὶ ἐκείνης τῆς τὴν τρίτην ἐκδιδαξούσης περὶ τῆς τρίτης.

in R.1.10 ὡς οὖν οἱ Νόμοι τοῦτον ἔχουσι τὸν σκοπόν, τὴν πρώτην διῃρημένην κατὰ κλήρους ὑφηγήσασθαι πολιτείαν, οὕτως ἡ Πολιτεία τὴν ἀδιαιρέτως κατὰ μίαν εὐζωΐαν ἀφοριζομένην κοινωνίαν ἐκφῆναι τῶν εἰς τὴν αὐτὴν εὐνοϊκῶς συνοίκησιν ἠθροισμένων ἀνθρώπων, καὶ οὐχ ἕν τι τῆς ἀρετῆς εἶδος τῶν ἄλλων ἀποδιῃρημένον, οἷόν τινες εἶναι τὴν δικαιοσύνην φασίν. καὶ γὰρ πολὺ τοῦτο καὶ ἐπιστημονικώτερόν ἐστι καὶ τελειότερον, πάντα μετὰ τῆς δικαιοσύνης τὰ

ἀγαθὰ συνῃρηκὸς καὶ οὐχ ἑνὶ μόνῳ τῆς ἀρετῆς εἴδει κατεχόμενον. τρίτον τοίνυν φασὶν οἱ τόνδε τὸν λόγον χορηγοῦντες, καὶ αὐτὸν ἐν Τιμαίῳ τὸν Σωκράτην παρὰ τῶν ἀμφὶ Τίμαιον ἀξιωθέντα τοὺς τῇ προτεραίᾳ ῥηθέντας αὐτῷ λόγους ἀνακεφαλαιώσασθαι τοὺς περὶ τῆς πολιτείας τύπους ἀναλαβεῖν πάντας ἑξῆς, ὅσους ἦν τῇ προτεραίᾳ κατατείνας [p. 17b ss.], ὡς ἂν καὶ τῶν περὶ δικαιοσύνης σκεμμάτων ταύτης ἕνεκα κεκινημένων, καὶ τούτου μὲν ὄντος παρέργου, θεωρῆσαι τὴν δικαιοσύνην καὶ αὐτὴν καθ' ἑαυτὴν καὶ ὅπως ἔχει πρὸς τὴν ἀδικίαν, ἔργου δὲ τὴν ἀρίστην ὑφηγήσασθαι πολιτείαν, ὁποίαν ἔχει γένεσιν καὶ γενομένη πῶς σῴζεται καὶ διὰ ποίων ἐπιτηδευμάτων. οὐ γὰρ ἂν αἰτηθεὶς τῶν ῥηθέντων ὑπομνῆσαι πάλιν τοὺς ἀκούσαντας λόγων μόνων ἀνεμίμνησκεν τῶν εἰς τὴν τῆς πολιτείας σύστασιν τεινόντων, εἰ μὴ καὶ τῶν ῥηθέντων αὐτῷ λόγων τοῦτ' ἦν τὸ σκοπιμώτατον τέλος, ἡ τῆς πολιτείας σύστασις.

in R.1.11 ὥστε διὰ πάντων εἶναι δῆλον τὸν τῆς Πολιτείας εἶναι σκοπὸν μὴ ἄλλον ἢ τὴν τῆς ἀρίστης πολιτείας ὑφήγησιν, ὡς τῶν Νόμων τὴν τῶν νόμων. Τοιαῦτα δὴ τούτων ἀμφοτέρων κατατεινόντων ἡμεῖς τοὺς ἀμφοτέρων ἀποδεχόμεθα λόγους, καὶ μὴ διαφέρεσθαι κατ' ἀλήθειαν τοὺς ἄνδρας, ἀλλ' εἶναι περί τε πολιτείας τὴν πρόθεσιν καὶ τῆς ὡς ἀληθῶς δικαιοσύνης, οὐχ ὡς δύο τῶν σκοπῶν ὄντων (οὐδὲ γὰρ δυνατόν· δεῖ γοῦν ἐπείπερ ζῴῳ προσέοικεν ὁ λόγος, οὗ τι καὶ ὄφελός ἐστιν, ἕνα σκοπὸν ἔχειν, ὥσπερ πᾶν ζῷον πρὸς τὰ μέρη πάντα συντέτακται κατὰ μίαν ὁμολογίαν), ἀλλ' ὡς τῶν δύο τούτων ἀλλήλοις τῶν αὐτῶν ὄντων. ὃ γάρ ἐστιν ἐν μιᾷ ψυχῇ δικαιοσύνη, τοῦτο ἐν τῇ εὖ οἰκουμένῃ πόλει πάντως ἡ τοιαύτη πολιτεία· καὶ γὰρ τὰ γένη τὰ ἐν τῇ πολιτείᾳ τρία τοῖς τρισὶ μορίοις ἐστὶ τῆς ψυχῆς ἀνάλογον, τὸ φυλακικὸν ὡς βουλευόμενον τῷ λόγῳ, τὸ ἐπικουρικὸν ὡς προπολεμοῦν τῷ θυμῷ, τὸ θητικὸν ὡς τὰς φυσικὰς χρείας ἐκπληροῦν τῷ ἐπιθυμητικῷ. εἰ οὖν ἕκαστος ὃ ζῇ τοῦτο ἔστιν, ὁ μέν ἐστι λόγος ὁ φύλαξ, ὁ δὲ θυμὸς ὁ ἐπίκουρος, ὁ δὲ ἐπιθυμία τις ὁ θής, ὥστε καὶ 〈δικαιοσύνη〉 ἡ διὰ πάντων διήκουσα πολιτεία, τὸ ἑαυτοῦ πράττοντος ἑκάστου, καὶ ζῶντος τοῦ μὲν θητικῶς τοῦ δὲ ἐπικουρικῶς τοῦ δὲ φυλακικῶς, ταῦτα δέ ἐστιν, φυσικῶς φρουρητικῶς νοερῶς· ἐπεὶ καὶ τοῦτο δοκεῖ Πλάτωνι, μίαν ἕξιν εἶναι τήν τε πόλιν κοσμοῦσαν καὶ οἶκον καὶ ἕνα ἕκαστον. εἰ δὲ τοῦτο, καὶ ἕκαστος ἡμῶν ζῇ πολιτικῶς ὑπὸ δικαιοσύνης κεκοσμημένος, καὶ ἡ πόλις ζῇ δικαίως ταχθεῖσα κατὰ τὴν ἀρίστην πολιτείαν. εἰ δὲ καὶ ὅπερ δῆμος ἐν πόλει, τοῦτό ἐστιν ἐν ἑκάστῳ τὸ ἐπιθυμητικόν, ὅπερ δὲ τὸ βουλευόμενον, τοῦτο ὁ λόγος, ὡς ἐν Νόμοις φησίν [III p. 689b], εἴη ἂν καὶ ἡ δικαιοσύνη κατ' αὐτὸν πολιτεία ψυχῆς, καὶ ἡ ἀρίστη πολιτεία δικαιοσύνη πόλεως.

in R.1.12 εἰ δὲ ταῦτα ἀληθῆ καὶ ὁ περὶ δικαιοσύνης διδάσκων, εἰ μὴ ἀτελῶς αὐτὴν διδάσκοι, τὴν πανταχοῦ δικαιοσύνην ὁρῶν περὶ πολιτείας διδάσκει, καὶ ὁ περὶ τῆς ὀρθῆς πολιτείας λέγων, εἰ πᾶσαν ὁρᾷη καὶ μὴ τινά, πάντως ἐρεῖ καὶ περὶ δικαιοσύνης τῆς ἐν ἑνὶ πολιτείας οὔσης καὶ ταττούσης τὸν ἐν ἡμῖν δῆμον διὰ τοῦ ἐν ἡμῖν ἐπικουρικοῦ κατὰ τὴν τοῦ ἐν ἡμῖν φυλακικοῦ κρίσιν. ὅτι δὲ καὶ Πλάτων ταύτην ἔχει περὶ τούτων τὴν δόξαν, λάβοιμεν ἂν ἐννοήσαντες ὅπως μεταβαίνων ἀπὸ τοῦ περὶ δικαιοσύνης ζητήματος ἐπὶ τὸν περὶ τῆς πολιτείας λόγον οὕτω φησὶν ποιεῖσθαι τὴν μετάβασιν, οὐχ ὡς ἀπ' ἄλλου πράγματος ἐπ' ἄλλο τῇ φύσει διαφέρον, ἀλλ' ὡς ἀπὸ μικρῶν γραμμάτων ἐπὶ μείζω καὶ φανερώτερα, τὰ αὐτὰ δὲ δηλοῦντα [II p. 368d]· οὐκοῦν ἡ μὲν ὕλη διάφορος ὡς τῶν μικρῶν καὶ μεγάλων γραμμάτων, τὸ δὲ εἶδος ταυτὸν ὡς ἐκείνων· μόνῳ ἄρα τῷ ποσῷ τῶν ὑποκειμένων διεστήκατον τό τε τῆς ἀρίστης πολιτείας εἶδος καὶ τὸ τῆς πολιτικῆς δικαιοσύνης, τὴν δὲ οὐσίαν μίαν εἰλήχατον. καὶ διὰ ταῦτα ἄρα καὶ τὸν ἕκαστον ἡμῶν φησιν βλέπειν εἰς τὴν ἐν αὐτῷ πολιτείαν, οὐτωσὶ καὶ τῷ ῥήματι λέγων [IX p. 591e], καὶ τῷ ἀρίστῳ παραδιδόναι τὴν ἀρχὴν αὐτῆς ἀλλὰ μὴ τῷ φιλοχρημάτῳ· ταῦτα γὰρ ἐν τῷ ἐνάτῳ γέγραπται. καὶ κατὰ τοῦτον πάλιν τὸν λόγον τὴν ἐν ἑκάστῳ δικαιοσύνην πολιτείαν ὑπ' αὐτοῦ λεγομένην ηὑρήκαμεν· καὶ γὰρ αὖ καὶ ὡς ἐν ἄλλοις διείλομεν, ἡ μὲν σωφροσύνη μάλιστα χαρακτηρίζει τὴν ἠθικὴν ἀρετήν (οὐδὲν γὰρ οὕτω τοῖς παιδευομένοις οἰκεῖον ὡς τὸ

σωφρονεῖν), ἡ δὲ δικαιοσύνη τὴν πολιτικήν (τὸ γὰρ κοσμεῖν ἄλλους μάλιστα δεῖται τῆς τὸ κατ' ἀξίαν ἑκάστοις ὁριζούσης), ἡ δὲ ἀνδρεία τὴν καθαρτικὴν (τὸ γὰρ ἄτρωτον ὑπὸ τῶν παθῶν ἀληθινῶν ἡμῖν πολεμίων ἔνδον ἐγκαθημένων ταύτης ἐξαίρετον), ἡ 〈δὲ〉 φρόνησις τὴν θεωρητικήν· τοῦτο γὰρ θεωρίας ἴδιον φρονεῖν ἃ δεῖ περὶ τῶν ὄντων.

in R.1.13 εἰ οὖν τὴν πολιτικὴν ἡ δικαιοσύνη χαρακτηρίζει, πῶς οὐκ ἀνάγκη ψυχῆς τε πολιτείαν εἶναι τὴν δικαιοσύνην ἑκάστης, καὶ πόλεως δικαιοσύνην πάσης τὴν ὡς ἀληθῶς πολιτείαν· μὴ οὖν λέγωμεν δύο σκοπούς, ἀλλ' ἕνα τόν τε περὶ τῆς πολιτικῆς δικαιοσύνης καὶ τὸν περὶ τῆς ἀρίστης πολιτείας· καὶ ἄρξασθαι μὲν ἀπὸ τῆς δικαιοσύνης τὴν ζήτησιν ὡς ἐν ἑνὶ πολιτείας οὔσης, μεταβῆναι δὲ εἰς τὴν περὶ πολιτείας τῆς ἀρίστης ὡς ἐν πολλοῖς δικαιοσύνης οὔσης, καθάπερ ἀπὸ σμικρῶν γραμμάτων ἐπὶ μείζω τῆς μεταβάσεως γιγνομένης, ὡς αὐτός φησιν, τῆς ⟦ δὲ ⟧ κατὰ τὸ ὑποκείμενον διαφορᾶς τὸ εἶδος οὐκ ἐξαλλαττούσης ἓν καὶ ταὐτὸν ὂν ἐν ὑποκειμένοις διαφόροις. ἀπὸ πολιτείας οὖν ἐπὶ πολιτείαν ἡ μετάβασις, ἀπὸ τῆς ἐν ἑνὶ θεωρουμένης ἐπὶ τὴν ἐν πολλοῖς, καὶ ἀπὸ δικαιοσύνης ἐπὶ δικαιοσύνην ἀπὸ τῆς συνῃρημένης ἐπὶ τὴν φανοτέραν. καὶ οὐκ ἔστιν τὸ μὲν προηγούμενον ζήτημα, τὸ δὲ ἐμπῖπτον· τὸ γὰρ προηγεῖσθαι καὶ τὸ ἐμπίπτειν ἐπὶ δυεῖν ἀληθές, ταῦτα δὲ οὐ δύο φαμὲν ἀλλ' ἕν. καὶ διὰ ταῦτα ἄρα καὶ ἐν τοῖς περὶ μεταβολῆς τῶν πολιτειῶν λόγοις ἑκάστην ἐφ' ἑνός τε ἀνδρὸς ὁρᾷ καὶ ἐπὶ πόλεως συμπάσης, τὸν τιμοκρατικὸν ἄνδρα σκοπῶν καὶ τὴν τιμοκρατικὴν πόλιν, καὶ αὖ τὸν ὀλιγαρχικὸν καὶ τὴν ὀλιγαρχικήν, καὶ τὸν δημοκρατικὸν καὶ τὴν δημοκρατικήν, καὶ τὸν τυραννικὸν καὶ τὴν τυραννικήν [VIII p. 544d ss.]. καὶ τὴν αὐτὴν ἐκφέρει ψῆφον περὶ τῆς ἀριστοκρατικῆς πολιτείας καὶ τῆς τυραννικῆς, ἣν περὶ δικαιοσύνης αὐτῆς καὶ ἀδικίας τῆς ἐσχάτης, ὡς ἂν οὐδὲν διαφερόντων ἀλλήλων, ἀλλὰ τῆς ἐν ἑνὶ δικαιοσύνης ἀριστοκρατίας οὔσης ἐν πόλει, καὶ τῆς ἐσχάτης ἀδικίας τυραννίδος ἐν πόλει.

in R.1.14 συνᾴδειν ἄρα φήσομεν ἡμεῖς καὶ τὴν ἐπιγραφὴν τῆς πραγματείας πρὸς τὴν περὶ δικαιοσύνης ζήτησιν, αὐτὸ τοῦτο λέγουσαν, ὅ ἐστιν ἡ δικαιοσύνη, πολιτεία ψυχῆς οὖσα ζώσης κατὰ λόγον τὸν ὀρθόν. εἰ δὲ μὴ τῷ τῆς δικαιοσύνης ὀνόματι τὴν πραγματείαν ἐσήμηνεν, ἀλλὰ τῷ τῆς πολιτείας, ὥσπερ ἄλλην τῷ τῶν νόμων, οὐδὲν οἶμαι χρὴ θαυμάζειν. δεῖ γὰρ τὰς ἐπιγραφὰς ἀπὸ τῶν γνωριμωτέρων ποεῖσθαι· γνωριμώτερον δὲ τὸ τῆς πολιτείας ὄνομα, καθάπερ καὶ αὐτὸς εἶπεν [II p. 368d], ἢ τὸ τῆς δικαιοσύνης. τοῦτο μὲν οὖν καὶ δὴ πεπεράνθαι φῶμεν καὶ τὸν σκοπὸν ἡμῖν τελέως πεπιέσθαι τοῦ τῆς πολιτείας συγγράμματος. Δεύτερον δὲ ἦν ἐπὶ τούτῳ κεφάλαιον, ὁποῖόν ἐστιν τῶν λόγων τὸ εἶδος, καθ' ὃ διέθηκεν τὴν πραγματείαν ταύτην ὁ συγγραφεύς. τοῦτο δὲ οὐ πολλῶν οἶμαι δεήσεσθαί μοι λόγων, ἀλλ' ἀναμνῆσαι χρῆναι μόνον ὅτι καὶ αὐτὸς ἐν τῷδε τῷ συγγράμματι [III p. 392d ss.] τρία φησὶν εἴδη λέξεως ὑπάρχειν, τὸ μὲν δραματικὸν καὶ μιμητικὸν μόνως τῆς κωμῳδίας λέγων καὶ τραγῳδίας· τὸ δὲ ἀφηγηματικὸν καὶ ἀμίμητον, οἷον καὶ οἱ τοὺς διθυράμβους γράφοντες καὶ οἱ τὰς ἱστορίας τῶν γεγονότων ἄνευ προσωποποιίας μετέρχονται· τρίτον δὲ τὸ μικτὸν ἐξ ἀμφοτέρων, οἷαν καὶ τὴν Ὁμήρου ποίησιν εἶναι, τὰ μὲν ταῖς τῶν πραγμάτων ἀφηγήσεσι, τὰ δὲ ταῖς τῶν προσώπων μιμήσεσι πεποικιλμένην. τριῶν δὲ τούτων παρ' αὐτῷ διῃρημένων, δεῖ δήπου τὴν προκειμένην πραγματείαν εἰς τὸ μικτὸν εἶδος τῶν λόγων ἀναπέμπειν, τὰ μὲν ὡς ἔργα λέγουσαν, τὰ δὲ λόγους, καὶ ἐν μὲν τοῖς ἔργοις τὴν ἀφήγησιν μόνην παρεχομένην, δυεῖν δεομένην ἰδέαιν, εὐκρινείας τε τῶν προσώπων καὶ πραγμάτων καὶ ἀκριβείας εἰς παράστασιν (οἷον ὅτι κατῆλθεν εἰς Πειραιᾶ καὶ προσηύξατο τῇ θεῷ καὶ τὴν ἑορτὴν ἐθεάσατο καὶ τὴν πομπὴν ἀπεδέξατο τὴν ἀστικὴν καὶ τὴν ξενικήν, καὶ ἐπανιὼν οἴκαδε πάλιν ἀνέστρεψεν καὶ εἰσῆλθεν εἰς τοῦ Πολεμάρχου καὶ εἶδεν τὸν Κέφαλον καὶ τοὺς τῷ Κεφάλῳ συνόντας, καὶ ὅσα τοιαῦτα ἱστορίαν περιέχοντα τῆς συνουσίας), ἐν δὲ τοῖς ἑκάστων λόγοις τὴν μίμησιν ἀκριβεστάτην ποιουμένην,

τῶν μὲν πρεσβυτικῶς φθεγγομένων, τῶν δὲ μυθοειδῶς, τῶν δὲ σοφιστικῶς, καὶ τήν τε γνῶσιν καὶ τὴν ζωὴν οἰκείως ἑκάστοις ἀποδιδοῦσαν.

in R.1.15 τὸ γὰρ ἐν τούτοις διασώσασθαι τὸ πρέπον τῆς ἀκροτάτης ἐστὶ μιμήσεως· ὥσπερ καὶ ἐν τοῖς δράμασιν ἄλλως μὲν τὰ οἰκετικὰ πρόσωπα φθεγγόμενα μιμητέον, ἄλλως δὲ τὰ τῶν ἐλευθέρων, καὶ ἄλλως μὲν γυναῖκας, ἄλλως δὲ ἄνδρας τι λέγοντας· δεῖ γὰρ ἀποδιδόναι τὰ οἰκεῖα ταῖς φύσεσι ταῖς ἡλικίαις ταῖς τύχαις τοῖς ἐπιτηδεύμασι ταῖς ἀξίαις ῥήματα τὸν ἑκάστων μιμητήν. τὴν δ' οὖν πραγματείαν ταύτην εἰς τὸ μικτὸν εἶδος τῶν λόγων ἀνενεκτέον. εἰ δὲ δὴ καὶ οὕτω τὰ εἴδη διαιροῖμεν ὡς τῶν Πλατωνικῶν τινες, εἰς τὸ ὑφηγητικὸν εἰς τὸ ζητητικὸν εἰς τὸ μικτόν, πάλιν καὶ τούτων τὸ μικτὸν ἐκλεξάμενοι τὴν πολιτείαν εἰς τοῦτο φέροντες ἀναπέμψομεν. καὶ γὰρ εἰσὶ μὲν καὶ ζητητικοί τινες ἐν αὐτῇ λόγοι πλείους, εἰσὶν δὲ καὶ ὑφηγητικοί, τοῦ Σωκράτους ἢ τὴν λύσιν ὑφηγουμένου τῆς ἀρίστης πολιτείας διὰ τοῦ λόγου τῶν Μουσῶν ἢ τῶν ἐν Ἅιδου τὴν σκηνὴν διὰ τῶν τοῦ Ἠρὸς ῥημάτων. καὶ ἴσως καὶ ἔστι τὸ μικτὸν εἶδος τῶν λόγων πρέπον τοῖς περὶ πολιτείας λόγοις, ἐν ᾗ καὶ ἔργων ἐστὶ καὶ λόγων παντοίων ὥσπερ καὶ ζωῶν σύλληψις.

in R.1.16 ἐπεὶ καὶ τοῦτο δεῖ μὴ παρέργως ἰδεῖν, ὅτι τρὶς τῆς πολιτείας ταύτης ῥηθείσης, ἐν Πειραιεῖ μὲν ἀγωνιστικῶς, ἐν δὲ τοῖς πρὸς Τίμαιον τῇ τρίτῃ μετ' ἐκείνην ἄνευ προσώπων συνοπτικῶς, ἐν δὲ τῇ μέσῃ διηγηματικῶς, τά τε πρόσωπα καὶ τὰ πράγματα τῆς διηγήσεως ἐχούσης, ἀλλ' ἐν τάξει μᾶλλον ἢ τῆς πρὸ αὐτῆς, οὔθ' ἡ πρώτη προσᾴδειν ἔδοξεν οὔθ' ἡ τρίτη τοῖς περὶ πολιτείας οὕτω λόγοις ὡς ἡ μέση. μιμεῖται γὰρ ἡ μὲν ψυχῆς ἔτι πρὸς τὰ πάθη μαχομένης ζωήν, ἡ δὲ παντελῶς εἰς θεωρίαν ἀνηγμένης καὶ ἀπεκδυσαμένης τὴν μνήμην τῶν ἀγώνων ἐκείνων, ἡ δὲ μέση τούτων ἠρεμούσης μὲν ἤδη, μεμνημένης δὲ ὅμως ὧν ἤθλησεν καταστέλλουσα τὸν πολὺν ὄχλον τῶν ἀλόγων εἰδῶν. εἰκότως δὴ οὖν τὴν μέσην ταύτην συνουσίαν προσήκειν ὑπέλαβεν τοῖς περὶ πολιτείας λόγοις· καὶ γὰρ ἡ πολιτικὴ ζωὴ τούτων ἐστὶ θεραπευτικὴ καὶ ⟦ εἰ ⟧ τέλος ἔχει τὴν θεωρίαν συναιροῦσα τὸν ἐν ἡμῖν λόγον, ὃς μόνος ἐν τῇ συναιρέσει συνοπτικῶς μὲν οἶδεν ὅπως ἐκόσμησεν τὰ μεθ' ἑαυτόν, ἀναπλοῖ δὲ λοιπὸν ἑαυτὸν εἰς τὴν θεωρίαν τῶν ὅλων, ἵνα ἴδῃ τὴν ἐν ἐκείνοις πολιτείαν καὶ τὸν ἕνα πολιτικὸν τοῦ κόσμου. καὶ γὰρ εἰ ἐν οὐρανῷ τὸ παράδειγμα τῆς ἀρίστης ἐστὶ ταύτης πολιτείας, καὶ τῶν πολιτικῶν ἄριστος ὁ τοῦ οὐρανοῦ δημιουργός, ὃν θεωρήσει μόνος ὁ τὴν ἐν ἑαυτῷ πολιτείαν καταστησάμενος. ἀλλὰ τὸ μὲν εἶδος τῶν λόγων ἱκανῶς οἶμαι δεδηλωκέναι. Τρίτον δὲ ἦν ἐν τοῖς προκειμένοις τὴν ὕλην ἰδεῖν τῆς πραγματείας ἐν τρισὶν ὁρωμένην, προσώποις καιροῖς τόποις. λέγωμεν οὖν ἑπομένως τοῖς ἔμπροσθεν.

in R.1.17 ὁ μὲν δὴ τόπος ἐστὶν ὡς τῆς πρώτης συνουσίας ὁ Πειραιεύς, οὕτω τῆς δευτέρας καὶ τρίτης ἡ πόλις. δῆλον δέ που τοῦτο τοῖς Πλάτωνος ἀκηκοόσιν, ὅτι τοὺς ἐπιθαλαττιδίους τόπους τῆς θορυβώδους ζωῆς καὶ ποικίλης γέμειν ἀναγκαῖον, τὰς δὲ πορρωτέρω θαλάττης πόλεις ἐκείνων καθαρεύειν τῶν κακῶν. εἰ δὲ καὶ τοιούτων εἶεν θεῶν αἱ πόλεις (οἷς ἀνεῖνται, διότι φρονιμωτάτων εἰσὶν δεκτικαὶ ψυχῶν, ὅπερ πάλιν αὐτός φησιν [Crit. p. 109c] περὶ τοῦ κλήρου τῆς Ἀθηνᾶς, ὃν ἐκλέξασθαι τὴν θεὸν ὡς ἄνδρας οἴσοντα προσφερεστάτους αὐτῇ διαφερόντως), δῆλον δήπουθέν ἐστι μᾶλλον, ὅτι τάξις καὶ ⟦ ἡ ⟧ ἔμφρων ζωὴ καὶ λόγος οἰκεῖος ἂν εἴη πρὸς τὴν τοιαύτην πόλιν. εἰ δὴ ταῦτα Πλάτωνι δέδοκται περὶ ἀμφοτέρων, οὐκ ἂν ἀπᾴδοντα λέγοιμεν, εἰ τὸν μὲν τῇ πρώτῃ συνουσίᾳ φαῖμεν οἰκειότατον εἶναι, καθ' ἣν ὡς τὸ εἰκὸς οὐκ ἀθόρυβος ἦν ὁ περὶ δικαιοσύνης, εἰ δὲ βούλει, καὶ ὁ περὶ πολιτείας λόγος, οὐδ' ἄνευ τῶν σοφιστικῶν ἀγώνων τοῦ Σωκράτους ἀθλοῦντος ὑπὲρ τῆς δικαιοσύνης πρὸς τὴν πολυκέφαλον σοφιστικὴν ζωήν, τὸν δὲ πάλιν τῇ ἀθορύβῳ καὶ μετὰ τῆς πρεπούσης φιλοσοφίᾳ γαλήνης ἀναχωρησάσῃ πρὸς ἑαυτὴν καὶ τοῖς ὁμοίοις συνούσῃ θεωρίᾳ τῶν αὐτῶν, ὧν ἐν τῷ θορυβώδει τότε μετὰ πραγμάτων ἐθεάσατο πολλῶν. καὶ τάχα ἂν ὃ μὲν εἴη γενέσει προσήκων τῶν τόπων, ὃ δὲ τῷ γενέσεως

καθαρεύοντι καὶ αἰθερίῳ, φαίη ἂν ὁ ἐν Φαίδωνι Σωκράτης. ἥ τε γὰρ γένεσις ἁλμυρᾶς ἐστι πλήρης ζωῆς καὶ ζάλης μεστὴ καὶ τῶν τρικυμιῶν τῶν τὰς ψυχὰς βαπτιζουσῶν, ὅθεν ἀθόρυβος οὐκ ἔστιν αὐταῖς ἡ ζωή, κἂν ζῶσι κατὰ λόγον, καὶ ἐκεῖνος ὁ τόπος ψυχῶν ἐστιν καθαρὰν καὶ ἀπήμονα περίοδον ἤδη λαχουσῶν, εἰ καὶ μέμνηνται τῆς ἐν τῇ γενέσει ταραχῆς ἔτι καὶ τῶν ἄθλων, ὧν ἤθλησαν ἐν τοῖσδε τοῖς τόποις.

in R.1.18 —Περὶ μὲν δὴ τῶν τόπων τοσαῦτα. τοὺς δὲ καιροὺς τούτοις συνᾴδοντας ἔξεστιν ὁρᾶν, οἷς διεῖλεν τὰς συνουσίας, τὴν μὲν ἐν Πειραιεῖ τοῖς Βενδιδίοις ἀποδούς, τὴν δὲ ἐν ἄστει τοῖς Παναθηναίοις. ἢ οὐκ ἴσμεν ὡς τὰ μὲν Βενδίδια τὴν Ἄρτεμιν θεραπεύειν κατὰ τὸν Θρᾳκῶν νόμον ἐθέλει, καὶ τὸ ὄνομα τοῦτο Θρᾴκιον ἡ Βένδις; οὕτω καὶ τοῦ Θρᾳκὸς θεολόγου μετὰ τῶν πολλῶν τῆς Σελήνης ὀνομάτων καὶ τὴν Βένδιν εἰς τὴν θεὸν ἀναπέμψαντος· Πλουτώνη τε καὶ Εὐφροσύνη Βένδις τε κραταιά · τὰ δὲ Παναθήναια καὶ ταῦτα μικρὰ λέγων τοῖς Βενδιδίοις ἑπόμενα τὴν Ἀθηνᾶν εἶχεν τῆς ἑορτῆς πρόφασιν. οὐκοῦν ἄμφω μὲν παῖδες Διός, ἄμφω παρθένοι, προσκείσθω δὲ ὅτι καὶ ἄμφω φωσφόροι, εἰ καὶ ἡ μὲν ὡς εἰς φῶς ἄγουσα τοὺς ἀφανεῖς λόγους τῆς φύσεώς ἐστι φωσφόρος, ἡ δὲ ὡς τὸ νοερὸν ἀνάπτουσα φῶς ταῖς ψυχαῖς· δαΐ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ · καὶ ὡς ἀφαιροῦσα τὴν ἀχλύν, ἧς παρούσης οὐχ ὁρᾷ ψυχή, τί μὲν τὸ θεῖον, τί δὲ τὸ ἀνθρώπειον. ἀμφοῖν δὲ τοιαύτας ἰδιότητας ἐχουσῶν δῆλον, ὡς ἡ μὲν γενέσεώς ἐστιν προστάτις καὶ λοχευτικὴ τῶν γενεσιουργῶν λόγων, ἡ δὲ ἀναγωγὸς ψυχῶν καὶ νοῦ χορηγὸς καὶ φρονήσεως ἀληθοῦς καὶ ἐν τοῖς οὐρανίοις δυναστεύουσα μειζόνως, ἄνωθεν δὲ τελειοῦσα πᾶσαν τὴν σεληναίαν διακόσμησιν.

in R.1.19 εἰ δὴ ταῦτ’ ἀληθῆ φαμεν, πρέποι ἂν ἡ μὲν τῶν Βενδιδίων ἑορτὴ τῇ πρώτῃ συνουσίᾳ, καθάπερ καὶ ὁ τόπος, τῇ μιμουμένῃ ψυχὴν κοσμοῦσαν οὐκ ἀθορύβως δὲ τὴν γένεσιν· τὰ δὲ Παναθήναια τῇ δευτέρᾳ καὶ τρίτῃ μιμουμέναις ψυχὴν ἀναχωροῦσαν εἰς ἑαυτὴν καὶ συμπτύσσουσαν τὴν ζωὴν ἀπὸ τῶν κάτω πρὸς τὸν ἑαυτῆς νοῦν, καὶ ἀντὶ τοῦ τὰ ἀνόμοια πρὸς ἑαυτὴν κοσμεῖν τοῖς ὁμοίοις συνοῦσαν καὶ κοινωνοῦσαν νοήσεων καὶ θεαμάτων εὐδαίμοσιν θεαταῖς πρεπόντων. εἰ δὲ βούλει, καὶ τὸ μὲν ξενικὸν τῶν ἱερῶν οἰκεῖον τίθει τῇ ζώσῃ μὲν ἱερῶς κἀν τῇ γενέσει, ξένοις δὲ ἱεροῖς πλησιαζούσῃ, τοῖς γενεσιουργοῖς ἀντὶ τῶν οὐρανίων, τὸ δὲ πάτριον οἷον δὴ τὸ τῶν Παναθηναίων τῇ εἰς τὰ οἰκεῖα ἤθη ἐπιστρεψάσῃ καὶ ζώσῃ νοερῶς καὶ πρεπόντως τῷ συννόμ ῳ , φησὶν ἐκεῖνος [Tim. 42b], ἄστρ ῳ . πάτρια γὰρ ὄντως ἐκεῖνα ταῖς ψυχαῖς, διότι καὶ πατρὶς ἡμῖν ἐκεῖ κατὰ τὴν δημιουργικήν ἐστι σποράν· ξενικὰ δὲ τὰ τῆς γενέσεως ἱερά, καὶ ταῦτα ἱερὰ θεῶν ἐφόρων τυγχάνοντα· καὶ δεῖ καὶ τούτοις ἐκπληροῦν τὰ καθήκοντα τὸν ἔχοντα νοῦν, βλέπειν δὲ εἰς ἐκεῖνα καὶ ἐπιστρέφειν ὅτι τάχιστα, καθάπερ ὁ Σωκράτης ἐποίησεν, τῆς μὲν ἐν τούτοις ἑορτῆς μετασχών, προσευξάμενος δὲ καὶ θεωρήσας οἴκαδε εὐθὺς ὁρμήσας. τοσαῦτα καὶ περὶ τῶν καιρῶν. —Λείπεται δὲ ἔτι περὶ τῶν προσώπων διελθεῖν. οὐκοῦν δέκα μὲν οἱ συνόντες ἀλλήλοις ***** 〈Περὶ τῶν πρὸς τὸν ὅρον τῆς δικαιοσύνης τὸν τοῦ Πολεμάρχου ῥηθέντων ὑπὸ τοῦ Σωκράτους συλλογισμῶν.

in R.1.20.(1t) 〉 〈Περὶ τῶν ὑπὲρ δικαιοσύνης τεττάρων λόγων ἐν Πολιτείᾳ πρὸς τὰ Θρασυμάχου τέτταρα δόγματα περὶ αὐτῆς.〉 ***** δυνατώτερόν ἐστιν τοῦ δεομένου τὸ μὴ δεόμενον, ἀλλ’ αὔταρκες ἑαυτῷ πρὸς τὸ εἶναι ὅ ἐστιν. τούτου γὰρ ὄντος ἀληθοῦς δείκνυσιν τὴν ἀδικίαν εἰς τὸ ὀπωσοῦν εἶναι δεομένην τῆς δικαιοσύνης. μὴ γὰρ οὔσης δικαιοσύνης ἀργὸν εἶναι καὶ ἄπρακτον τὴν ἀδικίαν· καὶ τοῦθ’ ὑπομιμνήσκει διὰ πολλῶν, οἷον πόλεως, εἰ αὕτη γέμουσα εἴη ἀδικίας, μὴ ἄν ποτε δυνηθῆναι αὐτὴν ἢ πρὸς ἄλλην τι πόλιν πρᾶξαι ἢ αὐτὴν πρὸς αὑτὴν διὰ τὸ διχονοεῖν, ἐξ ἀδικούντων οὖσαν καὶ ἀδικουμένων· ὁμοίως δὲ καὶ στρατοπέδου, εἰ ἐν αὐτῷ εἴη πᾶσα ἀδικία, στασιάσει πρὸς αὐτὸ καὶ στασιάζον περὶ αὐτὸ καταρρεύσεται καὶ ἀδρανὲς ἔσται κατὰ τῶν πολεμίων· ὡσαύτως δὲ καὶ οἴκου τινός, ἐν ᾧ μηδέν ἐστιν ἴχνος δικαιοσύνης, τοῦτον ἀνάγκη διχονοίας ὄντα μεστὸν μηδὲν δύνασθαι πράττειν οὐ συμβαινόντων ἀλλήλοις τῶν

ἐνοικούντων. τὸ δὲ πάντων θαυμαστότατον, ὅτι καὶ ἐν ἑνὶ μόνῳ τὴν ἀδικίαν ἐνοῦσαν ἀνάγκη στάσεως αὐτὸν πρὸς ἑαυτὸν πληροῦν καὶ διὰ τοῦ στασιάζειν ἀσθενέστερον ἀποφαίνειν, ἐπ᾽ ἄλλα μὲν καὶ ἄλλα φερόμενον, ἑαυτὸν δὲ ἀρέσκειν οὐ δυνάμενον. ἀναγκαῖον ἄρα πάντ᾽ ἄδικον, εἰ μέλλοι τι καὶ ὁπωσοῦν δυνήσεσθαι, δικαιοσύνης ἴχνος ἔχειν. ἐκ δὴ τούτων γίνεται συλλογισμὸς τοιόσδε· πᾶσα ἀδικία χωρὶς δικαιοσύνης ἀσθενής ἐστιν· πᾶν τὸ δικαιοσύνης χωρίς, ἀσθενὲς ὄν, δεῖται τῆς δικαιοσύνης εἰς τὸ δύνασθαι· πᾶσα ἄρα ἀδικία δεῖται δικαιοσύνης εἰς τὸ δύνασθαι.

in R.1.21 πάλιν ἄλλος συλλογισμός· πᾶσα ἀδικία δεῖται δικαιοσύνης εἰς τὸ δύνασθαι· πᾶν τὸ δεόμενον δικαιοσύνης εἰς τὸ δύνασθαι δικαιοσύνης ἐστὶν ἀσθενέστερον· πᾶσα ἄρα ἀδικία δικαιοσύνης ἐστὶν ἀσθενέστερον. τοῦτο δ᾽ ἦν τὸ προκείμενον. — Ἴσως δ᾽ ἄν τις ἀπορήσειεν, μήποτε τὴν τελέαν ἀδικίαν οὐ λαμβάνομεν ἐφ᾽ ἑνός, ὅταν λέγωμεν καὶ τοῦτον, εἴπερ ἄδικος εἴη, διχονοεῖν πρὸς ἑαυτόν. τὸν μὲν γὰρ τοιοῦτον ἔχειν τι τοῦ δικαίου, καθ᾽ ὅσον ὁ λόγος ἔτι δύναται μάχεσθαι τῷ πάθει, τὸν δὲ τελέως ἄδικον χρῆσθαι τῷ λόγῳ δουλεύοντι καὶ συνηγοροῦντι τῷ πάθει καὶ ὁδοὺς ὑπαγορεύοντι τῶν πράξεων. πῶς οὖν ἐν τῷ τοιούτῳ διχόνοιαν εἶναι συγχωρήσομεν, πάσης τῆς ψυχῆς ἓν λεγούσης ὃ φθέγγεται τὸ πάθος, καὶ ὁρμώσης ἐφ᾽ ὅπερ ἐκεῖνο κινεῖ τὴν ζωήν, καὶ πραττούσης τῆς ἀδικίας ἃ δοκεῖ αὐτῇ, δικαιοσύνης οὐκ ἐνούσης; Λέγωμεν οὖν πρὸς τὴν ἀπορίαν ταύτην, ὅτι πρώτη μέν ἐστιν ἕξις ψυχῆς, ἐν ᾗ πάντῃ κρατεῖ τοῦ πάθους ὁ λόγος καὶ ἔχει τὴν ἑαυτοῦ τελειότητα τὴν διττήν, τήν τε γνωστικὴν καὶ τὴν ζωτικήν· ἐσχάτη δὲ ἐν ᾗ πάντῃ δυναστεύει τοῦ λόγου τὸ πάθος, ὥστ᾽ ἀπ᾽ ἐναντίας ἔχειν ἐκείνῃ καὶ μήτε διορατικόν τινος εἶναι τὸν λόγον μήτε ὄρεξιν ἔχειν ὀρθήν. τούτων δὲ ἄκρων οὐσῶν, ἐκ μεσοτήτων ἡ μέν ἐστιν ἀμείνων, ἡ δὲ χείρων, ἡ δὲ μέση τούτων ἀμφοτέρων. ἐὰν μὲν γὰρ μάχηται τῷ λόγῳ τὸ πάθος, κρατῇ δὲ ὅμως ποτὲ τὸ πάθος, ἀμείνων ἡ τοιάδε ἕξις τῆς ἐσχάτης ῥηθείσης καὶ χείρων τῆς πρώτης καὶ μέση τῷ ὄντι ἀμφοῖν. ἔτι γὰρ ὁ λόγος ἰσχύων ὁπωσοῦν καὶ κατὰ τὸ ζωτικὸν καὶ κατὰ τὸ γνωστικὸν μάχεται τῷ πάθει, διότι δὲ οὐκ ἔχει γνῶσιν τελέαν, ἀλλὰ δοξαστικὴν μόνον, ἐνδίδωσί ποτε τῷ πάθει· παρούσης γὰρ ἐπιστήμης οὐκ ἂν ἠναντιώθη τὸ πάθος, ἐκείνης ἐκ πρύμνης κοσμούσης πᾶσαν τὴν ζωήν.

in R.1.22 ἐὰν δὲ μὴ μάχηται ὁ λόγος τῷ πάθει διὰ τὸ ἠνδραποδίσθαι κατὰ τὴν ζωὴν καὶ τὸ αὐτὸ τίθεσθαι ὀρεκτὸν τῷ πάθει, τὸ δὲ γνωστικὸν ἔχῃ πως ἔτι βλέπειν δυνάμενον, ὃ καὶ διὰ τοῦτο ἐκείνῳ ὁδοὺς ἐξευρίσκῃ πρὸς τὴν τοῦ πάθους ἀποπλήρωσιν, ἡ τοιαύτη ἕξις χείρων τῆς εἰρημένης τοῦ λόγου κατὰ τὸ ἥμισυ ζῶντος τὸ ἑαυτοῦ· γνωστικῆς γάρ ἐστι δυνάμεως ἴδιον τὸ εὑρίσκειν τὰ προτεθέντα. ἐὰν δὲ γιγνώσκῃ ὁ λόγος ἃ δεῖ καὶ ὀρέγηται ὧν δεῖ, μὴ τελέως δὲ γιγνώσκῃ, τὸ δὲ μὴ τέλεον μὴ οὕτως ἔχῃ ὥστε δόξας εἶναι μόνον ἐν αὐτῷ βελτίστας ἀλλ᾽ ἤδη καὶ εἰς ἐπιστήμην ὁδεύειν, ἡ τοιαύτη ἕξις ἐστὶν ἐγγυτάτω τῆς ἀρίστης, ἐν ᾗ οὐδεμία μάχη ἐστίν, τοῦ μὲν πάθους ὅλως μαχομένου, διότι μήπω κρατεῖ ὁ τῆς ἐπιστήμης λόγος, τοῦ δὲ λόγου δυναμένου, καὶ πολεμοῦντος αὐτῷ τοῦ πάθους, κρατεῖν, διότι μὴ μόνον ἔχει δόξας ὀρθάς, ἀλλ᾽ ὁπωσοῦν ἐπιστήμης ἥρξατο μετέχειν· δυναμοῖ γὰρ αὐτοῦ τὸ γνωστικὸν ἡ τοιαύτη γνῶσις καὶ παρασκευάζει συντονώτερον ἀντέχειν πρὸς τὸ πάθος τῷ μειζόνως ὁρᾶν τὸ ἀγαθὸν καὶ μᾶλλον ἔχειν κατὰ φύσιν. ὅταν μὲν οὖν τέλειος ᾖ παντελῶς ὁ λόγος, οὐδὲν πράττεται τῶν ἀδίκων διὰ τὴν τοῦ ἀρίστου δύναμιν· καὶ ὅταν παντελῶς ἀτελὴς τῷ μηδὲ τὸ γνωστικὸν ἔχειν ⟦ τι ⟧ διορατικὸν μηδέ γε τὸ ζωτικὸν κατωρθωμένον, πάλιν οὐδὲν πράττεται διὰ τὸ μηδ᾽ ὅλως εἶναι τὸ βουλευόμενον. τῶν δὲ ἄκρων ⟦ καὶ ⟧ ἕξεων τοιούτων οὐσῶν λοιπὸν ἐν ταῖς μέσαις ἡ μὲν πρὸς τῇ ἀμείνονι πάλιν ἀπέχεται τῶν πράξεων ἔνδον μόνον ἔχουσα τὴν ἀδικίαν· ἡ δὲ μετ᾽ αὐτὴν καὶ πράξειεν ἄν, ἀλλ᾽ οὐχ ὅλῃ τῇ ψυχῇ δεδογμένα διὰ τὸ εἶναί τινα μάχην· ἡ δὲ μετὰ ταύτην ἐστὶν ἡ δοκοῦσα καὶ πράττειν καὶ ὅλῃ τῇ ψυχῇ πράττειν, οὐδ᾽ αὐτὴ δὲ ἄνευ δικαιοσύνης οὖσα.

in R.1.23 τί γὰρ ἴδιον δικαιοσύνης ἢ τὸ αὐτοπραγεῖν; ἔστι δὲ τοῦτό πῃ καὶ ἐν ταύτῃ· καθ' ὅσον γὰρ τὸ ἐν τῷ λόγῳ γνωστικὸν τὸ οἰκεῖον ἔργον ἐργάζεται δριμὺ βλέπον καὶ εὑρίσκον ὃ ζητεῖ, κατὰ τοσοῦτον αὐτοπραγεῖ, καθ' ὅσον δὲ δουλωθὲν τὴν ὄρεξιν ἔχει κοινὴν πρὸς τὸ πάθος, οὐκ αὐτοπραγεῖ. πάντως τοίνυν ὅταν γίνηταί τις ἀπὸ ἀδικίας πρᾶξις, δεῖ μετεῖναι τῷ πράττοντι δικαιοσύνης. εἰ δὲ λάβοις καὶ τὴν ταύτης χείρονα ἕξιν, ἐν ᾗ καὶ ὁ λόγος ἤδη τετύφλωται καὶ τὸ ὀρεκτικὸν διέστραπται, εἰκότως ἄπρακτος ἡ ἕξις αὕτη, δικαιοσύνης ἀμυδροτάτης ἔτι οὔσης, ὡς μηδ' εἶναι δοκεῖν· ἔστι γάρ πως, καθ' ὅσον ἀπολείπειν τὴν ψυχὴν πάντῃ τὰς κοινὰς ἐννοίας ἀδύνατον, καὶ μάλιστα τῇ τοῦ ἀγαθοῦ ἐφέσει. καθ' ὅσον οὖν ὡς πρὸς ἀγαθὸν ὁρμᾷ, δικαιοσύνης μετείληχεν· καὶ γὰρ εἰ ἐνεγένετο παντελὴς ἀδικία ψυχῇ, τάχ' ἂν ἀπώλεσεν καὶ τὸ εἶναι ψυχή· καὶ γὰρ σῶμα κατὰ πᾶν νοσῆσαν ἀπόλλυται. δεῖ οὖν εἶναί τι δικαιοσύνης ἴχνος καὶ ἐπὶ τῆς ἐσχάτης ἀδικίας καὶ ἐν μιᾷ ψυχῇ, δι' ὃ σῴζεται κατ' οὐσίαν· ὥστε διχόνοια μὲν καὶ ἐν ταύτῃ πάντως ἐστίν, μαχομένης σχεδὸν πάσης τῆς ψυχῆς πρὸς τὰς ὑποκειμένας ἐν αὐτῇ κοινὰς ἐννοίας· ἄπρακτος δέ ἐστιν ἕξις, διότι τὸ τῆς δικαιοσύνης ἴχνος ἀμυδρωθὲν ἐκείνην σχεδὸν μόνην ἀπέφηνεν οὖσαν τὴν μηδὲν καθ' ἑαυτὴν δι' ἀσθένειαν πρᾶξαι ἰσχύουσαν. ὅτι δὲ καὶ ἐν τῇ τοιαύτῃ ἕξει πάντως ἐστὶν δικαιοσύνης ἴχνος, δῆλον· οὐ γάρ που καὶ ἑαυτὸν ἀδικεῖν ἐθέλει καὶ διαφθείρειν τὰ ἑαυτοῦ· φυλάττων οὖν τό γε πρὸς ἑαυτὸν δίκαιον οὐκ ἔστιν μόνως ἄδικος, οὐκ εἰδὼς δὲ ὅπως ἂν φυλάξειεν, ἄδικός ἐστιν, δι' ὧν οὐ χρὴ φυλάττειν ἑαυτὸν φυλάττων. πάντα ἄρα τὰ δόγματα ἀληθῆ, καὶ ὅτι διχονοίας αἰτία ἡ ἀδικία αὐτῷ πρὸς ἑαυτόν, οὐ μόνον πρὸς ἄλλον· καὶ ὅτι πᾶσα ἀδικία τὴν τοῦ πράττειν ἀφαιρεῖται δύναμιν τοσούτῳ μᾶλλον, ὅσῳπέρ ἐστιν ἀδικία μᾶλλον· καὶ ὅτι δικαιοσύνης μὲν ἀδικία δεῖται, ἀδικίας δὲ δικαιοσύνη πρὸς τὸ πράττειν οὐ δεῖται.

in R.1.24 τούτων δὲ ὄντων ἀληθῶν κρατήσει τὸ δυνατωτέραν εἶναι τῆς ἀδικίας τὴν δικαιοσύνην. Λάβοις δ' ἂν καὶ πόρισμα διὰ τῶν νῦν εἰρημένων, ὅπερ πρῶτος εἶδεν Ἀμέλιο ς , ἀπὸ μείζονος ἀδικίας ἐλάσσονα γίνεσθαι κακὰ πολλάκις, ἀπὸ δὲ ἐλάσσονος μείζονα. κρατούσης γὰρ τελέως ἀδικίας ἄπρακτός ἐστιν ἡ ζωή, συνούσης δὲ αὐτῇ δικαιοσύνης γίνεταί τις πρᾶξις ἀπ' αὐτῆς. καὶ μηδεὶς οἰέσθω ψεῦδος εἶναι τὸ ῥηθέν, διότι μείζονα κακὰ γενοιτ' ἂν ἀπὸ ἀκολασίας ἢ ἀκρασίας, καὶ ταῦτα μείζονος οὔσης κακίας. ἡ γὰρ ἀκρασία κακία τέ ἐστιν καὶ οὐ κακία· μάχεται γὰρ ὁπωσοῦν ὁ λόγος πρὸς τὸ πάθος, ὅπερ οὔπω κακίαν ποιεῖ τελείαν, ὥστε διὰ τοῦτο ἐλάττονα γίνεται ἀπὸ τῆς ἀκρασίας, διότι σύμμικτός ἐστιν ἐκ κακίας καὶ μὴ κακίας. τὸ δὲ ῥηθὲν ἐπὶ δυεῖν κακίαιν ἀληθές, οὐκ ἐπὶ κακίας καὶ οὐ κακίας. ὅτι δὲ καὶ τοῦτο τὸ ἀξίωμα ἐπὶ τὸ ἀγαθὸν ἀνάγειν δυνατόν, ᾧ χρώμενος τὸν τρίτον διέθηκεν λόγον, δῆλον. τὸ γὰρ αὐταρκέστερον ἔγγιον τοῦ ἀγαθοῦ, τὸ δὲ ἔγγιον τοῦ ἀγαθοῦ δυνατώτερον τοῦ πορρώτερον ἐξ ἀνάγκης. ὥστ' εἰκότως δυνατώτερόν ἐστιν δικαιοσύνη τῆς ἀδικίας. Λοιπὸς δὲ ἡμῖν ὁ τέταρτός ἐστιν λόγος, δεικνὺς ὡς προείπομεν τὸν δίκαιον εὐδαίμονα καὶ οὐ τὸν ἄδικον ὄντα, ὡς ἔλεγεν Θρασύμαχος. δείκνυσι δὲ κανόνα τοιόνδε θέμενος, παντὸς ἔργον εἶναι τοῦτο ὅπερ ἂν ἢ μόνον ἢ κάλλιστα ἀπεργάζηται· μόνον μὲν ὡς ὀφθαλμοῦ τὸ ὁρᾶν καὶ ὤτων τὸ ἀκούειν καὶ τὸ γεύεσθαι γλώσσης· κάλλιστα δέ, ὡς τοῦ δρεπάνου τέμνειν ἄμπελον, ἀλλ' οὐ σμίλης, σμίλης δέ, ὡς τὸ σκύτη τέμνειν, ἀλλ' οὐ μαχαίρας, μαχαίρας δὲ ὡς τὸ κρέα τέμνειν, ἀλλ' οὐ τῶν λοιπῶν, διότι τούτων ἑκάστον ἐφ' ὧν εἴπομεν κάλλιστα ἔχει τὸ τέμνειν, τὰ δὲ ἄλλα χειρόνως, καὶ ἐκείνων τῶν ἔμπροσθεν, διότι ἕκαστον μόνον ποιεῖ τὸ εἰρημένον ἔργον, τὸ ὁρᾶν τὸ ἀκούειν τὸ γεύεσθαι.

in R.1.25 καὶ ἀνάγοις ἂν ἐπὶ τὴν πάντων ἀρχὴν καὶ τοῦτον τὸν κανόνα, διότι τοῖς μὲν δίδωσιν τὸ οἰκεῖον ἐκπληροῦν ὡς οὖσα αὐτοὲν μόνοις, τοῖς δὲ ὡς οὖσα τἀγαθὸν εἰ καὶ μὴ μόνοις, ἀλλὰ κάλλιστα. παρ' ἐκείνης γὰρ πᾶσιν ὑπάρχει τὸ οἰκεῖα ἔργα ἔχειν ἄλλα ἄλλοις, διότι καὶ ἐκείνης πρώτης ἐστὶν ἔργα τὰ ὄντα πάντα, καθάπερ τοῦ ἐσχάτου 〈οὐδέν〉 , τῶν δὲ μέσων τὰ μὲν ἔστιν, τὰ δὲ οὐκ ἔστιν. τούτου δὴ τεθέντος τοῦ κανόνος λαμβάνει πρότασιν τοιαύτην ἀναμφισβήτητον· πᾶν

τὸ οἰκεῖον ἔργον εὖ ἀπεργάζεται τῷ ἔχειν οἰκείαν ἀρετήν, μεθ' ἧς ἐκπληροῖ τὸ ἑαυτοῦ ἔργον καὶ κατ' ἐκείνην· ἑκάστου γὰρ ἡ ἀρετὴ τελειότης ἐστίν, καὶ ἐνεργοῦν αὐτὸ ποιεῖ τελείως ἐνεργεῖν. εἶθ' ἑτέραν πρότασιν περὶ ψυχῆς διπλῆν· τότε μὲν εἰ τῆς ψυχῆς ἔργον ἐστὶν τὸ βουλεύεσθαι καὶ ἐπιμελεῖσθαι καὶ ἄρχειν ἐρωτῶν (μόνῳ γὰρ τούτῳ ἄν φησιν πρᾶξαι), τότε δὲ εἰ τὸ ζῆν ἔργον ψυχῆς· καὶ γὰρ ζῶμεν μόνῳ τούτῳ, τῇ ψυχῇ. πεποίηται δὲ διπλῆν τὴν ἐρώτησιν, ἢ ἵνα λάβῃ τό τε τῆς λογικῆς ἴδιον ἔργον, οἷον τὸ βουλεύεσθαι καὶ τὰ τούτῳ σύστοιχα, καὶ τὸ μὴ ταύτης μόνον, ἀλλὰ καὶ πάσης ψυχῆς ἔργον (καὶ γὰρ τοῦ ἀλόγου τὸ ζῆν ἔργον, οὐκ ἐκεῖνα)· ἢ ἵνα λάβῃ τῆς ψυχῆς τό τε γνωστικὸν καὶ τὸ ὀρεκτικόν, ὃ ἐκάλεσεν ζῆν. Τούτων δ' οὖν ὑποκειμένων οὑτωσὶ πρόεισιν ὁ λόγος· τὸ βουλεύεσθαι καὶ ἐπιμελεῖσθαι καὶ ἄρχειν καὶ ἁπλῶς τὸ ζῆν μόνῃ ὑπάρχει ψυχῇ· τὸ δὲ μόνῃ ψυχῇ ὑπάρχον ἔργον ἐστὶ ψυχῆς διὰ τὸν κανόνα· τὸ ἄρα ζῆν ἁπλῶς καὶ τὸ βουλεύεσθαι καὶ ἐπιμελεῖσθαι καὶ ἄρχειν ἔργον ψυχῆς.

in R.1.26 δεύτερος ἕτερος· τὸ ζῆν ἔργον ἐστὶ ψυχῆς, ὡς δεδείχαμεν· πᾶν ἔργον μετὰ τῆς οἰκείας ἀρετῆς ἔχει τὸ εὖ· τὸ ἄρα ζῆν τῆς ψυχῆς μετὰ τῆς οἰκείας ἀρετῆς ἔχει τὸ εὖ. τρίτος· τὸ εὖ ζῆν τῆς ψυχῆς μετὰ τῆς ψυχικῆς ἀρετῆς παραγίνεται. τὸ δὲ μετὰ τῆς ψυχικῆς ἀρετῆς παραγινόμενον μετὰ τῆς δικαιοσύνης παραγίνεται· δέδεικται γὰρ ἀρετὴ ψυχῆς· τὸ ἄρα εὖ ζῆν τῇ ψυχῇ μετὰ δικαιοσύνης παραγίνεται. τέταρτος· ἡ δικαιοσύνη τοῦ εὖ ζῆν αἰτία· τὸ δὲ αἴτιον τοῦ εὖ ζῆν αἴτιόν ἐστιν τοῦ εὐδαιμονεῖν· ἡ ἄρα δικαιοσύνη τοῦ εὐδαιμονεῖν ἐστιν αἰτία. τὴν γὰρ εὐζωΐαν εὐδαιμονίαν εἶναι· καὶ γὰρ τοῦτο πάντες ὁμολογοῦσιν, ταὐτὸν εἶναι τὴν εὐζωΐαν καὶ τὴν εὐδαιμονίαν, οἵ τε ἐν ψυχῇ τὸ εὖ ζῆν εἶναι λέγοντες καὶ οἱ ἐν τοῖς ἐκτὸς καὶ οἱ ἐν ἀμφοτέροις· μὴ γὰρ εἶναι τὸ εὐδαιμονεῖν ἄνευ τοῦ εὖ ζῆν. Ὅτι μὲν οὖν ἡ δικαιοσύνη συντελεῖ πρὸς τὸν εὐδαίμονα βίον, δέδεικται διὰ τούτων. ὅτι δὲ ἀρετὴ ψυχῆς ἐστιν, ἔλαβεν ἀπὸ τοῦ δεῖξαι πρότερον [p. 349c ss.] φρονήσει καὶ σοφίᾳ σύστοιχον αὐτήν, τὴν δὲ ἀδικίαν τοῖς ἐναντίοις. ἅπαντες γὰρ τὴν φρόνησιν καὶ τὴν σοφίαν ἀρετὴν ὑπειλήφασιν· καὶ γὰρ γελοῖον μὴ οὕτω λέγειν, ἐπεὶ καὶ αὐτὸ τὸ μὴ λέγειν τὴν φρόνησιν ἀρετὴν ἐμφρόνως ἢ ἀφρόνως λέγουσιν. εἰ μὲν γὰρ ἀφρόνως, οὐκ ἀληθές ἐστιν ὃ λέγουσιν, ἀλλ' ἀρετή ἐστιν ἡ φρόνησις· εἰ δὲ ἐμφρόνως καὶ διὰ τοῦτο ὀρθῶς, ἀρετὴ πάλιν ἐστὶν ἡ φρόνησις. εἰ οὖν τὸ τῇ φρονήσει σύστοιχον ἀρετῇ σύστοιχόν ἐστιν, τὸ δὲ ἀρετῇ σύστοιχον ἀρετή ἐστιν, ἀλλ' οὐ κακία, δῆλον ὅτι τὴν δικαιοσύνην ἀρετὴν εἶναι ψυχῆς ἀναγκαῖον. εἰ δέ τις ἀποροίη, πῶς ἔργον εἶναι ψυχῆς εἶπεν τὸ βουλεύεσθαι καὶ ἄρχειν, ἀλλ' οὐ τὸ θεωρεῖν κρεῖττον ὄν, ῥᾴδιον ἀπαντᾶν, ὅτι τῆς πολιτικῆς εὐδαιμονίας ἴδια ταῦτ' ἐστιν, ὅσα τῆς ψυχῆς ἔργα ἔθετο εἶναι· ταύτην δὲ ἔδει σκοπεῖν καὶ τὰ ταύτης ἔργα, διότι καὶ δικαιοσύνην ζητοῦμεν τὴν πολιτικήν, εἰς ἣν καὶ ὁ Θρασύμαχος βλέπων ἔλεγεν αὐτὴν εἶναι τὸ συμφέρον τοῦ κρείττονος [p.

in R.1.27 338c]· ὥστε εἰκότως τὰ τῆς πολιτικῆς ἔργα μόνα παρέλαβεν ὡς μόνης ὄντα ψυχῆς. Περὶ τῶν ἐν τῷ δευτέρῳ τῆς Πολιτείας εἰρημένων θεολογικῶν τύπων. Ἐν τοῖς τύποις τοῖς θεολογικοῖς, οὓς ἐν τῷ δευτέρῳ τῆς Πολιτείας ἐξέφηνεν, πρῶτον ἐκτίθεται τὸν τῆς ἀγαθότητος ἀεὶ στοχαζόμενον τῶν θεῶν καὶ μόνων τούτων αὐτοὺς αἰτιώμενον, τῶν ἀγαθῶν λέγω πάντων, ἀλλ' οὐχὶ καὶ τῶν ἐναντίων· ἀξίωμα προλαβών [p. 379a], ὅτι πᾶς θεὸς ἀγαθός. ὅταν γὰρ λέγῃ τὸν θεὸν ἀγαθόν, δεῖ τοῦτο πρῶτον ἐννοεῖν, ὅτι πάντα λέγει θεόν· ἡ γὰρ τοῦ ἄρθρου πρόσθεσις ἢ τὸ καθ' ὑπεροχὴν δηλοῖ μόνον (ὡς ὅταν λέγωμεν· ὁ ποιητὴς εἶπεν, τῷ ἀκροτάτῳ τοῦτο ἐξαίρετον ἀπονέμοντες), ἢ τὸ ὅλον πλῆθος, ὡς ὅταν λέγωμεν· ὁ ἄνθρωπος λογικός, ἀντὶ τοῦ παντὸς τὸ ἄρθρον προσάπτοντες. οὐκοῦν ἐπείπερ οὕτω φησίν· ὁ θεὸς ἀγαθός, ἢ τὸν πρῶτον λέγοι ἂν ἢ πάντα θεόν. ἀλλ' ὅτι οὐ περὶ μόνου τοῦ πρώτου βούλεται τοὺς τύπους τούτους κρατεῖν, δηλοῖ μετὰ ταῦτα συμπεραινόμενος, ὅτι ἕκαστος τῶν θεῶν κάλλιστός ἐστιν καὶ ἄριστος εἰς δύναμιν [p. 381c]· δηλοῖ δὲ καὶ τοὺς ποιητὰς ἀξιῶν ἐν τούτοις γράφειν τοῖς τύποις, οἷς οὐκ ἔστι περὶ τοῦ πρώτου πάντως ὁ λόγος. εἰ οὖν ὀρθῶς εἴπομεν, ἀξίωμα τοῦτο πρῶτον

ληπτέον· πᾶς θεὸς ἀγαθός, καὶ τῶν λογίων τῷ ἀξιώματι μαρτυρούντων, ἐν οἷς αἰτιώμενα τὴν τῶν ἀνθρώπων ἀσέβειάν φησιν· οὐ δ ’ ὅτι πᾶς ἀγαθὸς θεὸς εἰδότες · ἆ ταλαεργοὶ νήψατ ε .

in R.1.28 τριῶν δὲ εἰρημένων ἐν Νόμοις [X p. 900d sqq.] τοὺς θεοὺς χαρακτηρίζειν, ἀγαθότητος δυνάμεως γνώσεως, τὸ μὲν πρῶτον διὰ τοῦ πρώτου τύπου λαμβάνει, τὰ δὲ δύο διὰ τοῦ δευτέρου, τὴν ἀλήθειαν εἶναι λέγων ἐν θεοῖς καὶ τὴν ἀμεταβλησίαν. τούτων γὰρ τὸ μὲν τῇ γνώσει, τὸ δὲ τῇ δυνάμει προσήκει· τῆς γοῦν γνώσεως ἡ ἀλήθεια τελειότης, τῆς δὲ δυνάμεως ἡ ἀπάθεια. τὸ μὲν οὖν ἀξίωμα τοῦτο πρῶτον· εἴληπται δὲ μετὰ διορισμοῦ τινος ἀναγκαίου. οὐ γὰρ ἁπλῶς εἶπεν· ὁ θεὸς ἀγαθός, ἀλλ’ ὅτι τῷ ὄντι ἀγαθός, εἰωθὼς διαστέλλειν τὸ ὄντως ἀπὸ τοῦ μὴ ὄντως τῷ ἐκεῖνο μὲν ἄμικτον φυλάττειν πρὸς τὸ ἐναντίον, τοῦτο δὲ λέγειν ἤδη τοῦ χείρονος ἀναπεπλῆσθαι. ζωὴν γὰρ ὄντως καλεῖ καὶ νοῦν ὄντως καὶ κάλλος, οἷς μηδὲν ὑπάρχει τῶν ἀντικειμένων, ἀζωΐας ἀνοίας αἴσχους· μὴ ὄντως δὲ ἕκαστον τούτων, οἷς συμμέμικταί τι τῶν χειρόνων. πᾶς οὖν θεὸς ὄντως ἀγαθός, οὐσιωμένος κατὰ τὸ ἀγαθὸν καὶ οὐκ ἔχων ἐπίκτητον οὐδ’ ὡς ἕξιν τὸ ἀγαθόν (τὸ γὰρ οὕτως ἀγαθὸν οὐ τῷ ὄντι ἀγαθὸν 〈ὂν〉 τοῦ ἀγαθοῦ μετέσχεν)· κατ’ αὐτὴν ἄρα τὴν ὕπαρξιν ὁ θεὸς ἀγαθός, καθ’ ὃ καὶ ἔστιν θεός, οὐκ ἄλλο τι ὤν, εἶτα ἀγαθός, ἀλλ’ αὐτοαγαθός, ὥσπερ τὸ πρῶτον αὐτὸ τἀγαθόν. Τούτου δ’ οὖν ληφθέντος ἑνὸς ἀξιώματος δύο σχίζονται συλλογισμοί, δι’ ὧν δείκνυται πᾶς θεὸς ἀγαθῶν μὲν αἴτιος, κακοῦ δὲ οὐδενός, καὶ οὗτος μὲν τοιῶσδε πρόεισιν· πᾶς θεὸς ἀγαθὸς τῷ ὄντι· οὐδὲν τῷ ὄντι ἀγαθὸν βλαβερόν· τὸ μὴ βλαβερὸν οὐ βλάπτει· τὸ μηδὲν κακὸν ποιοῦν οὐδενὸς αἴτιόν ἐστι τῶν κακῶν· πᾶς ἄρα θεὸς οὐδενός ἐστιν αἴτιος τῶν κακῶν. ἐν οἷς πρῶτον ἐκεῖνο δεῖ εἰδέναι, ὅτι τὸ οὐδὲν καὶ τὸ οὐδενὸς ὡς μέρος εἴληπται τῆς προτάσεως καὶ τοῦ κατηγορουμένου· οὐ γὰρ ἂν καὶ ὁ ὑποκείμενος εἶχεν προσδιορισμὸν τὸ πᾶς.

in R.1.29 ἔπειθ’ ὅτι ἀποφατικαὶ δοκοῦσιν εἶναι πᾶσαι πλὴν μιᾶς ἐκ μεταθέσεως οὖσαι καταφάσεις· δηλοῦσι δὲ αἱ ἐξῆς ἀεὶ τὰ ὑποκείμενα μετὰ τῆς ἀποφάσεως λαμβάνουσαι. τῶν δὲ λογικῶν θεωρημάτων ἐρρωμένων ὅρα καὶ τὸ πραγματειῶδες τῶν λημμάτων καὶ τὴν συνέχειαν. πᾶς θεὸς τῷ ὄντι ἀγαθός· τούτου ἀξίωμα· τὸ τῷ ὄντι ἀγαθὸν οὐκ ἔστιν βλαβερόν. εἰ γὰρ οὐσίωται ἐν τῷ ἀγαθῷ καὶ μή πῃ ἀγαθόν ἐστιν (τῷ ὄντι γὰρ εἴληπται ἀγαθόν), οὐκ ἔχει τὴν δύναμιν τὴν βλαπτικήν. ταύτην γὰρ ἔχον μετέχοι ἂν τοῦ ἐναντίου καὶ οὐκέτ’ ἂν εἴη τῷ ὄντι ἀγαθόν· οὐδὲ γὰρ ἄλλο τι τῶν τοῦ ἐναντίου μετεχόντων. οὐ γὰρ τῷ ὄντι καλὸν τὸ τοῦ αἰσχροῦ μέτοχον ἢ κατὰ δύναμιν ἢ κατ’ ἐνεργείαν, εἴπερ ὀρθῶς διώρισται τὸ ὄντως καὶ μὴ ὄντως. τὸ δ’ οὖν τῷ ὄντι ἀγαθόν, 〈διότι〉 οὐκ ἔχει δύναμιν τὴν τοῦ ἐναντίου τῷ ἀγαθῷ, οἷον τὴν βλαπτικήν, διὰ τοῦτο οὐκ ἔστι βλαβερόν. τὸ δὲ μὴ ὂν βλαβερόν, φησίν, οὐδαμῶς βλάπτει. τίνι οὖν ταῦτα διέστηκεν; ἢ τὸ μὲν τὴν δύναμιν ἀφεῖλεν τὸ πρότερον, τοῦτο δὲ ἐκ πολλοῦ τοῦ περιόντος τὴν ἐναντίαν ἐνέργειαν. βλαβερὸν γὰρ λέγεται, κἂν μὴ βλάπτῃ, δυνάμενον δὲ ᾗ βλάπτειν, βλάπτον δὲ τὸ ἤδη ἐνεργοῦν. ᾗ οὖν διαφέρει τὸ θερμαντικὸν καὶ τὸ θερμαῖνον, ταύτῃ διέστηκεν τὸ βλαβερὸν καὶ τὸ βλάπτον. ἐκεῖνο δὲ ἐν πᾶσι τοῖς τοιούτοις δῆλον, ὅτι τὸ μὲν ἐνεργοῦν καὶ δύναται, τὸ δὲ δυνάμενον οὐκ ἐξ ἀνάγκης ἐνεργεῖ· ὥστ’ εἴ τι βλάπτει, καὶ βλαβερόν, οὐ μέντοι ἀνάπαλιν. σὺν ἀντιθέσει οὖν ἀντιστρέψας ἔλαβεν, ὅτι τὸ μὴ βλαβερὸν οὐδαμῶς βλάπτει. τὸ δὲ μὴ βλάπτον, φησίν, οὐδὲν ποιεῖ κακόν· ταῦτα γὰρ ἀλλήλοις ἐξισάζει, καὶ εἴ τι βλάπτει, κακόν τι δίδωσι τῷ βλαπτομένῳ, καὶ εἴ τι κακὸν ποιεῖ, βλάπτει τὸ πάσχον. τοῦτο δὲ ὅτι ἀληθές, λάβοις ἂν ἐκ τοῦ ὅρου τῆς βλάβης· ὡρίσατο γὰρ ἐν τῷ πρώτῳ [p.

in R.1.30 335b] βλάβην εἶναι τὴν χεῖρον ποιοῦσαν εἰς τὴν οἰκείαν ὁτιοῦν ἀρετήν. εἰ δὲ χεῖρον ποιεῖ, δῆλον ὅτι κακύνει τὸ βλαπτόμενον. εἰ ἄρα τι μηδαμῶς βλάπτει, οὐδὲν ποιεῖ χεῖρον εἰς τὴν οἰκείαν ἀρετήν· εἰ μηδὲν ποιεῖ χεῖρον εἰς τὴν οἰκείαν ἀρετήν, οὐδὲν κακύνει τῶν πάντων· 〈εἰ μηδὲν κακύνει τῶν πάντων〉 , οὐδενὶ ποιεῖ τι κακόν. τὸ γὰρ κακόν τι ποιοῦν κακύνει τὸ δεχόμενον, καὶ ἔοικεν ἀντιστρέφειν μὲν ταῦτα, τὸ βλάπτειν καὶ τὸ κακὸν ποιεῖν· ἀλλὰ τὸ μὲν

ὡς πρὸς τὸ μετεχόμενον ἀναφέρεσθαι, τὸ δὲ ὡς πρὸς τὸ μετέχον. κακὸν γάρ ἐστι τὸ μετεχόμενον, βλάπτεται δὲ οὐ τοῦτο, ἀλλ' ἐκεῖνο ἐν ᾧ ἐστιν τοῦτο, ὥστε βλάπτει μὲν τὸ ὑποκείμενον, ποιεῖ δὲ κακὸν τὸ ἐν τῷ ὑποκειμένῳ· οἷον νόσον μέν τι ποιεῖ, βλάπτει δὲ οὐ τὴν νόσον, ἀλλὰ τὸ λαβὸν τὴν νόσον. ἐπεὶ οὖν οὐδὲν τῶν κακῶν χωριστόν, ἀλλ' ἐν ἄλλῳ πάντως, δῆλον ὅτι πᾶν τὸ ποιοῦν τι κακὸν ὑποκείμενόν τι πρότερον τῷ κακῷ βλάπτει. λέγων οὖν τὸ μὴ βλάπτον μηδὲν κακὸν ποιεῖν ἐκ τοῦ μηδὲν ὑποκείμενον διατιθέναι χεῖρον λαμβάνει μηδὲ διάθεσιν ἐν αὐτῷ ποιεῖν παρὰ φύσιν. καὶ οὕτως οἱ ὅροι διαφέροντές εἰσι καὶ τῆς προτάσεως ταύτης. Τὸ δὲ δὴ μηδὲν κακὸν ποιοῦν οὐδενός, φησίν, αἴτιόν ἐστι τῶν κακῶν. εἰ γὰρ αἴτιόν τινός ἐστιν, δύναμιν ἂν ἔχοι κακὸν ποιεῖν, ὥστε καὶ ἐνέργειαν ἕξει ποτὲ τοιαύτην· ἐὰν οὖν τὸ δυνάμενον ἤδη ὡς ἐνεργοῦν θῶμεν, ἔσται τὸ αἴτιον τῶν κακῶν τινος ποιοῦν τι κακόν, ἐξ ὧν συμβαίνει τὸ μηδαμῶς κακὸν ποιοῦν κακόν τι ποιοῦν. τοῦτο δὲ τὸ ἀδύνατον οὐκ ἠκολούθησεν τῇ ὑποθέσει τῇ λαβούσῃ τὸ δυνάμενον ἤδη τι ἐνεργοῦν (δυνατῷ γὰρ οὐκ ἀκολουθεῖ ἀδύνατον), ἀλλὰ τῷ τὸ μηδαμῶς κακὸν ποιοῦν αἴτιον εἰπεῖν κακοῦ τινος. ἀληθὲς ἄρα τὸ μηδενὸς αἴτιον εἶναι τοῦτο τῶν κακῶν.

in R.1.31 οὗτος μὲν οὖν ὁ συλλογισμὸς συνάγει πάντα θεὸν αἴτιον εἶναι κακοῦ μηδενός. —Ὁ δὲ ἑπόμενος τούτῳ διὰ τῶν ἀντικειμένων τοῖς εἰρημένοις, ὧν τὰς ἀποφάσεις ἐλάμβανεν, ἀγαθῶν αἴτιον μόνων εἶναι δεικνύει πάντα θεόν. καὶ ἔχουσι τάξιν ὀρθήν, πρότερον μὲν εἶναι τὸν ἀφαιροῦντα τὸ χεῖρον ἀπὸ τῶν θεῶν, δεύτερον δὲ τὸν προστιθέντα τὸ κρεῖττον. οὐδὲ γὰρ ἦν πλεονέκτημα τῶν θεῶν τὸ μὴ εἶναι κακῶν αἰτίους (οὐδὲ γὰρ ὁ τραγέλαφος), ἀλλὰ τὸ πάντων ἀγαθῶν αἰτίους ὑπάρχειν. ἔστιν οὖν ὁ δεύτερος λόγος τοιόσδε. πᾶς θεὸς τῷ ὄντι ἀγαθός· τὸ τῷ ὄντι ἀγαθὸν μόνως ὠφέλιμον. τοῦτο γὰρ ἀντίκειται τῷ βλαβερῷ, δύναμιν σημαῖνον ὠφελητικήν. ἄλλο γὰρ τὸ ὠφέλιμον καὶ ἄλλο τὸ ὠφελοῦν· ὠφέλιμον γὰρ τὸ σιτίον καὶ μὴ ἐνεργοῦν. διὸ καὶ ἐξῆς ἐπάγειν δυνατόν· τὸ δὲ μόνως ὠφέλιμον μόνως ὠφελεῖ· οὐ γὰρ δὴ βλάπτει μόνως ὠφέλιμον ὄν, βλαβερὸν δὲ οὐδ' ὅλως, οὐδ' αὖ μηδέποτε ὠφελεῖν αὐτὸ δυνατόν· τὸ γὰρ δυνατὸν ἐνδέχεται γενέσθαι. ἐὰν οὖν ληφθῇ γεγονός, ἔσται τὸ μηδέποτε ὠφελοῦν ποτὲ ὠφελοῦν, ὅπερ ἀδύνατον. τοῦτο δὲ οὐ διὰ τὴν ὑπόθεσιν, ἀλλ' ὅτι μηδέποτε ὠφελοῦν ἐθέμεθα τὸ δυνατὸν ὠφελεῖν. ἀλλὰ μὴν τὸ μόνως ὠφελοῦν μόνως ἀγαθὰ ποιεῖ· βλάπτοι γὰρ ἂν καὶ τῶν κακῶν τι ποιοῦν, κεῖται δὲ μόνως ὠφελεῖν. καὶ πάλιν ἱστέον τὴν τῶν δύο τούτων ὅρων διαφοράν, ὅτι τὸ μὲν ὠφελεῖν πρὸς τὸ ὑποκείμενον ἀναφέρει τὴν ἐνέργειαν, τὸ δὲ ἀγαθοποιεῖν πρὸς τὰ ἐν ὑποκειμένῳ. ποιεῖ γὰρ ὑγείαν εἰ τύχοι καὶ ἀρετήν, ἀλλ' οὐχὶ τὰ ποιούμενα ὠφελεῖ, ἀλλὰ τὰ μεταλαμβάνοντα τούτων, σῶμα καὶ ψυχήν· ὥστε οὐκ εἰσὶν οἱ ὅροι οἱ αὐτοί, πρὸς ἄλλο καὶ ἄλλο τὴν ἀναφορὰν ἔχοντες, κἂν ἀντιστρέφωσιν, ὃ δή τινες ἐνεκάλεσαν τούτοις τοῖς συλλογισμοῖς. ὑπόλοιπον δὲ λῆμμα καὶ ἐν τούτῳ τῷ συλλογισμῷ, τὸ μόνως ἀγαθὰ ποιοῦν μόνων εἶναι ἀγαθῶν αἴτιον· ἀφ' ὧν συνάγεται πάντα θεὸν μόνων εἶναι ἀγαθῶν αἴτιον.

in R.1.32 καὶ ἡμεῖς μὲν καὶ ἐπὶ τοῦ δευτέρου συλλογισμοῦ πάσαις ἐπεξήλθομεν ταῖς προτάσεσιν· ὁ δὲ Πλάτων τὰς ἄκρας μόνας ἔθηκεν εἰπών· πᾶν τῷ ὄντι ἀγαθὸν μόνως ὠφέλιμον, καὶ πᾶν τὸ μόνως ὠφέλιμον μόνης εὐπραγίας αἴτιον, ἀντὶ παντὸς ἀγαθοῦ τὴν εὐπραγίαν λαβών. διὸ καὶ ἐπάξει τοῖς ἀνθρώποις μόνων ἀγαθῶν εἶναι τὸν θεὸν αἴτιον· τὴν γὰρ εὐπραγίαν ἐν ἀνθρώποις εἶναι, διότι καὶ τὰς πράξεις· τοῦτο δέ, διότι καὶ προαίρεσιν. ἐν δὲ ἀλόγοις ἢ ἀψύχοις ἔστι μὲν ἀγαθά, πράξεις δὲ οὐκ εἰσίν· διὸ οὐδὲ τὸ ἀγαθὸν τὸ ἐν τούτοις εὐπραγίαν ὀνομάζουσιν. Τίς μὲν οὖν ἀρχὴ κοινὴ τῶν δύο συλλογισμῶν, εἴπομεν, τί δὲ ἀπ' ἀμφοτέρων πόρισμα συνάγειν δυνατόν, νῦν λέγωμεν. εἰ γὰρ μόνων ἀγαθῶν αἴτιος ὁ θεὸς καὶ πᾶς θεὸς κακοῦ οὐδενός, συναποδέδεικται καὶ ὅτι κακῶν ἰδέα οὐκ ἔστιν· καὶ γὰρ ἡ τῶν κακῶν ἰδέα θεὸς ἔσται, ἐπείπερ πᾶσα ἰδέα θεός, ὡς ὁ Παρμενίδης εἴρηκεν [p. 134c]. εἰ οὖν καὶ ἡ τῶν κακῶν ἰδέα θεός, πᾶς δὲ θεὸς ἀγαθῶν μόνων αἴτιος, κακοῦ δὲ οὐδενός, ἔσται καὶ ἡ τῶν κακῶν ἰδέα μόνων ἀγαθῶν

αἰτία, κακοῦ δὲ οὐδενός. τὸ δὲ μηδενὸς κακοῦ αἴτιον οὐδὲ παράδειγμά ἐστι κακῶν· καὶ γὰρ τὸ παράδειγμα ἕν τι τῶν αἰτίων. τὸ δὲ μὴ ὂν παράδειγμα τῶν κακῶν οὐκ ἔστιν ἰδέα κακῶν· πᾶσα γὰρ ἰδέα παράδειγμα. συμβαίνει ἄρα τὴν ἰδέαν τῶν κακῶν μὴ εἶναι αὐτὸ τοῦτο ἰδέαν κακῶν. οὔσης δὲ ἰδέας κακῶν τί τὸ ποιοῦν πρὸς αὐτήν; ἴσως γὰρ εἴποις ἂν τὴν ἰδέαν μὴ ποιεῖν, ἀλλὰ ἄλλο τι πρὸς αὐτὴν βλέπον. εἰ μὲν οὖν ὁ ἔχων αὐτὴν θεός, ἀδύνατον, εἴπερ τῶν κακῶν οὐδενὸς αἴτιος ὁ θεός· εἰ δὲ ὁ ποιῶν τι τῶν ἐνταῦθα κακῶν, πᾶς δὲ ὁ τὸ παράδειγμα εἰδὼς οἶδε καὶ τὴν εἰκόνα, γιγνώσκων ἄρα τὸ κακὸν ποιήσει ὁ ποιῶν, ὅπερ ἀδύνατον· ἀγνοίᾳ γὰρ δρῶσι τὰ κακὰ πάντες, ὡς ἐν Μένωνι δέδεικται.

in R.1.33 ταῦτα περὶ τῶν δύο συλλογισμῶν τῶν ἐν τῷ πρώτῳ τύπῳ περιεχομένων, καθ' οὓς δεῖ μυθολογεῖν περὶ θεῶν ὑμνοῦντας αὐτῶν ἀεὶ τὴν ἀγαθότητα καὶ φυλάττοντας ἀναιτίους κακῶν. Ἐπὶ δὲ τὸν δεύτερον μεταβάντες διπλοῦν αὐτὸν εὑρήσομεν. κοινὸν μὲν γὰρ αὐτῷ δόγμα δεῖξαι πάντῃ τὸ θεῖον ἀπαθές, καὶ μήτε μεταβάλλον μήτε ἐξαπατῶν ὡς μεταβάλλον· καὶ γὰρ τοῦτο πάθος ἐπ' αὐτό τι φέρει· τὸ γὰρ ἑκούσιον τῆς ἀπάτης οὐκ ἀπαθές. διῃρημένου δὲ τοῦ λόγου παντὸς εἰς τὸ μήτε μεταβάλλειν αὐτὸ κατ' ἀλήθειαν μήτε ἀμετάβλητον ὂν σοφίζεσθαι καὶ ἐξαπατᾶν ὡς μεταβάλλον τοὺς ὁρῶντας, εἴποις ἂν διπλοῦν εἶναι τὸν δεύτερον τύπον· καὶ τὸ μὲν αὐτοῦ δεικνύναι ὅτι ἀμετάβλητον τὸ θεῖον, τὸ δὲ ὅτι μόνως ἀληθευτικόν, ἀπάτης πάσης καὶ ψεύδους καθαρεῦον. Πῶς οὖν δείκνυται τὸ πρότερον τοῖν δυεῖν; λαμβάνει δὴ πάλιν ἀξίωμα πρὸ τοῦ λόγου τοιόνδε· πᾶν τὸ μεταβάλλον ἢ ὑφ' ἑαυτοῦ μεταβάλλει, ὡς ψυχὴ κακυνομένη καὶ ἀρετὴν ἴσχουσα προαιρετικῶς, ἢ ὑπ' ἄλλου, ὡς σῶμα θερμαινόμενον ἢ ψυχόμενον. τούτου δὲ ληφθέντος ἐπιφέρει, ὅτι καὶ τὸ θεῖον, εἰ μή ἐστιν ἀμετάβλητον, δεῖ κατὰ θάτερον μεταβάλλειν τούτων. κείσθω πρότερον ὑπ' ἄλλου τινὰ μεταβάλλειν θεόν. οὐκοῦν τὸ μεταβαλλόμενον πᾶν τοῦ μεταβάλλοντος ἀσθενέστερον, εἴπερ τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει· τὸ δὲ θεῖον πᾶν δυνατώτατον, καὶ ἀσθένεια πάθος οὖσα ὑλικὸν πόρρω τῶν θεῶν. οὐκ ἄρα ὑπ' ἄλλου μεταβάλλεταί τις τῶν θεῶν· οὐδὲν γὰρ ἔχει δυνατώτερον· τὸ δὲ ὑπ' ἄλλου μεταβαλλόμενον ἔχει τι δυνατώτερον. δόξειεν δ' ἂν οὗτος ὁ λόγος ἕνα μόνον ποιεῖν θεόν· πολλῶν γὰρ ὄντων ἔστι καὶ τὸ δυνατώτερον.

in R.1.34 ἢ τὸ μὲν δυνατώτερον ἔστιν, οὐκ ἀσθενεστέρου δὲ δυνατώτερον, ἀλλὰ τὴν οἰκείαν ἔχοντος ἀσάλευτον δύναμιν. οὐ γὰρ ἀσθενὴς ὁ ἡλιακὸς νοῦς, ὅτι μὴ ταύτην ἔχει τὴν δύναμιν ἣν ὁ δημιουργός, ἀλλ' ἐν τῷ οἰκείῳ εἴδει τὴν ἀκροτάτην ἔχει δύναμιν. τὸ οὖν ἀσθενὲς δι' ἀπόπτωσίν ἐστι τῆς οἰκείας δυνάμεως ἀσθενές, οὐ δι' ὕφεσιν τὴν πρὸς τὸ κρεῖττον. ἅπαντα γὰρ οὕτως ἂν εἴη ἀσθενῆ πλὴν ἑνός, καὶ εἰ ἡ ἀσθένεια κακόν, πάντα κακοῦ μέτοχα πλὴν ἑνός. οὐδενὶ δὲ ἡ ὕφεσις κακόν· οὐσίωται γὰρ κατὰ ταύτην. εἰ οὖν ἡ ὡς ὕφεσις ἀσθένεια οὐσιώδης, πᾶν δὲ κακὸν ᾧ ἐστι κακὸν οὐκ οὐσιῶδες (τὸ γὰρ οὐσιῶδες κατὰ φύσιν, τὸ δὲ κακὸν παρὰ φύσιν), οὐκ ἂν εἴη κακὸν ἡ ὕφεσις οὐδὲ τὸ οὕτως ἀσθενές· ἀλλ' ὅταν τι μὴ ἔχῃ τὴν ἐπιβάλλουσαν αὐτῷ δύναμιν, τότε ἡ ἀδυναμία κακόν. τοιαύτην δὲ ἀνάγκη ἔχειν τὸ ὑπ' ἄλλου μεταβάλλον, τῆς οἰκείας ἀποπῖπτον δυνάμεως. εἰ οὖν πᾶν τὸ θεῖον ἐν τῇ ἑαυτοῦ τάξει δυνατώτατον καὶ ἄριστον, καὶ εἰ ἄλλο ἄλλου δυνατώτερον, οὐδεμίαν ὑπομένει μεταβολὴν τὸ καταδεέστερον ὑπὸ τοῦ κρείττονος. καὶ γὰρ ἐκεῖνο ἄριστον μειζόνως, οὐδὲν δὲ τῶν ἀρίστων μεταβλητικόν ἐστι τῶν ὁμοίων, ἀλλὰ μειζόνως τοῦ ἐν αὐτοῖς ἀρίστου φυλακτικόν. πᾶν γὰρ τὸ μεταβάλλον ἑαυτῷ τὸ μεταβαλλόμενον ἐξομοιοῖ πάντως. εἰ οὖν τὸ κρεῖττον μεταβάλλοι τι τῶν χειρόνων, ἑαυτῷ τὸ μεταβαλλόμενον ἐξομοιώσει· τὸ δὲ τῷ κρείττονι ὁμοιούμενον δυνατώτερον γίνεται· τὸ δὲ δυνατώτερον γινόμενον ἀμεταβλητότερον γίνεται· εἰ ἄρα τὸ κρεῖττον ἐκεῖ μεταβάλλοι τι τῶν χειρόνων, τὸ μεταβαλλόμενον ἀμεταβλητότερον γίνοιτ' ἄν, ὅπερ ἀδύνατον.

in R.1.35 Ὅτι μὲν οὖν πᾶν τὸ θεῖον ἀμετάβλητον ὑφ' ἑτέρου, δέδεικται· λείπεται δὲ εἰ μεταβάλλει τοῦτο ὑφ' ἑαυτοῦ πάσχειν. ἀλλὰ πᾶν τὸ ὑφ' ἑαυτοῦ μεταβαλλόμενον ἢ ἐπὶ κρεῖττον ἢ ἐπὶ χεῖρον ἴσχει

τὴν μεταβολήν. ἀλλ᾽ ἐπὶ μὲν τὸ χεῖρον ἑκουσίως οὐδὲν ἂν ἑαυτό ποτε μεταβάλλοι· πᾶν γὰρ τὸ πάσχον τοῦτο δι᾽ ἄγνοιαν αὐτὸ φαίνεται πάσχον τοῦ ἀγαθοῦ. ἐπὶ δὲ τὸ κρεῖττον εἴ τι μεταβάλλοι ἑαυτό, πρὸ τῆς μεταβολῆς ἐνδεὲς ὂν τοῦ οἰκείου ἀγαθοῦ τὴν τοιαύτην αἱρεῖται μεταβολήν. ἐξ ἀμφοῖν δὲ ἢ ἀκούσιον ἐνέργειαν ἀνοίσομεν ἐπὶ τὸ θεῖον ἢ ἔνδειαν ἀγαθῶν. ἀλλὰ μὴν καὶ γνῶσίς ἐστιν τοῖς θεοῖς ἡ ἀρίστη καὶ ζωὴ αὐτάρκης· οὔτε ἄρα ἐνδεεῖς εἰσιν ἀγαθοῦ τινος οὔτε ἀκούσιόν τι πάσχουσιν. εἰ δὲ ταῦτα, οὐδὲ ὑφ᾽ ἑαυτῶν μεταβάλλουσιν, ὥσπερ οὐδ᾽ ὑπ᾽ ἄλλων. καὶ λαμβάνει πόρισμα πάλιν ἐκ τούτων, ὅτι οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν ὁμοούσιοί εἰσιν οἱ θεοί. τὸ μὲν γὰρ ὑπ᾽ ἄλλων μεταβάλλειν σώμασι πᾶσι προσήκει, τὸ δὲ ὑφ᾽ ἑαυτῶν ταῖς ψυχαῖς ἡμῶν. εἰ οὖν ἐν Νόμοις [X p. 894c ss.] λέγοιντο τὴν αὐτοκίνητον κίνησιν μεταβολῶν οὖσαν τὴν πρωτίστην αἱ θεῖαι ψυχαὶ κινεῖσθαι, τὸν τρόπον τῆς μεταβολῆς ἐκεῖνον ἐροῦμεν μήτ᾽ ἐπὶ τὸ κρεῖττον εἶναι μήτε ἐπὶ τὸ χεῖρον, ἀλλὰ μεταβατικὴν ζωὴν ἀπ᾽ ἄλλης νοήσεως ἐπ᾽ ἄλλην, τῆς αὐτῆς τελειότητος μενούσης. διὸ καὶ ἀμετάβλητόν τινες ἐκείνην μεταβολὴν καλοῦσιν, ὡς οὐκ ἐξισταμένην τοῦ οἰκείου ἀγαθοῦ, ἀλλ᾽ ἀεὶ ἐν τέλει οὖσαν, ὅ φησιν Ἀριστοτέλης περὶ τῆς οὐρανίας φορᾶς. ὁ δὲ παρὼν λόγος ταύτας ἔλαβεν τὰς ἀλλοιωτικὰς τοῦ κινουμένου μεταβολάς, ἀλλ᾽ οὐ τὰς μεταβατικάς, διὰ τὴν τῶν ἑπομένων ἐξέτασιν.

in R.1.36 ἔπεται δὲ ὡς μαθησόμεθα διελέγξαι τοὺς λέγοντας μεταβάλλειν τοὺς θεοὺς εἰς ἀνθρώπους ἢ καὶ εἰς ἄλλο τι ζῷον ἐν ταῖς εἰς ἀνθρώπους κοινωνίαις καὶ ἐν ταῖς ἐπιφοιτήσεσιν. ἀλλοιοῦσθαι μὲν οὖν ἀδύνατον θεούς, μεταβατικῶς δὲ ζῆν δυνατόν, ἀναλλοιώτου τῆς μεταβάσεως οὔσης· ὥσπερ καὶ τὰ ἐμφανῆ ταῦτα τὰς τοπικὰς μεταβάσεις ἄνευ ἀλλοιώσεως ὑπομένειν φαμέν. αἱ δὲ ἅμα ἀλλοιώσεσι μεταβάσεις τῶν μερικῶν εἰσι ψυχῶν κατιουσῶν ἢ ἀνιουσῶν, ὡς καὶ σωμάτων τῶν ἐνύλων. — Ταῦτα μὲν οὖν δείκνυσιν ἀμετάβλητον πάντα θεόν· λείπεται δὲ ἐκεῖνο κατιδεῖν, εἰ μὴ μεταβάλλον αὐτὸ μήθ᾽ ὑφ᾽ ἑαυτοῦ μήθ᾽ ὑπ᾽ ἄλλου κατὰ τὸν τῶν γοήτων τρόπον ἡμᾶς ἐξαπατᾷ, φανταζόμενον οἷον οὐκ ἔστιν. πάλιν οὖν ἀξίωμα προειλήφθω τούτων, ὅτι πᾶν τὸ ἐξαπατῶν ἢ ἐν ἑαυτῷ ἔχον τὸ ψεῦδος καὶ ἠπατημένον ἀπατᾷ ἕτερον, ἢ αὐτὸ μὲν οἶδε τἀληθές, ἐξαπατᾷ δὲ διὰ τῆς εἰς ἄλλο ἐνεργείας, οὐ δυνάμενον ἄλλως ἢ ἐχθρῶν κρατῆσαι ἢ φίλους ἀνοήτους ὄντας καὶ μὴ δυναμένους ὠφεληθῆναι διὰ τοῦ ἀληθοῦς εὖ ποιῆσαι. πότερον οὖν ἔνδον ἔχουσι τὸ ψεῦδος οἱ θεοὶ καὶ οὕτως ἀπατῶσιν; ἀλλὰ ἀδύνατον· πᾶν γὰρ τὸ τοιοῦτον ψεῦδος καὶ ἀνθρώποις ἐχθρὸν καὶ θεοῖς· οὐδεὶς γὰρ ἂν οὕτως ἀπάτην ἔχειν ἐν ἑαυτῷ βούλοιτο· παντὶ γὰρ τὸ ἠπατῆσθαι ἀκούσιον. ἀλλ᾽ ἆρα οὐκ ἠπατημένοι ἄλλους ἀπατῶσιν; ἀλλ᾽ οὐδὲ τοῦτο δυνατόν· οὔτε γὰρ ἐχθρόν τι τοῖς θεοῖς ἐστιν οὔτε φίλον, ἀνοήτως διακείμενον. οὐδαμῶς ἄρα τοῖς θεοῖς ἀπατᾶν προσῆκεν, οὔθ᾽ ὡς ἠπατημένοις οὔθ᾽ ὡς φίλοις τῶν ἀπατωμένων οὔτε ὡς ἐχθροῖς. Οἱ μὲν οὖν τύποι τοιοῦτοι, καθ᾽ οὓς ἐθέλει τοὺς περὶ θεῶν διατιθέναι μύθους ταῦτα τρία σώζοντας· ἀγαθὸν τὸ θεῖον καὶ μόνων ἀγαθῶν αἴτιον· ἀμετάβλητον τὸ θεῖον, οὔθ᾽ ὑπ᾽ ἄλλου μεταβαλλόμενον οὔθ᾽ ὑφ᾽ ἑαυτοῦ· ἀληθευτικὸν τὸ θεῖον, οὔτε διὰ τὸ ἀπατᾶσθαι ἀπατῶν οὔτε δι᾽ αὐτὸ τὸ ἀπατᾶν.

in R.1.37 Τούτων δὲ ὑπὸ τοῦ Πλάτωνος δεδειγμένων πρὸς μὲν τὸ πρῶτον ἀπορεῖται, πόθεν τὰ κακά· καὶ γὰρ εἴτε θεόθεν, ψευδὴς λόγος ὁ δεικνὺς μόνων ἀγαθῶν τὸ θεῖον αἴτιον· εἴτε ἀλλαχόθεν, εἰ μὲν ἐκεῖνο θεόθεν, πολλῷ μειζόνως τὸ θεῖον αἴτιον τῶν κακῶν· εἰ δὲ μὴ θεόθεν, αἱ ἀρχαὶ πλείους μιᾶς, ἢ μὲν ἀγαθῶν ἢ δὲ κακῶν. πρὸς δὲ τὸ δεύτερον, πῶς αἱ αὐτοφάνειαι γίγνονται τῶν θεῶν, φαινομένων τότε μὲν ἀτυπώτων φώτων, τότε δὲ τετυπωμένων· μὴ γὰρ προσέμενοι ταῦτα τὴν ἱερατικὴν ὅλην ἀνατρέπομεν καὶ τὰ ἔργα τῶν θεουργῶν, καὶ ἄνευ τούτων τὰς αὐτομάτους ἐπιφανείας τῶν θεῶν ἐν σχήμασιν ἄλλοτε ἄλλοις φανταζομένων. ἄπορον οὖν πῶς μὴ μεταβάλλον τι τῶν θείων ἐν διαφόροις αὐτοπτεῖται μορφαῖς. πρὸς δὲ τὸ τρίτον, πῶς χρησμοὶ δίδονται ψευδεῖς τῶν χρώντων μὴ ψευδομένων, ὧν τὰ χρηστήρια μεστὰ πάντα· καὶ

πῶς οὐχὶ τοῦ ἀγαθοῦ πρὸ τῆς ἀληθείας ὄντος διὰ τὸ ἀγαθὸν οἱ θεοὶ καὶ ψεύσονταί ποτε καὶ ἀπατήσουσι τοὺς ἀναξίους τῆς ἀληθείας αὐτόθεν τυχεῖν. ταῦτα γὰρ ἄν τις διαπορήσειεν πρὸς τοὺς εἰρημένους λόγους, καίτοι δι' ἀναγκαίων ἀποδεδειγμένους. Εἴρηται μὲν οὖν διὰ πλειόνων ἐν ἄλλοις περὶ τούτων, λεγέσθω δὲ καὶ νῦν συντόμως εἰ δοκεῖ, πρὸς μὲν τὴν πρώτην ἀπορίαν, ὅτι τὸ κακὸν οὔτε θεόθεν οὔτ' ἀπ' ἄλλης αἰτίας τινὸς προηγουμένης εἰς τὰ ὄντα τὴν πάροδον 〈δέχεται〉 . οὐδὲ γὰρ ἢ κακῶν ἰδέαν εἰσάγειν ἢ τὴν ὕλην αἰτίαν λέγειν αὐτῶν δυνατόν· πάντα γὰρ τὰ εἴδη θεῖα τέ ἐστι καὶ νοερὰ καὶ οὐσιῶν ἢ τῶν ἐν ταῖς οὐσίαις τελειοτήτων προέστηκεν· καὶ ἡ ὕλη παρῆκται θεόθεν ὡς ἀναγκαία τῷ κόσμῳ, καὶ οὔτε κακοποιὸς ἡ συντελοῦσα πρὸς τὴν γένεσιν τοῦ παντός, οὔτε ἀγαθὸν ἡ ἐσχάτη τῶν ὅλων, ἀλλ' ἔχει τὴν τάξιν ἐν τοῖς ἀναγκαίοις· πᾶν γὰρ τὸ ἕνεκά του τοιοῦτον.

in R.1.38 οὐδεμίαν οὖν οὔτε εἰδητικὴν οὔθ' ὑλικὴν τῶν κακῶν αἰτίαν ὑποθετέον, οὔθ' ὅλως μίαν ἀρχήν, ἀλλ' ὡς αὐτὸς εἶπεν, μερικὰ καὶ διεσπαρμένα τὴν παρυπόστασιν αὐτοῖς προξενεῖν λεκτέον· μερικὰ μέν, ὅτι μηδὲν τῶν ὅλων, οἷον νοῦν ἢ ψυχὴν ἢ σῶμα, πολλὰ δέ, ὅτι μὴ ἕν· διὸ καὶ αὐτός φησιν ἄλλ' ἄττα αὐτῶν χρῆναι ζητεῖν τὰ αἴτια [p. 379c]. πάντως γὰρ εἰ σῶμά ἐστιν κακοῦ μετέχον, ἔστιν ἐν τούτῳ διάφορα ἄττα, ὧν ἀσυμμέτρως ἐχόντων πρὸς ἄλληλα παρυφίσταται νόσος, ἑκάστου κρατεῖν ἐθέλοντος. καὶ εἰ ψυχή, διάφορα ζωῆς εἴδη καὶ ἐν ταύτῃ καὶ ἐναντία πώς ἐστιν, ὧν μαχομένων ἐκ τῶν ἑτέρων τοῖς ἑτέροις ἐνδύεταί τι κακόν, ἑκατέρου τὸ ἑαυτοῦ πράττοντος. ἔδει δὲ καὶ σῶμα εἶναι τοιοῦτον ἐκ μαχομένων, ἵν' ᾖ τι καὶ φθαρτὸν καὶ ὁ κόσμος τέλειος ἐκ πάντων ὑποστάς, καὶ ψυχῶν ἐνταῦθα σύμμιξιν, ἵν' ᾖ μὴ λογικῶν ἄμοιρα τὰ τῇδε ζῴων, μηδ' αὖ λογικαὶ ζωαὶ σώμασιν ἐμφύωνται χωρὶς μεσότητος καὶ ποιῶσι καὶ πάσχωσι τὰ τῶν ἀλόγων, ὀρέγωνται αἰσθάνωνται φαντάζωνται· τούτων γὰρ χρεία τοῖς θνητοῖς, εἰ μέλλοι καὶ βραχύν τινα σώζεσθαι χρόνον. παρυφίσταται οὖν τὰ κακὰ ταῖς προηγουμέναις τῶν ὄντων ἐνεργείαις καὶ οὐδὲ δι' ἄλλο τι ἢ τὸ ἀγαθόν, καὶ παρυποστᾶσιν αὐτοῖς εἰς δέον χρῆται τὸ πᾶν καὶ ἀγαθύνεται καὶ ταῦτα τῇ τῶν χρωμένων δυνάμει. διὸ καὶ οὐδὲν ἄκρατον κακόν, ἀλλ' ἴχνους ἀγαθοῦ μετείληχεν. καὶ τὸ κακὸν οὖν θεόθεν, ὡς ἀγαθόν πῃ, καὶ ταῦτα ὑπ' ἄλλων μερικῶν αἰτίων καὶ πλειόνων ἐπεισοδιῶδες γεγονὸς αὐτοῖς τοῖς πολλοῖς ἐκείνοις. πρὸς μὲν οὖν τὴν περὶ τῶν κακῶν ζήτησιν τοσαῦτά φησιν ὁ λόγος, ἀναιτίους αὐτῶν ἀποφαίνων τοὺς θεούς.

in R.1.39 Πρὸς δὲ τὴν δευτέραν τὴν περὶ τῶν αὐτοφανειῶν λεκτέον, ὅτι τῶν θεῶν μενόντων ἀμεταβλήτων καὶ μηδὲν προσλαμβανόντων ἢ ἀποβαλλόντων αὐτῶν φάσματα θεῖα προβάλλεται, τὴν γένεσιν ἐν τῷ περὶ ἡμᾶς δεχόμενα τόπῳ. τῶν γὰρ ὁρώντων σώμασι χρωμένων καὶ τῶν θεῶν αὐτῶν ἀσωμάτων ὄντων τὰ ἀπ' αὐτῶν προτεινόμενα θεάματα τοῖς ἐπαξίοις ἔχει μέν τι καὶ ἀπὸ τῶν προτεινόντων, ἔχει δέ τι καὶ τοῖς ὁρῶσιν συγγενές· διὸ καὶ ὁρᾶται καὶ οὐ πᾶσιν ὁρᾶται. καὶ γὰρ τοῖς ὁρῶσιν αὐτοῖς ὁρᾶται τοῖς αὐγοειδέσι τῶν ψυχῶν περιβλήμασιν· καλυπτομένων γοῦν τῶν ὀμμάτων ὁρᾶται πολλάκις. ὡς μὲν οὖν διαστατὰ καὶ ἐν ἄλλῳ τοιούτῳ τῷ ἀέρι φανταζόμενα συγγενῆ τοῖς ὁρῶσιν ὑφίσταται· ὡς δὲ θεῖον προβεβλημένα φῶς καὶ ὡς δραστήρια καὶ ὡς ἐνεικονιζόμενα τὰς τῶν θεῶν δυνάμεις διὰ τῶν ἐναργῶν συμβόλων αὐτῶν ἐξήρτηται τῶν προτεινόντων αὐτὰ κρειττόνων· διὸ καὶ τὰ ἄρρητα συνθήματα ἐκείνων ἀποτυποῦται, τὰ μὲν ἄλλην τὰ δὲ ἄλλην μορφὴν προβεβλημένα. δηλοῖ δὲ καὶ τὰ λόγια πρὸς τὸν θεουργὸν λέγοντα σαφῶς, ὅτι ἀσώματα μέν ἐστι τὰ θεῖα πάντα, σώματα δὲ αὐτοῖς ὑμῶν ἕνεκεν ἐνδέδετα ι , μὴ δυναμένων μετασχεῖν ἀσωμάτως τῶν ἀσωμάτων, διὰ τὴν σωματικὴν εἰς ἣν ἐνεκεντρίσθητε φύσι ν . ταῦτα μὲν οὖν καὶ φαίνεται καὶ ἀφανῆ γίνεται κατὰ τὴν βούλησιν τῶν θεῶν· αὐτοὶ δὲ ἀφανεῖς εἰσιν, μένοντες οἷοίπέρ εἰσιν μήτε τι προσλαμβάνοντες ἐκ τῶν φασμάτων τούτων μήτε ἀλλοιούμενοι· καθάπερ οὐδὲ τὰ εἴδη τὰ νοερὰ ἢ σωματοειδῆ γίνεται ἢ σύνθετα ἢ μεμορφωμένα τῶν ὑφισταμένων κατ' αὐτὰ τοιούτων

ὑφισταμένων, ἐκ μὴ τοιούτων ἐκείνων ὄντων. πᾶς οὖν θεὸς ἀμόρφωτος, κἂν αὐτοπτῆται μορφωτικῶς· οὐ γὰρ ἐν αὐτῷ ἡ μορφή, ἀλλ᾽ ἀπ᾽ αὐτοῦ, μὴ δυναμένου τοῦ αὐτοπτοῦντος ἀμορφώτως ἰδεῖν τὸν ἀμόρφωτον, ἀλλ᾽ ὁρῶντος κατὰ τὴν αὐτοῦ φύσιν μορφωτικῶς.

in R.1.40 τοσαῦτα καὶ πρὸς τὴν δευτέραν εἰρήσθω ζήτησιν. Πρὸς δὲ τὴν τρίτην ἀπαντητέον, ὡς ἄρα τὸ ψεῦδος οὐκ ἐν τοῖς χρῶσίν ἐστιν, ἀλλ᾽ ἐν τοῖς ὑποδεχομένοις τὰς χρησμῳδίας, ἐν ἅπασι τοῖς μαντείοις τοῦ μὲν χρῶντος οὔτε ἀπατῶντος οὔτε ἀπατωμένου, τῶν δὲ χρωμένων διὰ τὴν ἑαυτῶν ἀνεπιτηδειότητα καὶ ἀσθένειαν ἀλλοτρίως δεχομένων τὴν χρησμῳδίαν, ⟦ καὶ ⟧ οὐδὲ τούτου γινομένου παρὰ τὴν βούλησιν τῶν χρώντων. ἀξίους γὰρ ὄντας τοὺς χρωμένους ἐθέλουσιν ὧν εἰσιν ἄξιοι μόνων τυγχάνειν· ἔστι δὲ οἷς τὸ μὲν ἀληθὲς παρ᾽ αὐτοῖς καθαρῶς ἱδρυμένον οὐ προσήκει γνῶναι, διὰ δὲ τοῦ ψευδοῦς εἰς αὐτοὺς ἥκοντος καὶ ἐν αὐτοῖς ὑποστάντος παθεῖν ὅσα προσήκει. οὔτε οὖν ἀγνοοῦσιν τὴν ἀλήθειαν οὔτε ἀφανίζουσιν (οὐ γὰρ θέμις αὐτοῖς), ἀλλ᾽ ἀφανιζομένῃ διὰ τοὺς μετέχοντας εἰς ὠφέλειαν χρῶνται τῶν τὴν ἀλήθειαν ἀφανιζόντων. τίς δὲ ἡ ἀνεπιτηδειότης, δι᾽ ἧς τῆς ἀληθείας ἐνδέχεται μὴ τυγχάνειν ὡς ἔστιν ἀλλ᾽ ὡς οὐκ ἔστιν παρατρέποντας αὐτὴν τοὺς ὑποδεχομένους, εἴρηται διὰ πλειόνων ἐν τοῖς εἰς τὰ λόγια γεγραμμένοι ς , καὶ τῆς ἐν τοῖς μαντικοῖς ἱστορίας μαρτυρούσης ἡμῖν, ὅταν λέγωσιν ἢ διὰ τὸν τόπον ἢ διὰ τὸν καιρὸν ἢ διὰ τὸν τρόπον τῆς τῶν χρησμῶν ἐκδόσεως ἢ διά τινα ἄλλην πλημμέλειαν παρυφίστασθαι τὸ ψεῦδος ἐν τοῖς χρηστηρίοις. καὶ γὰρ παρὰ τὰς ἐρωτήσεις οὐκ ὀρθῶς γενομένας, μὴ ὅτι γε παρὰ τὰς ἄλλας τὰς κυριωτέρας αἰτίας δυνατὸν τοῦτο συμβαίνειν, κάτωθεν τῶν αἰτίων ὄντων, αὐτῶν δὲ τῶν θεῶν ἄνωθεν τὴν ἀλήθειαν ἀεὶ προτεινόντων τοῖς δυναμένοις αὐτῆς τυγχάνειν.

in R.1.41 Ταῦτα μὲν οὖν καὶ ἐν ἄλλοις ἔτυχεν διαίτης μετρίας, δέδεικται δὲ ἐκ τούτων πάντων, ὅτι δύο τῶν νόμων ὄντων τῶν θεολογικῶν, καὶ τοῦ δευτέρου διπλοῦ, τρεῖς οἱ τύποι πάντες εἰσίν· ὧν ὁ μὲν τὸ ἀγαθουργὸν μόνως ἀπονέμειν ἀξιοῖ τοῖς θεοῖς, ὁ δὲ τὸ ἀμετάβλητον παντελῶς (καὶ γὰρ ὑφ᾽ ἑαυτῶν καὶ ὑπ᾽ ἄλλων), ὁ δὲ τὸ ἀληθευτικὸν ἐν ἁπάσαις ταῖς ἐνεργείαις. καὶ ταῦτα συμβαίνει τοῖς ἐν τῷ δεκάτῳ τῶν Νόμων [p. 900d sqq.] τρισὶν ὡς εἴπομεν, τῇ ἀγαθότητι τῇ δυνάμει τῇ γνώσει. προσθέντος δὲ τοῦ Πλάτωνος ἐν τοῖς περὶ τῆς ἀληθείας [p. 382e], ὅτι πάντῃ ἀψευδὲς οὐ μόνον τὸ θεῖον, ἀλλὰ καὶ τὸ δαιμόνιον, δεῖ λαβεῖν ἀπὸ ταύτης τῆς προσθήκης, ὅτι τὸ ὡς ἀληθῶς δαιμόνιον πάντῃ (οὐ τὸ κατὰ σχέσιν, ὃ καὶ μεταβολὰς ὑπομένει παντοίας καὶ ἀπατᾷ τούτους οἷς ἂν γένηται φίλον), πᾶν δὲ τὸ κατ᾽ οὐσίαν δαιμόνιον λογικὸν μὲν ὂν πάντως ἀληθευτικόν ἐστιν, ἄλογον δὲ ὂν ἄδεκτον καὶ ἀληθείας καὶ ψεύδους. διὸ καὶ καὶ ὁ Πλάτων οὐκ εἶπεν ἀληθευτικὸν πᾶν τὸ δαιμόνιον καὶ θεῖον, ἀλλ᾽ ὅτι ἀψευδὲς πᾶν· ἄδεκτον γὰρ πᾶν ψεύδους· ἀλλὰ τὸ μὲν ὡς πεφυκὸς ἀληθεύειν μόνως, τὸ δὲ ὡς μήτ᾽ ἀληθεῦον μήτε ψευδόμενον. ὅσον οὖν ἀπατητικὸν γένος, ὃ ἱστορεῖται ἢ τὰς χρησμῳδίας ὑποδυόμενον ἢ ταῖς κλήσεσιν ὑπακοῦον ἢ καὶ ἐκ ταὐτομάτου τισὶν συγγινόμενον, τῶν κατὰ σχέσιν ἐστὶ δαιμόνων· εἰ δέ τινες ὑπὸ δαιμόνων ἀπατῶνται τῶν ὄντως δαιμόνων, δι᾽ ἑαυτοὺς ἀπατῶνται καὶ οὐ δι᾽ ἐκείνους, ὥσπερ καὶ ἐπὶ τῶν θεῶν ἐλέγομεν. κοινὸς γὰρ εἴρηται λόγος ἐπί τε θεῶν τῷ Πλάτωνι καὶ δαιμόνων τῆς ἀψευδείας. Περὶ ποιητικῆς καὶ τῶν ὑπ᾽ αὐτὴν εἰδῶν καὶ τῆς ἀρίστης ἁρμονίας καὶ ῥυθμοῦ τὰ Πλάτωνι δοκοῦντα.

in R.1.42.(pt) Πρῶτον εἰπεῖν χρὴ καὶ διαπορῆσαι περὶ τῆς αἰτίας, δι᾽ ἣν οὐκ ἀποδέχεται τὴν ποιητικὴν ὁ Πλάτων, ἀλλὰ ἐξοικίζει τῆς ὀρθῆς πολιτείας, εἰ καὶ μύρον αὐτῆς καταχέας, ὡς τῶν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς ἀγαλμάτων θέμις, καὶ ὡς ἱερὰν στέψας αὐτήν, ὥσπερ καὶ ἐκεῖνα στέφειν ἦν νόμος [p. 398a]. καὶ γὰρ αὐτὸ τοῦτο ζητήσεως ἄξιον, εἰ μέν τι θεῖον ἔχει κατ᾽ αὐτόν, πῶς ἐκβάλλεται τῆς θείας πολιτείας, εἰ δὲ μηδέν, πῶς τιμᾶται ταῖς τῶν θεῶν τιμαῖς. δεύτερον, τί δήποτε μάλιστα τὴν τραγῳδίαν καὶ τὴν κωμικὴν οὐ παραδέχεται, καὶ ταῦτα συντελοῦσαν πρὸς ἀφοσίωσιν τῶν παθῶν, ἃ μήτε παντάπασιν ἀποκλείειν δυνατὸν μήτε ἐμπιμπλάναι πάλιν

ἀσφαλές, δεόμενα δή τινος ἐν καιρῷ κινήσεως, ἣν ἐν ταῖς τούτων ἀκροάσεσιν ἐκπληρουμένην ἀνενοχλήτους ἡμᾶς ἀπ᾽ αὐτῶν ἐν τῷ λοιπῷ χρόνῳ ποιεῖν. τρίτον πῶς ἐν Συμποσίῳ [p. 223d] μὲν ἠνάγκαζεν τῆς αὐτῆς ἐπιστήμης εἶναι κωμῳδίαν καὶ τραγῳδίαν ἐργάζεσθαι τοὺς ἀμφὶ Ἀγάθωνα καὶ Ἀριστοφάνη συνομολογεῖν, ἐν Πολιτείᾳ δὲ οὐκ ἐθέλει τὸν αὐτὸν εἶναι τούτων δημιουργόν, καὶ ταῦτα ἐγγύτατα οὐσῶν, οὐδέ γε ὑποκριτὴν ἀμφοτέρων, οὐχ ὅτι μιμητὴν τὸν αὐτόν [p. 395a]. τέταρτον, τί δήποτε τὰς ἁρμονίας οὔ φησιν [p. 398e ss.] εἰδέναι τὰς συμποτικὰς αἴτινές εἰσιν καὶ τὰς θρηνώδεις, οὐδὲ ἃς ὁ προσδιαλεγόμενος ὡς ἀμείνους τῶν ἄλλων προτείνει καὶ πρὸς παιδείαν ἀξιοχρεωτέρας, καίτοι περί γε τῶν ῥυθμῶν εἰδέναι τι προσποιούμενος ἀπὸ τῆς Δάμωνος ὑφηγήσεως ὁ Σωκράτης, καὶ ὀνομάζων οὓς ἐκεῖνος παρεδίδου ῥυθμούς [p. 400b]. πέμπτον τίς ἡ ὄντως κατ᾽ αὐτὸν μουσική, καὶ τίνες αἱ δεύτεραι καὶ τρίταιμουσικαί· δοκεῖ γοῦν ἄλλα ἀλλαχοῦ περὶ τούτων λέγειν, καὶ δὴ καὶ τὴν ποιητικὴν τότε μὲν μουσικήν τινα τίθεσθαι, τότε δὲ διοικίζειν ἀπὸ τῆς μουσικῆς.

in R.1.43 ἕκτον, ποῖον ἐγκρίνει τῶν ἁρμονιῶν γένος ὡς παιδείᾳ χρήσιμον, ὃ δεῖ μεταχειρίζεσθαι τοὺς παρ᾽ αὐτῷ ποιητάς, καὶ τί τῶν ῥυθμικῶν εἰδῶν ἐκλέγεται· δοκεῖ γὰρ ἀδιόριστα ταῦτα ἀφεῖσθαι, καίτοι δεόμενα διορισμοῦ μάλιστα τοῖς περὶ παιδείας διαλεγομένοις. ἕβδομον, τίνα ἁμαρτήματα εἶναι τῶν κατ᾽ αὐτόν φησιν ποιητῶν, καὶ διὰ ποίας αἰτίας μήποτε ἂν τὰς Μούσας αὐτὰς ἁμαρτεῖν [legg. II 669c]. διὰ γὰρ τούτων γνωσθέντων εὑρήσομεν, ὅπως ἄριστος ἦν κριτὴς ποιητικῆς, ἀλλ᾽ οὐχ ὥς τινες ᾠήθησαν τῶν ἔμπροσθεν φαῦλος διὰ τὸν ἐν Τιμαίῳ κατὰ τῶν Σόλωνος ποιημάτων ἔπαινον. ὄγδοον, τίς ὁ κατὰ Πλάτωνα ποιητὴς ἄριστος, καὶ ἐκ ποίων τῶν τε πραγματικῶν καὶ τῶν λεκτικῶν χαρακτηριζόμενος πλεονεκτημάτων. δεῖν γὰρ εἶναί τινα πάντως κατωρθωμένον, πρὸς ὃν ἀποβλέποντες κρίνειν οἰόμεθα χρῆναι τὴν ποιητικήν. ἔνατον, τί τέλος ἐστὶ κατ᾽ αὐτὸν τῆς ὀρθῆς ποιητικῆς· δεῖ γὰρ τὴν ὀρθότητα παντὸς εἴς τι τέλος ἀναφέρεσθαι, καὶ δι᾽ ἐκεῖνο ἢ ἁμαρτανόμενον ἢ κατορθούμενον ποιεῖν τὸ ὀρθὸν καὶ διάστροφον ἑκάστου τῶν ἐπιτηδευμάτων. δέκατον, τίς ὁ ἐν τῷ παντὶ ποιητής, εἰς ὃν βλέπων καὶ ὁ τῇδε ποιητὴς τεύξεται τοῦ οἰκείου τέλους. οὐ γάρ ἐστιν οὐδὲν τῶν ὡς ἀληθῶς ἀγαθῶν, ὃ μὴ πολλῷ πρότερόν ἐστιν ἐν τοῖς ὅλοις ἢ τοῖς μέρεσιν. Ἄνωθεν οὖν ἀρξάμενοι λέγωμεν, δι᾽ ἣν αἰτίαν τὴν ποιητικὴν καὶ ταῦτα εὐδοκιμοῦσαν ὡς παιδευτικὴν ἐν ἐκείνοις τοῖς χρόνοις οὐκ ἀποδέχεται, τῆς παιδείας τοὺς τύπους αὐτὸς παραδιδούς.

in R.1.44 ἔοικεν γὰρ μιμητικῆς ἁπάσης οὔσης τῆς τῶν ποιητῶν πραγματείας συνιδεῖν, ὅτι δύο ταῦτα πλημμελοῦσιν ἐν ταῖς μιμήσεσιν, τότε μὲν ἀνομοίως μιμούμενοι τὰ πράγματα, περὶ ὧν ποιοῦνται τοὺς λόγους, τότε δὲ ὁμοίως μὲν ποικίλων δὲ ὄντες μιμηταὶ ποικίλας παρεχόμενοι τὰς μιμήσεις εἰκότως. ὅταν μὲν οὖν τὰ τῶν θεῶν ἢ τὰ τῶν ἡρώων μιμῶνται, λανθάνειν αὐτοὺς ἀνομοίως μιμουμένους, δι᾽ ἐμπαθῶν ὀνομάτων καὶ ἤτοι παρὰ φύσιν ὄντων ἢ παρὰ θεσμὸν ἐπιχειροῦντάς τι λέγειν περὶ αὐτῶν εἴτε ἐν μύθων πλάσμασιν εἴτε ἄνευ μύθων, ἐξομοιοῦντας μὲν τὰ ἡρωϊκὰ τοῖς ἀνθρωπίνοις ἤθεσιν, καὶ καθέλκοντας εἰς τὰ αὐτὰ τῷ λόγῳ πάθη, φιλοχρηματίαν ἀνελευθερίαν ἀλαζονείαν ἀκολασίαν (εἶναι δὲ ταῦτα τῶν ἡρώων ἀνάξια πάντως, οὓς θεῶν παῖδας ὑπειλήφαμεν), παραπετάσμασιν δὲ χρωμένους ὀνόμασιν αἰσχροῖς ἐπὶ τῶν θεῶν τῆς περὶ αὐτῶν ἀληθείας, ὧν οὐ ῥᾴδιον τοῖς ἀκούουσιν ἄλλως τε καὶ νέοις οὖσι γενέσθαι κριταῖς. ταῦτα δὲ ἀμφότερα δηλοῦν τὴν ἀνόμοιον μίμησιν, τῶν μὲν αὐτόθεν οὐκ ἐφαρμοζόντων, οἷς μιμοῦνται, τῶν δὲ οὐκ αὐτόθεν ἐφαρμοζόντων διὰ τὴν κατὰ τὸ πρόσχημα τῆς μυθοποιΐας φαινομένην ἀτοπίαν. δεῖ γὰρ τὸν μιμητὴν καὶ τὰς ἐννοίας οἰκείας παρέχεσθαι τοῖς πράγμασιν, εἰκόνας ἐκείνων εἶναι βουλομένας, καὶ τὰ ὀνόματα πρέποντα ταῖς ἐννοίαις ἐκλέγεσθαι. διὸ περὶ μὲν τῆς τῶν μύθων τῶν θείων ποιήσεως εἴωθεν λέγειν συχνόν, ὅτι 〈οὐ〉 καλῶς ψεύδεται, ψεῦδος ἐκεῖνο καλὸν ὀνομάζων, ὅπερ ἂν ᾖ δι᾽ ὀνομάτων καλῶν ἀποκρύπτον τὴν ἀλήθειαν· περὶ δὲ τῆς τῶν ἡρωϊκῶν πραγμάτων μιμήσεως, οὐχ ὅτι οὐ καλῶς

ψεύδεταί φησιν, ἀλλ᾽ ὅλως ὅτι ψεύδεται, τοιούτους εἶναι τοὺς ἥρωας δεικνῦσα οἵους τοὺς ἀνθρώπους.

in R.1.45 ὅπου μὲν οὖν δέον τὰ ἀληθῆ λέγειν ψεύδεσθαι διὰ τὴν ἀνοικειότητα τῶν παθῶν, ἅπερ ἐπὶ τοὺς ἥρωας ἀναπέμπουσιν, ὅπου δὲ ψεύδεσθαι δέον μὴ καλῶς ψεύδεσθαι διὰ τὴν ἀνοικειότητα τῶν ὀνομάτων, ὧν ἐν ταῖς θεομυθίαις παραλαμβάνουσιν, πρὸς τοὺς θεούς. αἴτιον δὲ εἶναι τούτων, ὅπερ αὐτὸς ἐν Τιμαίῳ λέγει σαφῶς [p. 19d], ὅτι τὸ μιμητικὸν ἔθνος οἷς ἂν ἐντραφῇ, ταῦτα μιμεῖσθαι δύναται μάλιστα· τὸ δὲ ἐκτὸς τῆς τροφῆς ἑκάστοις γινόμενον χαλεπὸν μὲν ἔργοις μιμεῖσθαι γίνεται, χαλεπώτερον δὲ λόγοις. οὐκοῦν οὔτε ἔργα πρέποντα τοῖς ἥρωσιν ἀποδιδόναι δύνανται καὶ διὰ τούτων μιμεῖσθαι τὴν ἐκείνων ζωήν, τὰ μὲν ἀνδρικῶς τὰ δὲ σωφρονητικῶς ἐνεργοῦσαν, οὔτε λόγους οὓς ἂν ἐκεῖνοι φθέγξαιντο, ἢ ἐν πολέμοις ἀναστρεφόμενοί τισιν ἢ ἐν εἰρήναις, ἢ πρὸς θεοὺς ἢ πρὸς ἀνθρώπους, ἀλλ᾽ οὓς οἱ πολλοὶ τῶν ἀνθρώπων, ἢ βλασφημοῦντες εἰς θεοὺς καὶ ἀπαυθαδιζόμενοι, ἢ κολακεύοντες ἀνθρώπους ἢ ὑβρίζοντες. διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ περὶ θεοὺς πλημμελοῦσιν, ἀπὸ τῶν συνήθων αὐτοῖς ὀνομάτων λαμβάνοντες καὶ οἷς ἐνετράφησαν, ὅσα πρὸς τὴν κρύψιν οἴονται συντελεῖν αὐτοῖς, τῶν θεῶν κλοπὰς ἁρπαγὰς πλάνας μοιχείας πολέμους ἐπιβουλάς, πολλοῦ δέοντες ἐκεῖνα τὰ ὀνόματα τοῖς πράγμασιν τιθέναι περὶ ὧν λέγουσιν, ὅσα τῶν εὖ τραφέντων ἐστὶν καὶ ἐν ταῖς ὀρθαῖς ἄνω καὶ κάτω θρυλεῖται πολιτείαις, οἷον θέμιν δίκην νόμον ἀφέλειαν αἰδὼ πάντα τὰ τοιαῦτα, σύντροφα τοῖς εὖ πολιτευομένοις ὄντα. τὰ γοῦν αἰσχρὰ καὶ ἄθεσμα οὐδὲ προφέρεσθαι τούτοις ἀνεκτόν· οὐ γὰρ ἡγοῦνται χρῆναι μολύνειν τὴν γλῶτταν, ὄργανον οὖσαν τῆς θεῶν ὑμνῳδίας καὶ τῆς πρὸς τοὺς ἀγαθοὺς συνουσίας, διὰ τῆς τούτων φθέγξεως.

in R.1.46 τὴν μὲν οὖν ἀνόμοιον μίμησιν διπλῆν οὖσαν παρὰ τοῖς ποιηταῖς διὰ ταῦτα ἐπερράπισεν, ὅμοιον ταύτην πράττουσαν, ὡς εἰ ζωγράφος Ἀχιλλέα μιμεῖσθαι προθέμενος Θερσίτην γράψειεν, ἢ Ἀχιλλέα μὲν οὐ φυλάττοντα δὲ τὴν ἀνδρικὴν ζωήν, ὅπερ ἐν Νόμοις [II p. 668d] ἐκάλεσεν τὸ εὖ μετὰ τῆς ὀρθότητος. Τὴν δὲ ἀνομοίαν μίμησιν ἐκάκισεν τὴν παρὰ τοῖς ποιηταῖς καθ᾽ ἕτερον τρόπον διὰ τὴν τῶν παντοίων ἠθῶν καὶ εἰδῶν ζωτικὴν ὁμοίωσιν ὡσαύτως μιμουμένην δειλοὺς ἀκολάστους ἀνοήτους ὡς ἀνδρείους σώφρονας ἔμφρονας. ταύτην γὰρ τὴν ποικιλίαν παντάπασιν ἀνεπιτήδειον εἶναι πρὸς τὴν παιδείαν, τυποῦν τὰ ἤθη τῶν παιδευομένων ἐν μόνοις τοῖς ἀγαθοῖς ἔργοις τε καὶ λόγοις σπουδάζουσαν. φύσει γὰρ τὴν ψυχὴν ἡμῶν χαίρειν τοῖς μιμήμασιν, διὸ καὶ φιλόμυθοι πάντες ἐσμέν, καὶ παῖδες ὄντες, ἐὰν συνεθιζώμεθα συζῆν μιμήμασι παντοδαποῖς, ἐξομοιούμεθα μὲν αὐτοῖς διὰ τὸ προσπάσχειν, γιγνόμεθα δὲ καὶ ἡμεῖς τοιοῦτοί τινες καὶ ἀποβαίνομεν τὰ ἤθη ποικίλοι διὰ τὸ χαίρειν τοῖς ποικίλοις ὑπὸ τῶν ποικίλων πλαττόμενοι μιμημάτων. αἴτιον δὲ πάλιν τοῦ τὴν ποιητικὴν τῶν ποικίλων ἠθῶν μᾶλλον εἶναι ποιητικὴν ἢ τῶν ἁπλῶν ταὐτόν, ὃ καὶ ἔμπροσθεν εἴπομεν ἐν Τιμαίῳ γεγραμμένον, τὸ μιμητικὸν ἔθνος ταῦτα μιμεῖσθαι ῥᾷον, οἷς ἂν ἐντραφῇ. τοὺς οὖν ποιητὰς τοιούτοις συντρόφους ὄντας ἀνθρώποις ποικίλοις καὶ παντοδαποῖς ἀπάδειν τῆς τῶν ἁπλῶν καὶ ἁπλάστων μιμήσεως καὶ τὰ ποιήματα παρέχεσθαι τοιαῦτα, τοιούτους ἄλλους δυνάμενα ποιεῖν τοὺς σπουδάζοντας περὶ αὐτά. τοιγαροῦν εὑρήσομεν καὶ τῶν νῦν ἀνθρώπων τοὺς μάλιστα ζηλωτὰς αὐτῶν μάλιστα τὸ ἦθος ποικίλους· ἔχει γοῦν λόγον πανταχοῦ τὸ θαυμάζον ὁμοιοῦσθαι πρὸς τὸ θαυμαζόμενον, καὶ πᾶν τὸ ἡδόμενον συμφύεσθαι πρὸς τὸ ἧδον.

in R.1.47 τοῖς τοίνυν παιδευτικοῖς τῶν νέων μάλιστα νόμοις φυλακτέον τὴν τοιαύτην ποιητικήν, ὡς ἡδεῖαν μὲν οὖσαν παισίν, οὐ μέντοι καὶ πρὸς ἀρετὴν ὠφέλιμον, ἀλλ᾽ ὅσῳπερ ἡδεῖα μᾶλλον, τοσούτῳ βλαβερὰν οὖσαν μᾶλλον· καὶ Μοῦσαν ἐκλεκτέον τὴν αὐστηροτάτην μέν, εὐθὺ δὲ τῆς ἀρετῆς ἄγουσαν. οὐδὲ γὰρ ἰατρικὴν θαυμάζομεν τὴν ἥδουσαν, ἀλλὰ τὴν ὑγιάζουσαν· ἔστι δὲ καὶ ἡ παιδεία τῶν ψυχῶν ἰατρική, τὴν ἀνωμαλίαν ἐξορθοῦσα καὶ τὴν διαστροφὴν τῶν ἐν αὐταῖς παθῶν, ὥστε καὶ ταύτην ἐκλέγεσθαι δεῖ καὶ ποιήματα καὶ ἐπιτηδεύματα πάντα πρὸς τὴν

τῶν νέων ἀγωγήν, οὐχ ὅσα τέρπει τὴν νεότητα βλάπτοντα, ἀλλ᾽ ὅσα κοσμεῖ, κἂν ᾖ δυσκολώτερα. —Δύο τοίνυν, ἵνα συλλαβόντες εἴπωμεν, αἴτια τοῦ μὴ εἶναι παραδεκτέαν τὴν ποιητικὴν εἰς παιδείαν ὀρθήν, 〈ἐν〉 οἷς μὲν ἀληθῶς μιμεῖται (ταῦτα δ᾽ ἐστὶν τὰ ἀνθρωπικά), τὸ ποικίλον τῆς μιμήσεως, ἐν οἷς δὲ ψευδῶς μιμεῖται, τὸ ἀπᾷδον τῆς μιμήσεως, καὶ τοῦτο διττόν, ἢ ἐν τοῖς ὀνόμασιν μόνοις ἢ καὶ τοῖς πράγμασιν, ὡς ἐδείκνυμεν. ἐπειδὴ δὲ ὅλως τὴν ποιητικὴν ἱερὰν εἶναι τῶν Μουσῶν ἅπαντες ὑπειλήφαμεν καὶ τὴν ἀρχὴν εἰς ἀνθρώπους παρελθεῖν κατὰ τὴν ἐκείνων ἐπίπνοιαν, εἰκότως δήπου καὶ τῆς ἑαυτοῦ πολιτείας ἐκπέμπων αὐτὴν διὰ τὰς εἰρημένας αἰτίας οὐκ οἴεται δεῖν ἀτιμάσας ἐκπέμπειν, ἀλλ᾽ ὡς ἱερὰν Μουσῶν ταῖς ὁμοίαις τιμαῖς τῶν ἀγαλμάτων τιμήσας, μύρῳ καὶ στέμματι. μὴ γὰρ δὴ τοῦτο οἰηθῶμεν, ὅτι καὶ τὴν τοιαύτην ποιητικήν, καὶ εἰ τῇ ἀρίστῃ πολιτείᾳ τυγχάνει προσήκουσα μηδέν, πρὸς πᾶσαν ζωὴν ἀνάρμοστον εἶναι θήσεται καὶ βλαβεράν, ἀλλ᾽ εἶναί τινας, οἳ καὶ ἀπὸ τῶν ταύτης ὀνίναιντο ἂν λόγων.

in R.1.48 ὡς γοῦν αὐτός φησιν, καὶ τὴν ψευδῶς τὰ θεῖα μεμιμημένην ἐν μέσοις ἱεροῖς χώραν ἔχειν, ἐν οἷς καὶ τὰ συμβολικῶς λεγόμενα πρέποντα φαίνεται τῇ συμπάσῃ θεραπείᾳ τῶν θείων καὶ ἡ τούτων ἀκρόασις συντελεῖ πρὸς τὴν ὅλην ἱερατικήν, αὐτῆς τῆς ζωῆς τῶν ἀκουόντων ἐνιδρυθείσης τοῖς θεοῖς καὶ ἀσφαλῶς ἤδη τῶν τοιούτων ἀκουούσης λόγων, δι᾽ ὧν ἐπανάγεται καὶ τὰ τελευταῖα τῶν πνευμάτων, καὶ θέλξαντα τοῖς τοιοῖσδε συμβόλοις ἀκώλυτον προξενεῖ παρ᾽ ἐκείνων εἰς ἡμᾶς προϊέναι τὴν θείαν ἐπίπνοιαν, οἷον ἀποπλησθέντων οἷς χαίρουσιν ὀνόμασιν καὶ πράγμασιν, οὕτω δὴ καὶ τὴν τῶν ποικίλων μιμητικὴν ἠθῶν εὕροιμεν ἄν πού τισιν ὠφέλιμον, οἷς τὸ μὴ ποικίλον τοῦ ποικίλου βλαβερώτερον· διὸ δὴ πρὸς τὴν τυραννικὴν ἅπασαν πολιτείαν εἶναι χρήσιμον, οὐκ ἐῶσαν ἑνὶ χαίρειν τῷ χειρίστῳ τῆς ζωῆς εἴδει μόνον, ἀλλ᾽ ἐπεισάγουσαν τὴν ἐκ τῆς τῶν παντοδαπῶν ἠθῶν μιμήσεως ἀγωγήν, ⟦ πρὸσ ⟧ τὴν ὁμοῦ καὶ τὰ ἀμείνω καὶ τὰ χείρω περιπτυσσομένην ἐπιτηδεύματα. καὶ γὰρ ἔοικεν ὡς τῷ βασιλικῷ καὶ θείῳ τῆς πολιτείας εἴδει τοῦτο εἶναι τὸ ποικίλον βλαβερόν, οὕτω τῷ ἐσχάτῳ καὶ τυραννικῷ ὠφέλιμον· διττὸν γοῦν τὸ ἁπλοῦν, ἢ τὸ κρεῖττον ἢ τὸ χεῖρον τοῦ ποικίλου, καὶ τὸ μὲν βλάπτοιτο ἂν τῷ ποικίλῳ προσχρώμενον χεῖρον γιγνόμενον, ὡς τοῦ χείρονος ἀναπιμπλάμενον, τὸ δὲ ὠφελοῖτ᾽ ἂν κρεῖττον γινόμενον, ὡς τοῦ κρείττονος ἀπολαῦον. εἰ δ᾽ οὖν καὶ ἄλλαις ἐστὶ πολιτείαις τισὶν ἡ ποιητικὴ χρήσιμος, ὡς μὲν τῇ πρωτίστῃ μὴ προσᾴδουσαν ἀποπεμπτέον, ὡς δὲ Μουσῶν ἄγαλμα οὖσαν τιμητέον. ἐπεὶ καὶ πᾶσαν τέχνην ἱερὰν εἶναι θείου τινός φαμεν, ἀλλ᾽ οὐ διὰ τοῦτο τοὺς παρ᾽ ἡμῖν φύλακας τεχνικοὺς ἐθελήσομεν ἀποτελεῖν, ἓν ἐπιτήδευμα μόνον ἔχοντας τὴν τῆς πόλεως σωτηρίαν.

in R.1.49 τὰς μὲν οὖν τέχνας εἰς τὴν κάτω πόλιν ἀπέπεμψεν, τὴν δὲ ποιητικὴν εἰς ἄλλην εἰκότως. αἳ μὲν γὰρ ὀργανικὴν παρέχονται τῷ πολιτικῷ καὶ τοῖς ἄρχουσιν χρείαν, ὡς ὑποτετάχθαι καὶ μὴ ἀμφισβητεῖν τὴν ἑαυτῶν φυλαττούσας τάξιν πρὸς τοὺς τῆς πόλεως σωτῆρας· τὴν δὲ ποιητικὴν φρονήματος οὖσαν ἀνάπλεων καὶ παιδεύειν ἐπαγγελλομένην οὐκ ἔστι συγκαταλέγειν ταῖς τέχναις, μὴ λάθωμεν ἐπιτειχίσματα κατασκευάζοντες πρὸς τοὺς ἄρχοντας ἐκ τῆς κάτω πόλεως καὶ τρέφοντες ἐπιτήδευμα πρὸς τὴν τῶν φυλάκων ἐπιτήδευσιν ἐναντιώτατον. τὸ μὲν οὖν πρῶτον τῶν προβλημάτων ταύτῃ διαθήσομεν. Τὸ δὲ δεύτερον (τοῦτο δ᾽ ἦν τὸ τὴν τραγῳδίαν ἐκβάλλεσθαι καὶ κωμῳδίαν ἀτόπως, εἴπερ διὰ τούτων δυνατὸν ἐμμέτρως ἀποπιμπλάναι τὰ πάθη καὶ ἀποπλήσαντας εὐεργὰ πρὸς τὴν παιδείαν ἔχειν, τὸ πεπονηκὸς αὐτῶν θεραπεύσαντας), τοῦτο δ᾽ οὖν πολλὴν καὶ τῷ Ἀριστοτέλει παρασχὸν αἰτιάσεως ἀφορμὴν καὶ τοῖς ὑπὲρ τῶν ποιήσεων τούτων ἀγωνισταῖς τῶν πρὸς Πλάτωνα λόγων οὑτωσί πως ἡμεῖς ἑπομένως τοῖς ἔμπροσθεν διαλύσομεν. πᾶν τὸ μιμητικὸν τῶν παντοδαπῶν ἠθῶν, διὰ μὲν τὴν μίμησιν ῥᾳδίως εἰσδυόμενον εἰς τὰς τῶν ἀκουόντων διανοίας, διὰ δὲ τὴν ποικιλίαν βλαβερὸν αὐτοῖς γιγνόμενον (ὁποῖ᾽ ἄττα γὰρ ἂν ᾖ τὰ μιμητά, τοιαῦτα ἀνάγκη γίνεσθαι τὸν προσπάσχοντα τοῖς

μιμήμασιν), ἀλλοτριώτατόν ἐστιν πρὸς τὴν εἰς ἀρετὴν τῶν νέων ἀγωγήν. ἁπλοῦν γὰρ ἡ ἀρετὴ καὶ αὐτῷ τῷ θεῷ μάλιστα προσεοικός, ᾧ φαμεν διαφερόντως προσήκειν τὸ ἕν. τὸν οὖν τῷ τοιούτῳ παραπλήσιον γενησόμενον φεύγειν δεῖ τὴν ἐναντίαν τῇ ἁπλότητι ζωήν, ὥστε πάσης αὐτὸν δεήσει καθαρεύειν ποικιλίας· εἰ δὲ τοῦτο, καὶ τῶν εἰς ταύτην καθελκόντων πάντων ὅτι μάλιστα πορρωτάτω νέον ὄντα καὶ διὰ τὴν νεότητα ῥᾳδίως πλαττόμενον ἐπιτηδευμάτων ἀφεστάναι.

in R.1.50 δῆλον οὖν ὅτι καὶ τὴν τραγῳδίαν καὶ τὴν κωμῳδίαν παντοίων οὔσας μιμητικὰς ἠθῶν καὶ μεθ' ἡδονῆς προσπιπτούσας τοῖς ἀκούουσιν διευλαβηθησόμεθα, μὴ τὸ ἐπαγωγὸν αὐτῶν εἰς συμπάθειαν τὸ ἀγώγιμον ἑλκύσαν τὴν τῶν παίδων ζωὴν ἀναπλήσῃ τῶν ἐκ τῆς μιμήσεως κακῶν, καὶ ἀντὶ τῆς πρὸς τὰ πάθη μετρίας ἀφοσιώσεως ἕξιν πονηρὰν ἐντέκωσιν ταῖς ψυχαῖς καὶ δυσέκνιπτον, τὸ ἓν καὶ τὸ ἁπλοῦν ἀφανίσασαν, τὰ δ' ἐναντία τούτων ἐκμαξαμένην ἀπὸ τῆς πρὸς τὰ παντοῖα μιμήματα φιλίας. ἐπεὶ καὶ διαφερόντως αἱ ποιήσεις αὗται πρὸς ἐκεῖνο τῆς ψυχῆς ἀποτείνονται τὸ μάλιστα τοῖς πάθεσιν ἐκκείμενον, ἡ μὲν τὸ φιλήδονον ἐρεθίζουσα καὶ εἰς γέλωτας ἀτόπους ἐξάγουσα, ἡ δὲ τὸ φιλόλυπον παιδοτριβοῦσα καὶ εἰς θρήνους ἀγεννεῖς καθέλκουσα, ἑκατέρα δὲ τρέφουσα τὸ παθητικὸν ἡμῶν, καὶ ὅσῳ ἂν μᾶλλον τὸ ἑαυτῆς ἔργον ἀπεργάζηται, τοσούτῳ μᾶλλον. δεῖν μὲν οὖν τὸν πολιτικὸν διαμηχανᾶσθαί τινας τῶν παθῶν τούτων ἀπεράσεις καὶ ἡμεῖς φήσομεν, ἀλλ' οὐχ ὥστε τὰς περὶ αὐτὰ προσπαθείας συντείνειν, τοὐναντίον μὲν οὖν ὥστε χαλινοῦν καὶ τὰς κινήσεις αὐτῶν ἐμμελῶς ἀναστέλλειν· ἐκείνας δὲ ἄρα τὰς ποιήσεις πρὸς τῇ ποικιλίᾳ καὶ τὸ ἄμετρον ἐχούσας ἐν ταῖς τῶν παθῶν τούτων προκλήσεσιν πολλοῦ δεῖν εἰς ἀφοσίωσιν εἶναι χρησίμους. αἱ γὰρ ἀφοσιώσεις οὐκ ἐν ὑπερβολαῖς εἰσιν, ἀλλ' ἐν συνεσταλμέναις ἐνεργείαις σμικρὰν ὁμοιότητα πρὸς ἐκεῖνα ἐχούσαις ὧν εἰσιν ἀφοσιώσεις. εἰ τοίνυν οὐ δεῖ φιλοθρήνους ἡμῖν ἀποτελεῖσθαι καὶ φιλογέλωτας τοὺς παιδευομένους, οὐκ ἂν δέοι προσομιλεῖν αὐτοὺς ταῖς ταῦτα ἀμφότερα τὰ πάθη πολλαπλασιαζούσαις μιμήσεσιν. δύο τοίνυν ταῦτα πεποίηται τὸν Πλάτωνα μὴ προσέσθαι τραγῳδίαν καὶ κωμῳδίαν εἰς τὴν ὀρθὴν πολιτείαν ὡς ἀξίας οὔσας σπουδῆς τοῖς νέοις, ἓν μὲν τὸ ποικίλον ὡς εἴρηται τῶν ἐν ταύταις μιμήσεων, ἕτερον δὲ τὸ τῶν παθῶν ἀμέτρως κινητικόν, ἃ βούλεται συστέλλειν κατὰ δύναμιν, τρίτον δὲ ἐπὶ τούτοις τὸ πρὸς πᾶσαν τὴν περὶ τὸ θεῖον καὶ ἡρωϊκὸν γένος αὐτῶν πλημμέλειαν εὐχερές.

in R.1.51 οὐδενὸς γοῦν ἀπέχονται τῶν εἰς δυσσέβειαν τεινόντων ῥημάτων, βλασφημοῦσαι μὲν περὶ τοὺς θεούς, ἀπορρίπτουσαι δὲ εἰς τοὺς ἥρωας ἀναξίους τῶν ἡρώων λόγους· οἷς εἰ μὲν πιστεύσαιεν ἡμῖν οἱ νέοι, τὴν Γιγαντικὴν ζωὴν ἐκθρέψουσιν καὶ τὴν ἄθεον φαντασίαν, ἧς ἐπιταθείσης οἰχήσεται πᾶς ὁ τῆς ἀρετῆς χορός· οὐ γὰρ ἐθέλει συνοικεῖν ἀθέῳ ζωῇ καὶ ἀποθρασυνομένῃ πρὸς τοὺς κρείττονας· εἰ δὲ μὴ πιστεύσαιεν, οὐδ' εἴ τι χρηστὸν ἔχουσιν αἱ ποιήσεις, αὐτὸ πιστὸν ἡγήσονται διὰ τὴν περὶ τὰ μέγιστα πρὸς αὐτὰς ἀπιστίαν. πεφύκαμεν γὰρ ἅπαντες οἷς ἂν ἐπὶ τῶν σπουδῆς ἀξίων διαφερόντως ἀπιστήσωμεν, μηδὲ ἐπὶ τῶν ἀτιμοτέρων ἐνδιδόναι τὴν ἑαυτῶν διάνοιαν· ὥστ' ἢ περιττὰς ἀναγκαίως αὐτὰς ἢ βλαβερὰς τοῖς παιδευομένοις εἶναι. καὶ ταῦτα προϊδόμενος ὁ Πλάτων οὐ δίδωσι χορὸν τοῖς τῶν τοιούτων ποιήσεων δημιουργοῖς, οὐδὲ ἐπιτρέπει νέοις οὖσιν αὐτῶν ἀκροᾶσθαι, τριῶν ὡς εἴρηται φυλακῆς ἕνεκα, δοξῶν πονηρίας, παθῶν ἀμετρίας, τῆς ἐν τῇ πάσῃ ζωῇ ποικιλίας· ὧν τὸ μέν ἐστιν τοῦ ἐν ἡμῖν γνωστικοῦ κακόν, τὸ δὲ τοῦ ὀρεκτικοῦ, τὸ δὲ τῆς ὅλης ψυχῆς. Τούτων δὲ διηυκρινημένων ἐκεῖνο προσθῶμεν, ὃ δὴ προὐθέμεθα συγγενὲς ὂν τῷ πρόσθεν, πῶς ἂν αὐτὸς συνᾴδοι πρὸς ἑαυτόν, ἐν Συμποσίῳ μὲν ἀναγκάζων τῆς αὐτῆς εἶναι τέχνης κωμῳδίαν καὶ τραγῳδίαν ποιεῖν, ἐν Πολιτείᾳ δὲ μηδὲν ταύτας γειτνιώσας ἀλλήλαις 〈οὐ〉 τῆς αὐτῆς ἕξεως εἶναι λέγων ἀποτελεῖν, διὰ τὸ τὴν φύσιν ἡμῶν ἄλλην πρὸς ἄλλο πεφυκέναι κατακεκερματισμένην, ὡς μηδὲ ἐπὶ τραγῳδίας μόνης

πάντας ὁμοίως ἔχειν πρὸς πάντα τὰ μέρη τῆς ποιήσεως ταύτης, ἀλλὰ τοὺς μὲν ἐν ἄλλοις αὐτῆς μέρεσιν τοὺς δὲ ἐν ἄλλοις κατορθοῦν, καὶ κωμῳδίας ὡσαύτως.

in R.1.52 ὅτι μὲν οὖν ἀληθὲς τὸ τὴν ἀνθρωπίνην ψυχὴν διὰ τὴν ἀπόστασιν τῆς ζωῆς καὶ τὴν εἰς τὸ ἔσχατον πτῶσιν ἀπὸ τῆς ὁλικῆς ἐνεργείας εἰς τὴν μερικωτάτην καταντῆσαι, παντός ἐστι συνιδεῖν. ἐκείνη μὲν γὰρ αὐτὴν ἐποίει κοσμικήν, εἰς τὸ ὅλον βλέπουσαν καὶ τοῖς θεοῖς συνδιοικοῦσαν τὸ πᾶν σμικρὸν ὁρῶσαν τὴν γένεσιν, ὅπου γε καὶ ὁ ἐνταῦθα κορυφαῖος τὴν γῆν εἰωθὼς εἰς τὸ ὅλον βλέπειν· ἡ δὲ εἰς τοῦτο τὸ εἶδος κάθοδος ἀπὸ τοῦ ὅλου καὶ παντὸς εἰς τὸ μερικώτερον ἀγομένης γέγονεν, ἀπὸ μὲν τοῦ κοσμικοῦ λόγου καθ' ὃν ἔζη πρότερον 〈τὸν〉 τοῦ θνητοῦ ζῴου μόνον προχειριζούσης, ἀπὸ δὲ τούτου μερικώτερον ἄλλον τὸν ἀνθρώπειον προβαλλομένης ἀντὶ 〈τῆσ〉 τοῦ παντὸς θνητοῦ ζῴου προνοίας ὡς ἑνός, ἀπὸ δὲ τούτου κατὰ τὸν τινὸς ἀνθρώπου βίον ἀπερειδούσης τὴν ἑαυτῆς ζωήν, οἷον φιλοσόφου, καὶ τὸν κοινὸν τοῦ ἀνθρώπου λόγον ἀφείσης, ἀπὸ δὲ τούτου τὸν ἐν τῷδε τῷ κλίματι καὶ τῇδε τῇ πόλει καὶ τῷδε τῷ γένει βίον ἐνδυσαμένης, καὶ οὕτω δὴ γινομένης μερικῆς ἀντὶ τῆς ὁλικῆς, ἀπὸ δὲ τῆς εἰς τοῦτο πτώσεως λοιπὸν ἐπιτηδειότητας ἄλλας προσλαβούσης, τὰς μὲν ἐκ τῶν προσεχῶν αἰτίων, οἷον πατέρων καὶ σπερμάτων, τὰς δὲ ἐκ τοῦ περιέχοντος καὶ τῆς ἐν τούτῳ φύσεως ἰδίας, τὰς 〈δὲ〉 ἐκ τῶν περιστάσεων τῆς ζωῆς τῆς οἰκείας τοῖς τόποις, ἐν οἷς κατετάχθη πεσοῦσα τὴν τελευταίαν πτῶσιν. ἐκ γὰρ τούτων πάντων ὄντως ἡ φύσις αὐτῆς κατακεκερματισμένη τὴν πρὸς τὰς διαφερούσας τέχνας καὶ ἐπιστήμας καὶ ἐπιτηδεύσεις ἀπεστένωσεν ἐπιτηδειότητα, καὶ ἄλλη πρὸς ἄλλα πέφυκεν, καὶ οὐδὲ πρὸς ταῦτα ὅλα, διελοῦσα ταῖς ἑαυτῆς δυνάμεσι τὰς περὶ αὐτὰ ζωάς.

in R.1.53 τοῦτο μὲν οὖν ὅπερ ἔφην πάντων ἐστὶν ἀληθέστατον καὶ ὡς διὰ τοῦτο τοῖς μὲν κωμῳδίαν τοῖς δὲ τραγῳδίαν ἐργάζεσθαι δυνατὸν καὶ οὐδὲ ὅλην κωμῳδίαν τισὶν ἢ τραγῳδίαν ὡσαύτως πᾶσαν. οὐ μὴν ἀλλ' ἐπειδὴ τοῖς ταύτας ἐργαζομένοις τὰς ποιήσεις δυοῖν τούτοιν δεῖ, τῆς τε γνώσεως καὶ τῆς ζωῆς, τῆς μὲν ὅπως ἂν ἔχωσι τέχνην τοῦ πῶς ἑκατέραν μεταχειριστέον καὶ ἐκ τίνων μερῶν διασκευαστέον καὶ πῶς τεταγμένων καὶ ὁποίων προσώπων, ἃ δὴ καὶ λέγειν εἰώθασιν οἱ περὶ αὐτῶν γράφοντες, τῆς δὲ ὅπως ἂν τοιαύτην παράσχωνται τὴν τῶν ἠθῶν μίμησιν, ὁποῖα τά τε πράγματά ἐστι τὰ ὑποκείμενα καὶ τὰ πρόσωπα, καὶ μὴ ἀνόμοιοι γένωνται μιμηταὶ τῶν προτεθέντων αὐτοῖς, τὴν μὲν γνῶσιν μίαν ἐν ἀμφοτέραις εἶναι τὴν τεχνικὴν δυνατόν, ὃ καὶ ὁ Σωκράτης ὁ ἐν Συμποσίῳ φησίν (οὐ γὰρ μιμεῖσθαι τὸν αὐτόν, ἀλλ' ἐπίστασθαι ποιεῖν κωμῳδίαν καὶ τραγῳδίαν)· τὴν δὲ διὰ τῶν ἠθῶν ἐπιτηδειότητα πρὸς αὐτὰς τὴν μιμητικὴν ἀναγκαῖον μηκέτι μίαν ὑπάρχειν. 〈ὃ〉 καὶ ὁ ἐν Πολιτείᾳ λέγει Σωκράτης· μιμεῖσθαι γὰρ τὸν αὐτὸν κωμικῶς καὶ τραγικῶς οὐκ εἶναι δυνατόν. μάλιστα γὰρ ἠθοποιός ἐστιν ἡ μίμησις, οὐκ ἔστιν δὲ ταὐτὸν ἦθος ἐπιτήδειον πρός τε τραγῳδίαν φιλόθρηνον οὖσαν καὶ πρὸς κωμῳδίαν φιλόγελων. ὥστ' εἰκότως διελὼν ὁ Σωκράτης τὸ τεχνικὸν τοῦ ἠθικοῦ τότε μὲν ἔφατο τὸν αὐτὸν ἐπίστασθαι ποιεῖν ἀμφοτέρας, τότε δὲ οὐ τὸν αὐτὸν μιμεῖσθαι δυνατὸν ἀμφοτέρας· δεῖ γὰρ καὶ τέχνης πρὸς αὐτὰς καὶ ἤθους, ὧν ἡ μὲν κοινὴ γένοιτ' ἂν ἀμφοῖν, τὸ δὲ ἐξ ἀνάγκης ἐστὶ διάφορον.

in R.1.54 τοσαῦτα καὶ περὶ τούτου. Τί δὲ δὴ περὶ τοῦ τετάρτου φήσομεν, πῶς ὁ Σωκράτης ἀναίνεται τὰς τῶν ἁρμονιῶν εἰδέναι διαφοράς, καὶ ταῦτα περί γε τῶν ῥυθμῶν ἀκηκοέναι τι παρὰ Δάμωνος λέγων, καὶ εἰς τὸν Γλαύκωνα τὴν γνῶσιν αὐτῶν ἀποπέμπει προστιθείς· σὺ γὰρ μουσικός . λέγωμεν τοίνυν καὶ πρὸς ταύτην τὴν ζήτησιν, τῷ πολιτικῷ προσήκειν καὶ περὶ ἁρμονιῶν τι λέγειν καὶ περὶ ῥυθμῶν, ἀλλ' οὐχ ὡς τῷ μουσικῷ. τοῦ μὲν γὰρ ἔργον ἀφορίσασθαι τὸ εἶδος οἷον εἶναι δεῖ τῶν ἁρμονιῶν τῶν εἰς ὀρθὴν ἀγωγὴν νέων καὶ παιδείαν συντεινουσῶν, τῷ δὲ πάσας ἠκριβωκέναι τὰς ἐν αὐταῖς διαφοράς, ὅσαι τε τὸ φιλόλυπον ἐγείρουσιν τῆς ψυχῆς καὶ ὅσαι χαλῶσι τὸ φιλήδονον καὶ ὅσαι μετροῦσι τὰς ἀμφοτέρων κινήσεις. δεῖ γὰρ αὐτόν, εἴπερ ἐστὶ τῷ

ὄντι μουσικός, ἐπεσκέφθαι τίνες ὠφέλιμοι ταῖς πολιτείαις. διὸ καὶ ὀρθῶς οἱ λέγοντες, ὡς ἄρα δεῖ μήτε τὸν πολιτικὸν ἄμουσον εἶναι μήτε τὸν μουσικὸν ἀπολίτευτον. ὃ μὲν γὰρ ἄμουσος ὢν οὐδ' ὅτι συντελεῖ τις ἁρμονία πρὸς παιδείαν γνώσεται διὰ τὴν ἄγνοιαν τῆς μουσικῆς· ὃ δὲ ἀπολίτευτος ὢν ὁμοίως ἀσπάσεται πάσας, ὅσαι τε συντείνουσιν εἰς ἀπαιδευσίαν καὶ ὅσαι συντελοῦσι πρὸς παιδείαν· καίτοι τῆς μουσικῆς ἐπαγγελλομένης τὴν ψυχὴν συμπάσχουσαν μὲν τοῖς καλοῖς ἀποφαίνειν, ἀνιλλομένην δὲ ἐπὶ τοῖς αἰσχροῖς. τῷ τοίνυν πολιτικῷ τὸ πρέπον φυλάττων ὁ Σωκράτης ἅτε πολιτείας ὢν δημιουργὸς εἰς ἄλλους ἀποπέμπει τὴν τῶν ἁρμονιῶν διάκρισιν, αὐτὸς τοὺς τύπους μόνον ὑπογράφων τῆς πρὸς παιδείαν συντεινούσης ἁρμονίας. οὕτω δὲ καὶ τῷ στρατηγῷ τὸ μὲν τέλος αὐτὸν προσῆκεν ὁρίζειν τὸν ὡς ἀληθῶς πολιτικόν, τίσιν πολεμητέον, ὅτι τοῖς ἀδικεῖν ἐγχειροῦσιν, τοὺς δὲ τρόπους τοὺς πολεμικοὺς καὶ τὰς διαφορὰς ἐκείνῳ καταλιπεῖν ὡς εἰδότι, ποῦ καὶ πῶς καὶ διὰ τίνων πολεμητέον.

in R.1.55 οὕτω καὶ τῷ ἰατρῷ προστάξει μὲν ὁ πολιτικὸς ὑγιάζειν οὓς δέον, μὴ μακρὸν ποιοῦντι τὸν θάνατον, τοὺς δὲ τρόπους τῆς ὑγιάσεως ἐκείνῳ παραδώσει γιγνώσκειν, εἴτε διαίταις τοῦτο ποιεῖν δυνατὸν εἴτε φαρμακείαις εἴτε χειρουργίαις. οὕτω καὶ τῷ ῥήτορι παρακελεύσεται ῥητορεύειν καὶ πείθειν, ὡς τῶν αὐτῶν ὄντων δικαίων καὶ συμφερόντων, τὰ δὲ εἴδη τῶν λόγων οἷς χρώμενος πείθειν δύναται καὶ τὰς ἐν αὐτοῖς διαφορότητας ἐκείνῳ καταλείψει διελέσθαι καὶ ὁρᾶν, εἰ διὰ σεμνῶν λόγων ἢ διὰ ἠθικῶν ἢ διὰ δεινότητα πλείονα ἐχόντων χρὴ πείθειν τοὺς ἀκούοντας· ἑκάστους γὰρ ἐπάξεται διὰ τῶν οἰκείων. οὕτω δὴ οὖν καὶ περὶ τῶν ἁρμονιῶν μέχρι τῶν τύπων ὁ πολιτικὸς ἑστήξεται τῆς ἐκλογῆς αὐτῶν, αὐτὴν δὲ τὴν λεπτουργίαν τῶν ἐν αὐταῖς διαφορῶν ἐπιτρέψει τῷ μουσικῷ. διὰ ταῦτ' οὖν ὁ Σωκράτης οὐδ' εἰδέναι φησὶ τὰς ἁρμονίας, οὔτε τίνες θρηνῴδεις οὔτε τίνες συμποτικαί, τοσοῦτον δὲ μόνον ὁρίζειν, ὅτι τὸν παιδεύοντα δεῖ πρὸς ἐκείνην βλέπειν τὴν ἁρμονίαν, ἥτις ἂν ἀπεργάζηται τὸν παιδευόμενον ἐν πάσαις πράξεσιν καὶ πάσαις περιστάσεσιν καὶ πᾶσιν πάθεσιν τεταγμένον, ἐν μὲν τοῖς βιαίοις καὶ ἀκουσίοις ἀνδριζόμενον καὶ μὴ χαλῶντα τὸν τόνον τῆς ζωῆς, ἐν δὲ ταῖς εὐροωτέραις καὶ ἑκουσίοις σωφρονοῦντα καὶ μὴ ἐκμελῆ γιγνόμενον ὑπὸ τῆς παρούσης εὐπραξίας. φιλεῖ γὰρ τὰ μὲν ἀβούλητα τῶν συμπιπτόντων ταπεινοῦν, τὰ δὲ βουλητὰ χαυνοῦν τὰς ψυχάς. εἰ δὲ ⟦ μὴ ⟧ τὰς ἁρμονίας ἀναινόμενος εἰδέναι διὰ τὸ τῷ πολιτικῷ προσῆκον λέγει τι περὶ ῥυθμῶν, τούτου δήπου τὴν τοῦ Γλαύκωνος αἰτιατέον ἄγνοιαν· τὰς μὲν γὰρ ἁρμονίας εἰδέναι καὶ τὰ εἴδη τὰ ἐν αὐταῖς, τοὺς δὲ ῥυθμοὺς ἀγνοεῖν ἔφατο, καὶ εἰ καὶ τούτων εἰσί τινες ἐπιτήδειοι πρὸς παιδείαν.

in R.1.56 ἵν' οὖν ἐνδείξηται καὶ τῆς τούτων δυνάμεως πέρι καὶ μὴ ἀτελὴς ὁ λόγος αὐτῷ καταλειφθῇ περὶ τῆς ὅλης μουσικῆς καὶ τῆς εἰς παιδείαν αὐτῆς συντελείας, βραχέα περὶ τῶν ῥυθμῶν εἰκότως εἶπεν, ἐφιστὰς πῶς ἐστι καὶ ἐν τούτοις παιδευτικὸν καὶ φέρον εἰς ἀρετήν· εἶτ' εὐθὺς τὸν πολιτικὸν φυλάττων, ἀλλ' οὐκ εἰς τὸν μουσικὸν μεταπεσεῖν ἐθέλων, καὶ εἰς Δάμωνα τὴν περὶ τῶν ῥυθμῶν ἀποπέμψας θεωρίαν ἓν ἐκ πάντων συλλογίζεται, χρῆναι τὸν παιδευτικὸν εὐλογίας στοχάζεσθαι καὶ εὐαρμοστίας· καὶ εὐρυθμίας, τάχα κἀν τούτοις εἰς πᾶσαν βλέπων τὴν ψυχήν. διὰ μὲν γὰρ τῆς εὐλογίας ὁ ἐν ἡμῖν τελειοῦται λόγος, διὰ δὲ τῆς εὐαρμοστίας καὶ εὐρυθμίας τὸ ἄλογον κοσμεῖται· τῆς μὲν ἀπὸ τῶν δυνάμεων αὐτῶν ἀρχομένης (ἁρμόζονται γὰρ ἐκεῖναι πρὸ τῶν ἐνεργειῶν), τῆς δὲ ἐν ταῖς ἐνεργείαις μόνως ἐμφαινομένης· τάττονται γὰρ αἱ κινήσεις διὰ τῶν ῥυθμῶν, διότι καὶ τούτων ἐστὶ τάξις ὁ ῥυθμός, καθ' ὅσον χρόνῳ μετροῦνται καὶ τὸ πρότερόν ἐστιν ἐν αὐταῖς καὶ ὕστερον. Τούτων μὲν οὖν ἄδην· τὸ δὲ ἑπόμενον σκοπῶμεν, τίνα εἰδέναι χρὴ κατ' αὐτὸν περὶ μουσικῆς καὶ ποιητικῆς, πῶς ἔχουσι πρὸς ἀλλήλας καὶ πόσαι τάξεις εἰσὶν μουσικῆς. δόξειεν γὰρ ἂν ὠδὶ μὲν τὴν μουσικὴν συνάπτειν πρὸς τὴν ποιητικήν, ὅταν λέγῃ τὸν ποιητὴν ἐν τῷ τρίποδι καθῆσθαι τῆς Μούσης [legg. IV p. 719b] καὶ ὅταν τὴν ἀπὸ Μουσῶν κατοκωχὴν λαβοῦσαν ἁπαλὴν καὶ ἄβατον ψυχὴν ἀνεγείρειν καὶ ἐκβακχεύειν κατά τε ᾠδὰς καὶ τὴν ἄλλην ποίησιν [Phaedr. p. 245a], ὠδὶ δὲ διϊστάνειν αὐτὰς ἀλλήλων, ὥσπερ ὅταν

τοὺς βίους διορίζων τὸν μὲν μουσικὸν εἰς τὸν πρῶτον φέρων κατατάττῃ, καθάπερ καὶ πάντα τὸν φιλόκαλον, τὸν δὲ ποιητικὸν εἰς τὸν ἕκτον, καθάπερ καὶ πάντα τὸν μιμητικόν [Phaedr.

in R.1.57 p. 248d]. ἔοικεν δὴ οὖν πολλὰ τῆς μουσικῆς εἴδη θεασάμενος πᾶν μὲν τὸ ποιητικὸν γένος ὑπὸ τὴν μουσικὴν ἀναπέμπειν, οὐ πᾶν δὲ τὸ μουσικὸν εἰς τὴν ποιητικὴν κατακλείειν. τίνα οὖν μουσικὴν ἂν φαίη ποιητικήν, ἄξιον ἡμᾶς λέγειν διορισαμένους πρῶτον τὰ εἴδη πάντα τῆς μουσικῆς. λέγομεν οὖν καὶ τὴν φιλοσοφίαν αὐτὴν μεγίστην εἶναι μουσικήν, ὥσπερ καὶ ἐρωτικὴν εἰ βούλει φάναι τὴν ἐρωτικωτάτην ἁρμοσαμένην οὐ λύραν, ἀλλ' αὐτὴν τὴν ψυχὴν τὴν ἀρίστην ἁρμονίαν, δι' ἣν ἡ ψυχὴ τά τε ἀνθρώπινα πάντα δυνατὸν κοσμεῖν καὶ τὰ θεῖα τελέως ὑμνῳδεῖν, αὐτὸν μιμουμένη τὸν μουσηγέτην, ὃς ὑμνεῖ μὲν τὸν πατέρα ταῖς νοεραῖς ᾠδαῖς, συνέχει δὲ τὸν ὅλον κόσμον τοῖς ἀλύτοις δεσμοῖς ὁμοπολῶν πάντα, καθάπερ ὁ ἐν τῷ Κρατύλῳ λέγει Σωκράτης [p. 405c]. διὸ καὶ τὴν ἔνθεον μουσικὴν παρὰ τῷ φιλοσόφῳ πρώτως ἂν εἶναι φαίη (καὶ γὰρ ὁ φιλόσοφος ἐνθουσιάζων λέληθε τοὺς πολλούς) καὶ τὰ τῆς παιδευτικῆς ἀγαθὰ μουσικῆς μειζόνως καὶ πάντα ἁπλῶς, εἰς ἃ βλέποντες ἡγούμεθα τὴν μουσικὴν εἶναι σπουδῆς ἅπασιν ἀξίαν. καὶ ὅ γε τῶν μουσικῶν ἀκρότατος οὗτός ἐστιν, ὁ αὐτὸς ὢν ὡς εἴρηται τῷ ὡς ἀληθῶς φιλοσόφῳ, μηδενὶ τῶν κατὰ μουσικὴν ἀγαθῶν ἐλλείπων. λέγει δὲ καὶ τὴν ἐκ Μουσῶν κατοκωχὴν μουσικὴν τρόπον ἄλλον ὡς ἐξορμῶσαν καὶ κινοῦσαν εἰς τὴν ἔνθεον ποιητικὴν τὰς ψυχάς· ὃς γὰρ ἄν, φησίν, ἄνευ Μουσῶν μανίας ἐπὶ ποιητικῆς θύρας ἀφίκητα ι , καὶ αὐτὸς ἀτελὴς ἐστι ποιητὴς καὶ ἡ ποίησις αὐτοῦ ὑπὸ τῆς τῶν μαινομένων ἡ τοῦ σωφρονοῦντος ἠφανίσθη [Phaedr. p. 245a]· κἀνταῦθα τὸ μουσικὸν εἰς ταὐτὸν ἥκει καὶ τὸ ποιητικόν, τῆς ἐνθέου μουσικῆς τὸν ἔνθεον ἀποτελούσης ποιητήν· οὐ γὰρ εἰς ἄλλο τί φησιν τὸν ἐκ Μουσῶν κάτοχον ἐνθεάζειν ἢ εἰς τὸ ποιητὴν γενέσθαι, τῶν μὲν ἔμπροσθεν γεγονότων ἔργων ἀγαθῶν ὑμνῳδόν, εἰς ζῆλον δὲ ἀνεγείροντα παιδείας διὰ τούτων τοὺς ἐπιγινομένους.

in R.1.58 ὅπου δὴ καὶ τὸ ἔργον μάλιστα τῆς ποιητικῆς ὅσον ἐστὶν εἰς παιδείαν ἀνῆκον ἐξέφηνεν καὶ οἷον, καὶ ὡς οὐ νομοθετικόν ἐστιν, ἀλλ' ὄντως τρίτον ἀπὸ τῆς ἀληθείας, διὰ τῶν εἰς τοὺς ἀγαθοὺς γεγονότας ἐγκωμίων παιδεῦον τοὺς ζηλοῦντας τὰ τῶν ἀγαθῶν ἐπιτηδεύματα. καὶ γὰρ καὶ οὗτός ἐστιν παιδείας τις τρόπος τοῖς ἀρχαίοις μάλιστα συνήθης, διὰ δή τινα πεῖραν τῶν κατ' ἀρετὴν ζησάντων ὁδηγεῖν ἄλλους κατὰ τὴν ἐκείνων μίμησιν εἰς ἀρετήν· οἷον δηλοῖ καὶ ἐκεῖνος ὁ παρὰ τῷ ποιητῇ λέγων οὕτω· Καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν [I 524]. καί· Οὐχ ὁράᾳς οἷον κλέος ἔλλαβε δῖος Ὀρέστη ς , πάντας ἐ π ' ἀνθρώπους [α 298 sq.]. καί· Οὐ γάρ πω τοίους ἴδον ἀνέρας οὐδὲ ἴδωμαι · κάρτιστοι μὲν ἔσαν [A 262. 267]. ἕκαστα γὰρ τῶν τοιούτων παιδεύει μέν, ἀλλὰ διὰ παραδειγμάτων· νομοθέτου δὲ οὐχ οὗτος ὁ τρόπος, ἀλλὰ τίς ὁ τῷ ὄντι λέγειν ἀγαθός, καὶ πῶς ἂν ὁ παιδευόμενος γένοιτο τοιοῦτος, καὶ ἡ παιδεία ὑπὸ καθολικῶν οὐχὶ μερικῶν παραδειγμάτων. λέγει δὲ ἄρα καὶ τὸ τρίτον μουσικῆς εἶδος, οὐκέτι τοῦτο καθάπερ τὸ προρρηθὲν ἐνθεαστικόν, ἀναγωγὸν δὲ ὅμως ἀπὸ τῶν φαινομένων ἁρμονιῶν εἰς τὸ ἀφανὲς τῆς θείας ἁρμονίας κάλλος· φιλόκαλος γὰρ καὶ ὁ τοιοῦτος μουσικός, ὥσπερ καὶ ὁ ἐρωτικός, εἰ καὶ ὃ μὲν δι' ὄψεως, ὃ δὲ δι' ἀκοῆς ἀναμιμνήσκεται τοῦ καλοῦ.

in R.1.59 τοῦτον δ' οὖν καὶ ἐν τῷ πρώτῳ βίῳ συνηρίθμησε τῷ ἐρωτικῷ καὶ τρεῖς ἐποίησεν τοὺς τὸν ἀναγωγὸν καὶ ἐπιστρεπτικὸν ἑλομένους βίον ἀπὸ τῶν τελευταίων εἰς τὰ πρῶτα πάλιν, ὅθεν δεῦρο κατεληλύθασιν, τὸν φιλόσοφον, τὸν ἐρωτικόν, τὸν μουσικόν, τὸν μὲν περὶ τὶ καλὸν ἐνεργοῦντα τὸ ἐν ἁρμονίαις καὶ ῥυθμοῖς καὶ ἀπὸ τούτου πρὸς τὰς ἀφανεῖς ἁρμονίας ἀνιόντα καὶ ῥυθμοὺς ἐκείνους οὐκέτι δι' ἀκοῆς ὄντας γνωστούς, ἀλλὰ τῷ τῆς διανοίας λογισμῷ καταφανεῖς, τὸν δὲ περὶ πᾶν τὸ ἐν αἰσθήσει καλόν, ἀναμνηστικὸν ὄντα κάλλους ἁπλῶς, ἀλλ' οὐ τινός, τὸν δὲ ἀπὸ πάντων τῶν αἰσθητῶν εἰδῶν εἰς τὴν θέαν τῶν νοητῶν, ὧν εἰκόνες τὰ αἰσθητὰ ταῦτα, στελλόμενον καὶ προειληφότα τό τε τοῦ μουσικοῦ καὶ τὸ τοῦ ἐρωτικοῦ τέλος. τὸ γὰρ τὶ καλὸν πάντως δήπου καὶ καλόν ἐστιν καὶ τὸ τὶ εἶδος πάντως καὶ εἶδος· ὁ τοίνυν

παντὸς εἴδους θεατὴς οἶδεν ἄμφω, καὶ τὸ ἁπλῶς μὲν καλόν, τὶ δὲ εἶδος, καὶ τὸ τὶ καλόν· ὥστ' εἴη ἂν ὁ τοιοῦτος μουσικὸς τῷ φιλοσόφῳ σύστοιχος. λέγει δὴ οὖν καὶ ἄλλην ἐπὶ ταύταις μουσικήν, τὴν παιδευτικὴν τῶν ἠθῶν διά τε ἁρμονιῶν τῶν εἰς ἀρετὴν καὶ ῥυθμῶν, ἀνευρίσκουσαν τίνες μὲν ἁρμονίαι καὶ ῥυθμοὶ παιδεύειν δύνανται τὰ πάθη τῶν ψυχῶν καὶ πλάττειν ἤθεσι βελτίστοις ἐν πάσαις πράξεσι καὶ περιστάσεσιν, τίνες δὲ ἐναντίοι τούτοις ἐκμελεῖς αὐτὰς ἀποτελοῦσιν ἐπιτείνουσαι ἢ χαλῶσαι καὶ εἰς ἀναρμοστίαν ἄγουσαι καὶ ἀρρυθμίαν. καὶ ταύτην εἴποις ἂν εἶναι τὴν παιδευτικὴν μουσικὴν ὑπὸ τῷ πολιτικῷ τεταγμένην τῇ γυμναστικῇ σύστοιχον, εἰς ἣν ὁ ἐν Πολιτείᾳ Σωκράτης βλέπων τοὺς περὶ ἁρμονιῶν καὶ ῥυθμῶν κεκίνηκεν λόγους, ὥσπερ εἰς τὴν πρὸ ταύτης, ἡνίκα τὰς ἐπιστήμας ζητῶν τὰς ἐχούσας τι πρὸς τὴν ἀλήθειαν ὁλκὸν ἀξιοῖ καὶ τὴν ἁρμονίαν μὴ τὴν αἰσθητὴν ἀσπάζεσθαι ταύτην, ἀλλ' εἰς τοὺς καθολικοὺς ἀνάγειν λόγους, μεθιστᾶσαν τὸν νοῦν ἡμῶν εἰς τὰ νοητὰ ἀπὸ τῶν αἰσθητῶν.

in R.1.60 Τοσούτων τοίνυν ὄντων τῶν παρ' αὐτῷ μουσικῶν ἤδη φανερόν, ὅπως τὴν ποιητικὴν ὑπὸ τὴν μουσικὴν τακτέον, εἴτε τὴν ἔνθεον εἴτε τὴν μὴ τοιαύτην, καὶ τίνος διοριστέον, ὅτι τῆς ἀναγομένης. ταύτην γὰρ εἶχεν ὁ πρώτιστος βίος, καὶ ταύτην διώριζεν τῆς ποιητικῆς ὡς μιμητικῆς, οὐκ ἐθέλουσαν μιμητικῶς ζῆν, ἀλλὰ ἀπὸ τῶν μιμητῶν ἀναρπάζειν ἑαυτὴν εἰς τὰ παραδείγματα τῶν ἁρμονιῶν τῶν τῇδε καὶ ῥυθμῶν. Ἀλλ' ἐπειδὴ καὶ ταῦτα διώρισται, μηδὲ ἐκεῖνα παραλείπωμεν ἀδιόριστα τούτοις ἑπομένως, τίνας ἁρμονίας ἐγκρίνει δεῖν τὸν ποιητὴν παραλαμβάνειν εἰς τὴν τῶν νέων παιδείαν, καὶ τίνας αὐτὸν ῥυθμοὺς προσαναγκάζει ζηλοῦν, τὴν πασῶν μὲν ἁρμονιῶν πάντων δὲ ῥυθμῶν ἐπιτήδευσιν ἐκτρεπόμενος ὡς ποικιλίας ἀμούσου πρόξενον γιγνομένην τοῖς ἤθεσιν τῶν παιδευομένων. δοκεῖ γοῦν δι' ἃς εἴπομεν αἰτίας ἄλλοις ἐπιτρέπων τὴν τούτων ἐπίκρισιν μετεώρους ἡμᾶς ἀφεῖναι διψῶντας ἀκοῦσαι, τί ποτέ ἐστι τὸ τῷ Σωκράτει περὶ τούτων δοκοῦν, ὅς ἐστιν τῶν μουσικῶν ἀκρότατος· ὥσπερ οἶμαι καὶ αὐτὸς ὁμολογεῖ, φιλοσοφίαν μὲν εἶναι λέγων τὴν μεγίστην μουσικήν, ἑαυτὸν δὲ μηδὲν ἀπολελοιπέναι ταύτης ἐν παντὶ τῷ βίῳ, καὶ ταῦτα διατεινόμενος ὁ εἰρωνικὸς ἐκεῖνος καὶ μηδὲν εἰδέναι λέγων πρὸ τῆς τελευταίας ἡμέρας. Τίνα οὖν αὐτῷ δοκεῖ περί τε ἁρμονίας καὶ ῥυθμοῦ τῶν εἰς παιδείαν φερόντων, ἐν οἷς καὶ τοὺς ποιητὰς ἀναγκάζει ποιεῖν, ὅσα προσᾴδονται τοῖς νέοις καὶ οἷς μόνοις δώσειν χορόν φησιν, ἀλλ' οὐχὶ τοῖς παντοίων ἠθῶν μιμηταῖς; τοὺς μὲν οὖν ῥυθμούς, ἐξ ὧν καὶ Δάμωνος ἀκοῦσαι λέγει καὶ ἀποδέχεται τοῦ λόγου, δῆλός ἐστιν τῶν μὲν συνθέτων τὸν ἐνόπλιον ἀποδεχόμενος, ὅς ἐστιν ἔκ τε ἰάμβου καὶ δακτύλου καὶ τῆς παριαμβίδος· τοῦτον γὰρ ἀνδρικὸν ἦθος ἐμποιεῖν καὶ παρατεταγμένον πρὸς πάσας τὰς ἀναγκαίας καὶ ἀκουσίους πράξεις· τῶν δὲ ἁπλῶν τὸν ἡρῷον δάκτυλον, περὶ οὗ καὶ λόγων φησὶν ἀκοῦσαι Δάμωνος καὶ δάκτυλόν γε καὶ ἡρῷον διακοσμοῦντος, ἐνδεικνύμενος ὡς ἄρα τὸν τοιοῦτον ῥυθμὸν ἡγεῖται κοσμιότητος εἶναι ποιητικὸν καὶ ὁμαλότητος καὶ τῶν τοιούτων ἀγαθῶν.

in R.1.61 ἐκ δὲ ἀμφοτέρων ἀποτελεῖσθαι τὴν ψυχὴν ἅμα μὲν εὐκίνητον ἅμα δὲ ἠρεμαίαν· ταῦτα δὲ ἄμφω καλῶς ἀλλήλοις συγκραθέντα παιδείαν τὴν ὡς ἀληθῶς ἐντιθέναι. δεῖν γὰρ καὶ ἐν τῷ Πολιτικῷ [p. 309b] φησιν μήτε τὸ εὐκίνητον μόνον αἱρεῖσθαι τῶν ἠθῶν, ὀξύρροπον καθ' αὑτὸ καὶ ἄστατον ὄν, μήτε τὸ ἠρεμαῖον ἀργὸν καὶ ἀδρανὲς ὑπάρχον θατέρου χωριζόμενον. ἄμφω τοίνυν οἱ ῥυθμοὶ τὴν ἀμφοτέρων μετριότητα προξενοῦσιν ἀλλήλοις συμπλεκόμενοι. τὰς δὲ αὖ ἁρμονίας ἤδη μέν τινες τῶν θρηνοποιῶν καὶ συμποτικῶν, ὧν αἳ μὲν τὸ φιλήδονον χαλῶσιν, αἳ δὲ τὸ φιλόλυπον συντείνουσιν, τούτων δ' οὖν ἐκβεβλημένων ἀξιοῦσιν τὰς λοιπάς, ὧν Δάμων ἐδίδασκεν, τήν τε Φρύγιον καὶ τὴν Δώριον αὐτὸν ὡς παιδευτικὰς παραδέχεσθαι· καὶ διαμφισβητοῦσι πρὸς ἀλλήλους, οἳ μὲν τὴν Φρύγιον εἰρηνικήν, τὴν δὲ Δώριον λέγοντες εἶναι κατ' αὐτὸν πολεμικὴν ⟦ εἶναι ⟧ , οἳ δὲ ἀνάπαλιν, τὴν μὲν Φρύγιον ὡς ἐκστατικὴν εἶναι

πολεμικήν, τὴν δὲ Δώριον καταστηματικὴν καὶ εἰρηνικήν. ἡμεῖς δὲ εὑρόντες ἐν Λάχητι [p. 188d] λέγοντα σαφῶς αὐτὸν τὸν ἀγαθὸν ἄνδρα εἶναι καὶ ὄντως πεπαιδευμένον τὸν ἁρμοσάμενον 〈οὐ〉 λύραν οὐδὲ ὄργανα παιδείας, ἀλλ' αὐτὸν τὴν αὐτοῦ ψυχήν, οὐ φρυγιστὶ οὐδὲ αὖ ἰαστὶ ἢ λυδιστί, ἀλλὰ δωριστί, ἥπερ μόνη ἐστὶν ἁρμονία Ἑλληνική, ταύτην μὲν αὐτὸν ἡγούμεθα μόνην οἴεσθαι τῶν ἁρμονιῶν ἐν παιδείᾳ ἐξαρκεῖν, τὴν δὲ φρυγιστὶ πρὸς ἱερὰ καὶ ἐνθεασμοὺς ἐπιτηδείαν ὑπάρχειν (ὡς καὶ τοῦτο ἐν Μίνωϊ λέγει [p.

in R.1.62 318b] σαφῶς, τὰ Ὀλύμπου μέλη μόνα τοὺς εἰς κατοκωχὴν πεφυκότας κινεῖν ἐξιστάντα, πρὸς δὲ παιδείαν μὴ συντελεῖν)· τῶν δὲ ῥυθμῶν τὸν μὲν ἐνόπλιον οὐκ εἰς τὸ παιδεύειν νέων ψυχάς, ἀλλ' εἰς τὸ ἐξορμᾶν εἰς τὰς πολεμικὰς πράξεις παρέχεσθαι χρείαν ὑπειληφέναι, καὶ τὸ ὄνομα λαβεῖν ἐντεῦθεν τὸν ῥυθμόν· μόνον δὲ τὸν δάκτυλον καὶ ἡρῷον ἁρμόττειν παιδευομένοις καὶ ὅλως τὸν τῇ ἰσότητι κεκοσμημένον. διό μοι δοκεῖ καὶ οὕτω εἰπεῖν Δάμωνος ἀκοῦσαι τοῦτον διακοσμοῦντος τὸν ῥυθμόν, ὡς εἰς κατακόσμησιν ὡς ἀληθῶς συντελοῦντα τῆς ζωῆς καὶ παιδευτικόν. μίαν οὖν ἁρμονίαν τὴν Δώριον καὶ ῥυθμὸν ἕνα τὸν δακτυλικὸν αὐτὸν ἐγκρίνειν ἡμῖν λεκτέον τοῖς παιδεύειν μέλλουσι ποιηταῖς ἐμπρέπειν· καὶ γάρ ἐστι τούτοις κοινωνία κατὰ τὸν τῆς ἰσότητος λόγον. καὶ γὰρ ὥσπερ 〈ὁ〉 δακτυλικὸς ῥυθμὸς ἐν τῷ ἴσῳ συνίσταται τῆς ἄρσεως καὶ θέσεως, οὕτω καὶ ἡ Δώριος ἁρμονία τὸν ἴσον ἐφ' ἑκάτερα τοῦ τόνου λόγον ἁρμόζει· δύο γὰρ τετράχορδα διοριζόμενα τόνῳ μελῳδεῖται κατ' αὐτήν. ἐμπρέπει δὲ ὁ τῆς ἰσότητος λόγος ταῖς τῶν ἀλόγων εἰδῶν ἀρεταῖς, τὰς ὑπερβολὰς καὶ τὰς ἐνδείας ἀφελών, αἳ δὴ τῆς τοῦ ἀνίσου μερίδος εἰσίν. ταῦτα μὲν οὖν εἰρήσθω δεικνύντα, τίνας ἁρμονίας ἐκλέγεται καὶ τίνας ῥυθμοὺς εἰς ποίησιν παιδευτικήν. ὅτι δὲ ὥσπερ ἐν τῇ μιμήσει τὴν ποικιλίαν ἀπεσκευάζετο καὶ διὰ τοῦτο τὴν τοιαύτην ποιητικὴν ἐξέπεμπεν, οὕτω καὶ ἐν ταῖς ἁρμονίαις καὶ τοῖς ῥυθμοῖς τὰς παντοδαπὰς αὐτῶν ἕξεις, αἳ δὴ χειροῦνται τὰς τῶν πολλῶν ἀκοάς, ἐκτρέπεται, δηλοῖ [p.

in R.1.63 399c] καὶ τῶν ὀργάνων ἀτιμάζων τὰ καλούμενα παναρμόνια καὶ τοὺς τριγώνους καὶ αὐτὸν τὸν αὐλόν, ἐοικότα τοῖς παναρμονίοις διὰ τὸ πλῆθος τῶν τρυπημάτων, οἷς τὸ ὄνομα γέγονεν ἐκ τοῦ παντοίας ἁρμονίας εἶναι δυνατὸν ἐπιδείκνυσθαι δι' αὐτῶν. ὡς οὖν συντόμως εἰπεῖν, πανταχοῦ δεῖ τὸν παρ' αὐτῷ ποιητὴν εἰς δύο ταῦτα βλέπειν καὶ ἐν ταῖς μιμήσεσιν καὶ ἐν ταῖς ἁρμονίαις καὶ ἐν τοῖς ῥυθμοῖς, τὸ καλὸν καὶ τὸ ἁπλοῦν, ὧν τὸ μέν ἐστι νοερὸν τὸ δὲ θεῖον· καὶ εἰκότως. δεῖν γὰρ ὁμοιωθῆναι τούτοις τὴν ψυχὴν πρὸ αὐτῆς οὖσιν· καὶ γὰρ μετ' αὐτὴν σῶμα καὶ ὕλη, αὕτη μὲν αἶσχος οὖσα, τὸ δὲ σῶμα σύνθετον. Τούτων οὖν ἡμῖν συμπερανθέντων ἴδωμεν, τίνα ποτέ ἐστιν, ἃ τοῖς καθ' ἑαυτὸν ἐπιτιμᾷ ποιηταῖς καὶ δι' ἅ φησιν αὐτοὺς ἀποπίπτειν τῆς ἀληθοῦς μουσικῆς. τὸ γὰρ μὴ ἄν ποτε τὰς Μούσας αὐτὰς ἐξαμαρτεῖν ἅπερ οὗτοι πλημμελοῦσιν ἐκβαίνοντας αὐτοὺς δείκνυσι τὴν τῷ ὄντι μουσικὴν καὶ φερομένους εἰς τὴν τὸν πολὺν ὄχλον ἀρέσκουσαν. ἔστι δὴ οὖν τούτων, ὧν φησι τοὺς καθ' ἑαυτὸν ποιητὰς πλημμελεῖν, ἓν μὲν τὸ τοὺς λόγους καὶ τὰς ἁρμονίας καὶ ῥυθμοὺς μὴ ποιεῖν οἰκείους τοῖς εἴδεσι τῆς ζωῆς ἃ μιμοῦνται, περιάπτοντας γυναιξὶν μὲν ἀνδρικοὺς λόγους, ἀνδράσι δὲ γυναικῶν καὶ οὐδὲ τούτων σπουδαίων· τοῦτο γὰρ οὐκ ἔστιν μιμήσεως ὀρθῆς, ὥσπερ οὐδὲ τὸ δειλοῖς ῥυθμοὺς ἀνδρείων ἢ ἀνάπαλιν διανέμειν. ἕτερον δὲ τὸ συγχεῖν τὰς ἁρμονίας καὶ τοὺς ῥυθμοὺς πρὸς τὰ εἴδη τῶν λόγων καὶ τὰ ἀσύγκλωστα συγκλώθειν, οἷον λόγοις θρηνητικοῖς ἁρμονίαν Δώριον ἐπιφέρειν, καὶ ἀνδρικοῖς Λύδιον γοερὰν οὖσαν.

in R.1.64 δεῖν γὰρ ἕπεσθαι τῷ μὲν λόγῳ τὴν ἁρμονίαν, τῇ δὲ ἁρμονίᾳ τὸν ῥυθμόν· καὶ εἰ μὲν ἀνδρικὸς ὁ λόγος, καὶ τὰ λοιπὰ εἶναι τοιαῦτα πάντως, εἰ δὲ θρηνώδης, κἀκεῖνα τῆς ὁμοίας εἶναι δυνάμεως. καὶ ἔοικεν διὰ τούτου ⟦ καὶ ταῦτα ⟧ κἀκεῖνο διδάσκειν, ὡς ἄρα τῶν ἁρμονιῶν κατὰ τὰ εἴδη διῃρημένων τῆς ζωῆς οἱ ποιηταὶ χρώμενοι πάσαις ἐπὶ πάντων ἀτάκτως δόξαν παρεῖχον, ὡς ἄρα μὴ οὔσης ἐν ταῖς ἁρμονίαις τοιαύτης διαφορᾶς, ἀλλὰ ἁπασῶν εἰς πᾶν ἦθος ἐναρμόζεσθαι δυναμένων· ὡς θρηνεῖν μὲν ἰαστὶ τυχόν, ἐν δὲ συμποσίοις διαγίγνεσθαι μιξολυδιστί. καὶ

εἴλοντο λέγειν τινὲς καὶ ταῦτα συγχωροῦντες εἶναι καὶ λόγων καὶ ῥυθμῶν διαφοράς, καὶ μὴ ἂν τὸν τοῦ ἀνδρικοῦ λόγον ἁρμόσαι τῷ δειλῷ, μηδὲ τὸν ἀνδρικὸν ῥυθμὸν γενέσθαι ἂν ἐμπρέποντα δειλῷ. γελοῖον γὰρ τῶν ἄκρων ταύτῃ διωρισμένων τὴν ἁρμονίαν μὴ κατὰ ταῦτα διῃρῆσθαι καὶ ἄλλην ἄλλοις ἤθεσιν ἐμπρέπειν. τοῦτο μὲν οὖν ὅπερ ἔφην, τὸ πάντα συγχεῖν, ἔοικεν τοῦτο τοῖς ποιηταῖς ἐπιτιμᾶν. τὸ δὲ πρότερον, τὸ τοῖς ὑποκειμένοις ἤθεσι καὶ εἴδεσι τῆς ζωῆς μὴ παρέχεσθαι συνᾴδοντας τοὺς λόγους καὶ τὰς ἁρμονίας καὶ τοὺς ῥυθμούς, εἰ καὶ ἀλλήλοις εἴη ταῦτα μὴ ὡς ἔτυχεν συγκεκλωσμένα, διδάσκοντος ἡμᾶς ἐστιν τὴν πάντων τούτων χρείαν καὶ σύνταξιν εἰς τὰ πράγματα δεῖν ἀναφέρειν. τὰς γὰρ ἐννοίας ἐκείνοις ἕπεσθαι δεῖν, αἳ προηγουμένην ἐν τοῖς λόγοις ἔχουσι δύναμιν· οἷς ἕπεσθαι προσήκει τὰς ἁρμονίας, ὡς ταύταις τοὺς ῥυθμούς. Εἰ δὲ ταῦτα ἀληθῶς ἐν Νόμοις [II p. 669b sqq.] εἰρημένα πεφωράκαμεν, δῆλον δήπουθεν, ὅτι τὸν τοῖς ὅροις τούτοις χρώμενον τῆς ποιητικῆς καὶ διορίζοντα τὰ μέτρα πάντων τούτων, λόγων ἁρμονιῶν ῥυθμῶν, καὶ μάλιστα ἂν θείμεθα κριτὴν ποιητῶν ἄριστον εἶναι, καὶ οὐχ ὥσπερ ἔδοξέν τισιν κίβδηλον ἐκ τῶν ἐν Τιμαίῳ [p.

in R.1.65 21c] περὶ τῶν Σόλωνος ποιημάτων λόγων, οὓς εἰς Κριτίαν ἀνέπεμψεν τὸν πρεσβύτερον, ὃν ἔδει περὶ ἀνδρὸς προσήκοντος αὐτῷ λέγοντα τὰ αἰσιώτερα λέγειν· πρὸς τῷ καὶ τὸν ἔπαινον ἐστοχάσθαι τῆς Σόλωνος περὶ τὴν ποίησιν τῶν τε ὀνομάτων ἕνεκα καὶ τῶν νοημάτων ἐξουσίας. τὸ γὰρ ἐλευθεριώτατον εἶναι τῶν ποιητῶν τὴν ἐν τούτοις ἄδειαν δηλοῖ, μήτε ὀνομάτων ὥρας φροντίζουσαν, οἵαν οἱ πολλοὶ περὶ πλείονος ἄγοντες βοστρυχίζουσι τοὺς στίχους, μήτε νοημάτων πέρι τῆς ποικιλίας, οἵας ἀντεχόμενοί τινες τὸ ἦθος ἀμβλύνουσιν τὸ ἀνηγμένον εἰς ἀρετήν. ὥστε ἐμοὶ δοκεῖ καὶ τοῦτο πρέπον ὄνομα τῇ ἰδιότητι τῶν Σόλωνος ποιημάτων εἰς αὐτὸν ἀπορρῖψαι, κἂν ᾖ Κριτίας ὁ κριτής. Ἀλλὰ τούτων ἱκανῶν ὄντων εἰς ταύτην τὴν ζήτησιν ἔπεται λέγειν ἡμᾶς, τίς ὁ κατὰ Πλάτωνα ποιητὴς ἄριστος ἂν εἴη, καὶ τίνα μὲν αὐτὸν εἰδοποιεῖ πραγματικά, τίνα δὲ λεκτικὰ καθήκοντα. χρὴ μὲν οὖν τὴν ὡς ἀληθῶς ἐπαινετὴν παρ' αὐτῷ ποιητικήν, εἴτε περὶ θεῶν εἴτε περὶ δαιμόνων λέγοι, πρὸς ἐκείνους ὁρᾶν τοὺς τύπους, οὓς αὐτὸς εἶπεν, ὑμνῳδὸν οὖσαν αὐτῶν ὡς ἀγαθοποιῶν μόνως, ὡς ἀμεταβλήτων ταῖς τε οὐσίαις καὶ ταῖς δυνάμεσι καὶ ταῖς ἐνεργείαις, ὡς ἀλήθειαν συμφυᾶ ταῖς ἐνώσεσιν ἀεὶ τὴν αὐτὴν ἐχόντων· κἂν πλάττῃ τινὰς περὶ αὐτῶν μύθους, ὥσπερ οὖν δεῖ πλάττειν (πάντως γὰρ τὸ μυθολογικὸν καὶ Πλάτων ἀποδίδωσιν τοῖς ποιηταῖς· τὸν γὰρ ποιητήν φησιν [Phaed. p. 61b], εἴπερ μέλλοι ποιητὴς εἶνα ι , χρὴ ποιεῖν μύθους ἀλ λ ' οὐ λόγου ς) , ὁμοίους πλάττειν τοῖς ὑποκειμένοις, ἀλλὰ μὴ διὰ τῶν ἀνομοίων ἐθέλειν αὐτὰ κρύπτειν· λαμβάνειν δὲ ἀπὸ μὲν τῶν φυσικῶν ὀνομάτων ὅσα κατὰ φύσιν, οἷον γάμους καὶ τόκους καὶ ἐκτροφὰς τῶν γεννηθέντων καὶ συστάσεις κατὰ φύσιν γενομένας, ἀλλ' οὐ τερατώδεις· ἀπὸ δὲ τῶν ἠθικῶν τὰ ἔνθεσμα καὶ ἄξια τῶν ἀεὶ τῷ καλῷ καὶ τῷ ἀγαθῷ κεκοσμημένων, οἷον νόμον καὶ δίκην καὶ παίδων εἰς πατέρας τιμὰς καὶ πατέρων εἰς παῖδας παραδόσεις τῆς ἀρχῆς.

in R.1.66 ταῦτα γὰρ ἂν εἴη πρέποντα παραπετάσματα τῶν θείων νοημάτων ἀπὸ τῶν μετ' αὐτοὺς ἑλκόμενα πραγμάτων ἐπ' αὐτούς. εἰ δὲ περὶ ἡρώων ἢ ἀνθρώπων λέγοι, χωρὶς ἁπάσης κρύψεως τὰ μὲν περὶ ἡρώων προσήκοντα τοῖς ἥρωσι ποιεῖν, ἀπάθειαν αὐτοῖς ἀπονέμοντα τὴν ἡμιθέοις πρέπουσαν, τὰ δὲ περὶ ἀνθρώπων εἰς ἔπαινον τείνοντα τῶν ἀγαθῶν ἀεί, καὶ κοσμοῦσαν λόγοις τὰ ἐκείνων ἔργα καὶ μιμήσει χρωμένην τῶν τοιούτων, τὰ δὲ τῶν κακῶν ἐπιρραπίζουσαν, ἵν' ᾖ τοῖς νέοις ὠφέλιμα πρὸς ἀκρόασιν, καὶ ἐνδιατρίβουσαν τοῖς περὶ τῶν ἀμεινόνων λόγοις, τὸ δὲ ἁπλοῦν ἀεὶ μεταδιώκουσαν ἦθος ἀντὶ τοῦ ποικίλου κατὰ τὴν μίμησιν. Τὸ μὲν οὖν πραγματικὸν τῆς ποιητικῆς τοιοῦτον εἶναι δεῖ κατ' αὐτόν· τὸ δὲ λεκτικὸν κατὰ μὲν τὴν λέξιν ἑπομένως ταῖς διανοίαις μάλιστα μὲν ἀφηγηματικὸν εἶναι τῶν εἰρημένων ἐννοιῶν ἀντεχόμενον, εἰ δέ που δεῖ καὶ μιμήσεως (καὶ γὰρ τοῦτο Πλάτων διώρισεν, ὥσπερ μυθολογικόν, οὕτω καὶ μιμητικὸν εἶναι τὸν ποιητήν), ἐξ ἀνάγκης τὴν μίμησιν μὴ ποικιλίας μετέχειν, ἀλλ' εἶναι τῶν ἀγαθῶν μόνων,

κἄν ποτε μιμήσηταί τινα παθαινόμενον, μήτε ἀνεπίπληκτον ἐᾶν μήτε ἀπολαύειν τῆς μιμήσεως· τούτοις δὲ οἰκείως καὶ μελοποιοῦντα τὴν εἰς ἀρετὴν τείνουσαν ἁρμονίαν τιμᾶν καὶ ταύτῃ προσχρῆσθαι διαφερόντως· εἰ δέ ποτε τῶν ἄλλων τινὰ παραλάβοι τῶν κακῶν τινα μιμουμένη πρὸς ὀλίγον, δήλην γίνεσθαι πρὸς τὸ εἶδος ἀνιλλομένην ἐκεῖνο τῆς ἁρμονίας ὡς οὐ σπουδαῖον, ἀλλὰ δυσχεραίνουσαν, ἵν' ᾖ τῇ πολιτικῇ προσήγορος.

in R.1.67 καὶ δὴ καὶ εἰ ῥυθμοῖς χρῷτο, πρέποντας αὐτοὺς τῇ ἁρμονίᾳ συγκλώθειν, τοὺς μὲν ἐπὶ πλέον ὡς σπουδάζουσαν, τοὺς δὲ ἐπ' ἐλάχιστον ὡς παίζουσαν· οὕτω γὰρ ἂν εἴη πρὸς ἑαυτὴν σύμφωνος. ὥστ' εἴη ἂν ἡ ποιητικὴ κατ' αὐτὸν ἕξις μιμητικὴ διά τε μύθων καὶ λόγων μετὰ ἁρμονιῶν καὶ ῥυθμῶν κατ' ἀρετὴν διατιθέναι δυναμένων τὰς τῶν ἀκουόντων ψυχάς. Τὸ μὲν οὖν τῆς ποιητικῆς ἄριστον εἶδός ἐστιν παρ' αὐτῷ τοιοῦτον· ἑξῆς δὲ τούτῳ τί ποτε τὸ τέλος αὐτῆς ἐστι παντὶ συλλογίσασθαι ῥᾴδιον. εἰ γὰρ μιμητής ἐστιν ὁ ποιητής, ὅτι μὲν οὐκ ἔχει τέλος τὴν ἡδονήν, ὥσπερ ὑπέλαβον οἱ πάντα μὲν νομίζοντες πράγματα παραλαμβάνειν εἰς μίμησιν αὐτόν, πάσαις δὲ ἁρμονίαις χρῆσθαι, πάντων δὲ ῥυθμῶν εἶναι ζηλωτήν, ἵνα ἡδυσμένην ἀποτελῇ τὴν ποίησιν, ὅτι δ' οὖν τοῦτ' οὐκ ἀληθές, ἐν Νόμοις [II p. 667c] ἔδειξεν οὑτωσὶ συλλογιζόμενος· ὁ ποιητὴς μιμητής· πᾶς μιμητὴς τέλος ἔχει ὅμοιον ποιῆσαι τῷ παραδείγματι, ἄν τε ἥδειν μέλλῃ τινὰς ἄν τε μή· δῆλον ἄρα ὅτι καὶ ὁ ποιητὴς οὐ τὸ ἥδειν ἁπλῶς ποιήσεται τέλος. ὅτι δὲ εἴπερ μέλλοι τοιοῦτος εἶναι μιμητὴς οἷον εἴπομεν, εἰς τέλος βλέψει τὸ ἀγαθόν, καὶ τοῦτο γνώριμον· πάσης γὰρ τῆς κατ' ἀρετὴν ἐπιτηδεύσεως, εἴτε ἐν μιμήσεσιν εἴτ' ἄνευ μιμήσεων, οὐκ ἄλλο τι φήσομεν εἶναι τέλος πλὴν τοῦ ἀγαθοῦ. τοῦτο δὲ δή τί ἐστιν, ἄξιον συνιδεῖν, ὅτι πρόδρομον εἶδος τῆς πολιτικῆς ζωῆς, οὐκ εἰς τὸ θεωρητικὸν ἀνάγον τὴν ψυχὴν τέλος, ἀλλ' εἰς τὸ πολιτικόν· διὸ καὶ ἀναγκαῖον ἐλέγομεν εἶναι τῷ ποιητῇ τὰ μέτρα τῶν ἐνεργειῶν ἀφορίζειν τὸν πολιτικόν, ὡς τῷ στρατηγῷ καὶ ἰατρῷ καὶ ῥήτορι, τὸν δὲ οἷς ἐκεῖνος διακελεύεται χρώμενον ὅροις τὸν εἰρημένον τρόπον ποιεῖν, εἰς ἐκεῖνο φέροντα τὰ ποιήματα τὸ τέλος.

in R.1.68 Τούτου δὲ ἡμῖν γνωσθέντος οἶμαι καὶ τὸ τελευταῖον εἶναι δῆλον τῶν προβληθέντων ἡμῖν εἰς ζήτησιν, τίς ποτε ἄρα ἐστὶν ὁ ἐν τῷ παντὶ ποιητής, καὶ εἰς τίνα βλέπει καὶ οὗτος πολιτικὸν ὑπὲρ αὐτὸν ὄντα· καθάπερ ἄλλος ὁ ἐν τῷ παντὶ στρατηγὸς καὶ ῥήτωρ ἄλλος καὶ ἰατρός, ὃ μὲν τὸν κοσμικὸν πόλεμον τῷ πατρὶ συνδιακοσμῶν καὶ τὰ ἀμείνω κρατεῖν ἀεὶ τῶν χειρόνων παρασκευάζων, μετὰ τοῦ μηδὲ τὴν ἐκείνων ἀφανίζειν δύναμιν (δεῖ γὰρ εἶναι κἀκεῖνα πάντως, ἵν' ᾖ τὸ πᾶν ἐκ τῶν ἐναντίων), ὃ δὲ τὴν ἐν τῷ παντὶ φύσιν δυναμῶν, ἵνα συνέχῃ τὰ σώματα πάντα, καὶ ἀγήρων ᾖ καὶ ἄνοσον ἀεὶ τὸ πᾶν κατὰ φύσιν ἔχον, ὃ δὲ τοῖς νοεροῖς λόγοις πείθων ταῦτα ζῆν ἃ βούλεται ὁ πολιτικὸς ἐν τῷ παντὶ νοῦς. οὕτω γάρ που καὶ ποιητὴς ἄλλος ἐστὶ κοσμικός, μυθολογικὸς μόνως, μιμήματα ποιῶν τὰ ἐμφανῆ τῶν ἀφανῶν καὶ καλῶν καλά, τῶν κατὰ νοῦν τὰ κατὰ φύσιν, ἁρμονίαις χρώμενος, δι' ὧν ἀρετὴν ἐν τῷ ὅλῳ παρέχεται κρατοῦσαν, ἡττωμένην δὲ κακίαν· καὶ ῥυθμίζων τὰς κινήσεις, ὥστε κατὰ λόγον κινεῖσθαι, καὶ μίαν ἐκ πάντων ζῶσαν ἀποτελῶν ἁρμονίαν καὶ ἕνα ῥυθμόν. τοῦτον ἐγὼ τὸν ποιητὴν οὐκ ἄλλον εἶναι φαίην ἂν ἢ τὸν τοῦ μεγάλου πολιτικοῦ μέγαν συνεργὸν καὶ παιδευτικὸν ὡς ἀληθῶς θεόν, εἰς τὸν ἐκείνου βλέποντα νοῦν. ὁ μὲν γὰρ ἐν τῷ παντὶ πολιτικός ἐστιν ὁ μέγας ὑμνούμενος Ζεύς, παρ' ᾧ καὶ αὐτὸς εἶναί φησιν τὴν πολιτικήν [leg. I 624a]· ὁ δὲ τούτῳ μὲν συνεργὸς τῆς ἐν τῷ παντὶ πάσης τάξεως ἔν τε ὀξείαις καὶ βαρείαις κινήσεσι καὶ ἐν βραχυπορωτέραις ἢ μακροπορωτέραις περιόδοις οὐκ ἄλλος ἐστὶν ἢ ὁ Ἀπόλλων, ποιητὴς ὢν μιμημάτων ἐναρμονίων καὶ ἐνρύθμων.

in R.1.69 ἐκείνων δὲ ὁ μὲν στρατηγὸς ὁ μέγιστος Ἄρης, πολέμων προστάτης θεὸς καὶ ἀνεγείρων πάντα πρὸς τὴν ἐναντίωσιν τὴν κοσμικήν· ὁ δὲ πειθοῦς δημιουργὸς οὐκ ἄλλος ἢ ὁ Ἑρμῆς, δι' ὃν καὶ δημηγοροῦσιν ἄλλοι θεοὶ κατ' ἄλλους, καὶ πρὸς πάντας ὁ Ζεὺς τὸν ἐν ἑαυτῷ προχειρίσας

Ἑρμῆν· ὁ δὲ πάντα κατὰ φύσιν ἔχοντα δεικνὺς Ἀσκληπιός, δι' ὃν οὐ νοσεῖ 〈τὸ〉 πᾶν, οὐ γηράσκει, τὰ στοιχεῖα οὐκ ἀνίησι τῶν ἀλύτων δεσμῶν. εἰ οὖν με δεῖ τὰ ἀνέξοιστα λαλεῖν, ὁ μὲν ποιητὴς ὅστις ἐστὶ δῆλον· κινεῖ δὲ τὰς Σειρῆνας ᾄδειν μίαν φωνὴν ἱείσας ἕνα τόνο ν , ὡς ὁ ἐν τῷ δεκάτῳ λέγει τῆς Πολιτείας μῦθος [p. 617b]· κινεῖ δὲ ὡς ὁ Τίμαιος [p. 36c] τοὺς τῶν θείων ψυχῶν κύκλους ἐν λόγῳ προφερομένους ἐνρύθμους κινήσεις. πάντα δὲ ἀπὸ τῶν ψυχῶν ἀρξάμενα ποιήματά ἐστιν Ἀπόλλωνος ἐναρμόνια καὶ ἔρρυθμα· καὶ εἰς τοῦτον βλέπων ὁ τῇδε ποιητὴς ὑμνείτω μὲν θεούς, ὑμνείτω δὲ ἀγαθοὺς ἄνδρας ἔν τε μύθοις καὶ ἄνευ μύθων, ἢ περὶ ἄλλα στρεφόμενος γιγνωσκέτω καὶ ποιητικῆς ἁμαρτὼν καὶ Ἀπόλλωνος. Πρόκλου διαδόχου περὶ τῶν ἐν Πολιτείᾳ πρὸς Ὅμηρον καὶ ποιητικὴν Πλάτωνι ῥηθέντων. 〈Βιβλίον α 〉

Ἔναγχος ἡμῖν ἐν τοῖς τοῦ Πλάτωνος γενεθλίοις διαλεγομένοις παρέστη διασκέψασθαι, τίνα ἄν τις τρόπον ὑπέρ τε Ὁμήρου πρὸς τὸν ἐν Πολιτείᾳ Σωκράτη τοὺς προσήκοντας ποιήσαιτο λόγους καὶ ἐπιδείξειεν τῇ τε φύσει τῶν πραγμάτων καὶ τοῖς αὐτῷ 〈τῷ〉 φιλοσόφῳ μάλιστα πάντων ἀρέσκουσιν συμφωνότατα περί τε τῶν θείων καὶ τῶν ἀνθρωπίνων ἀναδιδάσκοντα, καὶ τὸν Πλάτωνα τῆς πρὸς ἑαυτὸν ἐξέλοι διαφωνίας, καὶ ἀποφήνειεν ὡς ἄρα ἐκ μιᾶς ἐπιστήμης ἅπαντα καὶ νοερᾶς ἐπιβλέψεως καὶ προαιρέσεως θεοπρεποῦς, ὅσα τε ἐγκωμιάζων γέγραφεν τὴν Ὁμήρου ποίησιν καὶ ὅσα ἐπαιτιώμενος ἔφθεγκται.

in R.1.70 καὶ γὰρ ἄν τις ἀπορήσειεν εἰς ταῦτα ἀποβλέψας, εἰ μὲν ὀρθῶς ὁ Πλάτων αὐτὸν ἐλέγχειν προὔθετο καὶ δεικνύναι τῆς προσηκούσης τοῖς πράγμασιν ἀληθείας ἀπᾴδοντα, πῶς ἔτι δυνατὸν ἐν τοῖς ἐπιστήμοσιν καὶ τόνδε τὸν ποιητὴν καταλέγειν, καὶ ταῦτα τῆς περὶ τῶν θείων γενῶν καὶ τῶν ἀεὶ ὄντων διδασκαλίας· εἰ δὲ τά τε ἄλλα Ὁμήρῳ καὶ ταῦτα τῆς πρεπούσης ἠξίωται παραδόσεως, πῶς ἔτι κατὰ νοῦν τὸν Πλάτωνα καὶ τὴν ἀνέλεγκτον γνῶσιν ἐνεργεῖν συγχωρήσει τις; ἔστιν μὲν οὖν ὅπερ ἔφην καὶ ταῦτα σκέψεως δεόμενα, μάλιστα δὲ ἁπάντων ἐκεῖνο ἡμῖν δοκεῖ παμπόλλην ἐξέτασιν ἀπαιτεῖν, τὸ καὶ αὐτὸν τὸν Πλάτωνα πρὸς ἑαυτὸν ἐν τοῖς περὶ Ὁμήρου λόγοις διαμάχεσθαι. πῶς γὰρ ἂν ἀλλήλοις συμβαίνοιεν ὅ τε ἐν τῷ Φαίδωνι [p. 95a] λεγόμενος παρ' αὐτῷ θεῖος ποιητὴς καὶ ὁ ἐν Πολιτείᾳ [X p. 597e] τρίτος ἀπὸ τῆς ἀληθείας δεικνύμενος; οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστὶν τὸ ταῦτα ἀλλήλοις συμπλέκειν, οὐδὲ ἔστιν τις μηχανὴ τὸν αὐτὸν ἑκάτερον τιθέναι. τὸ μὲν γὰρ ἐπέκεινα πάσης τῆς ἀνθρωπικῆς καὶ μεριστῆς ἐπιβολῆς αὐτὸν ἐνεργήσαντα καὶ τοῖς θεοῖς ἐνιδρύσαντα τὴν ἑαυτοῦ νόησιν ἐπιδείκνυσιν, τὸ δὲ εἰδώλοις συνόντα τῆς ἀληθείας καὶ πόρρω πῃ τῆς περὶ θεῶν ἐπιστήμης πλανώμενον. ἐῶ λέγειν, ὅτι καὶ τὴν ποιητικὴν αὐτὴν τότε μὲν ἐκ Μουσῶν κατοκωχήν τε καὶ μανίαν τιθέμενος καὶ θεῖον τὸ ποιητικὸν γένος ἀποκαλῶν, τότε δὲ εἰδωλοποιὸν καὶ φανταστικὸν καὶ πολλοστὸν ἀπὸ τῆς ἀληθοῦς γνώσεως ἀποφαίνων δόξειεν ἂν κἀν ταῖς περὶ τῶν πραγμάτων κρίσεσιν τῆς πρὸς ἑαυτὸν οὐκ ἀπηλλάχθαι διαφωνίας.

in R.1.71 Φέρ' οὖν ὅσα κἀνταῦθα τοῦ καθηγεμόνος ἡμῶν ἠκούσαμεν περὶ τούτων διαταττομένου καὶ τῆς κοινωνίας τῶν δογμάτων, ἣν ἔχει τὰ Ὁμήρου ποιήματα πρὸς τὴν ὑπὸ τοῦ Πλάτωνος ἐν ὑστέροις χρόνοις καθεωραμένην ἀλήθειαν, συλλαβόντες ἐν τάξει διέλθωμεν καὶ θεωρήσωμεν πρῶτον μέν, εἴ πῃ δυνατὸν τὰς τοῦ Σωκράτους ἀπορίας διαλύειν· δεύτερον δὲ τὸν σκοπὸν τῆς φαινομένης ταύτης πρὸς Ὅμηρον ἀπαντήσεως· τρίτον δὲ αὖ τὴν τῶν Πλάτωνι δοκούντων περί τε ποιητικῆς αὐτῆς καὶ Ὁμήρου μίαν καὶ ἀνέλεγκτον ἀλήθειαν πανταχοῦ προβεβλημένην. οὕτω γὰρ ἂν ἑκάτερος ἡμῖν ἀποφανθείη τῶν θείων κατὰ νοῦν καὶ ἐπιστήμην θεωρὸς καὶ περὶ τῶν αὐτῶν ἀμφότεροι τὰ αὐτὰ διδάσκοντες καὶ ὡς ἀφ' ἑνὸς θεοῦ προεληλυθότες καὶ μίαν συμπληροῦντες σειράν, τῆς αὐτῆς περὶ τῶν ὄντων ἀληθείας ὑπάρχοντες ἐξηγηταί. Περὶ τοῦ τρόπου τῆς τῶν θείων μύθων διασκευῆς παρὰ τοῖς θεολόγοις αἰτίων ἀποδόσεις καὶ λύσεις τῶν πρὸς αὐτοὺς ἐπιστάσεων. Τὰ μὲν δὴ προκείμενα τοιαῦτα ἄττα ἐστίν, περὶ ὧν ποιήσομαι τοὺς λόγους. δεῖ δὲ ὅπερ ἔφην ὑμᾶς μὲν καὶ τούτων αἰτιᾶσθαι τόν τε Πλάτωνα αὐτὸν καὶ τὸν

ἐκείνου ζηλωτὴν καί, ὡς ἂν ἐγὼ φαίην, ἱεροφάντην· ἐμὲ δὲ τὸν λέγοντα πειρᾶσθαι πάντα ἀκριβῶς ὑμῖν εἰς δύναμιν τὰ τότε ῥηθέντα διαμνημονεῦσαι καὶ ὅσα καὶ ὕστερον ἡμᾶς περὶ τῶν αὐτῶν διασκοπουμένους ἐπεκδιδάσκειν ἐκεῖνος ἠξίωσεν. ἐπεὶ δὲ πρὸ τῶν ἄλλων ἁπάντων ὁ Σωκράτης αἰτιᾶται τὸν τῆς μυθοποιΐας τρόπον, καθ' ὃν Ὅμηρός τε καὶ Ἡσίοδος τοὺς περὶ θεῶν παρέδοσαν λόγους, καὶ πρὸ τούτων Ὀρφεὺς καὶ εἰ δή τις ἄλλος ἐνθέῳ στόματι γέγονεν τῶν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων ἐξηγητής, ἀνάγκη δήπου καὶ ἡμᾶς, πρὶν τοὺς περὶ τῶν καθ' ἕκαστα δογμάτων ἀνασκεψώμεθα τῆς θεωρίας τύπους, αὐτὴν τὴν τῶν Ὁμηρικῶν μύθων διάθεσιν προσήκουσαν ἐπιδεῖξαι τοῖς πράγμασιν, ὧν δὴ καὶ παρέχονται τὴν ἔνδειξιν.

in R.1.72 πῶς γὰρ δὴ ταῦτα, φαίη τις ἄν, τὰ πόρρω τοῦ ἀγαθοῦ καὶ τοῦ καλοῦ καὶ τῆς τάξεως ἀποπλανώμενα καὶ αἰσχρὰ καὶ ἔκθεσμα τῶν ὀνομάτων πρέποντα ἂν γένοιτό ποτε τοῖς κατ' αὐτὸ τὸ ἀγαθὸν τὴν ὕπαρξιν λαχοῦσιν καὶ τῷ καλῷ συνυφεστηκόσιν, καὶ ἐν οἷς ἡ τάξις πρώτως ἐστὶν καὶ ἀφ' ὧν πάντα τὰ ὄντα μεστὰ μὲν καλλονῆς, μεστὰ δὲ τῆς ἀχράντου δυνάμεως ἀνεφάνη. πῶς οὖν τοῖς τοιούτοις ἐφαρμόζει τὰ τῆς τραγικῆς τερατολογίας ἀναπεπλησμένα καὶ τοῖς ἐνύλοις συνυπάρχοντα φαντάσματα, τῆς τε ὅλης δίκης καὶ τοῦ θείου νόμου στερόμενα· μὴ γὰρ οὐκ ᾖ θεμιτὸν τὰ τοιάδε ταῖς πάντων τῶν ὄντων ἐξῃρημέναις τῶν θεῶν ὑποστάσεσιν προσφέρειν, μοιχείας λέγω καὶ κλοπὰς καὶ ἀπ' οὐρανοῦ ῥίψεις καὶ πατέρων ἀδικίας καὶ δεσμοὺς καὶ ἐκτομάς, καὶ ὅσα ἄλλα παρά τε Ὁμήρῳ θρυλεῖται καὶ τοῖς ἄλλοις ποιηταῖς. ἀλλ' ὥσπερ αὐτοὶ χωριστοὶ τῶν ἄλλων ὄντες οἱ θεοὶ τῷ ἀγαθῷ συνήνωνται καὶ οὐδὲν εἰς αὐτοὺς παρεισδύεται τῶν χειρόνων, ἀλλ' εἰσὶν ἀμιγεῖς πρὸς πάντα καὶ ἄχραντοι καθ' ἕνα ὅρον καὶ μίαν τάξιν ἑνοειδῆ προϋπάρχοντες, οὕτω καὶ τοὺς περὶ αὐτῶν λόγους προσήκει τὰ ἐξαίρετα τῶν ὀνομάτων καὶ τὰ νοῦ πλήρη καὶ τὰ ἀπεικάζεσθαι δυνάμενα κατὰ τὴν οἰκείαν τάξιν πρὸς τὴν ἐκείνων ἄρρητον ὑπεροχὴν ἐπ' αὐτοὺς ἀναπέμπειν.

in R.1.73 καὶ δεῖ καὶ τὰς τῆς ψυχῆς ἐπιβολὰς καθαρεύειν μὲν τῶν ὑλικῶν φαντασμάτων ἐν ταῖς περὶ τοῦ θείου μυστικαῖς νοήσεσιν, ἀποσκευάζεσθαι δὲ ἅπαν τὸ ἀλλότριον καὶ κάτωθεν ἀπὸ τῆς ἀλογίας ὁρμώμενον δόξασμα, μικρὰ δὲ πάντα πρὸς τὴν ἄχραντον τῶν θεῶν ὑπερβολὴν ἡγεῖσθαι, καὶ μόνῳ τῷ ὀρθῷ λόγῳ πιστεύειν καὶ τοῖς κρείττοσιν τοῦ νοῦ θεάμασιν εἰς τὴν περὶ αὐτῶν ἀλήθειαν. μὴ οὖν λεγέτω τις ἡμῖν τοιαῦτ' ἄττα περὶ τῶν θεῶν, οἷα καὶ περὶ ἀνθρώπων ἁρμόσει λέγειν, μηδὲ τὰ τῆς ἀλογίας τῆς ἐνύλου παθήματα τοῖς τοῦ νοῦ καὶ τῆς νοερᾶς οὐσίας καὶ ζωῆς ὑπερηπλωμένοις ἐπιχειρείτω προσάγειν· οὐ γὰρ ἐοικότα φανεῖται τὰ σύμβολα ταῦτα ταῖς ὑπάρξεσι τῶν θεῶν. δεῖ δὲ ἄρα τοὺς μύθους, εἴπερ μὴ παντάπασιν ἀποπεπτωκότες ἔσονται τῆς ἐν τοῖς οὖσιν ἀληθείας, ἀπεικάζεσθαί πως τοῖς πράγμασιν, ὧν ἀποκρύπτειν τοῖς φαινομένοις παραπετάσμασιν τὴν θεωρίαν ἐπιχειροῦσιν. ἀλλ' ὥσπερ αὐτὸς ὁ Πλάτων πολλαχῇ διά τινων εἰκόνων τὰ θεῖα μυστικῶς ἀναδιδάσκει, καὶ οὔτε αἶσχος οὐδὲν οὔτε ἀταξίας ἔμφασις οὔτε ἔνυλον καὶ ταραχῶδες φάντασμα παρεμπίπτει τοῖς μύθοις, ἀλλ' αὐτὰ τὰ περὶ θεῶν νοήματα ἄχραντα ἀποκέκρυπται, προβέβληται δὲ αὐτῶν οἷον ἀγάλματα ἐμφανῆ τοῖς ἔνδον ἀπεικασμένα ὁμοιώματα τῆς ἀπορρήτου θεωρίας, οὕτως ἄρα καὶ τοὺς ποιητὰς ἔδει καὶ αὐτὸν Ὅμηρον, εἰ τοῖς θεοῖς προσήκοντας μύθους ἔπλαττον, τὰς μὲν πολυειδεῖς ταύτας συνθέσεις καὶ διὰ τῶν ἐναντιωτάτων τοῖς πράγμασιν ὀνομάτων συμπληρουμένας ἀποδοκιμάζειν, τὰς δὲ τοῦ καλοῦ καὶ τοῦ ἀγαθοῦ στοχαζομένας προϊσταμένους διὰ τούτων ἅμα μὲν ἀποκλείειν τοὺς πολλοὺς τῆς μηδὲν αὐτοῖς προσηκούσης τῶν θείων γνώσεως, ἅμα δὲ εὐαγῶς περὶ τοὺς θεοὺς χρῆσθαι τοῖς μυθικοῖς πλάσμασιν. ταῦτ' ἐστίν, ἃ καὶ ὁ Σωκράτης οἶμαι τῇ τε Ὁμήρου μυθοποιΐᾳ καὶ τοῖς ἄλλοις ἐπιπλήττει ποιηταῖς, 〈καὶ〉 ἕτερός τις ἴσως ἂν ἐγκαλέσειεν, ταῖς φαινομέναις τῶν ὀνομάτων τερατολογίαις οὐκ ἀρεσκόμενος.

in R.1.74 καὶ δὴ διαφερόντως οἱ καθ' ἡμᾶς ἄνθρωποι τοῖς παλαιοῖς μύθοις ἐπιτιμᾶν εἰώθασιν, ὡς πολλῆς μὲν εὐχερείας ἐν ταῖς περὶ θεῶν δόξαις, πολλῆς δὲ ἀτόπου καὶ πλημμελοῦς φαντασίας

αἰτίοις γεγονόσιν καὶ οὐδὲν ἀλλ᾽ ἢ πρὸς τὴν παροῦσαν τοὺς πολλοὺς δεινὴν καὶ ἄτακτον σύγχυσιν τῶν ἱερῶν θεσμῶν συνεληλακόσιν. Ἡμεῖς δὲ πρὸς μὲν τούτους οὐ πολλοῦ δεησόμεθα λόγου τοὺς τῆς περὶ 〈τὸ〉 θεῖον πλημμελείας αἰτιωμένους τὴν τῶν μύθων παραδοχήν· πρῶτον μὲν ὅτι τοὺς διὰ τὰ φαινόμενα πλάσματα τῆς περὶ τοὺς κρείττους ἡμῶν κατολιγωρήσαντας θεραπείας οὔτε τὸν σκοπὸν τῆς μυθοποιΐας οὔτε τὴν δύναμιν ἐγνωκότας εἰς ταύτην ὑπενηνέχθαι τὴν ἀλόγιστον καὶ Γιγαντικὴν ἀνοσιουργίαν συμβέβηκεν. εἰ γὰρ οἱ μὲν μῦθοι τὴν προβεβλημένην αὐτῶν ἅπασαν σκευὴν ἀντὶ τῆς ἐν ἀπορρήτοις ἱδρυμένης ἀληθείας προεστήσαντο καὶ χρῶνται τοῖς φαινομένοις παραπετάσμασι τῶν ἀφανῶν τοῖς πολλοῖς καὶ ἀγνώστων διανοημάτων (καὶ τοῦτό ἐστιν, ὃ μάλιστα ἐξαίρετον αὐτοῖς ἀγαθὸν ὑπάρχει, τὸ μηδὲν τῶν ἀληθῶν εἰς τοὺς βεβήλους ἐκφέρειν, ἀλλ᾽ ἴχνη τινὰ μόνον τῆς ὅλης μυσταγωγίας προτείνειν τοῖς ἀπὸ τούτων εἰς τὴν ἄβατον τοῖς πολλοῖς θεωρίαν περιάγεσθαι πεφυκόσιν), οἱ δὲ ἀντὶ μὲν τοῦ ζητεῖν τὴν ἐν αὐτοῖς ἀλήθειαν τῷ προσχήματι μόνῳ χρῶνται τῶν μυθικῶν πλασμάτων, ἀντὶ δὲ τῆς καθάρσεως τοῦ νοῦ ταῖς φανταστικαῖς ἐφέπονται καὶ μορφωτικαῖς ἐπιβολαῖς, τίς μηχανὴ τοὺς μύθους αἰτιᾶσθαι τῆς τούτων παρανομίας, ἀλλ᾽ οὐκ ἐκείνους τοὺς κακῶς τοῖς μύθοις χρωμένους τῆς περὶ αὐτοὺς πλημμελείας. ἔπει θ ᾽ ὅτι καὶ ἐκ τῶν ἄλλων ἁπάντων, ὅσα δὴ σεμνὰ καὶ τίμια δοκεῖ διαφερόντως εἶναι καὶ αὐτοῖς ἐνιδρυμένα τοῖς θεοῖς καὶ ὑπ᾽ αὐτῶν παραγόμενα, τοὺς πολλοὺς βλαπτομένους ὁρῶμεν, καὶ οὐ διὰ ταῦτα τὴν ἐκείνων αἰτιώμεθα γένεσιν, ἀλλὰ τὴν τούτων ἀνόητον τῆς ψυχῆς ἕξιν.

in R.1.75 τίς γὰρ οὐκ ἂν συνομολογήσειεν τά τε μυστήρια καὶ τὰς τελετὰς ἀνάγειν μὲν ἀπὸ τῆς ἐνύλου καὶ θνητοειδοῦς ζωῆς τὰς ψυχὰς καὶ συνάπτειν τοῖς θεοῖς, ἀφανίζειν δὲ ἅπασαν τὴν ἐκ τῆς ἀλογίας παρεισδυομένην ταραχὴν ταῖς νοεραῖς ἐλλάμψεσιν, ἐξωθεῖν δὲ τὸ ἀόριστον καὶ τὸ σκοτεινὸν τῶν τελουμένων τῷ φωτὶ τῶν θεῶν; ἀλλ᾽ ὅμως οὐδὲν παραιρεῖται τοὺς πολλοὺς τὸ μὴ οὐχὶ καὶ ἐκ τούτων παντοίας ὑπομένειν διαστροφάς, καὶ τοῖς ἐκ τούτων ἀγαθοῖς καὶ ταῖς δυνάμεσιν κατὰ τὴν οἰκείαν ἕξιν ἐπὶ τὸ χεῖρον χρωμένους ἀφίστασθαι μὲν τῶν θεῶν καὶ τῆς ὄντως ἱερᾶς θρῃσκείας, φέρεσθαι δὲ εἰς τὴν ἐμπαθῆ καὶ ἀλόγιστον ζωήν. ὅστις οὖν ἡμῶν αἰτιᾶται τοὺς μύθους τῆς δεινῆς ταύτης καὶ πλημμελοῦς τῶν παλαιῶν νομίμων συγχύσεως, καὶ τῶν μυστηρίων αἰτιάσθω τὴν ἔκφανσιν καὶ τῶν τελετῶν τὴν εἰς ἀνθρώπους πάροδον. καὶ τί δεῖ περὶ τούτων λέγειν; ἀλλὰ καὶ αὐτὴν ἐξέσται τὴν δημιουργίαν αἰτιᾶσθαι τοῦ παντὸς καὶ τὴν τάξιν τῶν ὅλων καὶ πρόνοιαν τῶν τῇδε πάντων, διότι δὴ καὶ τοῖς ἐκ τούτων ἐνδιδομένοις οἱ δεχόμενοι χρῶνται κακῶς. ἀλλ᾽ οὔτε ταῦτα ὅσια φαίην ἂν οὔτε τὴν κατὰ τῶν μύθων διαβολὴν ἀπὸ τῆς τῶν πολλῶν παραφορᾶς δικαίαν ἄξιον ἡγεῖσθαι. οὐ γὰρ ἐκ τῶν διαστρόφως χρωμένων τὴν τῶν πραγμάτων ἀρετήν τε καὶ κακίαν κριτέον, ἀλλ᾽ ἀπὸ τῆς οἰκείας ἕκαστα φύσεως καὶ τῆς ἐν αὐτοῖς ὀρθότητος δοκιμάζειν προσήκει. ταῦτά τοι καὶ ὁ Ἀθηναῖος ξένος [leg. I 646a sqq.] οὐδὲ αὐτὴν ἐκβάλλειν οἴεται χρῆναι τὴν μέθην τῆς εὖ διοικουμένης πόλεως διὰ τὴν τῶν πολλῶν ἄσκοπον καὶ ἀόριστον περὶ αὐτὴν φοράν, ἀλλ᾽ ἀπὸ τῆς ἐναντίας χρήσεως τῆς ὀρθῆς καὶ ἔμφρονος μεγάλην μοῖραν καὶ ταύτην εἰς παιδείαν συμβάλλεσθαί φησιν.

in R.1.76 καίτοι φαίη τις ἂν καὶ τὴν μέθην διαφθείρειν τά τε σώματα καὶ τὰς ψυχὰς τῶν χρωμένων· ἀλλ᾽ οὐχ ὅ γε νομοθέτης διὰ ταῦτα τῆς προσηκούσης αὐτὴν ἀξίας παραιρεῖται καὶ τῆς πρὸς ἀρετὴν συντελείας. οὔτ᾽ οὖν ἡ μέθη φευκτὸν διὰ τοὺς πολλοὺς καὶ ἀπαιδεύτως αὐτὴν καὶ ἀμούσως μεταδιώκοντας, οὔτε αἱ τελεταὶ καὶ αἱ τῶν μυστηρίων δυνάμεις διὰ τὴν τῶν δεχομένων μοχθηρίαν κατηγορίας ἄξιαι τοῖς ἔμφροσιν, οὔτε οἱ μῦθοι διὰ τὴν τῶν εἰκῇ καὶ ἀλόγως αὐτοῖς χρωμένων διαστροφὴν βλαβεροὶ τοῖς ἀκούουσιν ἂν νομίζοιντο δικαίως, ἀλλ᾽ ἐν ἅπασι τούτοις τὴν τῶν μεταχειριζομένων αἰτιατέον πλημμελῆ καὶ ἀνόητον ἕξιν, δι᾽ ἣν καὶ τοῖς τοῦ ἀγαθοῦ στοχαζομένοις ἐπὶ τὸ χεῖρον χρώμενοι τοῦ προσήκοντος αὐτοῖς τέλους ἀποτυγχάνουσιν. Εἰ δέ τις τὴν προφαινομένην αἰτιᾶται τῆς μυθοποιΐας αἰσχρότητα καὶ τὸ τῶν ὀνομάτων φορτικὸν

καὶ διὰ ταῦτα τῆς πρεπούσης αὐτὸν ἀποστερεῖ τῶν θείων μιμήσεως (ἅπας γὰρ δήπου μιμητὴς διὰ τῶν φύσει προσηκόντων τοῖς παραδείγμασιν ἀπεικονίζεται τὴν ἐκείνων ἰδέαν, ἀλλ᾽ οὐ διὰ τῶν ἐναντιωτάτων καὶ πόρρω τῆς τῶν ἀρχετύπων οὐσίας καὶ δυνάμεως βεβλημένων), πρῶτον μὲν διαιρετέον οἶμαι τὰς τῶν μύθων προαιρέσεις καὶ χωρὶς ἀφοριστέον τούς τε παιδευτικοὺς λεγομένους καὶ τοὺς ἐνθεαστικωτέρους καὶ πρὸς τὸ πᾶν ἀποβλέποντας μᾶλλον ἢ τὴν τῶν ἀκουόντων ἕξιν· ἔπειτα διακριτέον τὰς τῶν χρωμένων αὐτοῖς ζωάς, καὶ τὰς μὲν νεαροπρεπεῖς καὶ ἐν ἤθεσιν ἀπαλοῖς τρεφομένας θετέον, τὰς δὲ ἀνεγείρεσθαι πρὸς νοῦν δυναμένας καὶ πρὸς τὰ ὅλα γένη τῶν θεῶν καὶ τὰς διὰ πάντων προόδους τῶν ὄντων καὶ τὰς σειρὰς καὶ τὰς ἀποτελευτήσεις τὰς ἄχρι τῶν ἐσχάτων ἀνατείνεσθαι σπευδούσας.

in R.1.77 καὶ τοῦτον δὴ τὸν τρόπον τάς τε τῶν μύθων ἰδέας διαστήσαντες ἀπ᾽ ἀλλήλων καὶ τὰς τῶν ὑποδεχομένων αὐτοὺς ἐπιτηδειότητας, τὸ μὲν μήτε πρὸς παιδείαν συντελεῖν τοὺς μύθους τούτους, οὓς Ὅμηρός τε καὶ Ἡσίοδος ἐγραψάτην, μήτε τοῖς νέοις προσήκειν αὐτῶν τὴν ἀκρόασιν συγχωρῶμεν τοῖς λέγουσιν· ὅτι δὲ τῇ φύσει τῶν ὅλων ἔπονται καὶ τῇ τάξει τῶν ὄντων καὶ τοὺς ἀνάγεσθαι δυναμένους εἰς τὴν τῶν θείων πραγμάτων περιωπὴν αὐτοῖς συνάπτουσιν τοῖς ὄντως οὖσιν, τοῦτο προστιθῶμεν. κατιδόντες γὰρ οἱ τῆς μυθοποιΐας πατέρες, ὅτι καὶ ἡ φύσις εἰκόνας δημιουργοῦσα τῶν ἀΰλων καὶ νοητῶν εἰδῶν καὶ τόνδε τὸν κόσμον ποικίλλουσα τοῖς τούτων μιμήμασιν τὰ μὲν ἀμέριστα μεριστῶς ἀπεικονίζεται, τὰ δὲ αἰώνια διὰ τῶν κατὰ χρόνον προϊόντων, τὰ δὲ νοητὰ διὰ τῶν αἰσθητῶν, ἐνύλως τε τὸ ἄϋλον ἀποτυποῦται καὶ διαστατῶς τὸ ἀδιάστατον καὶ διὰ μεταβολῆς τὸ μονίμως ἱδρυμένον, ἑπομένως τῇ τε φύσει καὶ τῇ προόδῳ τῶν φαινομένως ὄντων καὶ εἰδωλικῶς, εἰκόνας καὶ αὐτοὶ πλάττοντες ἐν λόγοις φερομένας τῶν θείων τοῖς ἐναντιωτάτοις καὶ πλεῖστον ἀφεστηκόσιν τὴν ὑπερέχουσαν τῶν παραδειγμάτων ἀπομιμοῦνται δύναμιν, καὶ τοῖς μὲν παρὰ φύσιν τὸ ὑπὲρ φύσιν αὐτῶν ἐνδείκνυνται, τοῖς δὲ παραλόγοις τὸ παντὸς λόγου θειότερον, τοῖς δὲ φανταζομένοις ὡς αἰσχροῖς τὸ παντὸς μεριστοῦ κάλλους ὑπερηπλωμένον· καὶ οὕτω δὴ κατὰ λόγον τὸν εἰκότα τῆς ἐκείνων ἡμᾶς ἀναμιμνήσκουσιν ἐξῃρημένης ὑπεροχῆς. πρὸς δὲ αὖ τούτοις καθ᾽ ἑκάστην τάξιν θεῶν ἄνωθεν ἄχρι τῶν τελευταίων ὑφιζάνουσαν καὶ διὰ πάντων ἐπεξιοῦσαν τῶν ἐν τοῖς οὖσιν γενῶν ἔξεστιν θεᾶσθαι τῶν σειρῶν ἀποτελευτήσεις τοιαύτας ἰδιότητας προστησαμένας, ὁποίας οἱ μῦθοι τοῖς θεοῖς αὐτοῖς ἀπονέμουσιν, καὶ τοιούτων πραγμάτων ὑποστατικὰς καὶ συνεκτικάς, δι᾽ οἵων ἐκεῖνοι τὴν περὶ τῶν πρωτίστων ἀπόρρητον θεωρίαν κατέκρυψαν.

in R.1.78 τὰ γὰρ ἔσχατα τῶν δαιμονίων γενῶν καὶ περὶ τὴν ὕλην στρεφόμενα τῆς τε τῶν κατὰ φύσιν δυνάμεων παρατροπῆς καὶ τῆς αἰσχρότητος τῶν ἐνύλων καὶ τῆς εἰς τὴν κακίαν παραφορᾶς καὶ τῆς ἀτάκτου καὶ πλημμελοῦς προέστηκεν κινήσεως. δεῖ γὰρ εἶναι καὶ ταῦτα ἐν τῷ παντὶ καὶ συμπληροῦν τὴν ποικιλίαν τῆς ὅλης διακοσμήσεως, καὶ τῆς παρυποστάσεως αὐτῶν καὶ τῆς στάσεως καὶ τῆς διαμονῆς ἐν τοῖς ἀϊδίοις γένεσιν περιέχεσθαι τὴν αἰτίαν. ἃ δὴ καὶ οἱ τῶν ἱερῶν θεσμῶν ἡγεμόνες κατανοήσαντες περιόδοις ὡρισμέναις ἔταξαν γέλωτά τε καὶ θρήνους ἐπιτελεῖσθαι, τοῖς τοιούτοις γένεσιν ἀφοσιούμενοι καὶ τῆς ὅλης περὶ τὸ θεῖον ἁγιστείας τὴν προσήκουσαν μοῖραν ἀποκληρώσαντες. ὥσπερ οὖν ἡ τῶν ἱερῶν τέχνη κατανείμασα δεόντως τὴν σύμπασαν θρῃσκείαν τοῖς θεοῖς καὶ τοῖς τῶν θεῶν ὀπαδοῖς, ἵνα μηδὲν ἄμοιρον τῆς ἐπιβαλλούσης θεραπείας ἀπολείπηται τῶν ἀϊδίως ἑπομένων τοῖς θεοῖς, τοὺς μὲν ταῖς ἁγιωτάταις τελεταῖς καὶ τοῖς μυστικοῖς συμβόλοις προσάγεται, τῶν δὲ τοῖς φαινομένοις παθήμασιν προκαλεῖται τὰς δόσεις διὰ δή τινος ἀρρήτου συμπαθείας, οὕτως ἄρα καὶ οἱ τῶν τοιῶνδε μύθων πατέρες εἰς πᾶσαν ὡς εἰπεῖν ἀποβλέψαντες τὴν τῶν θείων πρόοδον καὶ τοὺς μύθους εἰς ὅλην ἀνάγειν σπεύδοντες τὴν ἀφ᾽ ἑκάστου προϊοῦσαν σειρὰν τὸ μὲν προβεβλημένον αὐτῶν καὶ εἰδωλικὸν ἀνάλογον ὑπεστήσαντο τοῖς ἐσχάτοις γένεσιν καὶ τῶν τελευταίων καὶ ἐνύλων προεστηκόσι παθῶν, τὸ δὲ ἀποκεκρυμμένον καὶ ἄγνωστον τοῖς

πολλοῖς τῆς ἐν ἀβάτοις ἐξῃρημένης τῶν θεῶν οὐσίας ἐκφαντικὸν τοῖς φιλοθεάμοσιν τῶν ὄντων παρέδοσαν.

in R.1.79 καὶ οὕτω δὴ τῶν μύθων ἕκαστος δαιμόνιος μέν ἐστιν κατὰ τὸ φαινόμενον, θεῖος δὲ κατὰ τὴν ἀπόρρητον θεωρίαν. Εἰ δὴ ταῦτα ὀρθῶς εἴπομεν, οὔτε τοὺς Ὁμηρικοὺς μύθους διὰ ταῦτα τῆς πρὸς τὰ πράγματα τὰ ὄντως ὄντα οἰκειότητος παραιρεῖσθαι προσήκει, διότι μὴ πρὸς παιδείαν ἡμῖν συντελοῦσιν τῶν νέων (οὐ γὰρ παιδευτικὸν τῶν τοιούτων ἐστὶ μύθων τὸ τέλος, οὐδὲ εἰς τοῦτο βλέποντες αὐτοὺς οἱ μυθοπλάσται παρέδοσαν), οὔτε τοὺς παρὰ τῷ Πλάτωνι γεγραμμένους εἰς τὴν αὐτὴν ἰδέαν ἀναπέμπειν τοῖς ἐνθεαστικωτέροις, ἀλλὰ χωρὶς ἑκατέρους ἀφορίζειν· καὶ τοὺς μὲν φιλοσοφωτέρους τίθεσθαι, τοὺς δὲ τοῖς ἱερατικοῖς θεσμοῖς προσήκοντας, καὶ τοὺς μὲν νέοις ἀκούειν πρέποντας, τοὺς δὲ τοῖς διὰ πάσης ὡς εἰπεῖν τῆς ἄλλης παιδείας ὀρθῶς ἠγμένοις καὶ εἰς τὴν τῶν τοιῶνδε μύθων ἀκρόασιν ὥσπερ ὄργανόν τι μυστικὸν ἱδρῦσαι τὸν τῆς ψυχῆς νοῦν ἐφιεμένοις. ἀλλ᾽ ὁ μὲν Σωκράτης καὶ ταῦτα ἱκανῶς ἐνδείκνυται τοῖς συνορᾶν δυναμένοις, καὶ ὅτι τῆς Ὁμήρου μυθοποιΐας ὡς μήτε παιδευτικῆς μήτε τοῖς τῶν νέων ἁπλάστοις καὶ ἀβάτοις ἤθεσιν συναρμοζομένης ἐπιλαμβάνεται, καὶ ὡς τὸ ἀπόρρητον αὐτῆς καὶ κρύφιον ἀγαθὸν μυστικῆς τινος δεῖται καὶ ἐνθεαστικῆς νοήσεως. οἱ δὲ πολλοὶ τῶν Σωκρατικῶν λόγων οὐκ ἐπῃσθημένοι πόρρω ποι τῆς τοῦ φιλοσόφου διανοίας ἀποπεπτωκότες διαβάλλουσιν ἅπαν τὸ τοιοῦτον τῶν μύθων εἶδος. Τί δὴ οὖν φησιν ὁ Σωκράτης περὶ αὐτῶν, ἄξιον ἀκούειν, καὶ δι᾽ ἣν αἰτίαν ἀποσκευάζεται τὴν τοιάνδε μυθολογίαν. ὁ γὰρ νέος οὐχ οἷός τε κρίνειν ὅτι τε ὑπόνοια καὶ ὃ μ ή , ἀλ λ ᾽ ὅ ς ᾽ ἂν τηλικοῦτος ὢν λάβῃ ἐν ταῖς δόξαι ς , δυσέκνιπτά τε καὶ ἀμετάστατα φιλεῖ γίνεσθα ι , ὧν δὴ ἴσως ἕνεκα περὶ παντὸς ποιητέον ἃ πρῶτα ἀκούουσι ν , ὅτι κάλλιστα μεμυθολογημένα πρὸς ἀρετὴν ἀκούειν [II p.

in R.1.80 378d]. εἰκότως ἄρα τοὺς Ὁμηρικοὺς μύθους οὐκ εὖ μεμιμῆσθαι λέγομεν τὸ θεῖον· οὐ γὰρ πρὸς ἀρετὴν καὶ παιδείαν οὐδὲ τὴν ὀρθὴν τῶν νέων ἀγωγὴν συντελοῦσιν τοῖς νομοθέταις, ἀλλὰ ταύτῃ μὲν οὐδὲν ἐοικότες φαίνονται τοῖς οὖσιν, οὐδ᾽ ἂν πρέποιεν τοῖς τῆς πολιτικῆς ἐπιστήμης προϊσταμένοις, τρόπον δὲ ἄλλον συναρμόζονται τοῖς θεοῖς καὶ ἀνάγουσιν εἰς τὴν ἐκείνων θεωρίαν τοὺς εὖ πεφυκότας· καὶ τὸ ἀγαθὸν αὐτῶν ἐστιν οὐ παιδευτικὸν ἀλλὰ μυστικόν, οὐδὲ νεαροπρεποῦς ἕξεως ἀλλὰ πρεσβυτικῆς στοχαζόμενον. δηλοῖ δέ που καὶ τοῦτο ὁ Σωκράτης λέγων, ὅτι δ ι ᾽ ἀπορρήτων ἀκούειν ὡς ὀλιγίστους πρέπει τῶν τοιούτων μύθων, θυσαμένους οὐ χοῖρον ἀλλά τι μέγα καὶ ἄπορον θῦμα [p. 378a]. πολλοῦ ἄρα δεῖ κατὰ τὴν πολλῶν δόξαν ἀτιμάζειν τὸν τρόπον τοῦτον τῆς μυθοποιΐας, 〈ὅτε〉 ταῖς τε ἁγιωτάταις τῶν τελετῶν καὶ τοῖς τελειοτάτοις τῶν μυστηρίων σύστοιχον αὐτῆς ἀποφαίνεται τὴν ἀκρόασιν ὑπάρχειν. τὸ γὰρ μετὰ θυσιῶν καὶ τούτων τῶν μεγίστων καὶ τελεωτάτων ἐν ἀπορρήτῳ χρῆναι τοὺς τοιούτους μύθους ἐκφαίνεσθαι μυσταγωγίαν καὶ τελετὴν ἀναγωγὸν τῶν ἀκουόντων εἶναι δηλοῖ τὴν ἐν αὐτοῖς θεωρίαν. ὅστις οὖν ἡμῶν τὸ παιδαριῶδες τῆς ψυχῆς καὶ νεαροπρεπὲς ἀπεσκευάσατο καὶ τὰς τῆς φαντασίας ἀορίστους ὁρμὰς κατεστήσατο καὶ νοῦν ἡγεμόνα προὐστήσατο τῆς ἑαυτοῦ ζωῆς, οὗτος ἐγκαιρότατα ἂν μετέχοι τῶν ἐν τοῖς τοιοῖσδε μύθοις ἀποκεκρυμμένων θεαμάτων, παιδείας δὲ αὖ ἔτι καὶ τῆς τῶν ἠθῶν συμμετρίας προσδεόμενος οὐκ ἂν ἀσφαλῶς ἅπτοιτο τῆς τούτων θεωρίας. οὐ γὰρ δεῖ τι τοῖς τῶν θεῶν μυστικοῖς νοήμασιν κάτωθεν ἀπὸ τῆς ὕλης προσφέρειν, οὐδὲ κατατεινόμενον ὑπὸ τῶν φανταστικῶν κινήσεων ἐπιπηδᾶν ταῖς τῷ νῷ καταφανέσιν ἐπιβολαῖς, οὐδὲ συγχεῖν ἀλλήλοις τά τε τῆς ἀλογίας παθήματα καὶ τὰ τῆς θεωρητικῆς ἐνεργείας ἐξαίρετα ἀγαθά, ἀλλὰ τῷ τε Σωκράτει πειθομένους καὶ τῇ τάξει τῆς ἐπὶ τὸ θεῖον ἀναγωγῆς χωρὶς μὲν τῆς ὀρθῆς ἅπτεσθαι τῶν ἠθῶν παιδείας, χωρὶς δὲ τῆς νοερᾶς τῶν ὄντων περιωπῆς ἀντιλαμβάνεσθαι, καὶ ζῆν ἑκατέρᾳ πρεπόντως, ἀρχομένους μὲν ἀπὸ τῆς καταδεεστέρας καὶ πολιτικωτέρας ἀγωγῆς, τελευτῶντας δὲ εἰς αὐτὴν τὴν πρὸς τὸ θεῖον μυστικὴν ἕνωσιν.

in R.1.81 Ταῦτα μὲν οὖν ἄλλος ἂν εἴη τρόπος λόγων· ὅτι δὲ καὶ τῷ Σωκράτει δέδοκται καὶ τὸ τῶν μύθων εἶδος εἶναι διττόν, ἐκ τῶν εἰρημένων ὑπέμνησται, λέγω δὲ ὡς τὸ μέν ἐστι παιδευτικόν, τὸ δὲ τελεστικόν, καὶ τὸ μὲν πρὸς τὴν ἠθικὴν ἀρετὴν παρασκευάζον, τὸ δὲ τὴν πρὸς τὸ θεῖον συναφὴν παρεχόμενον, καὶ τὸ μὲν τοὺς πολλοὺς ἡμῶν ὠφελεῖν δυνάμενον, τὸ δὲ ἐλαχίστοις συναρμοζόμενον, καὶ τὸ μὲν κοινὸν καὶ γνώριμον τοῖς ἀνθρώποις, τὸ δὲ ἀπόρρητον καὶ ἀσύμμετρον τοῖς μὴ τελέως ἐνιδρῦσθαι τῷ θείῳ σπουδάζουσιν, καὶ τὸ μὲν ταῖς τῶν νέων ἕξεσιν σύστοιχον, τὸ δὲ μετὰ θυσιῶν καὶ μυστικῆς παραδόσεως μόλις ἐκφαινόμενον. εἰ τοίνυν ταῦτα καὶ ὁ Σωκράτης ἡμᾶς ἀναδιδάσκει, πῶς οὐχὶ συμφωνεῖν μὲν αὐτὸν πρὸς τὸν Ὅμηρον φήσομεν περὶ ὧν μυθικῶς διεξέρχεται, τοσοῦτον δὲ ἄρα τῆς παρ' αὐτῷ μυθοποιΐας ἀποσκευάζεσθαι καὶ διελέγχειν, ὅσον πρὸς τὴν παροῦσαν τῶν λόγων ὑπόθεσιν καὶ τὴν τῆς παιδείας τῶν νέων ὑφήγησιν ἀνάρμοστον αὐτῆς καταφαίνεται; Ἀλλὰ ταῦτα μὲν μικρὸν ὕστερον· εἰ δὲ δεῖ τῶν μυθικῶν πλασμάτων ἄλλως μὲν τοὺς νομοθέτας ἐφάπτεσθαι καὶ τὰς ἀτελεστέρας ἕξεις θεραπεύειν ἐπιχειροῦντας, ἄλλως δὲ τοὺς ἐνθεαστικαῖς ἐπιβολαῖς τὴν ἄρρητον τῶν θεῶν οὐσίαν τοῖς ἔπεσθαι πρὸς τὸ ἄναντες τῆς θεωρίας δυναμένοις ἐνδεικνυμένους, οὔτε τὰς Ἡφαίστου ῥίψεις ἀπορήσομεν ἀνάγειν εἰς τὴν περὶ θεῶν ἀνέλεγκτον ἐπιστήμην οὔτε τοὺς Κρονίους δεσμοὺς οὔτε τὰς Οὐρανοῦ τομάς, ἃ δὴ ταῖς τῶν νέων ἀκοαῖς ἀσύμμετρά φησιν ὁ Σωκράτης ὑπάρχειν καὶ οὐδαμῶς συναρμόζεσθαι ταῖς ἕξεσιν τῶν παιδείας μόνης δεομένων· ὅλως γὰρ ἐν ἀλλοτρίαις ὑποδοχαῖς ἡ μυστικὴ τῶν θείων γνῶσις οὐκ ἄν ποτε ἐγγένοιτο.

in R.1.82 τούτοις δὴ οὖν τοῖς τῶν τοιῶνδε θεαμάτων ἐπηβόλοις λέγοντες, ὡς ἄρα ἡ μὲν Ἡφαίστου ῥῖψις τὴν ἄνωθεν ἄχρι τῶν τελευταίων ἐν τοῖς αἰσθητοῖς δημιουργημάτων τοῦ θείου πρόοδον ἐνδείκνυται, κινουμένην καὶ τελειουμένην καὶ ποδηγετουμένην ὑπὸ τοῦ πάντων δημιουργοῦ καὶ πατρός, οἱ δὲ Κρόνιοι δεσμοὶ τὴν ἕνωσιν τῆς ὅλης δημιουργίας πρὸς τὴν νοερὰν τοῦ Κρόνου καὶ πατρικὴν ὑπεροχὴν δηλοῦσιν, αἱ δὲ τοῦ Οὐρανοῦ τομαὶ τὴν διάκρισιν τῆς Τιτανικῆς σειρᾶς ἀπὸ τῆς συνεκτικῆς διακοσμήσεως αἰνίσσονται, τάχα ἂν γνώριμα λέγοιμεν καὶ τὸ τῶν μύθων τραγικὸν καὶ πλασματῶδες εἰς τὴν νοερὰν τῶν θείων γενῶν ἀναπέμποιμεν θεωρίαν. πάντα γὰρ τὰ παρ' ἡμῖν κατὰ τὸ χεῖρον ἐμφανταζόμενα καὶ τῆς καταδεεστέρας ὄντα συστοιχίας ἐπ' ἐκείνων οἱ μῦθοι κατ' αὐτὴν τὴν κρείττονα φύσιν καὶ δύναμιν παραλαμβάνουσιν. οἷον ὁ δεσμὸς παρ' ἡμῖν μὲν κώλυσίς ἐστι καὶ ἐπίσχεσις τῆς ἐνεργείας, ἐκεῖ δὲ συναφὴ πρὸς τὰ αἴτια καὶ ἕνωσις ἄρρητος. καὶ ἡ ῥῖψις ἐνταῦθα μὲν κίνησίς ἐστι βίαιος ὑπ' ἄλλου, παρὰ δὲ τοῖς θεοῖς τὴν γόνιμον ἐνδείκνυται πρόοδον καὶ τὴν ἄφετον ἐπὶ πάντα παρουσίαν καὶ εὔλυτον, οὐκ ἀφισταμένην τῆς οἰκείας ἀρχῆς, ἀλλ' ἀπ' ἐκείνης διὰ πάντων ἐν τάξει προϊοῦσαν. καὶ αἱ τομαὶ τοῖς μὲν μεριστοῖς πράγμασιν καὶ ἐνύλοις ἐλάττωσιν ἐμποιοῦσιν τῆς δυνάμεως, ἐν δὲ ταῖς πρωτουργοῖς αἰτίαις πρόοδον τῶν δευτέρων εἰς ὑφειμένην τάξιν ἀπὸ τῶν σφετέρων αἰτίων αἰνίσσονται, τῶν πρώτων ἀνελαττώτων ἐν ἑαυτοῖς ἱδρυμένων, καὶ μήτε κινουμένων ἀφ' ἑαυτῶν διὰ τὴν τούτων πρόοδον μήτε ἐλασσουμένων διὰ τὸν τούτων χωρισμὸν μήτε διαιρουμένων διὰ τὴν ἐν τοῖς καταδεεστέροις διάκρισιν.

in R.1.83 ἀλλὰ ταῦτα καὶ ὁ Σωκράτης φησὶν νέοις μὲν ἀνεπιτήδεια ἀκούειν, τοῖς δὲ ἐν ἀπορρήτῳ τὴν περὶ θεῶν ἀλήθειαν συναιρεῖν ἀπὸ τῶν μυθικῶν συμβόλων δυναμένοις ζητεῖν τε καὶ θεάσασθαι προσήκει· καὶ οὐ διὰ τοῦτο παντελῶς ἐκβλητέα, διότι πρὸς τὰς τῶν νέων ἕξεις ἐστὶν ἀνάρμοστα. πέπονθεν γὰρ τοῦτο καὶ ταῦτα τὰ μυθικὰ πλάσματα, ὅπερ ὁ Πλάτων πού φησι τὰ θεῖα καὶ παναγέστατα τῶν δογμάτων πεπονθέναι. καὶ γὰρ ταῦτα τοῖς μὲν πολλοῖς ἐστι καταγέλαστα, τοῖς δὲ εἰς νοῦν ἀνεγειρομένοις ὀλίγοις δή τισιν ἐκφαίνει τὴν ἑαυτῶν πρὸς τὰ πράγματα συμπάθειαν, καὶ τὴν ἐξ αὐτῶν τῶν ἱερατικῶν ἔργων παρέχεται πίστιν τῆς πρὸς τὰ θεῖα συμφυοῦς δυνάμεως· καὶ γὰρ οἱ θεοὶ τῶν τοιῶνδε συμβόλων ἀκούοντες χαίρουσιν καὶ τοῖς καλοῦσιν ἑτοίμως πείθονται καὶ τὴν ἑαυτῶν ἰδιότητα προφαίνουσιν διὰ τούτων ὡς οἰκείων

αὐτοῖς καὶ μάλιστα γνωρίμων συνθημάτων· καὶ τὰ μυστήρια καὶ αἱ τελεταὶ καὶ τὸ δραστήριον ἐν τούτοις ἔχουσιν καὶ ὁλόκληρα καὶ ἀτρεμῆ καὶ ἁπλᾶ θεάματα διὰ τούτων προξενοῦσιν τοῖς μύσταις καθορᾶν, ὧν ὁ νέος τὴν ἡλικίαν καὶ πολὺ μᾶλλον ὁ τὸ ἦθος τοιοῦτος ἄδεκτός ἐστιν. μὴ τοίνυν λέγωμεν ὡς οὐ παιδευτικοὶ πρὸς ἀρετήν εἰσιν οἱ τοιοίδε μῦθοι τῶν παρ' Ἕλλησιν θεολόγων, ἀλλ' ὡς οὐχὶ τοῖς ἱερατικοῖς θεσμοῖς συμφωνότατοι δεικνύωμεν, μηδὲ ὡς ἀνομοίως μιμοῦνται τὰ θεῖα διὰ τῶν ἀπεμφαινόντων συμβόλων, ἀλλ' ὡς οὐχὶ συμπάθειαν ἡμῖν ἄρρητον προπαρασκευάζουσιν εἰς τὴν μετουσίαν τῶν θεῶν.

in R.1.84 οἱ μὲν γὰρ εἰς τὴν τῶν νέων παιδείαν συντείνοντες ἔστωσαν πολὺ μὲν τὸ εἰκὸς ἔχοντες, πολλὴν δὲ τὴν ἐν τοῖς φαινομένοις τύποις τῆς μυθοποιΐας εὐπρέπειαν, πάντῃ δὲ τῶν ἐναντίων ὀνομάτων καθαρεύοντες καὶ δι' ὁμοιότητος τῶν συμβόλων πρὸς τὰ θεῖα συνάπτοντες, οἱ δὲ ἐνθεαστικωτέρας στοχαζόμενοι ἕξεως καὶ δι' ἀναλογίας μόνης τὰ ἔσχατα τοῖς πρωτίστοις συναρμόζοντες καὶ τῆς ἐν τῷ παντὶ συμπαθείας τῶν ἀποτελεσμάτων πρὸς τὰ γεννητικὰ αὐτῶν αἴτια ποιούμενοι τὸν σύμπαντα λόγον εἰκότως δήπου τῶν πολλῶν ἡμῶν ὑπεριδόντες χρῶνται παντοίως τοῖς ὀνόμασιν εἰς τὴν τῶν θείων πραγμάτων ἔνδειξιν. ἐπεὶ καὶ τὴν ἁρμονίαν ἄλλην μὲν εἶναι τὴν μιμητικήν φαμεν καὶ διὰ τῶν πρὸς ἀρετὴν ἐγειρόντων μελῶν τὰς τῶν νέων ψυχὰς θεραπεύουσαν, ἄλλην δὲ τὴν ἔνθεον καὶ κινητικὴν τῶν ἀκουόντων καὶ τῆς θείας μανίας ποιητικήν, ἣν δὴ κρείττονα σωφροσύνης ἐπονομάζομεν· καὶ τὴν μὲν συμπληροῦν τὴν ὅλην παιδείαν ὑπειλήφαμεν, τὴν δὲ ὡς ἀνάρμοστον πρὸς τὴν πολιτικὴν διακόσμησιν ἀποσκευαζόμεθα. ἢ οὐ διὰ τοῦτο καὶ τὴν Φρύγιον ἁρμονίαν ὁ Σωκράτης ὡς ἐκστατικὴν τῶν ψυχῶν ἐκβάλλειν τῶν πρὸς παιδείαν συντελούντων τῆς μουσικῆς τρόπων ἠξίωσεν [Lach. p. 188d]; ὥσπερ οὖν ἡ ἁρμονία διττή, καὶ ἡ μὲν οἰκεία τοῖς παιδευτικοῖς, ἡ δὲ ἀλλότριος, οὕτως ἄρα καὶ ἡ μυθολογία διῄρηται πρός τε τὴν τῶν νέων ὀρθὴν ἀγωγὴν καὶ πρὸς τὴν ἱερατικὴν καὶ συμβολικὴν τοῦ θείου πρόκλησιν. καὶ ἡ μὲν δι' εἰκόνων μέθοδος τοῖς γνησίως φιλοσοφοῦσιν προσήκει, ἡ δὲ δι' ἀπορρήτων συνθημάτων τῆς θείας οὐσίας ἔνδειξις τοῖς τῆς μυστικωτέρας ἡγεμόσιν τελεσιουργίας, ἀφ' ἧς δὴ καὶ αὐτὸς ὁ Πλάτων πολλὰ τῶν οἰκείων δογμάτων ἀξιοῖ πιστότερα καὶ ἐναργέστερα δεικνύναι.

in R.1.85 δηλοῖ δὲ ἐν Φαίδωνι [p. 62b. 69c. 108a] τό τε ἐν ἀπορρήτοις λεγόμενον, ὡς ἔν τινι φρουρᾷ ἐσμεν οἱ ἄνθρωποι, σιγῇ τῇ πρεπούσῃ σέβων, καὶ τὰς τελετὰς μαρτυρόμενος τῶν διαφόρων λήξεων τῆς ψυχῆς κεκαθαρμένης τε καὶ ἀκαθάρτου εἰς Ἅιδου ἀπιούσης, καὶ τάς τε σχίσεις αὖ καὶ τὰς τριόδους ἀπὸ τῶν ὁσίων καὶ τῶν πατρίων θεσμῶν τεκμαιρόμενος, ἃ δὴ τῆς συμβολικῆς ἅπαντα θεωρίας ἐστὶ μεστά, καὶ τῶν παρὰ τοῖς ποιηταῖς θρυλουμένων ἀνόδων τε καὶ καθόδων, τῶν τε Διονυσιακῶν συνθημάτων καὶ τῶν Τιτανικῶν ἁμαρτημάτων λεγομένων, καὶ τῶν ἐν Ἅιδου τριόδων καὶ τῆς πλάνης καὶ τῶν τοιούτων ἁπάντων. ὥστ' οὐδ' ἂν αὐτὸς παντελῶς ἀτιμάσειεν τὴν τοιαύτην μυθοποιΐαν, ἀλλ' ὡς πρὸς τὴν παιδευτικὴν τῶν νέων προαίρεσιν ἀλλοτρίαν αὐτὴν ὑπείληφεν· καὶ διὰ ταῦτα τοὺς τῆς θεολογίας τύπους συμμέτρους τοῖς τῶν παιδευτικῶν ἤθεσιν παραδίδωσιν. δοκεῖ δέ μοι καὶ τὸ τῶν ποιητικῶν πλασμάτων τραγικὸν καὶ τὸ τερατῶδες καὶ τὸ παρὰ φύσιν κινεῖν τοὺς ἀκούοντας παντοδαπῶς εἰς τὴν τῆς ἀληθείας ζήτησιν καὶ εἶναι πρὸς τὴν ἀπόρρητον γνῶσιν ὁλκὸν καὶ μὴ ἐπιτρέπειν ἡμῖν διὰ τὴν φαινομένην πιθανότητα μένειν ἐπὶ τῶν προβεβλημένων ἐννοιῶν, ἀλλ' ἀναγκάζειν εἰς τὸ ἐντὸς τῶν μύθων διαβάλλειν καὶ τὸν κεκρυμμένον ἐν ἀφανεῖ τῶν μυθοπλαστῶν περιεργάζεσθαι νοῦν, καὶ θεωρεῖν ὁποίας μὲν φύσεις, ἡλίκας δὲ δυνάμεις ἐκεῖνοι λαβόντες εἰς τὴν αὐτῶν διάνοιαν τοῖσδε τοῖς συμβόλοις αὐτὰς τοῖς μεθ' ἑαυτοὺς ἐσήμηναν. ὅτε τοίνυν ἀνεγείρουσιν μὲν οἱ τοιοίδε μῦθοι τοὺς εὐφυεστέρους πρὸς τὴν ἔφεσιν τῆς ἐν αὐτοῖς ἀποκρύφου θεωρίας καὶ διὰ τὴν φαινομένην τερατολογίαν τῆς ἐν τοῖς ἀδύτοις ἱδρυμένης ἀληθείας ἀνακινοῦσιν τὴν ζήτησιν, τοῖς δὲ βεβήλοις ὧν μὴ θέμις αὐτοῖς 〈οὐ〉 συγχωροῦσιν ἐφάπτεσθαι, πῶς οὐ

διαφερόντως ἂν προσήκοιεν τοῖς θεοῖς αὐτοῖς, ὧν εἰσιν ἐξηγηταὶ τῆς ὑποστάσεως; καὶ γὰρ τῶν θεῶν πολλὰ προβέβληται γένη, τὰ μὲν τῆς δαιμονίας τάξεως, τὰ δὲ τῆς ἀγγελικῆς, καταπλήττοντα τοὺς εἰς τὴν μετουσίαν αὐτῶν ἐγειρομένους καὶ γυμναζομένους πρὸς τὴν τοῦ φωτὸς καταδοχὴν καὶ εἰς ὕψος ἐπαίροντα πρὸς τὴν ἕνωσιν τῶν θεῶν.

in R.1.86 μάλιστα δ' ἄν τις κατίδοι τὴν τῶν μύθων τούτων πρὸς τὸ τῶν δαιμόνων φῦλον συγγένειαν καὶ διὰ τῆς ἐκείνων ἐνεργείας συμβολικῶς τὰ πολλὰ δηλούσης, οἷον εἴ τινες ἡμῶν ὕπαρ ἐγένοντο δαίμοσιν προστυχεῖς ἢ καὶ ὄναρ τῆς παρ' αὐτῶν ἀπολελαύκασιν ἐπιπνοίας πολλὰ τῶν γενομένων ἢ καὶ ἐσομένων ἐκφαινούσης. ἐν πάσαις γὰρ ταῖς τοιαύταις φαντασίαις κατὰ τοὺς μυθοπλάστας ἄλλα ἐξ ἄλλων ἐνδείκνυται, καὶ οὐ τὰ μὲν εἰκόνες, τὰ δὲ παραδείγματα, ὅσα διὰ τούτων σημαίνουσιν, ἀλλὰ τὰ μὲν σύμβολα, τὰ δὲ ἐξ ἀναλογίας ἔχει τὴν πρὸς ταῦτα συμπάθειαν. εἰ τοίνυν δαιμόνιος ὁ τρόπος ἐστὶ τῆς τοιαύτης μυθοποιΐας, πῶς οὐ πάντῃ φήσομεν αὐτὸν ἐξῃρῆσθαι τῆς ἄλλης ἁπάσης τῶν μύθων ποικιλίας, τῆς τε εἰς τὴν φύσιν βλεπούσης καὶ τὰς φυσικὰς δυνάμεις ἀφερμηνευούσης, καὶ τῆς τὰ ἤθη τῶν ψυχῶν παιδεύειν προστησαμένης; Τίνες οἱ παρὰ τοῖς θεολόγοις θεομαχίας διάφοροι τρόποι τὴν ἐν αὐτῇ ἀπόρρητον ἀλήθειαν εἰς φῶς ἄγοντες.

in R.1.87.(1-4) Περὶ μὲν οὖν τῆς τῶν μύθων ἰδέας, καθ' ἣν οἵ τε ἄλλοι ποιηταὶ καὶ Ὅμηρος τὰς περὶ θεῶν μυστικὰς ἐννοίας ἀφανεῖς τοῖς πολλοῖς κατεστήσαντο, τοσαῦτα προειρήσθω. ἔπεται δὲ οἶμαι τοῖς τοῦ Σωκράτους λόγοις τὴν προσήκουσαν ἀποδοῦναι τῶν καθ' ἕκαστα πλασμάτων διάρθρωσιν καὶ θεωρῆσαι, κατὰ ποίας ἄρα τῆς ψυχῆς ἐπιβολὰς ἢ μαχομένους τοὺς θεοὺς ἢ καὶ ἄλλο τι ποιοῦντας ἢ πάσχοντας Ὅμηρος παραδίδωσι διὰ τῆς ἑαυτοῦ ποιήσεως. καὶ πρῶτον εἰ βούλεσθε τὴν λεγομένην ταύτην θεομαχίαν, ἣν Ὅμηρος μὲν ἐποίησεν, ὁ δὲ Σωκράτης ὡς τοῖς παιδευομένοις ἀκούειν οὐδαμῇ πρέπουσαν ἐπιστάσεων ἠξίωσεν, ἐφ' ἡμῶν αὐτῶν κατανοήσωμεν. ὅτι μὲν γὰρ οὔτε στάσις ἐστὶν ἐν τοῖς θεοῖς οὔτε διαφορὰ καὶ μερισμὸς θνητοειδής, ἀλλ' εἰρήνη καὶ ἀπήμων βίος, δηλοῖ που καὶ αὐτὸς ὁ ποιητὴς περὶ τοῦ Ὀλύμπου λέγων, ὡς ὑπέστρωται μὲν τοῖς θεοῖς, οἳ δὲ εὐφροσύνην ἔχουσι πᾶσαν καὶ θέας ἀμηχάνους τὸ κάλλος· τῷ ἔνι τέρπονται μάκαρες θεοὶ ἤματα πάντα [ζ 46]. τίς οὖν διάστασίς ποτε παρεισδύεσθαι δύναται καὶ πόλεμος εἰς τοὺς αἰώνιον λαχόντας τὴν εὐφροσύνην καὶ τὸ ἵλεων ἀεὶ προβεβλημένους καὶ χαίροντας ἐφ' οἷς ἔχουσιν ἀγαθοῖς; εἰ δὲ δεῖ τῆς τε προνοίας τῶν θεῶν καὶ τῆς τῶν προνοουμένων φύσεως ⟦ προβάλλεσθαι ⟧ στοχάζεσθαι τοὺς περὶ αὐτῶν λόγους, οὑτωσί πως οἶμαι τὴν μυθικὴν αὐτῶν πρὸς ἀλλήλους ἐναντίωσιν ἀφερμηνεύσομεν. Καθ' ἕνα μὲν δὴ τρόπον αἱ τῶν ὄντων ἁπάντων διῃρημέναι πρόοδοι καὶ αἱ κατ' οὐσίαν διακρίσεις ἄνωθεν ἀπὸ τῆς ἀγνώστου τοῖς πᾶσιν ἄρχονται τῶν πρωτουργῶν αἰτίων διαιρέσεως καὶ κατὰ τὰς ὑπερηπλωμένας τῶν ὅλων ἀρχὰς ὑφιστάμεναι διεστήκασιν ἀπ' ἀλλήλων· αἳ μὲν τῆς τοῦ πέρατος ἑνοποιοῦ μονάδος ἐξηρτημέναι καὶ περὶ ἐκείνην ἀφορίζουσαι τὴν ἑαυτῶν ὑπόστασιν, αἳ δὲ τῆς γεννητικῆς τῶν ὅλων ἀπειρίας τὴν ἀνέκλειπτον δύναμιν καὶ τὴν πλήθους καὶ προόδων οἰστικὴν αἰτίαν καταδεξάμεναι καὶ περὶ αὐτὴν προστησάμεναι τὴν οἰκείαν ὕπαρξιν.

in R.1.88 ᾗπερ οὖν αἱ πρώτισται τῶν ὄντων ἀρχαὶ διεκρίθησαν ἀλλήλων, ταύτῃ καὶ τὰ θεῖα πάντα γένη καὶ τὰ ὄντως ὄντα τὴν ἀπ' ἀλλήλων ἔσχεν ἐν τάξει διωρισμένην πρόοδον· καὶ τὰ μὲν αὐτῶν ἐξάρχει τῆς ἑνώσεως τοῖς δευτέροις, τὰ δὲ τῆς διαιρέσεως παρέχεται τὴν δύναμιν· καὶ τὰ μὲν τῆς ἐπιστροφῆς ἐστιν αἴτια τοῖς προελθοῦσιν συνελίσσοντα τὸ πλῆθος αὐτῶν εἰς τὰς οἰκείας ἀρχάς, τὰ δὲ αὐτῶν ἀφορίζει 〈τὴν〉 πρόοδον καὶ τὴν ἐκ τῶν ἀρχῶν ὑφειμένην ἀπογέννησιν. ἔτι δὲ τὰ μὲν τῆς γεννητικῆς ἐστιν περιουσίας χορηγὰ τοῖς καταδεεστέροις, τὰ δὲ τῆς ἀτρέπτου καὶ ἀχράντου καθαρότητος παρεκτικά· καὶ τὰ μὲν τῶν χωριστῶν ἀγαθῶν εἰς ἑαυτὰ τὴν αἰτίαν ἀναδησάμενα, τὰ δὲ τῶν συνυφεστηκότων τοῖς μεταλαμβάνουσιν. ὅθεν δὴ καὶ ἐν ταῖς τοῦ ὄντος ἁπάσαις διακοσμήσεσιν ἡ τοιαύτη τῶν γενῶν ἐναντίωσις διαποικίλλεται· καὶ ἡ μὲν

στάσις ἐδράζουσα σταθερῶς ἐν ἑαυτοῖς τὰ ὄντα ταῖς δραστηρίοις καὶ ζωῆς πλήρεσιν τῆς κινήσεως ἀντίκειται δυνάμεσιν, ἡ δὲ τῆς ταυτότητος ὁμοφυὴς κοινωνία ταῖς τῆς ἑτερότητος κατ' εἴδη διακρίσεσιν ἀντιδιῄρηται· τὸ δὲ τῆς ὁμοιότητος γένος τῇ ἀνομοιότητι καὶ τὸ τῆς ἰσότητος τῇ ἀνισότητι κατὰ τὴν αὐτὴν ἀναλογίαν τὴν ἐναντίαν ἔλαχεν τάξιν. καὶ τούτων ἁπάντων αἱ διαιρέσεις ἄνωθεν ἀπὸ τῆς ἀρχικῆς ἀφορίζονται δυάδος, καθ' ἣν ἕκαστα τῶν ὄντων διακρίνεταί τε τοῖς οἰκείοις ὅροις καὶ ἀντιδιῃρημένα πρόεισιν ἀλλήλοις ἀπὸ τῶν γεννητικῶν αἰτίων, καὶ συμπλεκόμενα μετ' ἀλλήλων ἀπογεννᾷ τὴν ποικιλίαν τῶν δευτέρων.

in R.1.89 τί δὴ οὖν ἔτι θαυμαστόν, εἰ καὶ τῶν θεῶν αὐτῶν καὶ τῶν πρωτίστων ἐν τοῖς οὖσιν τοιαύτην ἐναντίωσιν οἱ μυθοπλάσται κατανοήσαντες διὰ τῶν πολέμων αὐτὴν αἰνίσσοιντο τοῖς ἑαυτῶν τροφίμοις, ἀεὶ μὲν ἡνωμένων ἀλλήλοις τῶν θείων γενῶν, ὁμοῦ δὲ τὴν ἕνωσιν καὶ τὴν ἀσύγχυτον διάκρισιν ἐν ἑαυτοῖς προστησαμένων. Καὶ ἕτερον δὲ οἶμαι τρόπον ἔξεστιν λέγειν, αὐτοὺς μὲν τοὺς θεοὺς ἀμερίστως ἀλλήλοις συμφύεσθαι καὶ ἑνοειδῶς ἐν ἀλλήλοις ὑφεστηκέναι, τὰς δὲ προόδους αὐτῶν τὰς εἰς τὸ πᾶν καὶ τὰς μεταδόσεις ἐν τοῖς μετέχουσιν διαιρεῖσθαι καὶ μεριστὰς γίνεσθαι κἀνταῦθα τῆς ἐναντιώσεως ἀναπίμπλασθαι, τῶν προνοουμένων ἀμιγῶς τὰς ἐκεῖθεν προϊούσας δυνάμεις καὶ ἀσυγχύτως καταδέχεσθαι τὰς πολυειδεῖς ἐλλάμψεις οὐ δυναμένων. ἔτι δὲ τὰς τελευταίας τάξεις τὰς ἐξηρτημένας αὐτῶν τῶν θείων, ἅτε πόρρω μὲν τῶν πρωτίστων αἰτίων ἀπογεννωμένας, προσεχεῖς δὲ τοῖς διοικουμένοις καὶ προσύλους ὑπαρχούσας, ἐναντιώσεως ἤδη καὶ διακρίσεως παντοίας μετέχειν καὶ μεριστῶς προεστάναι τῶν ἐνύλων, ἀποτεμαχιζούσας καὶ διαιρούσας τὰς ἑνοειδῶς καὶ ἀμερίστως προϋφεστηκυίας ἐν ταῖς ἑαυτῶν πρωτουργοῖς αἰτίαις δυνάμεις. Τοιούτων δὴ οὖν καὶ τοσούτων τρόπων ὄντων τε καὶ λεγομένων, καθ' οὓς αἱ μυστικαὶ τῶν θεολόγων φῆμαι καὶ ἐπὶ τοὺς θεοὺς αὐτοὺς τὸν πόλεμον ἀναπέμπειν εἰώθασιν, τοὺς μὲν ἄλλους ποιητὰς καὶ περὶ τὴν τῶν θείων πραγμάτων ἐξήγησιν ἐνθεάζοντας κατ' ἐκεῖνον φῶμεν τὸν τρόπον ἐν τοῖς θεοῖς ὑποτίθεσθαι πολέμους τε καὶ μάχας, ὃν καὶ τὰ θεῖα γένη διῄρητο κατὰ τὰς πρωτίστας τῶν ὅλων ἀρχάς.

in R.1.90 τὰ γὰρ ἀναγωγὰ τοῖς γενεσιουργοῖς, καὶ τὰ συνεκτικὰ τοῖς διακριτικοῖς, καὶ τὰ ἑνοποιὰ τοῖς πληθύουσιν τὴν τῶν ὄντων πρόοδον, καὶ τὰ ὁλικὰ τοῖς μεριστῶς δημιουργοῦσι, καὶ τὰ ἁπλωτικὰ τοῖς τῶν μερικῶν προστάταις ἀντικείμενά πως μάχεσθαι καὶ πολεμεῖν ἀλλήλοις οἱ μῦθοι τὴν ἀλήθειαν ἐπικρυπτόμενοι λέγουσιν. ὅθεν οἶμαι καὶ τοὺς Τιτᾶνας τῷ Διονύσῳ καὶ Διῒ τοὺς Γίγαντας ἀνταγωνίζεσθαί φασιν· τοῖς μὲν γὰρ ὡς πρὸ τοῦ κόσμου δημιουργοῖς ἥ τε ἕνωσις προσήκει καὶ ἡ ἀμέριστος ποίησις καὶ ἡ πρὸ τῶν μερῶν ὁλότης, οἳ δὲ εἰς πλῆθος προάγουσιν τὰς δημιουργικὰς δυνάμεις καὶ μεμερισμένως διοικοῦσιν τὰ ἐν τῷ παντὶ καὶ προσεχεῖς εἰσιν πατέρες τῶν ἐνύλων πραγμάτων. Τὴν δὲ Ὁμηρικὴν θεομυθίαν κατὰ τὸν ἕτερον τρόπον νοήσωμεν τοὺς ἐν τοῖς θεοῖς πολέμους διαπλάττουσαν. πρῶτον μὲν γὰρ τὴν δημιουργικὴν μονάδα παντὸς ἐξαιρεῖ τοῦ πλήθους τῶν θεῶν καὶ οὔτε προϊοῦσαν ἐπὶ τὴν γενεσιουργὸν ἐναντίωσιν οὔτε ἀνθιστάμενόν τι πρὸς αὐτὴν παραδίδωσιν, ἀλλ' ἐκείνης ἐν ἑαυτῇ σταθερῶς ἱδρυμένης ὁ τῶν θεῶν τῶν ἀπ' αὐτῆς προεληλυθότων ἀριθμὸς μένων ἅμα καὶ προϊὼν εἰς τὸ πᾶν μερίζεσθαι λέγεται περὶ τὴν πρόνοιαν τῶν ἐγκοσμίων. ἔπειτα καὶ τούτων τῶν ἀπὸ τοῦ πατρὸς διῃρημένων θεῶν τοὺς μὲν ἐν τῷ πατρὶ μείναντας καὶ τῆς οἰκείας μονάδος ἀνεκφοιτήτους ὑπάρχοντας, οὓς δὴ καὶ Διὸς ἔνδον ἡ ποίησίς [Il. Υ 13] φησιν ἡδράσθαι καὶ μετὰ τοῦ πατρὸς τῶν ὅλων προνοεῖν ἐξῃρημένως, οὔτε πολεμεῖν ἀλλήλοις οὔτε ἀνθίστασθαι πρὸς ἀλλήλους ὁ μῦθος οὐδὲ κατὰ τὸ φαινόμενον συγχωρεῖ· τοὺς δὲ ἐκεῖθεν εἰς πολλοστὰς τάξεις ὑφιζάνοντας καὶ μερικωτέρους γενομένους καὶ τοῖς διοικουμένοις προσεχεστέρους καὶ ἀγγελικὰς ἢ δαιμονίας στρατιὰς συμπληροῦντας διὰ τὴν πολλὴν πρὸς τὰ καταδεέστερα συμπάθειαν καὶ τὴν τῆς προνοίας μεριστὴν διακλήρωσιν μαχομένους ἀλλήλοις παραδίδωσιν.

in R.1.91

τούτοις γὰρ οἶμαι καὶ τὰ τῶν προνοουμένων πάθη συγγενέστερά πώς ἐστιν, πληγαί τε καὶ βολαὶ καὶ ἀντιτυπίαι καὶ ἡ γενεσιουργὸς ἐναντίωσις οὐ πόρρω τῆς τούτων εἰσὶν διακοσμήσεως, τό τε μεριστὸν τῆς εἰς τὰ δεύτερα ποιήσεως καὶ τὸ τῆς προνοίας ἀποτετεμαχισμένον ταῖς τοιαύταις προσήκει δυνάμεσιν, ἀλλ᾽ οὐ ταῖς ἀρχηγικαῖς καὶ ταῖς ἐξῃρημέναις πάντων τῶν προνοουμένων καὶ ⟦ ταῖσ ⟧ χωρισταῖς αἰτίαις. Ἐπεὶ δὲ καὶ ἀγγελικαὶ τάξεις τῶν κρειττόνων γενῶν τῆς τῶν θεῶν ἡγεμονίας ἐξήρτηνται καὶ τὰς ἰδιότητας τῶν σφετέρων ἡγεμόνων, εἰ καὶ μερικῶς καὶ πεπληθυσμένως, ἀλλ᾽ οὖν καὶ αὗται διασώζουσιν, τοῖς τε ὀνόμασιν ἀποκαλοῦνται τοῖς ἐκείνων καὶ ὡς τοῖς πρωτίστοις ἀνάλογον ὑποστᾶσαι αἱ αὐταί πως εἶναι τοῖς ὁλικωτέροις ἑαυτῶν καὶ προελθοῦσαι φαντάζονται. καὶ τοῦτο οὐχ οἱ παρ᾽ Ἕλλησι μῦθοι μόνον δι᾽ ἐπίκρυψιν μεμηχάνηνται, λέγω δὴ τὸ διὰ τῶν αὐτῶν ὀνομάτων τούς τε ἡγεμόνας καὶ τοὺς ὀπαδοὺς προσαγορεύειν, ἀλλὰ καὶ αἱ τῶν βαρβάρων τελεταὶ παραδεδώκασιν· καὶ γὰρ καλουμένους τοὺς ἐξημμένους τῶν θεῶν ἀγγέλους ταῖς αὐταῖς ἐπωνυμίαις ἐκείνοις χαίρειν διαφερόντως φασὶν καὶ περιβάλλεσθαι τὰ ὀχήματα τῶν ἡγεμόνων τῆς σειρᾶς καὶ τοῖς θεουργοῖς ἀντ᾽ ἐκείνων προφαίνειν ἑαυτούς. εἰ οὖν καὶ Ἀθηνᾶν καὶ Ἥραν καὶ Ἥφαιστον πολεμοῦντας κάτω περὶ τὴν γένεσιν καὶ Λητὼ καὶ Ἄρτεμιν καὶ Ξάνθον τὸν ποταμὸν εἰς ἄλλας τάξεις ἀναπέμποιμεν δευτέρας καὶ προσεχεῖς τοῖς μεριστοῖς καὶ ἐνύλοις πράγμασιν, θαυμάζειν οὐ χρὴ διὰ τὴν τῶν ὀνομάτων κοινωνίαν.

in R.1.92 ἑκάστη γὰρ σειρὰ τὴν τῆς μονάδος φέρεται προσηγορίαν, καὶ τὰ μερικὰ πνεύματα τοῖς ὅλοις τὴν αὐτὴν ἐπωνυμίαν δέχεσθαι φιλεῖ. διὸ καὶ Ἀπόλλωνες καὶ Ποσειδῶνες καὶ Ἥφαιστοι πολλοί τε καὶ παντοδαποί, καὶ οἳ μὲν αὐτῶν χωριστοὶ τοῦ παντός εἰσιν, οἳ δὲ περὶ τὸν οὐρανὸν διεκληρώθησαν, οἳ δὲ τῶν ὅλων προεστήκασιν στοιχείων, οἳ δὲ περὶ ἕκαστον κατενείμαντο τὴν ἐπιστασίαν. καὶ οὐκ ἂν θαυμαστόν, εἰ ὁ μερικώτατος Ἥφαιστος καὶ τάξιν δαιμονίαν λαχὼν τοῦ ἐνύλου πυρὸς καὶ περὶ τὴν γῆν ὑφισταμένου προβεβλημένην ἔχοι τὴν πρόνοιαν ἢ καὶ τέχνης τινὸς ἔφορος εἴη τῆς χαλκευτικῆς (εἰς γὰρ τὸν ἔσχατον μερισμὸν ἡ τῶν θεῶν πρόνοια τὴν ὕφεσιν ἔσχεν, ἄνωθεν ἀπὸ τῶν ὁλικῶν καὶ ἡνωμένων αἰτίων τὴν εὔτακτον λαχοῦσα πρόοδον), καὶ οὗτος χαίροι μὲν τῇ σωτηρίᾳ τοῦ σφετέρου κλήρου, πρὸς δὲ τὰ φθοροποιὰ τῆς ἐκείνου συστάσεως αἴτια ἀλλοτρίως ἔχοι. καὶ πόλεμος οὖν ἐν τοῖς τοιούτοις γένεσιν καὶ διαίρεσις παντοδαπῶν δυνάμεων, καὶ οἰκειότης πρὸς ἀλλήλους καὶ ἀλλοτριότης, καὶ ἡ πρὸς τὰ διοικούμενα μεριστὴ συμπάθεια, καὶ αἱ διὰ λόγων ἐναντιώσεις καὶ διὰ τῶν σκωμμάτων ἅμυναι, καὶ ὅσα τοιαῦτα περὶ τὰς ἀποτελευτήσεις εἰκότως ἐμφαντάζεται τῶν θείων διακοσμήσεων. διὸ καὶ οἱ μῦθοι τὰς τοιαύτας δυνάμεις ὑπὲρ τῶν προνοουμένων στασιαζούσας καὶ διαφερομένας ἀλλήλαις ἀναγράφοντες οὐκ ἄν που πόρρω βάλλοιεν τῆς περὶ αὐτῶν ἀληθείας· καὶ γὰρ τὰ πάθη τῶν διοικουμένων ἐπὶ ταύτας ἀναφέρεται προσεχῶς. Ὡς οὖν συνελόντι φάναι, διττῆς ἐπινοίας θεωρουμένης τῶν παρὰ τοῖς φοιβολήπτοις ποιηταῖς θρυλουμένων πολέμων, καὶ τῆς μὲν περὶ τὰς δύο τῶν ὅλων ἀρχάς, ἃς ἡ τοῦ ἑνὸς ἐξῃρημένη τῶν πάντων αἰτία παρήγαγεν, τὴν διαίρεσιν τῶν θείων γενῶν εὐτάκτως νοούσης καὶ κατὰ τὴν ἐκείνων ἀντίθεσιν καὶ τούτοις τὴν πρὸς ἄλληλα παρεχομένης ἐναντίωσιν (εἴτε γὰρ πέρας καὶ ἄπειρον, εἴτε μονάδα καὶ ἀόριστον δυάδα χρὴ προσαγορεύειν τὰς πρωτίστας ἐκείνας ὑποστάσεις, πάντως φαίνεταί τις αὐτῶν πρὸς ἀλλήλας ἀντιδιαίρεσις, καθ᾽ ἣν καὶ αἱ τῶν θεῶν διακοσμήσεις ἀπ᾽ ἀλλήλων διεκρίθησαν), 〈τῆς δὲ〉 ἐκ τῆς περὶ τὰ ἔσχατα τῶν ὄντων ἐναντιώσεως καὶ τῆς ποικιλίας ἐπ᾽ αὐτοὺς τοὺς προσεχεῖς αὐτῶν προστάτας ἀναφερούσης τὴν τοιαύτην διάστασιν καὶ οὕτως δὴ προϊόντας εἰς τὴν ἔνυλον φύσιν τοὺς θεοὺς καὶ περὶ ταύτην μεριζομένους πολεμεῖν ἀλλήλοις ὑποτιθεμένης, φανήσεται μέν που καὶ περὶ ἐκείνης τοῖς μὴ παρέργως ἀκούουσιν ἐνδεικνύμενος ὁ ποιητής, ἡνίκα ἂν λέγῃ [Il.

in R.1.93

Ξ 203]· ὅτε τε Κρόνον εὐρύοπα Ζεὺς γαίης νέρθε κάθισ ε . καὶ περὶ τοῦ Τυφῶνος ἐν ἄλλοις [Il. B 781]· γαῖα δ ’ ὑπεστενάχιζε Διῒ ὡς τερπικεραύνῳ χωομέν ῳ , ὅτε τ ’ ἀμφὶ Τυφωέϊ γαῖαν ἱμάσσῃ εἰν Ἀρίμοι ς , ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνά ς . πάντως γάρ που τὸν πρὸς τὸν Δία πόλεμον ἐν τούτοις αἰνίσσεται τὸν Τιτανικὸν καὶ τὰς καλουμένας καταταρταρώσεις παρὰ τοῖς Ὀρφικοῖς · διαφερόντως δὲ αὖ κατὰ τὴν δευτέραν ὑπερβολὴν τοὺς θεοὺς πολεμοῦντας ἀλλήλοις καὶ διαφερομένους περὶ τῶν ἀνθρωπίνων παραδιδοὺς (ἐν οἷς καὶ σφόδρα ἄν τις ἀγασθείη τὴν ἔνθεον τοῦ ποιητοῦ καὶ νοερὰν τῶν πλασμάτων διάθεσιν· ἐπεὶ γὰρ ταῦτα τὰ γένη περὶ αὐτὰ τὸν πόλεμον τοῦτον ὑφίστασθαί φησιν, εἰ καὶ τὰς ἀποπερατώσεις ἐκληρώσατο τῶν θείων προόδων, ἀλλ’ οὖν καὶ αὐτὰ τῶν θεῶν ἐξήρτηται καὶ ἔστι προσεχῆ μὲν τοῖς διοικουμένοις, συγγενῆ δὲ τοῖς αὐτῶν ἡγεμόσιν) τὴν μὲν πρὸς τὰ καταδεέστερα συμπάθειαν αὐτῶν ἐνδείκνυται τὴν ⟦ δὲ ⟧ διῃρημένην ζωὴν καὶ τὴν μάχην καὶ τὴν ἀντίθεσιν ἀπὸ τούτων εἰς αὐτὰ ἀναφέρων (ὥσπερ δὴ καὶ Ὀρφεὺς τοῖς Διονυσιακοῖς εἰδώλοις τὰς συνθέσεις καὶ τὰς διαιρέσεις καὶ τοὺς θρήνους προσῆψεν ἀπὸ τῶν προνοουμένων ἅπαντα ταῦτα ἐκείνοις ἀναθείς), τὴν δὲ πρὸς τὰς σειρὰς ἀφ’ ὧν προεληλύθασι συγγένειαν τῶν μεριστῶν τούτων πνευμάτων παρίστησιν τοῖς τε ὀνόμασιν τοῖς αὐτοῖς, δι’ ὧν τὰς ἐξῃρημένας δυνάμεις τῶν ἐνύλων ἐξύμνησεν, καὶ τοῖς ἀριθμοῖς καὶ τοῖς σχήμασι προσήκουσι ταῖς ὅλαις αὐτῶν διακοσμήσεσι χρώμενος.

in R.1.94 εἰσὶ μὲν γὰρ οἱ τοῦ πολέμου κοινωνοῦντες ἕνδεκα τὸν ἀριθμόν, μιμούμενοι τὴν ἑπομένην τῷ Διῒ θεῶν τε καὶ δαιμόνων στρατείαν, κατὰ ἕνδεκα μέρη κεκοσμημένην. τούτων δὲ οἱ μὲν τῆς κρείττονος προεστῶτες συστοιχίας τῇ πεντάδι συνέχονται (καὶ γὰρ τὸ περιττὸν καὶ τὸ σφαιρικὸν καὶ τὸ κατὰ δίκην πάντα ἄγειν τὰ δεύτερα καὶ ἐκ μέσου διατείνειν ἐπὶ πάντα τὸν ἀριθμὸν οἰκεῖόν ἐστιν τοῖς τὰ νοερώτερα καὶ τὰ τελειότερα καὶ πρὸς τοῦ ἑνὸς ὄντα κρατεῖν ἐθέλουσιν), οἱ δὲ τῆς ὑφειμένης μοίρας κηδεμόνες τῶν ἐνύλων κατὰ τὴν ἑξάδα προεληλύθασιν, τὸ μὲν τελεσιουργὸν τῶν προνοουμένων ἔχοντες διὰ τὸν οἰκεῖον ἀριθμόν, τῷ δὲ ἀρτίῳ καὶ πρὸς τὴν χείρονα φύσιν συστοίχῳ λειπόμενοι τῶν πρὸ αὐτῶν. οὐ δὴ θαυμαστόν ἐστιν, εἰ καὶ θεούς· τις ἀποκαλοίη ταῦτα τὰ γένη διὰ τὴν πρὸς τοὺς ἡγεμόνας συγγένειαν καὶ πολεμοῦντας παράγοι διὰ τὴν περὶ τὰ τῇδε προσεχῆ κηδεμονίαν. ἡ μὲν οὖν τοῦ Ποσειδῶνος καὶ τοῦ Ἀπόλλωνος ἀντίθεσις τὴν τῶν ὑπὸ σελήνην πάντων ὁλικῶν προΐσταται δοκοῦσαν ἐναντίωσιν (διὸ καὶ οὐδὲ μάχονται οἵδε οἱ θεοί· σώζεται γὰρ ὑπὸ τῶν ὁλικῶν τὰ ἐν αὐτοῖς μερικά, καθ’ ὅσον ἂν ᾖ χρόνον), ἡ δὲ τῆς Ἥρας καὶ τῆς Ἀρτέμιδος τὴν τῶν ἐνταῦθα ψυχῶν λογικῶν ἢ ἀλόγων, χωριστῶν ἢ ἀχωρίστων, ὑπερφυῶν ἢ φυσικῶν παρίστησιν ἀντιδιαίρεσιν, τῆς μὲν αἰτίας οὔσης τῶν ἀμεινόνων, τῆς δὲ τὰ χείρω λοχευούσης καὶ εἰς φῶς προαγούσης.

in R.1.95 ἡ δὲ τῆς Ἀθηνᾶς καὶ τοῦ Ἄρεως τὴν παντὸς τοῦ γενεσιουργοῦ πολέμου διάκρισιν παρίστησιν εἰς τὴν κατὰ νοῦν πρόνοιαν αὐτῶν καὶ τὴν δι’ ἀνάγκης ἐπιτελουμένην, τῆς μὲν νοερῶς προεστώσης τῶν ἐναντίων, τοῦ δὲ τὰς φυσικὰς αὐτῶν δυνάμεις ῥωννύντος καὶ κατ’ ἀλλήλων ἐγείροντος. ἡ δὲ τοῦ Ἑρμοῦ καὶ τῆς Λητοῦς τὴν κατὰ τὰς γνωστικὰς καὶ τὰς ζωτικὰς κινήσεις τῶν ψυχῶν ⟦ τὰσ ⟧ παντοίαν διαφοράν, τοῦ μὲν τὰς γνώσεις τελειοῦντος, τῆς δὲ τὰς ζωάς, εἰ καὶ πολλάκις αὗται διΐστανται ἀπ’ ἀλλήλων καὶ ἐναντίως ἔχουσιν πρὸς ἀλλήλας. λοιπὴ δὲ ἡ τοῦ Ἡφαίστου καὶ Ξάνθου τοῦ ποταμοῦ τὰς τῆς σωματικῆς ὅλης συστάσεως ἐναντίας ἀρχὰς διακοσμεῖ δεόντως, τοῦ μὲν τῆς θερμότητος καὶ τῆς ξηρότητος τὰς δυνάμεις συγκροτοῦντος, τοῦ δὲ τῆς ψυχρότητος καὶ ὑγρότητος· ἐξ ὧν ἡ πᾶσα συμπληροῦται γένεσις. ἐπεὶ δὲ πάσας ἀνάγκη τὰς ἐναντιώσεις εἰς τὴν πρὸς ἀλλήλας ὁμολογίαν τελευτᾶν, πάρεστι καὶ ἡ Ἀφροδίτη, καθάπερ εἴπομεν, φιλίαν ἐμποιοῦσα τοῖς ἀντικειμένοις, συμμαχοῦσα δὲ ὅμως τοῖς χείροσιν, διότι καὶ ταῦτα μάλιστα κοσμεῖται σύμμετρα καὶ προσήγορα γινόμενα τοῖς ἀμείνοσι τῶν ἐναντίων. Περὶ μὲν οὖν τῆς παρ’ Ὁμήρῳ θεομαχίας τοσαῦτα εἰρήσθω. καὶ γὰρ ἔξεστιν τοῖς περὶ

αὐτῆς ἀκριβέστερόν τι πιέσαι βουλομένοις καὶ ταῖς τοῦ καθηγεμόνος ἡμῶν θεωρίαις συγγενέσθαι πολλὰ καὶ θαυμαστὰ δόγματα ἐκκαλυπτούσαις, ἃς ἐν ταῖς λύσεσιν ἐκεῖνος τῶν Ὁμηρικῶν προβλημάτων ἐπραγματεύσατο. Πῶς ἄν τις ὑπὲρ τῶν θείων ἀπολογήσαιτο μύθων τῶν δοκούντων τοὺς θεοὺς αἰτιᾶσθαι τῶν κακῶν.

in R.1.96.(II) Ἡμεῖς δὲ ἐντεῦθεν ἐπὶ τὰ ἑξῆς τῶν Σωκρατικῶν πρὸς Ὅμηρον ἀπορημάτων μετίωμεν. ἔπεται δὲ οἶμαι διασκέψασθαι, πῶς τῶν θεῶν κατὰ τὴν ἀγαθότητα διαφερόντως τὴν ὕπαρξιν λαχόντων ἡ ποίησις κακῶν τε καὶ ἀγαθῶν αἰτιᾶται τοὺς θεούς, δέοντος τῶν ἀγαθῶν μόνων ἐπ' αὐτοὺς ἀναπέμπειν τὴν ἀρχηγὸν αἰτίαν. ταῦτα γὰρ ὁ Σωκράτης ἀποδείξας, τὸν θεὸν τῶν ἀγαθῶν ὑποστάτην μόνων, κακοῦ δὲ οὐδενός, ἐπιστάσεως ἠξίωσεν ἐν τοῖς Ὁμήρου ποιήμασιν· καὶ ἔοικεν τὴν μὲν θεομαχίαν ὡς ἀναιρετικὴν τῆς θείας ἑνώσεως εὐθύνειν, ταῦτα δὲ ἃ νῦν πρόκειται ζητεῖν ὡς τῆς ἀγαθότητος τῶν θεῶν ἐλαττωτικὰ διελέγχειν. δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδε ι , κηρῶν ἔμπλειοι ὁ μὲν ἐσθλῶ ν , αὐτὰρ ὁ δειλῶν [Il. Ω 527 sq.]. Πρὸς δὴ τὰς τοιαύτας ἀπαντήσεις λεγέσθω διττὰς εἶναι τὰς συστοιχίας τῶν ἐν τῷ κόσμῳ πραγμάτων, ὃ καὶ πρότερον εἴπομεν, ἄνωθεν ὡρμημένας ἀπ' αὐτῶν τῶν θεῶν. πάντα γὰρ διῄρηται ταῖς δυοειδέσιν τῶν ὄντων ἀρχαῖς, αἱ τῶν θεῶν διακοσμήσεις, αἱ τῶν ὄντων ὑποστάσεις, τὰ γένη τῶν ψυχῶν, αἱ φυσικαὶ δυνάμεις, αἱ τοῦ οὐρανοῦ περιφοραί, αἱ τῶν ἐνύλων διαφορότητες· τελευτῶσα δὲ ἡ δίδυμος αὕτη τῶν πραγμάτων πρόοδος καὶ τῶν περὶ τοὺς ἀνθρώπους συμπιπτόντων καὶ κατὰ δίκην ἀποκληρουμένων διπλῆν προεστήσατο γένεσιν. καὶ γὰρ τούτων τὰ μέν ἐστι τῆς κρείττονος μοίρας, τὰ δὲ τῆς ὑποδεεστέρας· λέγω δὲ οἷον τὰς μὲν τῶν σωμάτων κατὰ φύσιν διαθέσεις, κάλλος καὶ ἰσχὺν καὶ εὐεξίαν, καὶ τῶν ἐκτὸς τῆς σωματικῆς συστάσεως συγκυρούντων ταῖς ψυχαῖς, τάς τε δυνάμεις καὶ τὰς τιμὰς καὶ τοὺς πλούτους τῆς ἑτέρας εἶναι συστοιχίας, τὰς δὲ αὖ τούτοις ἀντικειμένας ἕξεις τε καὶ περιστάσεις τῆς χείρονος.

in R.1.97 τούτων δὴ οὖν κατὰ τὸν εἰρημένον τρόπον ἐξ ἀνάγκης διῃρημένων τὰ μὲν ὡς τῆς ἀμείνονος ὄντα μερίδος αὐτόθεν ἀγαθὰ τοῖς παλαιοῖς ἔθος προσαγορεύειν, τὰ δὲ ὡς τῆς ἐναντίας κακὰ προσονομάζουσιν· καὶ οὐχ οὕτω τὸ κακὸν ἐνταῦθα δήπου λέγουσιν, ὡς τὴν ἄδικον καὶ ἀκόλαστον τῆς ψυχῆς ἕξιν κακὸν ὁμολογοῦμεν ὑπάρχειν· ἀλλ' ὡς τὰ ἐμπόδια τῶν ἐνεργειῶν καὶ τὰ ἐπιπροσθοῦντα ταῖς κατὰ φύσιν ἡμῶν διαθέσεσιν καὶ τὰ διακόπτοντα τῆς ψυχῆς τὴν μετὰ ῥᾳστώνης ἀποτελουμένην τῶν ἀνθρωπίνων πρόνοιαν κακὰ συγχωροῦσιν εἶναι καὶ λέγεσθαι τρόπον ἕτερον τῶν αὐτῆς τῆς ψυχῆς λεγομένων κακῶν, οὕτως ἄρα καὶ τὴν νόσον καὶ τὴν ἀδυναμίαν καὶ τὴν ἄπορον τῶν ἀναγκαίων ζωὴν ἐν τοῖς κακοῖς εἰώθασι καταλέγειν. καὶ τί δεῖ τὴν ποίησιν ἅπασαν μαρτύρεσθαι τῆς τοῦ ὀνόματος ἕνεκα χρήσεως; ἀλλὰ καὶ ὁ τῶν Πυθαγορείων λόγος ὁ τὰς διττὰς τῶν ὄντων συστοιχίας διαιρούμενος ἐν ἁπάσαις ταῖς διακοσμήσεσιν τὴν μὲν τοῦ ἀγαθοῦ καλεῖν οὐκ ἀπηξίου, τὴν δὲ τοῦ κακοῦ· καίτοι τό γε ἄρτιον ἢ τὸ ἑτερόμηκες ἢ τὴν κίνησιν πῶς ἄν τις ἐν τοῖς τοιούτοις τετάχθαι κακοῖς συγχωρήσειεν, ὅσα τῶν ἀγαθῶν στερήσεις ἀφοριζόμεθα; πῶς δ' ἂν τὸ θῆλυ καὶ τὸ τῆς ἑτερότητος γένος καὶ ⟦ τὸ ⟧ τὴν ἀνομοιότητα παρὰ φύσιν εἶναι τοῖς οὖσιν φήσαιμεν; ἀλλ' οἶμαι παντὶ δὴ τοῦτο καταφανές, ὅτι τῶν ἀντικειμένων κατὰ πάσας τῶν ὄντων τὰς προόδους τὴν καταδεεστέραν σειρὰν ὡς ἀπολειπομένην τῆς ἑτέρας καὶ οὔτε πρώτως οὖσαν ἀγαθουργὸν οὔτε τὴν αὐτὴν λαχοῦσαν ἀπόστασιν πρὸς τὴν μίαν τῶν καλῶν πάντων καὶ ἀγαθῶν αἰτίαν κακὸν προσηγόρευεν.

in R.1.98 ταύτας τοίνυν τὰς διττὰς συστοιχίας τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν τῶν ἐν τῷ κόσμῳ γεγονότων τῆς δημιουργικῆς ἐξάπτειν προσήκει μονάδος. καὶ γὰρ αἱ τῶν θεῶν διαιρέσεις καὶ αἱ τῶν μετὰ θεοὺς γενῶν εἰς ἐκείνην ἀνήρτηνται τὴν πρωτίστην ἀρχήν· καὶ τῶν καθ' εἱμαρμένην συμπιπτόντων καὶ κατὰ δίκην ταῖς ψυχαῖς περὶ τὴν γένεσιν ἀποκληρουμένων ἀγαθῶν τε καὶ κακῶν ἐν τῷ διακοσμήσαντι τὸ πᾶν καὶ τὰς ψυχὰς εἰς τὸν θνητὸν τόπον

καταπέμποντι τὴν αἰτίαν ὑποθετέον. καὶ γὰρ ἡ τῆς εἱμαρμένης ποίησις τῆς δημιουργικῆς ἐξέχεται προνοίας, καὶ ἡ τῆς δίκης σειρὰ περὶ ἐκείνην ὑφέστηκεν καὶ ἔπεται τοῖς ἐκείνου ὅροις, τοῦ θείου νόμου τιμωρὸς οὖσα, φησὶν ὁ Ἀθηναῖος ξένος [leg. IV 716a], καὶ ἡ τῆς τύχης ἀποπληρωτικὴ τῶν κατὰ δίκην διανεμομένων προμηθία κατὰ τὴν τοῦ πατρὸς ἀφορίζεται βούλησιν. πάντων ἄρα τῶν ἀγαθῶν τε καὶ κακῶν, τῶν τε βελτιόνων ἐν ταῖς δόσεσιν καὶ τῶν χειρόνων, τῶν τε εὐμοιροτέρων ὁμοῦ καὶ τῶν ἐμποδιστικῶν τῆς τῶν ψυχῶν εἰς τὰ ἐκτὸς ἐνεργείας τὴν αἰτίαν ὁ δημιουργὸς καὶ πατὴρ ἐν ἑαυτῷ προεστήσατο καὶ πάντα κατὰ νοῦν ποδηγεῖ, διανέμων ἑκάστοις τὰ προσήκοντα καὶ πρὸς τὴν ἑαυτοῦ πατρονομικὴν ἐπιστασίαν ἀνάγων τὰ πάντα. καὶ γὰρ ταῖς ψυχαῖς τά τε τῆς κρείττονος συστοιχίας καὶ τὰ τῆς καταδεεστέρας διανέμει πρὸς τὸ ἀγαθὸν βλέπων καὶ τῆς τῶν δεχομένων ἕνεκα τελειότητος. Εἰ δὴ ταῦτα ὀρθῶς εἴπομεν, ἀποδεξόμεθα καὶ τὴν Ὁμηρικὴν διάταξιν ἐν τῷ δημιουργικῷ νῷ τοῦ Διὸς τὰς διττὰς ὑποτιθεμένην καὶ πρωτουργοὺς αἰτίας τῶν τε ἀγαθῶν, ὧν δίδωσι ταῖς ψυχαῖς, καὶ τῶν κακῶν· ἐπεὶ καὶ ἡ δυὰς πάντων μάλιστα προσήκει τῶν νοερῶν βασιλέων τῷ δημιουργῷ τοῦ παντός (δυὰς γὰρ παρὰ τῷδε κάθητα ι , φησὶν τὸ λογίο ν) , καὶ τὸ κυβερνᾶν τὰ πάντα καὶ τάττειν ἕκαστον, οὗ ταχθὲν νικῶσαν μὲν ἀρετὴν ἐν τῷ παντί, κακίαν δὲ ἡττωμένην ἀποδείξειεν.

in R.1.99 τί γὰρ διαφέρει ταῦτά τε λέγειν καὶ πεττευτῇ τὸν δημιουργὸν εἰκάζειν, μετατιθέντι τὰς ψυχὰς εἰς τοὺς προσήκοντας αὐταῖς βίους ἑκάστην. δύο τοίνυν αὗται πηγαί, τῶν τε βελτιόνων καὶ τῶν χειρόνων μέτρων, οἷς ὁ δημιουργὸς κατὰ δίκην ἄγει τὰς ψυχάς, νοείσθωσαν· ἃς ὁ ποιητὴς μυθολογῶν πίθους προσείρηκεν, εἴθ’ ὅτι διὰ πειθοὺς νοερᾶς πᾶσιν ἐπιβάλλει τὸν οἰκεῖον ὅρον (ἀρχὴ γάρ, φησὶν ὁ Τίμαιος [p. 48a], τῆς ἀνάγκης ὁ νοῦς τῷ πείθειν αὐτὴν πάντα πρὸς τὸ βέλτιστον ἄγειν), εἴτε καὶ τὸ χωρητικὸν αὐτῶν καὶ περιληπτικὸν τῶν παντοδαπῶν καὶ ποικίλων ἀποτελεσμάτων ἐνδεικνύμενος· τὸ γὰρ διεσπαρμένον πλῆθος πάντων ὧν διανέμει ταῖς ψυχαῖς ὁ πατὴρ 〈ἐν〉 ἐκείναις ἡνωμένως προείληπται. ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον συνᾴδουσιν ἀλλήλοις ὅ τε Πλάτων καὶ ἡ Ὁμηρικὴ ποίησις. ὃ μὲν γὰρ οὐδενὸς κακοῦ φησιν χρῆναι τὸν θεὸν αἰτιᾶσθαι, ἣ δὲ πάντα μὲν ἐκεῖθεν παράγει τὰ ἀγαθά, διττὰ δὲ ὄντα καὶ ὠφελητικὰ τῶν δεχομένων ἑκάτερα ταῖς διτταῖς συστοιχίαις διελοῦσα καὶ τὴν πρὸς ἄλληλα διαφορὰν αὐτῶν ἐνδεικνυμένη τὰ μὲν ὡς ἀγαθά, τὰ δὲ ὡς ἐναντία τοῖς ἀγαθοῖς ἀπ’ ἐκείνων διέστησεν. καὶ ὅτι τὸ λεγόμενον κακὸν οὐ τοιοῦτόν ἐστιν, ὁποῖον ὁ τοῦ Πλάτωνος λόγος τῆς δόσεως τῶν θεῶν ἀπέφησεν, δηλοῖ που καὶ αὐτὸς ἐπιφέρων ἑξῆς [Il. Ω 534 sqq.]· ὡς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα ἐκ γενετῆ ς . ἀλ λ ’ ἐπὶ καὶ τῷ θῆκε θεὸς κακό ν . τί οὖν τοῦτό ἐστιν τὸ κακόν, αὐτὸς προστίθησιν· ὅττι οἱ οὔ τι παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντω ν , ἀλ λ ’ ἕνα παῖδα τέκεν παναώριον · οὐδέ νυ τόν γε γηράσκοντα κομίζω · μή σοι δοκεῖ τῶν ἀληθινῶν κακῶν αἰτιᾶσθαι τὸν θεόν; οὐ τὴν ἐρημίαν τῶν παίδων, οὐ τὴν ἀθεραπευσίαν κακὰ προσείρηκεν; καὶ ὅπως ταῦτα κακὰ προείπομεν, δυσκολίαν περὶ τὸν τῇδε βίον καὶ δυσθυμίαν ἐναπεργαζόμενα ταῖς ψυχαῖς.

in R.1.100 ταῦτα γὰρ εἰ καὶ τοῖς γνησίως φιλοσοφοῦσιν κακὰ προσαγορεύειν οὐ θέμις, ἀλλὰ τοῖς τὸν πρακτικὸν βίον ἑλομένοις ἐμπόδια φαίνεται τῆς κατ’ ἀρετὴν εἶναι ζωῆς. διὸ καὶ ὁ Ἀθηναῖος ξένος [leg. II 661bd] τὰ τοιαῦτα πάντα τοῖς μὲν ἀγαθοῖς εἶναί που κακὰ διατείνεται, τοῖς δὲ πονηροῖς ἀγαθά· καίτοι καὶ τούτων αἰτιᾶται τὸν θεὸν καὶ τῶν ἐκ τοῦ παντὸς ἐνδιδομένων ἁπάντων, ὥστε οὐχ Ὅμηρος μόνος καὶ ὁ παρ’ Ὁμήρῳ ταῦτά φασιν Ἀχιλλεύς, ἀλλὰ καὶ ὁ Πλάτων αὐτὸς καὶ ὁ κατ’ αὐτὸν νομοθέτης. Πῶς τὴν τῶν ὅρκων σύγχυσιν δοκεῖ ἡ ποίησις εἰς θεοὺς ἀναπέμπειν, ἡ ἀληθὴς περὶ αὐτῶν ὑφήγησις. Τοσαῦτα καὶ πρὸς ταύτην εἰρήσθω τὴν ζήτησιν· ἐφεξῆς δέ ἐστιν τοῖς εἰρημένοις θεωρῆσαι, πῶς τὴν τῶν ὅρκων σύγχυσιν καὶ τῶν σπονδῶν ἡ ποίησις κατὰ βούλησιν τοῦ μεγάλου Διὸς καὶ τῆς Ἀθηνᾶς ὑπουργούσης τῇ βουλῇ

τοῦ πατρὸς γενέσθαι φησίν· καὶ γὰρ ταύτην ὁ Σωκράτης ᾐτιάσατο τὴν τῶν κακῶν ἀρχὴν ἐπὶ τοὺς πρωτίστους τῶν θεῶν ἀναφέρουσαν. κἀνταῦθα μάλιστα διαπορεῖν ἄξιον, πῶς ὁ τῶν τοιούτων τὸν θεὸν αἰτιώμενος οὐχὶ τῶν μεγίστων αὐτὸν αἰτιᾶται καὶ ἀληθινῶν κακῶν· οὐ γὰρ ἔτι πενίας καὶ νόσους οὐδὲ τὴν τοιαύτην συστοιχίαν ἐξέσται λέγοντας δοκεῖν τι λέγειν, ἀλλ᾽ αὐτῶν τῶν παρὰ πᾶσιν ὁμολογουμένων ὡς κακῶν τὴν αἰτίαν ἐπὶ τὸν θεὸν ἀνοίσομεν.

in R.1.101 καὶ ὁ μὲν Τίμαιος [p. 41e] τὸν δημιουργὸν πρὸ τῆς εἰς γένεσιν καθόδου διαθεσμοθετῆσαι πάντα φησὶν ταῖς ψυχαῖς, ἵνα τῆς ἔπειτα εἴη κακίας ἀναίτιος· ὁ δὲ λόγος οὗτος καὶ κατελθούσαις αὐταῖς καὶ ἐν τῇ γενέσει στρεφομέναις τῶν μεγίστων κακῶν τὴν ἀρχὴν ἐκεῖθεν ἐνδίδοσθαι συγχωρεῖ. πῶς οὖν ἄν τις πρὸς ταύτας τὰς ἐπιστάσεις τοὺς προσήκοντας ἀποδοίη λόγους, τῇ τε φύσει τῶν πραγμάτων καὶ τῇ Πλάτωνος ὑφηγήσει τὴν Ὁμήρου διδασκαλίαν συναρμόζοντας. Ὅτι μὲν οὖν πρὸς τὴν τῶν νέων ἕξιν ἀσύμμετρός ἐστιν ἡ τῶνδε τῶν μύθων ἀκρόασις, εἴρηταί τε πρότερον καὶ νυνὶ λεγέσθω καὶ παρὰ πάντας τοὺς ῥηθησομένους ὑφ᾽ ἡμῶν λόγους. οὐδὲ γὰρ διακρίνειν τὰς φύσεις τῶν ὄντων τοῖς νέοις δυνατὸν οὐδὲ ἐπανάγειν τὰ φαινόμενα συνθήματα τῆς ἀληθείας πρὸς τὴν ἀφανῆ θεωρίαν οὐδὲ καθορᾶν, ὅπως ἐν τῷ κόσμῳ πάντα κατὰ βούλησιν ἐπιτελεῖται τοῦ θεοῦ διὰ μέσων τῶν ἄλλων αἰτίων. ὅτι δὲ οἰκεῖα ταῦτα τῇ Πλάτωνός ἐστι φιλοσοφίᾳ δεικνύωμεν. Τὸν μὲν δὴ θεὸν ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχειν καὶ ὁ Ἀθηναῖος ξένος φησίν [leg. IV 715e], ἕπεσθαι δὲ αὐτῷ τὴν δίκην τῶν ἀπολειπομένων οὖσαν τοῦ θείου νόμου τιμωρόν. οὗτοι δέ εἰσιν, ὡς ὁ ἐκείνου λόγος, οἱ νεότητι καὶ ἀνοίᾳ φλεγόμενοι τὴν ψυχὴν μεθ᾽ ὕβρεως, καὶ χρόνον τινὰ δόξαντες κρατεῖν ἔπειτα αὖθις τιμωρίαν ὑπέσχον τῇ δίκῃ πρέπουσαν, ἑαυτούς τε καὶ πόλιν καὶ οἶκον ἄρδην ἀναστάτους ποιήσαντες. ταῦτα δὴ οὖν ὁ μὲν Ἀθηναῖος ξένος πολιτικῶς, ὁ δὲ Ὅμηρος ἐνθεαστικῶς ὑφηγούμενος τοὺς πολλὰ πλημμελήσαντας καὶ ἀδικίας τὰς μεγίστας ἠδικηκότας κατὰ τὴν μίαν τοῦ Διὸς βούλησιν δίκην ἀποτιννύναι φησὶν τῶν ἁμαρτημάτων σὺν σφῆσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν [Δ 162].

in R.1.102 ταύτην δὲ ἄρα τὴν δίκην πρώτως μὲν τὸν Δία πληροῦν καὶ ἐξῃρημένως καὶ ἀφανῶς τοῖς πᾶσιν, δευτέρως δὲ τὴν Ἀθηνᾶν ὑπουργοῦσαν καὶ συναπεργαζομένην τὰ δόξαντα τῇ πατρονομικῇ προνοίᾳ τοῦ Διός. (δεινὴ γὰρ Κρονίδαο νόου κράντειρα τέτυκται φησὶν Ὀρφεύ ς) , ἐσχάτως δὲ τοὺς ὑπομένοντας αὐτοῦ τὴν τιμωρίαν· δεῖ γὰρ καὶ τὸ ἐφ᾽ ἡμῖν συμπλέκεσθαι τῇ ποιήσει τῶν ὅλων. οὗτοι δὴ οὖν ἐν ταῖς σπονδαῖς καὶ τοῖς ὅρκοις εἰπόντες, ὅτι τῶν παραβαινόντων ταῦτα ὧδέ σ φ ᾽ ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος [Il. Γ 300], καὶ παραβάντες ἑαυτοὺς ὑπάγουσιν τῇ δίκῃ καὶ πρέποντας ἑαυτοὺς ἀποφαίνουσι ταῖς ποιναῖς. ἡ τοίνυν σύγχυσις τῶν ὅρκων καὶ τῶν σπονδῶν ἐπιτελεῖται μὲν ὑπὸ τούτων διαφερόντως τῶν πάσχειν μελλόντων τὰ δοκοῦντα τοῖς θεοῖς κατὰ δίκην τὰ θνητὰ ἄγουσιν ἐπὶ τοῖς ἔμπροσθεν ἁμαρτήμασιν, κινεῖσθαι δὲ λέγεται καὶ εἰς ἐνέργειαν προάγεσθαι παρ᾽ αὐτῶν τῶν θεῶν, οὐχ ὡς ἐκείνων ποιούντων ἀθέους καὶ ἀδίκους τοὺς τιμωρουμένους, ἀλλ᾽ ὡς ἐπιτηδείους ὄντας αὐτοὺς πρὸς τὰς τοιαύτας πράξεις ἐκκαλουμένων εἰς ἐνέργειαν, ἵνα ποτὲ κατὰ τὴν ἔνδον ἕξιν ἐνεργήσαντες καὶ ἣν ἔχουσιν ὠδῖνα τῶν μοχθηρῶν ἐνεργημάτων προβαλόντες ἄξιοι γένωνται τῆς δίκης. τοῦτο γὰρ δή, φησὶν ὁ Πλάτων [leg. V 728c], δίκη μὲν οὐκ ἔστι ν , καλὸν γὰρ τό γε δίκαιον καὶ ἡ δίκ η , τιμωρία δὲ ἀδικίας ἀκόλουθος πάθ η , ἧς ὅ τε τυγχάνων καὶ ὁ μὴ τυγχάνων ἄθλιο ς .

in R.1.103 πολλὰ δὴ οὖν καὶ τὰ μέγιστα ἀδικήσαντες ἄνθρωποι καὶ ἕξιν ἔχοντες πονηρὰν καὶ ὠδίνουσαν μείζω καὶ χαλεπώτερα κακὰ τιμωρίαν ὑπέχουσιν πρῶτον, ἣ δοκεῖ μὲν ἐπιτρίβειν τοὺς πάσχοντας ἐπὶ τὰς τῶν ὅρκων ἄγουσα συγχύσεις, ἄγει δὲ αὐτοὺς εἰς τὸ δίκην ὑποσχεῖν τῶν πλημμελημάτων, παραπλήσιόν τι ποιοῦσα ταῖς ἀναστομώσεσιν τῶν ἑλκῶν, αἳ παραχρῆμα μὲν ἐπιτείνουσι τὰ πάθη τῶν σωμάτων, ἐκβάλλουσαι δὲ τὸν ὕπουλον καὶ ἐντὸς ἀποκρυπτόμενον χυμὸν αἴτιαι γίνονται τῆς ἐν χρόνοις ὕστερον παραγινομένης ὑγείας. τὴν δὲ δὴ τιμωρίαν

ταύτην ἄνωθεν ἀπὸ τοῦ Διὸς ἀρχομένην (ἐκείνῳ γὰρ ἕπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός) διὰ μέσης τῆς Ἀθηνᾶς ἡ ποίησις τελειουμένην παραδίδωσιν, ἵνα δῶσί ποτε δίκην οἱ Τρῶες ἰδόντες οἷ κακοῦ προήγαγον αὐτοὺς καὶ ὡς ταῖς ὀφειλομέναις ποιναῖς ἐγκατέδησαν τὴν ἑαυτῶν ζωήν. ὃν γὰρ ὅρον ἔθεντο τῆς ἐσχάτης τῶν ἁμαρτόντων κολάσεως, τοῦτον σαλευτὸν ὑφ' ἑαυτῶν ταῖς τῶν ὅρκων καὶ τῶν σπονδῶν συγχύσεσιν ἀπέφηναν. Πρῶτον μὲν 〈οὖν〉 οὐχ οἱ θεοὶ τῆς πλημμελοῦς ταύτης καὶ ἀτάκτου πράξεώς εἰσιν αἴτιοι τοῖς Τρωσίν, ἀλλ' ἐκεῖνοι διὰ τὴν ἑαυτῶν πονηρίαν ἀξίους ἑαυτοὺς κατέστησαν τῆς τοιαύτης ἐνεργείας, καὶ τούτων διαφερόντως ὁ Πάνδαρος, φιλότιμός τε ὢν καὶ φιλοχρήματος καὶ τὴν ἄθεον ζωὴν προβεβλημένος. διὸ καὶ ἡ Ἀθηνᾶ προελθοῦσα κατὰ τὸν νοῦν τοῦ πατρὸς οὐ τὸν ἐπιτυχόντα κινεῖ πρὸς τὴν πρᾶξιν, ἀλλὰ ζητεῖν λέγεται Πάνδαρον, ὡς ἂν μάλιστα πρέποντα πρὸς τὴν τιμωρὸν ἐνέργειαν Πάνδαρον ἀντίθεον διζημένη εἴ που ἐφεύροι [Il. Δ 88]. σπάνιον γὰρ καὶ δυσεύρετον ὄντως τὸ τοιοῦτον γένος, τὸ πάντα μὲν δρᾶν ὑπομένον πάντα δὲ πάσχειν, ἀντικείμενον δὲ τῷ θείῳ διὰ δή τινα Γιγαντικὴν καὶ ἀποτετολμημένην ἕξιν τῆς ψυχῆς.

in R.1.104 ὥσπερ δὴ οὖν οὐχ οἱ ἰατροὶ τῶν τομῶν αἴτιοι καὶ τῶν καύσεων, ἀλλὰ τὰ πάθη τῶν ἰατρευομένων, οὕτως οὐδὲ οἱ θεοὶ τῶν περὶ τοὺς ὅρκους καὶ τὰς σπονδὰς ἀσεβημάτων, ἀλλ' αἱ ἕξεις τῶν ποιούντων. δεύτερον δὲ ἐπὶ τούτῳ κἀκεῖνο κατανοήσωμεν, ὡς οὐδὲ προελθοῦσα ἡ Ἀθηνᾶ καταναγκάζειν λέγεται τὸν Πάνδαρον εἰς τὴν πρᾶξιν, ἀλλὰ πειρᾶσθαι μόνον, εἰ καὶ πρὸς ταύτην ἐπιδίδωσιν ἑαυτὸν τὴν ἐνέργειαν· οὐ γὰρ ἀναιρεῖται τὸ ἐφ' ἡμῖν, οὐδ' ἂν τὰ ἔσχατα πεπλημμεληκότες ὦμεν· ἦ ῥά νύ μοί τι πίθοι ο , Λυκάονος υἱὲ δαΐφρον [Il. Δ 93]; ὁ δὲ ὑπὸ λαιμαργίας τῶν χρημάτων ἀκούσας καὶ τῆς δυναστείας ἐπιπηδᾷ ταῖς ἀδίκοις ἐνεργείαις, μόνον οὐχὶ τοῦ ποιητοῦ ταῦτα βοῶντος, ἃ καὶ ὁ ἐν Πολιτείᾳ Σωκράτης, ὅτι πολλὰ προτείνεται ταῖς ψυχαῖς ἐκ τοῦ παντός, ἃ καταπλήττειν τοὺς ἀνοήτους καὶ περὶ τὰς αἱρέσεις τῶν βίων ἀποφαίνειν πλημμελεῖς. ὥσπερ οὖν ὁ προφήτης προτείνει τὸν τυραννικὸν βίον καὶ ὁ πρῶτος ἀνελόμενος τοῦτον ἀνόητος εἴρηται, καίτοι τὸ προτεῖναν θεῖόν τι πάντως ἦν, οὕτω δὴ καὶ τῆς Ἀθηνᾶς εἰς αἵρεσιν τὸν Πάνδαρον καταστησάσης τῆς τε δυνατωτέρας καὶ πλουσιωτέρας τάξεως μετὰ ἀθεότητος καὶ τῆς ἐναντίας ἐκεῖνος αἱρεῖται τὴν χείρονα. καὶ οὐχ ἡ Ἀθηνᾶ τῆς αἱρέσεως αἰτία, ἀλλ' ἡ μοχθηρία τοῦ αἱρουμένου· οὐδὲ γὰρ ὁ προφήτης τῆς τυραννίδος, ἀλλ' ἡ λαιμαργία τοῦ τὸν βίον τοῦτον προβάλλοντος. διὸ καὶ πειθόμενος ὁ Πάνδαρος τῇ Ἀθηνᾷ δι' ἄνοιαν τοῦτο πάσχειν εἴρηται· οὐ γὰρ ἐκείνῃ πείθεται, ἀλλὰ τῷ φιλοχρημάτῳ καὶ ἀνοήτῳ τῆς ἑαυτοῦ ψυχῆς.

in R.1.105 καίτοι πῶς οὐ θαυμαστόν, εἰ Ἀθηνᾶ μὴ φρονήσεως αἰτία, ἀλλὰ ἀνοίας; ἀλλὰ καὶ νοῦ ἀπόρροια πανουργία γίνεται, φησὶν ὁ Πλωτῖνος [II 3, 11], καὶ σωφροσύνης ἔλλαμψις ἀκόλαστός ἐστιν καὶ ἀνδρείας δόσις θρασύτης. ὁποῖ' ἄττα γὰρ ἂν ᾖ τὰ τῆς ζωῆς εἴδη, τοιαύτην ἀνάγκη καὶ τὴν μέθεξιν γίνεσθαι τῶν κρειττόνων· καὶ οἳ μὲν νοερῶς τῶν νοερῶν μετέχουσιν, οἳ δὲ δοξαστικῶς, οἳ δὲ φανταστικῶς, καὶ οἳ μὲν ἀπαθῶς τῶν παθῶν, οἳ δὲ μετριοπαθῶς, οἳ δὲ ἐμπαθῶς· πάντα δὲ ὑπὸ τῶν θεῶν κινεῖται ⟦ καὶ ⟧ κατὰ τὴν ἐπιτηδειότητα τὴν ἑαυτῶν· ὥστε οὐχ ὑπὸ Διὸς καὶ Ἀθηνᾶς ἡ τῶν ὅρκων σύγχυσις, ἀλλὰ ὑπὸ Πανδάρου καὶ τῶν Τρώων. ἐξῆπται δὲ αὕτη τῶν θεῶν ἡ πρᾶξις ὡς πρόδρομος οὖσα τῆς δίκης, καὶ ὡς παρασκευάζουσα τοὺς παρέχοντας πρὸς τὴν τελέαν κόλασιν τῶν ἁμαρτημάτων (τοιαύτη γὰρ ἡ τιμωρία, καθάπερ ἡμᾶς ὁ Ἀθηναῖος ξένος ἀνεδίδαξεν)· οὐδὲ τῶν ἀληθινῶν κακῶν αἴτιον τὸ θεῖον ταῖς ψυχαῖς, ἀλλ' αἱ μοχθηραὶ τῶν ψυχῶν ἕξεις τῶν πλημμελῶν ἐνεργημάτων εἰσὶν αὐταῖς ἀρχηγοί. πᾶσα δὲ ἐνέργεια, κἂν ᾖ πλημμελὴς εἰς τὸ πᾶν προϊοῦσα, θεῶν ἐφεστώτων γίνεται καὶ προνοίας ὁλικωτέρας ἢ μερικωτέρας. γίνεται γὰρ ἀδίκως μὲν τῷ δρῶντι δικαίως δὲ τῷ πάσχοντι, φησὶν ὁ Πλωτῖνος [IV 3, 16], καὶ ὅσον μέν ἐστιν αὐτῆς ἄθεον, ἐκ τῆς μερικῆς αἰτίας ἔχει τὴν γένεσιν τῆς ἀποτελούσης τὴν ἐμπαθῆ πρᾶξιν, ὅσον δὲ ἀγαθόν, ἐκ τῶν ἐφεστώτων τυγχάνει τοῦ προσήκοντος τέλους. ἔδει γὰρ τοὺς τῶν μεγίστων ἀδικημάτων ἄρξαντας ἀνακληθῆναί ποτε

πρὸς τὴν δίκην· τοῦτο δὲ οὐκ ἄν ποτε συνέβη, μὴ τῆς μοχθηρίας αὐτῶν ἀναπλωθείσης· πολλαὶ γοῦν τῶν ἕξεων ἀνενέργητοι μένουσαι τῆς προσηκούσης θεραπείας τυχεῖν ἀδυνάτους ποιοῦσιν τοὺς ἔχοντας. διὸ καὶ βουλεύονται οἱ θεοὶ περὶ τοῦ παῦσαι τὸν πόλεμον σωζομένων τῶν Τρώων, καὶ ἡ τῆς δίκης προστάτις θεὸς κωλύει τὴν τοιαύτην ἐνέργειαν, ἵνα θᾶττον ὑπόσχωσι τῶν ἡμαρτημένων ποινήν· καὶ ἡ ταύτης συνεργὸς κινεῖ πρὸς τὴν σύγχυσιν τοῦ ὅρκου, ἵνα κατὰ πᾶσαν ἑαυτῶν τὴν μοχθηρίαν ἐνεργήσαντες ὑπὲρ πάσης τὴν κόλασιν δέξωνται.

in R.1.106 οὔτε γὰρ ἀνιάτους μένειν ἦν ἀγαθὸν οὔτε πρὸ τῶν δευτέρων ἁμαρτημάτων ἰαθῆναι τὴν ὑποικουροῦσαν ἔνδον μοχθηρίαν. πάσης οὖν τῆς ἀδίκου ζωῆς ἐν αὐτοῖς ἀναστομωθείσης ἕπεται δίκη σωφρονίζουσα τὴν ὅλην ἀνοσιουργίαν. Τίς ἐστιν ἡ ἐν τῇ ποιήσει τοῦ Διὸς τῶν θεῶν εἰς ἔριν κατάστασις διὰ Θέμιδος, ἀνάπτυξις τῆς ὅλης τοῦ μύθου θεωρίας. Πρὸς μὲν οὖν τὴν προειρημένην ἀπορίαν ὧδέ πως ἀπαντήσωμεν. ἐπεὶ δὲ καὶ τῆς κρίσεως διαμνημονεύει τῆς παρ' Ὁμήρῳ τῶν θεῶν καὶ τῆς ἔριδος, ἐφ' ἣν ὁ Ζεὺς ἀνακινεῖ τὰ πλήθη τῶν θεῶν διὰ τῆς Θέμιδος πάντα πρὸς ἑαυτὸν ἀνάγων, λεκτέον τι καὶ περὶ τούτων. ὅτι μὲν οὖν ὁ Ζεὺς μονάς ἐστι παντὸς τοῦ πλήθους τῶν ἐγκοσμίων θεῶν, καὶ ὅτι πάντας καὶ παράγειν ἀφ' ἑαυτοῦ δύναται καὶ ἐπιστρέφειν εἰς ἑαυτόν, εἴρηται πολλάκις. διττῆς δὲ οὔσης τῆς εἰς τὸ πλῆθος αὐτοῦ προϊούσης ἐνεργείας, τῆς μὲν ἐπιστρεπτικῆς, τῆς δὲ κινητικῆς εἰς τὴν τῶν καταδεεστέρων προμήθειαν, διττὰς καὶ ἡ ποίησις τοῦ Διὸς πρὸς τοὺς θεοὺς ἀναγράφει δημηγορίας. καὶ κατὰ μὲν τὴν προτέραν τῆς ἀμίκτου καθαρότητος μεταδιδοὺς ὑπόκειται τῷ πλήθει τῶν θεῶν ὁ εἷς καὶ ὅλος δημιουργός, χωριστάς τε δυνάμεις αὐτοῖς ἐνδίδωσιν ἁπάσης τῆς περικοσμίου διαιρέσεως· διὸ καὶ παρακελεύεται πᾶσιν ἀφίστασθαι τοῖς θεοῖς τοῦ πολέμου καὶ τῆς ἐναντιώσεως τῶν ἐγκοσμίων πραγμάτων.

in R.1.107 ἐν δὲ τῇ δευτέρᾳ κινεῖ πως αὐτοὺς εἰς τὴν πρόνοιαν τῶν καταδεεστέρων καὶ ἐφίησιν ταῖς διῃρημέναις αὐτῶν εἰς τὸ πᾶν προόδοις, ἵνα μὴ μόνον καθ' ἕνα συνέχωνται τὸν δημιουργικὸν νοῦν, ὃν οὔτε παρεξελθεῖν δυνατόν, ὥς φησιν ἡ ποίησις, οὔτε ὑπερδραμεῖν, ἀλλὰ καὶ κατὰ τὰς ἑαυτῶν ἰδιότητας ἐνεργῶσιν εἰς τὰ προνοούμενα· διὸ καί φησιν ὁ Ζεύς· ἀμφοτέροισι δ ' ἀρήγε θ ' ὅπῃ νόος ἐστὶν ἑκάστου [Υ 25]. ἐπειδὴ δὲ καὶ αἱ πρόοδοι τῶν θεῶν οὐκ εἰσὶν ἀπεσπασμέναι τῆς δημιουργικῆς μονάδος, ἐπιστρέφει πρῶτον αὐτοὺς ἡ Θέμις εἰς ἐκείνην· Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι [Υ 4], ἵνα καὶ προνοοῦντες κατὰ τὴν βούλησιν τοῦ πατρὸς ἐνεργῶσι καὶ τὴν τῆς Θέμιδος κρίσιν. ἀλλ' ὁ μὲν ποιητὴς διῃρημένας παραδέδωκεν ἡμῖν τὰς τοῦ ὅλου δημιουργοῦ πρὸς τοὺς νέους δημηγορίας θεούς· ὁ δὲ Τίμαιος [p. 41a] ἡνωμένως αὐτὸν καὶ ἐπιστρέφοντα ποιεῖ τὸ πλῆθος εἰς ἑαυτὸν καὶ εἰς τὴν πρόνοιαν ἀνεγείροντα τῶν θνητῶν, ἵνα κατὰ δίκην ἄγωσιν τὰ δεύτερα πάντα τῆς ἑαυτῶν γενέσεως. ταῦτα δὲ οὐδὲν διαφέρει τοῦ κινεῖν τε αὐτοὺς ἐπὶ τὸν πόλεμον καὶ διὰ τῆς Θέμιδος ἀγείρειν εἰς ἑαυτόν. καὶ γὰρ οἱ τῆς γενεσιουργοῦ προϊστάμενοι φύσεως τὸν ἐν τῇ ὕλῃ διακυβερνῶσι πόλεμον, καὶ οἱ κατὰ δίκην ἐνεργοῦντες τῆς ὅλης ἐξήρτηνται Θέμιδος, ἧς ἡ Δίκη παῖς, καὶ μιμοῦνται τὸν ἕνα δημιουργικὸν νοῦν, ᾧ μὴ θέμις ἄλλο τι δρᾶν πλὴν τὸ κάλλιστον, ὡς αὐτός πού φησιν ὁ Τίμαιος [p. 30a]. Τίς ἡ τῶν θεῶν κρίσις ἡ ἐν τοῖς μύθοις τοῖς τοῦ ποιητοῦ καὶ τίνας αἰνίσσεται βίων διαφοράς.

in R.1.108 Ἀλλὰ μὴν καὶ τὴν θρυλουμένην κρίσιν τῶν θεῶν, ἣν παρὰ τῷ Ἀλεξάνδρῳ γενέσθαι φασὶν οἱ μῦθοι κατὰ τὴν παλαιὰν φήμην, οὐ δεῖ νομίζειν αὐτῶν ὄντως εἶναι τῶν θεῶν ἔριν τε πρὸς ἀλλήλας καὶ ὑπ' ἀνδρὸς βαρβάρου κρίσιν, ἀλλ' ἡγητέον ὅτι καὶ αἱ τῶν βίων αἱρέσεις, ἃς δὴ πολλαχοῦ παραδίδωσιν ὁ Πλάτων, ὑπὸ θεοῖς ἐφόροις γίγνονται τῶν ψυχῶν. καὶ τοῦτο δήπου καὶ αὐτὸς ἐν Φαίδρῳ [p. 252e sq. 265b] διδάσκει σαφῶς, τὸν μὲν βασιλικὸν βίον Ἥρας εἶναι λέγων, τὸν δὲ φιλόσοφον Διός, τὸν δὲ ἐρωτικὸν Ἀφροδίτης. ὅταν οὖν αἱ ψυχαὶ πολλῶν αὐταῖς ἐκ τοῦ παντὸς προτεινομένων βίων κατὰ τὴν ἑαυτῶν κρίσιν τούσδε μὲν ἀσπάζωνται, τούσδε δὲ

ἀποσκευάζωνται, τηνικαῦτα οἱ μῦθοι μεταφέροντες ἐπ᾽ αὐτοὺς τοὺς θεοὺς τὰς τῶν βίων ἰδιότητας κρίνεσθαί φασιν ὑπὸ τῶν αἱρουμένων τοὺς βίους τοὺς ἐφόρους τῆς κατ᾽ εἶδος ἐν αὐτοῖς ἐξαλλαγῆς. καὶ κατὰ τοῦτον δὴ τὸν λόγον καὶ ὁ Ἀλέξανδρος καταστῆναι λέγεται κριτὴς Ἀθηνᾶς καὶ Ἥρας καὶ Ἀφροδίτης, τριῶν μὲν αὐτῷ βίων προτεινομένων, ἑλόμενος δὲ τὸν ἐρωτικόν, καὶ τοῦτο οὐ μετὰ φρονήσεως, ἀλλ᾽ ἐπιτρέχων τῷ τῶν φαινομένων κάλλει καὶ τὸ εἴδωλον ἐπιδιώκων τοῦ νοητοῦ κάλλους. ὁ μὲν γὰρ ὄντως ἐρωτικὸς νοῦν καὶ φρόνησιν προστησάμενος καὶ μετὰ τούτων τό τε ἀληθινὸν κάλλος καὶ τὸ φαινόμενον θεωρῶν οὐχ ἧσσόν ἐστιν Ἀθηναϊκὸς ἢ Ἀφροδισιακός· ὁ δὲ αὐτὸ καθ᾽ αὐτὸ μόνον τὸ ἐρωτικὸν εἶδος ἐπιδιώκων μετὰ πάθους ἀφίσταται μὲν τῶν ἀληθινῶν καλῶν καὶ ἀγαθῶν, ὑπὸ δὲ ἀνοίας καὶ λαιμαργίας ἐπιπηδᾷ τῷ εἰδώλῳ τοῦ καλοῦ καὶ περὶ τοῦτο κεῖται πεσών, οὐδὲ τῆς τῷ ἐρωτικῷ συμμέτρου τελειότητος τυχών.

in R.1.109 ὁ γὰρ δὴ τελέως ἐρωτικὸς καὶ Ἀφροδίτῃ μέλων ἐπ᾽ αὐτὸ τὸ θεῖον κάλλος ἀνάγεται τῶν ἐν αἰσθήσει καλῶν ὑπερορῶν· ἐπεὶ δὲ καὶ τοῦ ἐμφανοῦς κάλλους καὶ τοῦ ἐν ὕλῃ τὴν ὑπόστασιν ἔχοντος εἰσί τινες Ἀφροδισιακοὶ προστάται δαίμονες, διὰ δὴ τοῦτο καὶ ὁ τὸ εἴδωλον περιέπων συνεργοῦ λέγεται τῆς Ἀφροδίτης τυγχάνειν. Τίνες εἰσὶν αἱ ἐν ταῖς θεομυθίας μεταβολαὶ τῶν θεῶν εἰσαγόμεναι καὶ κατὰ πόσους τρόπους αὐτὰς διατιθέασιν καὶ διὰ ποίας αἰτίας. Ταῦτα καὶ πρὸς ταύτην ἀπαντῶντες τοῦ Σωκράτους τὴν ἐπίστασιν ἐροῦμεν. ἐπειδὴ δὲ οὐ μόνον ἀγαθουργὸν ἡμῖν ἀποδέδεικται τὸ θεῖον, ἀλλὰ καὶ ἀμετάβλητον καὶ ἄμορφον καὶ ἁπλοῦν καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον, εἰκότως ἐφεξῆς ὁ Σωκράτης τὰ τοιαῦτα τοῦ Ὁμήρου κρίσεως ἀξιοῖ· καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι παντοῖοι τελέθοντες ἐπιστρωφῶσι πόληας [Od. ρ 485 sq.] καὶ αὖ ὅσα περὶ Πρωτέως εἴρηται καὶ Θέτιδος ὡς μεταβαλλόντων τὰς ἑαυτῶν μορφὰς καὶ ποικίλων φανταζομένων. καὶ ὅτι μὲν τῶν τοιῶνδε τοῖς τῆς πολιτικῆς παιδείας γνησίως ἀντιληψομένοις οὐδὲ ἐπαΐειν προσήκει, πάντως που δῆλον· δεῖ γὰρ τῆς ἀκινήτου μελλούσης ἔσεσθαι πολιτείας καὶ τὸ παράδειγμα ἀμετάβλητον ἑστάναι καὶ τῆς ἐν ἁπλοῖς ἤθεσιν ὑφεστώσης ἁπλοῦν, ἀλλ᾽ οὐ ποικίλον οὐδὲ μεταβολαῖς παντοίαις ἐξαλλαττόμενον. ὅτου γὰρ ἂν ὁ δημιουργό ς , εἰς τὸ κατὰ τὰ αὐτὰ ἔχον βλέπων ἀε ί , τὴν ἰδέαν καὶ τὴν δύναμιν ἀπεργάζητα ι , καλὸν ἐξ ἀνάγκης οὕτως ἀποτελεῖσθαι πᾶ ν , ὡς ὁ Τίμαιός φησιν· ὅτου δὲ ἂν εἰς γεγονό ς , γενητῷ παραδείγματι προσχρώμενο ς , οὐ καλό ν .

in R.1.110 τῶν γὰρ μεταβολὴν ἐπιδεχομένων καὶ τὰ εἴδωλα πολλῷ μᾶλλόν ἐστιν γενέσεως ἀναπεπλησμένα καὶ ποικιλίας καὶ τῆς ὑλικῆς αἰσχρότητος. δεῖ δὲ αὖ καὶ τὴν Ὁμήρου διάνοιαν ἔνθεον οὖσαν τῷ λογισμῷ συνελεῖν· καίτοι με οὐ λέληθεν, ὅτι τὰς προκειμένας ῥήσεις τῶν μνηστήρων τις αὐτῷ πεποίηται λέγων, ἀφ᾽ ὧν οὐκ ἔστιν τὸν ποιητὴν εὐθύνειν. οὐδὲ γὰρ ἐκ τῶν Καλλικλέους λόγων οὐδὲ τῶν Θρασυμάχου τὴν τοῦ Πλάτωνος δόξαν αἱρεῖν δοκιμάζομεν, οὐδ᾽ εἴ τις ἐλέγχειν ἐπιχειροῖ τὸν Πλάτωνα διὰ τῶν τοῖς σοφισταῖς ἀποτετολμημένων ῥημάτων, κατὰ πόδας αὐτὸν ποιεῖσθαι τοὺς ἐλέγχους φήσομεν, ἀλλ᾽ ὅταν Παρμενίδης ἢ Σωκράτης ἢ Τίμαιος ἢ ἄλλος τις τῶν οὕτω θείων φθέγγηται, τότε τῶν Πλάτωνος ἀκούειν ἡγούμεθα δογμάτων. καὶ οὖν καὶ τῶν Ὁμηρικῶν ἐπιβολῶν ποιησόμεθα τὴν κρίσιν οὐκ ἐξ ὧν οἱ μνηστῆρες λέγουσιν ἢ τῶν παρ᾽ αὐτῷ τις εἰς πονηρίαν διαβεβλημένων, ἀλλ᾽ ἐξ ὧν αὐτὸς ὁ ποιητὴς ἢ Νέστωρ ἢ Ὀδυσσεὺς φαίνεται λέγων. εἰ δ᾽ οὖν καὶ ταῦτά τις εἰς τὴν Ὁμήρου διάνοιαν ἀναπέμπειν ἐθέλοι, πάντως οὐκ ἀπορήσει λόγων συμφώνων μὲν ταῖς ἱερατικαῖς ἁπάσαις πραγματείαις, συμφώνων δὲ ταῖς τελεταῖς καὶ τοῖς μυστηρίοις καὶ ταῖς τῶν θεῶν ἐπιφανείαις, ἃς ὄναρ τε καὶ ὕπαρ γινομένας ἄνωθεν ἡ τῶν ἀνθρώπων φήμη παρεδέξατο. ἐν ἅπασι γὰρ τούτοις οἱ θεοὶ πολλὰς μὲν ἑαυτῶν προτείνουσι μορφάς, πολλὰ δὲ σχήματα ἐξαλλάττοντες φαίνονται· καὶ τότε μὲν ἀτύπωτον αὐτῶν προβέβληται φῶς, τότε δὲ εἰς ἀνθρώπου μορφὴν ἐσχηματισμένον, τότε δὲ εἰς ἀλλοῖον τύπον προεληλυθός.

in R.1.111 καὶ ταῦτα καὶ ἡ θεοπαράδοτος μυσταγωγία παραδίδωσιν· ταῦτα γάρ φησιν ἐπιφωνήσας ἢ παιδὶ κατόψῃ πῦρ ἴκελον σκιρτηδὸν ἐ π ’ ἠέρος οἶδμα τιταῖνο ν , ἢ καὶ πῦρ ἀτύπωτον ὅθεν φωνὴν προθέουσα ν , ἢ φῶς πλούσιον ἀμφὶ γύην ῥοιζαῖον ἑλιχθέν · ἀλλὰ καὶ ἵππον ἰδεῖν φωτὸς πλέον ἀστράπτοντ α , ἢ καὶ παῖδα θοοῖς νώτοις ἐποχούμενον ἵππου ἔμπυρον ἢ χρυσῷ πεπυκασμένον ἢ πάλι γυμνό ν , ἢ καὶ τοξεύοντα καὶ ἑστηῶ τ ’ ἐπὶ νώτοι ς , καὶ ὅσα τούτοις ἐφεξῆς τὰ λόγια προστίθησιν, οὔτε ἀλλοίωσιν οὔτε ποικιλίαν οὔτε μεταβολὴν ἐπὶ τὸ θεῖον ἀναπέμποντά ποθεν, ἀλλὰ τὰς μεθέξεις αὐτοῦ διαφόρους ἐπιδεικνύοντα. τὸ γὰρ ἁπλοῦν τῶν θεῶν ποικίλον φαντάζεται τοῖς ὁρῶσιν, οὔτε μεταβαλλόντων ἐκείνων οὔτε ἐξαπατᾶν προθεμένων, ἀλλὰ τῆς φύσεως αὐτῆς κατὰ τὰ μέτρα τῶν μετεχόντων τὰς τῶν θεῶν ἰδιότητας ἀφοριζούσης. ἑνὸς γὰρ ὄντος τοῦ μετεχομένου θεοῦ νοῦς μὲν ἄλλως μεταλαμβάνει, ψυχὴ δὲ ἄλλως νοερά, φαντασία δὲ ἄλλως, αἴσθησις δὲ ἄλλως· ὃ μὲν ἀμερίστως, ἡ δὲ ἀνειλιγμένως, ἡ δὲ μορφωτικῶς, ἡ δὲ παθητικῶς. καὶ ἔστι τὸ μετεχόμενον μονοειδὲς μὲν κατὰ τὴν ὕπαρξιν, πολυειδὲς δὲ κατὰ τὴν μέθεξιν, καὶ ἀμετάβλητον καθ’ αὐτὸ καὶ μονίμως ἱδρυμένον, ἄλλοτε δὲ ἀλλοῖον διὰ τὴν αὐτῶν ἀσθένειαν τοῖς μετέχουσι φανταζόμενον. καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ βάρους τὸ ἀβαρὲς φαίνεται τοῖς πληρουμένοις αὐτοῦ μετέχον· οὐ φέρει με τοῦ δοχέως ἡ τάλαινα καρδί α , φησίν τις θεῶν.

in R.1.112 ὅθεν δὴ καὶ ὁ ποιητὴς ἐν ἄλλοις ἐνθέως καὶ τῶν τοιούτων συνῃσθημένος περὶ τῆς Ἀθηνᾶς πού φησιν· μέγα δ ’ ἔβραχε φήγινος ἄξων βριθοσύνῃ · δεινὴν γὰρ ἄγεν θεόν [Ε 838 sq.]. καίτοι κἀνταῦθα λέγειν ἔξεστιν· καὶ πῶς βαρύτητος αἴτιον τὸ ἀβαρές; ἀλλ’ ὁποῖον ἂν ᾖ τὸ μετέχον, τοιοῦτον ἀνάγκη φαίνεσθαι τὸ μετεχόμενον. εἴτε οὖν ξένοις ἐοικότες φαίνοιντο τῶν θεῶν τινες, εἴτε ἄλλην τινὰ προϊσχόμενοι μορφήν, οὐκ ἐν ἐκείνοις ὑποτίθεσθαι χρὴ τὴν φαινομένην μεταβολήν, ἀλλ’ ἐν ταῖς διαφόροις ὑποδοχαῖς ποικίλλεσθαι τὴν φαντασίαν. Ἕνα μὲν οὖν τρόπον τὸν εἰρημένον ἡ ποίησις τῶν ἀμεταβλήτων μεταβολὰς πολυειδεῖς παραδίδωσιν. ἕτερον δὲ ὅταν καὶ αὐτὸ τὸ θεῖον πολυδύναμον ὑπάρχον καὶ πλῆρες παντοίων εἰδῶν ποικίλα προτείνῃ θεάματα τοῖς εἰς αὐτὸ βλέπουσι. τότε γὰρ αὖ τὴν ἐξαλλαγὴν τῶν δυνάμεων ἐνδεικνυμένη μεταβάλλειν αὐτό φησι τὸ πάσας ἔχον ἐν ἑαυτῷ τὰς δυνάμεις ταύτας εἰς πολλὰς μορφάς, ἄλλοτε ἄλλην προβαλλόμενον, ἀεὶ μὲν κατὰ πάσας ἐνεργοῦν, ταῖς δὲ μεταβατικαῖς νοήσεσι τῶν ψυχῶν ἀλλοῖον ἀεὶ διὰ τὸ πλῆθος τῶν περιεχομένων φανταζόμενον. καὶ κατὰ τοῦτον δὴ τὸν τρόπον ὁ Πρωτεὺς ἐκεῖνος λέγεται μεταβάλλειν τὸ οἰκεῖον εἶδος τοῖς εἰς αὐτὸν βλέπουσιν, ἄλλος καὶ ἄλλος ἀεὶ προφαινόμενος. εἰ γὰρ καὶ τῶν πρωτίστων θεῶν ἐστιν καταδεέστερος καὶ ἀθάνατος μέν, οὔπω δὲ θεός, καὶ Ποσειδῶνος μὲν ὑποδμώς, οὔπω δὲ ἡγεμονικὴν ἀξίαν λαχών, ἀλλὰ νοῦς τίς ἐστιν ἀγγελικὸς ἐν τῷ κλήρῳ τοῦ Ποσειδῶνος, ἔχων τε καὶ περιέχων ἐν ἑαυτῷ τὰ εἴδη πάντα τῶν γενητῶν· ὑποτέτακται δὲ αὐτῷ πρῶτον μὲν ἡ Εἰδοθέα, ψυχή τις οὖσα δαιμονία συνημμένη πρὸς τὸν οἰκεῖον νοῦν θεῖον ὄντα καὶ τοῖς εἴδεσιν τοῖς ἐκείνου τὰς ἑαυτῆς συνάψασα νοήσεις· ἕπεται δὲ καὶ ἄλλος ἀριθμὸς ψυχῶν, λογικῶν μὴν καὶ ἀϊδίων, ἃς ὁ μῦθος προσαγορεύει φῶκας.

in R.1.113 διὸ καὶ ἀριθμῶν αὐτὰς ὁ Πρωτεὺς παραδέδοται, τὸ ἀΐδιον αὐτῶν ἐνδεικνυμένης τῆς ποιήσεως· τῶν γὰρ γινομένων δήπου καὶ ἀπολλυμένων ἀόριστόν ἐστιν τὸ πλῆθος. νοῦν τοίνυν ὄντα τὸν Πρωτέα καὶ νοῦν πολυδύναμον διακορῆ τῶν εἰδῶν αἱ μερικαὶ ψυχαὶ θεώμεναι καὶ ἄλλοτε ἄλλοις εἴδεσιν αὐτοῦ προσβάλλουσαι τὴν μετάβασιν τῶν σφετέρων νοήσεων μεταβολὴν τῶν νοουμένων εἶναι φαντάζονται. διὸ καὶ πάντα δοκεῖ γίνεσθαι τοῖς ἀντεχομένοις αὐτοῦ, ὅσ ς ’ ἐπὶ γαίης ἑρπετὰ γίγνονται καὶ ὕδωρ καὶ θεσπιδαὲς πῦρ [Od. δ 417 sq.]. ὅσα γὰρ ἔχει καὶ περιείληφεν εἴδη, μᾶλλον δὲ ὅσα ἐστὶν ἀεὶ καὶ διαιωνίως, τοσαῦτα παρὰ μέρος γίγνεσθαι δοκεῖ διὰ τὴν τῶν θεωμένων αὐτὸν μεριστὴν ἐπιβολήν. Τὸ τρίτον τοίνυν λέγωμεν, ὅταν μήτε τοῦ ἑνὸς ποικίλα προφαίνηται σχήματα διὰ τὰς ὑπεστρωμένας ὑποδοχάς, μήτε πολυδύναμον ὂν καὶ

ἓν τὸ θεωρούμενον φαντασίαν παρέχηται μεταβολῆς διὰ τὴν ποικιλίαν τῶν δυνάμεων, ἀλλ' ὅταν τὸ αὐτὸ κατὰ διαφόρους τάξεις προέρχηται καὶ μέχρι τῶν τελευταίων ὑφιζάνῃ, πολλαπλασιάζον ἑαυτὸ κατ' ἀριθμὸν καὶ εἰς ὑφειμένας διακοσμήσεις καταβαῖνον, τότε αὖ πάλιν οἱ μῦθοι μεταβάλλειν φασὶ τὸ προϊὸν εἰς τοῦτο τὸ εἶδος ἄνωθεν, εἰς ὃ πεποίηται τὴν πρόοδον. οὕτω γὰρ καὶ τὴν Ἀθηνᾶν τῷ Μέντορι καὶ τὸν Ἑρμῆν τῷ λάρῳ τῷ ὄρνιθι καὶ τὸν Ἀπόλλω τῷ ἱέρακί φασιν ἐξομοιοῦσθαι, τὰς δαιμονιωτέρας αὐτῶν ἐνδεικνύμενοι τάξεις, εἰς ἃς ἀπὸ τῶν ὅλων προεληλύθασιν.

in R.1.114 καὶ διὰ ταῦτα, ὅταν μὲν θείας ἐπιφανείας ἀναγράφωσιν, ἀμορφώτους αὐτὰς καὶ ἀσχηματίστους πειρῶνται φυλάττειν· οἷον καὶ τῆς Ἀθηνᾶς τῆς τῷ Ἀχιλλεῖ φαινομένης καὶ μόνῳ καταφανοῦς γινομένης, παντὸς τοῦ στρατοπέδου παρόντος. ἐκεῖ γὰρ οὐδὲ κατὰ τὸ μυθικὸν πρόσχημα παραδέδοταί τις τῆς θεοῦ μορφὴ καὶ τύπος, ἀλλ' ὅτι μόνον παρῆν· τίς δὲ ὁ τρόπος τῆς παρουσίας, ἄρρητον ἀφῆκεν ὁ λόγος. ὅταν δὲ ἀγγελικάς, μεταμπισχομένους μὲν τοὺς θεοὺς ἀλλοίας μορφὰς εἰσάγουσιν, ἀλλὰ ταύτας καὶ ὁλικάς, οἷον εἰς ἀνθρώπειον εἶδος ἢ κοινὸν ἀνδρὸς ἢ γυναικὸς ἀδιορίστως. οὕτω γὰρ αὖ τῷ Ἀχιλλεῖ πάλιν ὅ τε Ποσειδῶν καὶ ἡ Ἀθηνᾶ συνῆν· τῷ δὲ μά λ ' ὦκα Ποσειδάων καὶ Ἀθήνη στήτην ἐγγὺς ἰόντ ε , δέμας δ ' ἄνδρεσσιν ἐΐκτην [Il. Φ 284 sq.]. ὁπόταν δὲ δαιμονίας ἐπιφοιτήσεις ἱστορῶσι, τηνικαῦτα καὶ τὰς μεταβολὰς εἰς ἄτομα καὶ μερικὰ γιγνομένας οὐκ ἀπαξιοῦσιν ἀναγράφειν ἢ καὶ εἰς ἀλλοκότων ζῴων μορφάς· τὰ γὰρ ἔσχατα τῶν ἀεὶ θεοῖς ἑπομένων γενῶν δηλοῦται διὰ τῶν τοιούτων σχημάτων. καὶ ὁρᾷς ὅπως κατὰ τὴν τῶν πραγμάτων τάξιν τὰ τοιαῦτα διαπλάττεται. τῷ μὲν γὰρ θείῳ προσήκει τὸ ἁπλοῦν, τῷ δὲ ἀγγελικῷ τὸ καθολικόν, τῷ δὲ δαιμονίῳ τὸ μερικόν· καὶ τῷ μὲν τὸ νοερόν, τῷ δὲ τὸ λογικόν, τῷ δὲ τὸ τῆς ἀλογίας γένος· ἐν γὰρ τῇ τῶν δαιμόνων διακοσμήσει καὶ ἡ τοιαύτη ζωὴ συνδιαπέπλεκται. τοσαῦτα περὶ τῶν τρόπων εἶχον λέγειν, καθ' οὓς οἱ παρ' Ὁμήρῳ μῦθοι τῶν ἀμεταβλήτων μεταβολὰς μηχανῶνται καὶ τοῖς μονοειδέσι πολυειδεῖς ἐπεισάγουσι μορφάς. Περὶ τῆς τοῦ ἐνυπνίου πομπῆς δοκούσης ψεῦδος ἐπὶ θεοὺς ἀναπέμπειν πῶς ἀπολογητέον, ἀψευδὲς τὸ θεῖον δεικνύουσιν.

in R.1.115 Ὑπόλοιπον δέ ἐστί μοι περὶ τῆς τοῦ ἐνυπνίου πομπῆς εἰπεῖν, ἣν ὑπὸ Διὸς ὁ ποιητὴς γεγονέναι τῷ Ἀγαμέμνονί φησιν. καὶ γὰρ ταύτην ὁ Σωκράτης ἐπὶ τέλει τῶν περὶ θεολογίας τύπων ᾐτιάσατο, διότι 〈τὸ〉 θεῖον πᾶν καὶ τὸ δαιμόνιον ἀψευδές, ὡς αὐτὸς ταῖς ἀποδεικτικαῖς μεθόδοις συνηνάγκασεν. ὁ δέ γε ποιητὴς ἠπατῆσθαί φησιν τὸν Ἀγαμέμνονα διὰ τοῦδε τοῦ ἐνυπνίου. καίτοι πῶς οὐκ ἄτοπον, εἰ καὶ τὸ ὄναρ ἐκ Διός ἐστιν κατὰ τὴν αὐτοῦ ψῆφον, τοῦτο μόνον ἐψεῦσθαι σχεδὸν τῶν μνήμης ἠξιωμένων, ὅπερ ἐκ τοῦ Διὸς ἔχει τὴν πρωτίστην γένεσιν. λεγέσθω μὲν οὖν καὶ οἷς εἰώθασιν οἱ πολλοὶ τῶν ἐξηγητῶν ἁπαντᾶν, ὅτι τὸ ψεῦδος ἐν τῇ φαντασίᾳ τοῦ Ἀγαμέμνονος ἔσχεν τὴν ὑπόστασιν. τοῦ γὰρ Διὸς ἐν τοῖς πρὸς τὸν ὄνειρον λόγοις καὶ αὖ τοῦ ὀνείρου διὰ τῶν πρὸς τὸν Ἀγαμέμνονα ῥημάτων ἐνδεικνυμένων, ὅτι δέοι πᾶν τὸ στράτευμα κινεῖν καὶ μετὰ πάντων προσβάλλειν τοῖς πολεμίοις (τοῦτο γὰρ αὖ δηλοῦν ἑκατέρῳ τὸ πασσυδίῃ) , τὸν Ἀγαμέμνονα μὴ συνέντα τοῦ προστάγματος τὴν μεγίστην μοῖραν τοῦ στρατεύματος παριδόντα καὶ τῆς Ἀχιλλέως ἐρημωθέντα χειρὸς ὅμως ἐπιχειρεῖν τῷ πολέμῳ, κἀνταῦθα τοῦ τέλους μὴ τυγχάνειν διὰ τὴν ἑαυτοῦ περὶ τὴν κρίσιν τῶν θείων φασμάτων ἀπειρίαν. ὥστε οὐχ ὁ Ζεύς ἐστιν ὁ τῆς ἀπάτης αἴτιος, ἀλλ' ὁ κακῶς τῶν τοῦ Διὸς προσταγμάτων ἀκούσας. λεγέσθω μὲν ὅπερ ἔφην καὶ ταῦτα· προσκείσθω δὲ καὶ ἡ τοῦ καθηγεμόνος ἡμῶν ἐπιβολή, τῆς τε Ὁμηρικῆς διανοίας στοχαζομένη καὶ τῆς τῶν πραγμάτων ἀληθείας. εἰ γὰρ Ζεὺς ὑπόκειται προνοῶν μὲν τῆς εἰς τὸν ἥρω τὸν Ἀχιλλέα τιμῆς, βουλευόμενος δὲ ὅπως ἂν ἀπολέσῃ πλεῖστον ὅσον τῶν Ἑλλήνων ἀριθμόν, πῶς οὐχὶ καὶ τῆς ἀπάτης αὐτὸν προειληφέναι τὴν αἰτίαν ἀναγκαῖον; οὐ γὰρ ἂν ἀπώλετο τὸ Ἑλληνικὸν Ἀχιλλέως συνόντος, οὐδ' ἂν δίκας ἔδοσαν τῆς εἰς αὐτὸν ἀδικίας.

in R.1.116 βέλτιον οὖν λέγειν, ὅτι καὶ ἡ ἀπάτη θεόθεν ἐπ᾽ ἀγαθῷ τῶν ἀπατωμένων. τὸ γὰρ αὖ ἀγαθὸν κρεῖττόν ἐστιν τῆς ἀληθείας, καὶ ἐν μὲν τοῖς θεοῖς συνέζευκται ἀλλήλοις (οὔτε γὰρ ὁ νοῦς ἄνευ τῆς θεότητος, οὔτε ἡ θεότης ἄνευ τῆς νοερᾶς οὐσίας), ἐν δὲ τοῖς μετέχουσιν μερίζεται πολλάκις, καὶ τό τε ἀγαθὸν διὰ τοῦ ψεύδους παραγίνεται καὶ τὸ ἀληθὲς ἀποπίπτει τῆς τοῦ ἀγαθοῦ μοίρας. ὅθεν δὴ καὶ αὐτὸς ὁ Σωκράτης [rp. V 459c] νομοθετῶν τοῖς φύλαξιν συχνῷ τῷ ψεύδει χρῆσθαι προστάττει διὰ τὴν τῶν ἀνοήτων δόξαν, οὐ δυναμένων ἄλλως τοῦ προσήκοντος αὐτοῖς ἀγαθοῦ τυχεῖν. εἰ οὖν τις λέγοι καὶ τὸν θεὸν τοὺς μὲν διὰ τῆς ἀληθείας εὐεργετεῖν, τοὺς δὲ διὰ τοῦ ψεύδους, πάντας δὲ ὅμως ἐπανάγειν εἰς τὸ ἀγαθόν, οὐ θαυμαστόν. καὶ γὰρ τῶν γινομένων τὰ μὲν ἄνευ ὕλης ὑφίστησι, τὰ δὲ μεθ᾽ ὕλης, ᾗ τὸ ψεῦδος ἔνεστι τὸ ἀληθινόν. ὥστε καὶ ἐν τῇ προνοίᾳ τῶν ψυχῶν, εἰ τὰς μὲν ἄλλως κατὰ τὸν εἰρημένον τρόπον εὐεργετοῖ, τὰς δὲ ἄλλως, καὶ τὰς μὲν ἀΰλως διὰ τῆς ἀληθείας, τὰς δὲ ἐνύλως διὰ τοῦ ψεύδους, ἔχοι ἄν που καὶ ταῦτα τὸν πρέποντα τοῖς θεοῖς λόγον. εἰ δὲ δεῖ καὶ τοῦτο λέγειν, τικτέσθω μὲν ἡ ἀπάτη καὶ τὸ ψεῦδος ἐν τῷ μετέχοντι, γιγνέσθω δὲ καὶ τοῦτο κατὰ τὴν τοῦ θεοῦ βούλησιν, ἵνα σωφρονέστερον γένηται διὰ τῆς ἀπάτης τὸ πλημμελῆσαν. ὥσπερ δὴ καὶ γεννᾶται μὲν τὸ ἔνυλον ἐν τοῖς τῇδε τόποις, ὑφίσταται δὲ κατὰ τὴν δημιουργικὴν πρόνοιαν, ἵνα καὶ γένεσις ᾖ καὶ φθορὰ συμπληροῦσα τὸ πᾶν. οὔκουν ἀπατᾷ τὸ θεῖον, ἀλλ᾽ ὑφ᾽ ἑαυτοῦ τὸ ἀπατώμενον ἀπατᾶται, καὶ τοῦτο γίνεται κατὰ τὴν ἐκείνου βούλησιν ἐπ᾽ ἀγαθῷ τοῦ πάσχοντος.

in R.1.117 καὶ γὰρ ἀΰλως τοῦ θεοῦ ποιοῦντος ἐνύλως γίνεται τὸ γιγνόμενον, καὶ ἀμερίστως ἐνεργοῦντος μεριστῶς ἀποτελεῖται, καὶ νοερῶς σημαίνοντος ἐν τῷ δεχομένῳ τὸ ψεῦδος παρυφίσταται. δηλοῖ δὲ καὶ αὐτὸς ὁ θεῖος ποιητής, ὅτι παρὰ τοῖς θεοῖς 〈τῆσ〉 ἀληθείας οὔσης ἡ ἀπάτη γεννᾶται διὰ τὴν τῶν δεχομένων ἄνοιαν, ὅταν ποιῇ τὸν Δία τῷ ὀνείρῳ παρακελευόμενον [B 10] πάντα μά λ ᾽ ἀτρεκέως ἀγορεύεμε ν . πῶς οὖν ἐν θεῷ τὸ ψεῦδος καθ᾽ Ὅμηρον; πῶς δὲ ἀπάτης αἴτιος ὁ θεός; εἰ μὴ λέγοι οὕτω τις, ὡς οὐδὲ τῆς ἐνταῦθα παρυφισταμένης ἀπάτης παρὰ τὴν τοῦ θεοῦ βούλησιν γεννωμένης. ἀλλὰ ταῦτα διακρίνειν ἡ τῶν νέων ἕξις ἀδύνατός ἐστιν καὶ θεωρεῖν, πῶς τῶν ὅλων ἀκακώτων μενόντων ἐν τοῖς μεριστῶς αὐτῶν ἀντιλαμβανομένοις ἀναφαίνεται τὸ κακόν, καὶ πῶς τῶν κρειττόνων ἡμῶν οὐκ ἀπατώντων ἡμεῖς ἐξαπατώμεθα πολλάκις, καὶ ὅπως ἐξαπατώμενοι κατὰ πρόνοιαν τοῦτο πάσχομεν. διὸ καὶ ὁ Σωκράτης ἀνηκόους εἶναι τῶν τοιούτων λόγων θέλει τοὺς νέους, ὡς διηρθρωμένας περὶ αὐτῶν φαντασίας ἔχειν οὐ δυναμένους. Κοινὴ ἀπολογία ὑπέρ τε τῶν Ὁμηρικῶν μύθων καὶ τῶν Πλατωνικῶν, ἐν οἷς περὶ τῶν ἐν Ἅιδου λέγουσι δικαιωτηρίων καὶ τῶν ἐν αὐτοῖς λήξεων τῶν διαφόρων, ἃς ἔχουσιν αἱ ἐξελθοῦσαι τῶν σωμάτων ψυχαὶ κατὰ τὰ ἰδιώματα τῆς ἐν σώματι ζωῆς. Ἀλλ᾽ ἐπεὶ καὶ ταῦτα διεπερανάμεθα, πάλιν ἀπ᾽ ἄλλης ἀρχῆς τῶν ἐν τῷ τρίτῳ τῆς Πολιτείας γεγραμμένων ποιησώμεθα τὴν ἐξέτασιν.

in R.1.118 καὶ πρὸ τῶν ἄλλων, ὅσα περὶ τῶν ἐν Ἅιδου διαμυθολογῶν ὁ ποιητὴς ἀνεφθέγξατο, ἢ αὐτὸς λέγων ἢ ἄλλῳ λέγοντι χρώμενος, διασκοπήσωμεν, εἴ πῃ ἄρα ἀληθείας ἔχεταί τινος καὶ ταῖς Πλάτωνος ὑφηγήσεσιν προσήκοντα φαίνεται. τί δὴ οὖν βούλεται καὶ ὁ τῶν ἐν Ἅιδου πάντων χρημάτων τὴν ἐν τῷ τῇδε βίῳ θητείαν προτιθείς, καὶ τὰ οἰκητήρια τὰ φοβερὰ καὶ ἃ στυγέουσιν οἱ θεοί, καὶ τὸ εἴδωλον καὶ ἡ ψυχὴ τὰ ἔρημα τοῦ νοῦ φερόμενα, καὶ αἱ ταῖς σκιαῖς παραβαλλόμεναι ζωαί, καὶ οἱ θρῆνοι τῶν ἐνθένδε ἐκεῖσε φερομένων ψυχῶν, καὶ ἡ πρὸς τὰς νυκτερίδας αὐτῶν ἀπεικασία, καὶ ὁ καπνὸς καὶ ὁ τρισμός, καὶ ὅσα τοιαῦτα ἐν τοῖς ποιήμασιν γέγραπται, καὶ οἱ ἐν Ἅιδου ποταμοί, καὶ τὰ τραγικώτατα τῶν ὀνομάτων; ταῦτα γὰρ δὴ καὶ ὁ Σωκράτης ηὔθυνεν ⟦ εἰ ⟧ καὶ ἐπὶ πᾶσιν ἕνα κοινὸν προσέθηκεν λόγον, ὅτι πρὸς μὲν ἄλλο τι εὖ ἔχει, ἡμεῖς δὲ ὑπὲρ τῶν φυλάκων δεόμεθα, μὴ ἐκ τούτων τῶν δειμάτων 〈τὸν θάνατον〉 ἡγήσωνται φοβερόν. ἐπεὶ ὅτι γε καὶ αὐτὸς πολλαχοῦ χρῆται τοῖς τοιούτοις ὀνόμασίν τε καὶ αἰνίγμασιν, παντί που καταφανές. ἵνα γὰρ παραλείπω τοὺς ἐν Φαίδωνι ποταμούς, καὶ τὰς τῶν

ψυχῶν πλάνας καὶ τὰς ἀπορίας, καὶ τὰς τριόδους καὶ τὰς κολάσεις καὶ τὰς ἐν τοῖς ῥεύμασιν φοράς, καὶ τοὺς θρήνους τοὺς ἐκεῖ καὶ τὰς ἐκβοήσεις καὶ τὰς τῶν ἠδικημένων ἱκεσίας, ὧν καὶ ὁ Πλάτων μεστὰ εἶναι τὰ ἐν Ἅιδου φησίν, ἀλλὰ τὰ ἐν ταύτῃ τῇ πραγματείᾳ γεγραμμένα πρὸς τῷ τέλει πῶς οὐ τῆς αὐτῆς ἐστι διανοίας τοῖς Ὁμηρικοῖς ποιήμασιν, τὸ στόμιον τὸ μυκώμενον, ὁ Τάρταρος, οἱ διάπυροι δαίμονες οἱ τὸν Ἀρδιαῖον κνάπτοντες, αἱ μεσταὶ κόνεως καὶ αὐχμοῦ ψυχαί; τί γὰρ ἐν τούτοις ἀπολείπεται τῆς μεγίστης τραγῳδίας; ὥστε ὁ αὐτὸς λόγος καὶ ταῦτα ἐκβάλλειν ἢ μηδὲ τὴν Ὁμηρικὴν αἰτιᾶσθαι διδασκαλίαν.

in R.1.119 λέγωμεν τοίνυν ἐπ' ἀμφοτέρων, εἴτε τῶν Ἐπικουρείων τις ἐγκαλεῖν ἐπιχειροῖ τοῖς τοιούτοις μύθοις εἴτε καὶ ἄλλος τις, ὅτι καὶ τῶν ψυχῶν αἱ ἕξεις εἰσὶ διάφοροι τῶν ἀπαλλαττομένων τοῦ σώματος καὶ οἱ τόποι τοῦ παντὸς εἰς οὓς ἐνοικίζονται πολυειδεῖς τυγχάνουσιν ὄντες. καὶ τὰς μὲν οὕτω χωριζομένας τῶν ὀργάνων τῶν θνητοειδῶν, ὡς μήτε σχέσιν ἔχειν πρὸς τὰ χείρονα μήτε ἀναπίμπλασθαι τῆς ἐν αὐτοῖς ταραχῆς καὶ τῆς ὑλικῆς φλυαρίας, καὶ τὰ περιβλήματα τὰ αὐγοειδῆ καθαρὰ φέρειν ἀνάγκη, καὶ μὴ ἐπιθολούμενα ὑπὸ τῶν ἐνύλων ἀτμῶν μηδὲ παχυνόμενα ὑπὸ τῆς γηΐνης φύσεως· τὰς δὲ μὴ τελέως αὐτὰς διὰ φιλοσοφίας καθηραμένας, ἀλλὰ καθελκομένας εἰς τὴν πρὸς τὸ ὀστρέϊνον σῶμα προσπάθειαν καὶ τὸν μετὰ τούτου διωκούσας βίον, τοιαῦτα καὶ τὰ ὀχήματα τὰ ἐξηρτημένα αὐτῶν δεικνύναι τοῖς ὁρᾶν δυναμένοις, σκιοειδῆ καὶ ἔνυλα καὶ ὀπισθοβαρῆ, καὶ πολὺ τῆς θνητοειδοῦς ἐφελκόμενα ⟦ διὰ τοῦτο καὶ ⟧ συστάσεως. καὶ διὰ τοῦτο ὅ τε Σωκράτης ἐν τῷ Φαίδωνι [p. 81d] τὰς τοιαύτας φησὶν περὶ τοὺς τάφους καλινδουμένας σκιοειδῆ παρέχεσθαι φαντάσματα, καὶ ὁ ποιητὴς σκιαῖς αὐτὰς παραπλησίως ἀΐσσειν ἱστόρησεν. ἔτι δὲ καὶ τούτων τῶν ψυχῶν τῶν ἔτι τὸν τῇδε βίον περιπτυσσομένων πολλαὶ διαφορότητές εἰσιν. αἱ μὲν γὰρ πρακτικώτερον ζήσασαι καὶ μηδέπω τῆς τοιαύτης ζωῆς ἀποστᾶσαι τὸ προσῆκον ὄργανον ταῖς πρακτικαῖς ἐνεργείαις ἀσπάζονται καὶ χωριζόμεναι τούτου δυσχεραίνουσιν, ὥσπερ ἡ Πατρόκλου λιποῦσα ἀνδρότητά τε καὶ ἥβην [Il. X 363], καὶ ἐν Ἅιδου γενόμεναι ποθοῦσιν αὐτοῦ τὴν συνουσίαν, ὥσπερ ἡ Ἀχιλλέως, διότι καὶ τὴν ἐνταῦθα ζωὴν προτίθησιν τῆς χωριστῆς, ὡς κατ' ἐκείνην μὲν ἐνεργεῖν οὐ δυναμένη, κατὰ δὲ τὸν ἐν πράξει βίον πρωτεύουσα.

in R.1.120 αἱ δὲ διὰ κακοζωΐαν φιλοφρονοῦνται τὸ ὀστρέϊνον σῶμα καὶ τὴν μετ' αὐτοῦ ζωήν, οὐδὲν διαφέρειν ἡγούμεναι τῆς ἐν αὐτῷ ζωῆς. ἃς δὴ καὶ νυκτερίσιν ἀπείκασεν ἡ ἔνθεος ποίησις, ὡς εἰς τὸ σκοτεινὸν φερομένας καὶ τὸ ἔσχατον τοῦ παντός, ὃ δὴ θεσπέσιον ἄντρον ἄν τις προσαγορεύσειεν, καὶ ὡς τὸ πτερὸν τὸ ψυχικὸν σαρκῶδες καὶ παχὺ καὶ γήϊνον ἐχούσας. τί οὖν ἔτι θαυμαστόν, εἰ καὶ Ἀχιλλεὺς πρακτικὴν σχὼν ἀρετὴν ἐφίοιτο τῆς μετὰ σώματος ζωῆς ὑπηρετεῖν αὐτοῦ δυναμένου ταῖς πράξεσιν; ὁ μὲν γὰρ Ἡρακλῆς διὰ τελεστικῆς καθηράμενος καὶ τῶν ἀχράντων καρπῶν μετασχὼν τελέας ἔτυχεν τῆς εἰς θεοὺς ἀποκαταστάσεως· αὐτὸς δὲ με τ ' ἀθανάτοισι θεοῖσι τέρπεται ἐν θαλίῃ καὶ ἔχει καλλίσφυρον Ἥβην · καὶ εἴρηται πολλὰ πολλαχοῦ καὶ περὶ τῆς Ἡρακλέους ἐκθεώσεως. ὁ δὲ Ἀχιλλεὺς ἔτι τὸ κατορθοῦν ἐν ταῖς πράξεσιν ἀγαπᾷ καὶ τόνδε τὸν βίον καὶ διώκει καὶ ὄργανον προσῆκον αὐτοῦ τῷ βίῳ καὶ ποθεῖ· κατὰ τὰς συνηθείας γοῦν καὶ αὐτὸς ὡς τὰ πολλὰ τὰς ψυχὰς αἱρεῖσθαί φησι τοὺς δευτέρους βίους ὁ Πλάτων [rp. X 620a]. πῶς δὲ οὐ καὶ τοῦτο τῆς Ὁμηρικῆς ἐστιν ἐνθέου παραδόσεως, τὸ διακρίνειν ψυχήν τε καὶ εἴδωλον τὸ ταύτης καὶ τὸν νοῦν τὸν τῆς ψυχῆς, καὶ τὴν μὲν ψυχὴν χρῆσθαι τῷ εἰδώλῳ λέγειν, τὸν δὲ νοῦν ἀμφοῖν ὑπάρχειν θειότερον; καὶ τὸ μὲν εἴδωλον καὶ τὴν ψυχὴν γνωστά πως εἶναι, καὶ ἔτι κατεχομένας ἐν τοῖς σώμασιν καὶ κηδεμόνας φαίνεσθαι τοῦ ὀστρεΐνου σώματος καὶ τὴν περὶ αὐτοῦ πρόνοιαν καὶ μὴ γιγνομένην ἐπιποθεῖν· τὸν δὲ νοῦν ἄληπτον εἶναι ταῖς φανταστικαῖς ἡμῶν καὶ μορφωτικαῖς κινήσεσιν.

in R.1.121 διὰ γὰρ ταῦτα καὶ ὁ Ἀχιλλεὺς τὸν Πάτροκλον ἰδὼν περὶ τῆς ταφῆς διαλεγόμενον τοῦ σώματος ψυχὴν μὲν ἐν Ἅιδου καὶ εἴδωλον ἐπίστευσεν εἶναι, νοῦν δὲ οὐκ εἶναι τούτοις μηδὲ φρόνησιν

τὴν χρωμένην. τὰ μὲν γὰρ τῆς ἀλογίας ἐνεργήματα πρὸς τὴν τούτων ἐπήγετο θέσιν, τὴν δὲ τῆς νοερᾶς ψυχῆς παραδοχὴν οὐκ εἶχεν ἐκ τῶν ὀνειρωκτικῶν θεαμάτων πιστώσασθαι. πῶς δὲ οὐχὶ καὶ τοῖς πράγμασιν αὐτοῖς ἁπάντων ἐστὶ συμφωνότατον τὸ τὰς πολλὰς τῶν ψυχῶν θρηνούσας ἀφίστασθαι τῶν σωμάτων καὶ δυσαποσπάστως ἐχούσας διὰ τὰς ἐν αὐτῷ ζωὰς καὶ τὰς πολυαράτους ἡδονάς (αὗται γοῦν, φησὶν καὶ ὁ Σωκράτης [Phaed. 83d], ὥσπερ ἧλον ἔχουσαι προσπερονῶσιν αὐτὰς καὶ προσηλοῦσιν τοῖς σώμασιν) καὶ ὀχήμασιν ἐξελθούσας χρῆσθαι σκιοειδέσιν καὶ τεθολωμένοις ἀπὸ τῶν σεληναίων ἀτμῶν καὶ ἐμβριθέσι καὶ γεώδεσιν, καὶ φωνὴν ἄσημον ἀφιέναι καὶ ἦχον ὑλικόν, ὃν ἡ ποίησις τρισμὸν ἀπεκάλεσεν. ὡς γὰρ τῶν ἀναγομένων ψυχῶν τὰ ὄργανα φωνὴν ἐναρμόνιον ἀφίησιν καὶ ἐμμελῆ, καὶ εὔρυθμον ἔχοντα φαίνεται κίνησιν, οὕτω τῶν ὑπὸ γῆς φερομένων καὶ ἀλογωτέρων ὁ ἦχος τρισμῷ παραπλήσιός ἐστιν, τῆς ὀρεκτικῆς μόνης καὶ φανταστικῆς ζωῆς ἴνδαλμα φέρων. καὶ μὴν καὶ τοὺς τόπους τοὺς ἐν Ἅιδου καὶ τὰ ὑπὸ γῆς δικαιωτήρια καὶ τοὺς ποταμούς, οὓς Ὅμηρός τε καὶ Πλάτων ἡμᾶς ἐδιδαξάτην, οὐ κενὰς φαντασίας οἰητέον εἶναι καὶ μυθικὰς τερατείας· ἀλλ᾽ ὥσπερ ταῖς εἰς οὐρανὸν ἰούσαις ψυχαῖς πολλοὶ τόποι καὶ παντοδαποὶ τῆς ἐκεῖ λήξεως ἀφωρίσθησαν, οὕτω δεῖ νομίζειν καὶ ταῖς κολάσεως ἔτι καὶ καθάρσεως δεομέναις τοὺς ὑπὸ γῆς τόπους ἀνεῖσθαι, ποικίλας μὲν ἀπορροίας ἔχοντας τῶν ὑπὲρ γῆς στοιχείων, ἃς δὴ ποταμοὺς καὶ ῥεύματα κεκλήκασιν, δαιμόνων δὲ τάξεις διαφόρους ἐφεστώσας, τὰς μὲν τιμωρούς, τὰς δὲ κολαστικάς, τὰς δὲ καθαρτικάς, τὰς δὲ κριτικάς.

in R.1.122 εἰ δὲ ἡ ποίησις σμερδαλέ᾽ εὐρώεντα τά τε στυγέουσι θεοί περ ἐκεῖνα προσείρηκεν [Il. Υ 65], οὐδὲ τοῦτο αἰτιᾶσθαι προσήκει. καταπλήττει μὲν γὰρ τὰς ψυχὰς διὰ τῆς ποικιλίας καὶ τῆς τῶν ἐφεστώτων φαντασίας, ἀνήπλωται δὲ κατὰ τὰς παντοίας λήξεις τὰς πρεπούσας ταῖς διαφόροις ἕξεσι τῶν ἐκεῖ φερομένων, πορρωτάτω ⟦ τὰ ⟧ δέ ἐστι τῶν θεῶν ὡς ἔσχατα τοῦ παντός, καὶ πολὺ τῆς ὑλικῆς ἀταξίας ἔχοντα καὶ οὐδὲ τῶν ἡλιακῶν ἀκτίνων ἀπολαύοντα. τοσαῦτα καὶ περὶ τούτων εἰρήσθω τῶν στίχων, οὓς ὁ Σωκράτης διαγράφειν ἀξιοῖ, καὶ ὧν τοὺς παρ᾽ αὐτῷ παιδευομένους ἀνηκόους εἶναι παντελῶς δοκιμάζει. διὰ γὰρ τούτων αὔξεσθαι τὸ φιλοσώματον τῆς ψυχῆς καὶ τὸν ἐνθένδε χωρισμὸν παντὸς μᾶλλον ἔτι φαντάζεσθαι φοβερώτερον. Τίνες αἰτίαι δι᾽ ἃς ἡ ποίησις ἀναπέμπει θρήνους κἀπὶ τοὺς ἥρωας καὶ ἐπὶ τοὺς θεοὺς καὶ ἐπὶ τὸν ἄριστον αὐτὸν τῶν ἡρώων καὶ ἐπὶ τὸν μέγιστον τῶν θεῶν. Ἕπεταί δέ που τοῖς εἰρημένοις θεωρῆσαι, πῶς οὐχὶ φιλόδακρυν ἕκαστον ἡμῶν ἡ ποίησις ἀπεργάζεται καὶ φιλόθρηνον, ὅταν ποιῇ καὶ τοὺς ἥρωας, καὶ τί λέγω τοὺς ἥρωας; τοὺς θεοὺς αὐτοὺς ἀποδακρύοντας ἐπὶ τοῖς τῶν φιλτάτων θανάτοις. καίτοι παρὰ τῷ Πλάτωνι [Phaed. p. 59a] Σωκράτης μὲν ἄτεγκτος διαμείνας καῖ ἀπροσπαθὴς πρὸς τὰ δάκρυα τῶν οἰκείων ἀνύμνηται, Ἀπολλόδωρος δὲ ἀστακτὶ δακρύων καὶ εἰ δή τις ἄλλος τοιοῦτος ἐπιτιμήσεως ὑπὸ τοῦ καθηγεμόνος ἠξίωται.

in R.1.123 ἀλλ᾽ ὅ γε θεῖος ποιητὴς τοὺς ἥρωας ἀσχέτως ὀδυρομένους τὰς τῶν οἰκείων ἀποβολὰς παραδίδωσιν· καίτοι, φαίη τις ἄν, εἰ καὶ Πρίαμον ἔδει τοιαῦτα πάσχειν κυλινδόμενον κατὰ κόπρο ν , καὶ ἐξονομακλήδην ὀνομάζοντα ἄνδρα ἕκαστο ν , βάρβαρον ὄντα καὶ ἀλογώτερον, ἀλλ᾽ οὕτι καὶ Ἀχιλλέα τὸν θεᾶς παῖδα, τότε μὲν ὕπτιον κατακείμενον, τότε δὲ πρηνῆ, τότε δὲ ἐπὶ πλευρᾶς ἀλύειν, καὶ χευάμενον κόνιν κατὰ τῆς κεφαλῆς ἀποθρηνεῖν παιδικῶς. εἰ δὲ καὶ ἀνθρώποις ἦν προσῆκον φύσιν θνητὴν λαχοῦσι τὸ πάθος, ἀλλ᾽ οὐ τοῖς θεοῖς αὐτοῖς. τί οὖν ἔδει τὴν Θέτιν δακρύειν λέγουσαν [Il. Σ 54]· ὤμοι ἐγὼ δειλ ή , ὤμοι δυσαριστοτόκει α ; πόρρω γὰρ ἡδονῆς καὶ λύπης ἵδρυται τὸ θεῖον. εἰ δὲ καὶ θεούς τις ἐτόλμα τοιαῦτα πάσχοντας εἰσάγειν, ἀλλ᾽ οὐ τὸν μέγιστον ἐχρῆν τῶν θεῶν τόν τε Ἕκτορα διωκόμενον θρηνεῖν καὶ Σαρπηδόνα τὸν υἱόν, καὶ ὤμοι ἐγὼν ἐπ᾽ ἀμφοτέρων λέγειν. ἡ γὰρ τοιαύτη μίμησις οὐδὲν προσήκουσα φαίνεται τοῖς παραδείγμασιν, δάκρυα προστιθεῖσα τοῖς ἀδακρύτοις καὶ λύπας τοῖς ἀλυπήτοις ἐκείνοις καὶ ὅλως πάθη τοῖς ἀπαθέσιν. Τοιαῦτα ὁ Σωκράτης ἐγκαλεῖ τῷ ποιητῇ καὶ τῆς τῶν νέων παιδείας

ἐκβάλλει, φυλαττόμενος ἐμπόδιον αὐτῷ γίνεσθαι διὰ τῶν τοιούτων ῥημάτων εἰς τὴν ὀρθὴν πρὸς ἀρετὴν ἀγωγήν. περὶ γὰρ λύπας καὶ ἡδονὰς ἡ παιδεία διαφερόντως ἐστίν, ὧν ἐπιτεινομένων ἀνάγκη τὸν νομοθέτην ἀποτυγχάνειν τοῦ προσήκοντος αὐτῷ τέλους. Λέγωμεν τοίνυν καὶ πρὸς ταύτας τὰς ἐπιτιμήσεις, ὅτι τοὺς μὲν ἥρωας ἐν πράξεσιν ὄντας καὶ τὸν ταύταις προσήκοντα βίον ἠρημένους ὁ ποιητὴς παραδιδοὺς εἰκότως καὶ παθαινομένους περὶ τὰ καθ' ἕκαστον καὶ ζῶντας ὡσαύτως εἰσήγαγεν.

in R.1.124 τοῖς μὲν γὰρ φιλοσόφοις καὶ καθαρτικῶς ἐνεργοῦσιν ἡδοναὶ καὶ λῦπαι καὶ αἱ τούτων μίξεις οὐδαμῇ προσήκουσιν. χωρίζονται γὰρ ἐκ τούτων καὶ πᾶσαν τὴν θνητὴν φλυαρίαν ἀποσκευάζονται καὶ γυμνοὶ τῶν περιεστοιχημένων αὐτοὺς εἰδῶν τῆς ζωῆς γενέσθαι σπεύδουσιν, ἑαυτοὺς ἀναρπάζοντες ἀπὸ τῶν ἐνύλων καὶ γενεσιουργῶν παθημάτων. τοῖς δὲ ἐν πολέμῳ στρεφομένοις καὶ κατὰ τὸ παθητικὸν ἐνεργοῦσιν ἡδοναί τέ εἰσιν σύστοιχοι καὶ λῦπαι, καὶ συμπάθειαι καὶ ἀντιπάθειαι, καὶ σκηνὴ παντοίων παθῶν. καὶ πῶς ἂν ἡ περὶ τὰς πράξεις συντονία χώραν ἔχοι, μὴ καὶ τῶν ὀρέξεων ἐπιτεταμένων. καὶ Πρίαμος οὖν καὶ Ἀχιλλεύς, οὔτε φιλόσοφοι ὄντες οὔτε γενέσεως χωρίζειν ἑαυτοὺς ἐθέλοντες οὔτε τὸν τῶν ⟦ διὰ ⟧ φυλάκων ζῶντες τρόπον, εἰ καὶ θρηνοῦσι τοὺς οἰκείους καὶ οἰκτίζονται, θαυμαστὸν οὐδέν. καὶ γὰρ φίλων ἀποβολαὶ καὶ παίδων ἐρημίαι καὶ πόλεων ἀφανισμοὶ τοῖς πολεμικοῖς ἀνδράσιν μεγάλην μοῖραν παρέχεσθαι δοκοῦσι τῆς ἀθλιότητος. προσήκει δὲ ἄρα τὸ μεγαλουργὸν αὐτοῖς ὡς φύσιν ἡρωϊκὴν λαχοῦσιν, τὸ δὲ παθητικὸν ὡς περὶ τὰ καθ' ἕκαστα στρεφομένοις· ἐπὶ δὲ αὐτῶν θεῶν, ὅταν δακρύειν καὶ ἐκεῖνοι λέγωνται ἢ ὀδύρεσθαι τοὺς φιλτάτους, ἄλλος ὁ τρόπος καὶ τοῖς μυθοπλάσταις πάλαι δεδογμένος, οἳ τὴν περὶ τὰ θνητὰ πρόνοιαν καὶ γιγνόμενα καὶ ἀπολλύμενα τῶν θεῶν διὰ τῶν δακρύων εἰώθασιν ἐνδείκνυσθαι. φύσει γὰρ τὸ προνοούμενον τοῦτο δακρύων ἄξιον ὂν πρόφασιν παρέσχε τοῖς μυθοποιοῖς καὶ τὴν πρόνοιαν αὐτὴν διὰ τούτων αἰνίττεσθαι· δάκρυα μὲν σέθεν ἐστὶ πολυτλήτων γένος ἀνδρῶ ν , φησίν τις τὸν ἥλιον ὑμνῶν [Orph.

in R.1.125 fr. 236]. καὶ διὰ τοῦτο κἀν τοῖς μυστηρίοις τοὺς ἱεροὺς θρήνους μυστικῶς παρειλήφαμεν, σύμβολον ὄντας τῆς εἰς ἡμᾶς καθηκούσης ἐκ τῶν κρειττόνων προνοίας. καὶ ἡ Θέτις οὖν καὶ ὁ Ζεὺς ὀδύρεσθαι λέγονται τοὺς φιλτάτους αὐτοῖς ἐν ἐσχάτοις ὄντας κινδύνοις, οὐχ ὅτι παθητικῶς διάκεινται τὸν αὐτὸν τοῖς ἀνθρώποις τρόπον, ἀλλ' ὅτι πρόεισιν ἀπ' αὐτῶν διωρισμένη τις προμήθεια καὶ δόσις εἰς τὰ καθ' ἕκαστα. καὶ ὅταν μὲν τῇ μεριστῇ ταύτῃ προνοίᾳ καὶ ἡ τοῦ παντὸς συντρέχῃ τάξις, ἀνεμπόδιστός ἐστιν ἡ σωστικὴ τοῦ προνοοῦντος ἐνέργεια, ὅταν δὲ ἀνθίστηται καὶ ὡς μέρος ὂν τοῦ κόσμου καὶ γένεσιν λαχὸν τὴν προσήκουσαν ὑπομένῃ φθοράν, τότε τὴν ἰδιότητα τῆς προνοίας οἱ μῦθοι παριστάντες, ἧς καὶ τοῦτο κατὰ τὴν αὐτοῦ τάξιν ἀπέλαυεν, θρηνεῖν τοὺς προνοοῦντας λέγουσιν, καὶ τοῦτο 〈μόνον〉 οὐχὶ βοῶντές φασιν, ὡς ὁ θρῆνος σύνθημα παρ' αὐτοῖς ἐστιν τῆς ἰδιαζούσης τῶν καθ' ἕκαστα προνοίας. τοῖς μὲν οὖν πρωτίστοις θεοῖς τὸν εἰρημένον τρόπον τοὺς θρήνους ἀποδώσομεν· ἐπεὶ καὶ Κόρης καὶ Δήμητρος καὶ αὐτῆς τῆς μεγίστης θεᾶς ἱερούς τινας ἐν ἀπορρήτοις θρήνους αἱ τελεταὶ παραδεδώκασιν. θαυμαστὸν δὲ οὐδέν, εἰ καὶ τὰ ἔσχατα τῶν ἑπομένων ἀεὶ τοῖς θεοῖς γενῶν καὶ προσεχῶς κηδόμενα τῶν θνητῶν καὶ ὀρέξεσιν χρώμενα καὶ πάθεσιν καὶ ἐν τούτοις ἔχοντα τὴν ζωὴν χαίροι μὲν ἐπὶ τῇ σωτηρίᾳ τῶν προνοουμένων, ἀνίλλοιτο δὲ καὶ δυσχεραίνοι φθειρομένων καὶ μεταβάλλοι κατὰ τὰ πάθη· νύμφαι μὲν κλαίουσιν ὅτε δρυσὶν οὐκ ἔνι φύλλ α , νύμφαι δ ' αὖ χαίρουσι ν , ὅτε δρύας ὄμβρος ἀέξε ι , φησίν τις ποιητής.

in R.1.126 πάντα γάρ ἐστι θείως μὲν ἐν τοῖς θεοῖς, μερικῶς δὲ καὶ δαιμονίως ἐν τοῖς διῃρημένοις ἡμῶν προστάταις. ἀρκεῖ καὶ ταῦτα πρὸς τὴν παροῦσαν πρόθεσιν ὑπὲρ τῶν λεγομένων ἐν θεοῖς θρήνων εἰρῆσθαι. Τίς αἰτία τοῦ ἐν τοῖς θεοῖς λεγομένου γέλωτος ἐν τοῖς μύθοις, καὶ διὰ τί ἡ ποίησις ἐπὶ τῷ Ἡφαίστῳ τοὺς θεοὺς ἐποίησε γελῶντας ἀσχέτως. Τὸ δὲ αὖ ἐναντιώτατον μὲν

τούτοις πάθος τὸ περὶ τοὺς ἀσχέτους γέλωτας, ἐπιστάσεως δὲ ὑπὸ τοῦ Σωκράτους ἠξιωμένον, εἰ δεόντως ἐπὶ τοὺς θεοὺς αὐτὸ μεταφέρουσιν οἱ μῦθοι, μετὰ ταῦτα σκεπτέον. τί γὰρ δὴ καὶ βουλόμενοι γελῶντάς τε καὶ ἀσχέτως γελῶντας αὐτοὺς εἰσάγουσιν, θεωρίας ἄξιον. ἄσβεστος δ ’ ἅ ρ ’ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσ ι , φησὶν ἡ ποίησις ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα [Il. A 599 sq.]. Τίς οὖν ὁ τῶν θεῶν γέλως, καὶ τί δήποτε Ἡφαίστου κινουμένου καὶ ἐνεργοῦντος ἐκεῖνοι γελῶσιν; οὐκοῦν τὸν μὲν Ἥφαιστον, ὥς που καὶ ἐν ἄλλοις εἴπομεν, δημιουργὸν καὶ ποιητὴν τοῦ φαινομένου παντὸς εἶναί φασιν οἱ θεολόγοι. διὸ καὶ τοὺς οἴκους αὐτὸς λέγεται κατασκευάσασθαι τοῖς θεοῖς (ἦχι ἑκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις Ἥφαιστος ποίησεν [Il. A 607]) ὡς τὰς ἐγκοσμίους αὐτοῖς προπαρασκευάζων ὑποδοχάς, καὶ ἄμφω τὼ πόδε χωλεύων παραδέδοται, καθόσον ἐστὶν καὶ τὸ δημιούργημα αὐτοῦ ἀσκελές· τῷ γὰρ τὴν περὶ νοῦν καὶ φρόνησιν κινουμένῳ κίνησιν οὐδὲν ἔδει ποδῶν, ὥς φησιν ὁ Τίμαιος [p.

in R.1.127 34a]. καὶ χαλκευτικῆς ἔφορος λέγεται καὶ αὐτὸς χαλκεύων ἐνεργεῖ, διότι χάλκεος ὁ οὐρανὸς πολλαχοῦ τῆς ποιήσεως ἀνύμνηται, καὶ ἄλλα ἂν πολλὰ συνέλοις ταύτην πιστούμενα τὴν δόξαν. ἐπειδὴ δὲ πᾶσα ἡ περὶ τὸ αἰσθητὸν πρόνοια, καθ’ ἣν συνεφάπτονται τῷ Ἡφαίστῳ τῆς δημιουργίας, παιδιὰν τῶν θεῶν εἶναι λέγεται (διό μοι δοκεῖ καὶ ὁ Τίμαιος [p. 42d] τοὺς ἐν τῷ κόσμῳ θεοὺς νέους ἀποκαλεῖν, ὡς ἀεὶ γινομένων καὶ παιδιᾶς ἀξίων προεστῶτας πραγμάτων), ταύτην δὴ τὴν τῆς προνοίας ἰδιότητα τῶν εἰς τὸν κόσμον ἐνεργούντων θεῶν γέλωτα οἱ μυθοπλάσται προσαγορεύειν εἰώθασι. καὶ δὴ καὶ ὅταν ὁ ποιητὴς τῷ Ἡφαίστῳ κινουμένῳ τοὺς θεοὺς ἐπιγηθοῦντας λέγῃ τὸν ἄσβεστον τοῦτον γέλωτα γελᾶν, οὐδὲν ἄλλο ἢ συνδημιουργοὺς αὐτοὺς καὶ τελεσιουργοὺς τῆς Ἡφαίστου τέχνης ἐνδείκνυται γίνεσθαι καὶ τῆς εὐθημοσύνης ἄνωθεν τῷ παντὶ χορηγοὺς ὑπάρχειν. ὃ μὲν γὰρ ἐξαρτύει πάσας αὐτῶν τὰς ἐγκοσμίους ὑποδοχὰς καὶ προτείνει ταῖς προνοίαις τῶν θεῶν τὰς ὅλας φυσικὰς δυνάμεις, οἳ δὲ μετὰ τῆς αὐτοῖς προσηκούσης ῥᾳστώνης ἐνεργοῦντες καὶ τῆς οἰκείας εὐπαθείας οὐκ ἀφιστάμενοι καὶ ταύταις ἐπορέγουσι τὰς σφετέρας μεταδόσεις καὶ κινοῦσι τὰ ὅλα ταῖς τελεσιουργοῖς ἑαυτῶν προνοίαις. ὡς οὖν συνελόντι φάναι, τὸν γέλωτα τῶν θεῶν τὴν ἄφθονον εἰς τὸ πᾶν ἐνέργειαν καὶ τὴν τῆς εὐθημοσύνης τῶν ἐγκοσμίων αἰτίαν ἀφοριστέον. διότι δὲ ἀκατάληπτός ἐστιν ἡ τοιαύτη πρόνοια καὶ ἡ τῶν ἀγαθῶν πάντων μετάδοσις παρὰ τοῖς θεοῖς ἀνέκλειπτος, εἰκότως ἄρα καὶ τὸν ποιητὴν ἄσβεστον αὐτῶν 〈τὸν〉 γέλωτα προσειρηκέναι συγχωρητέον. καὶ ὁρᾷς πάλιν, ὅπως καὶ ταῦτα τῇ φύσει τῶν πραγμάτων ἑπόμενοι λέγομεν. δακρύειν μὲν γὰρ οὐκ ἀεί φασιν οἱ μῦθοι τοὺς θεούς, γελᾶν δὲ ἀσχέτως, ἐπειδὴ τὰ μὲν δάκρυα τῆς εἰς τὰ θνητὰ προνοίας αὐτῶν καὶ ἐπίκηρα πράγματα καὶ ποτὲ μὲν ὄντα, ποτὲ δὲ οὐκ ὄντα συνθήματά ἐστιν, ὁ δὲ γέλως τῆς εἰς τὰ ὅλα καὶ ἀεὶ ὡσαύτως κινούμενα πληρώματα τοῦ παντὸς ἐνεργείας.

in R.1.128 διόπερ οἶμαι καὶ ὅταν μὲν εἰς θεοὺς καὶ ἀνθρώπους διαιρῶμεν 〈τὰ〉 δημιουργήματα, τὸν μὲν γέλωτα τῇ γενέσει τῶν θείων, τὰ δὲ δάκρυα τῇ συστάσει τῶν ἀνθρώπων ἢ ζῴων ἀπονέμομεν· δάκρυα μὲν σέθεν ἐστὶ πολυτλήτων γένος ἀνδρῶ ν , μειδήσας δὲ θεῶν ἱερὸν γένος ἐβλάστησας · ὅταν δὲ εἰς τὰ οὐράνια καὶ τὰ ὑπὸ σελήνην, πάλιν κατὰ τὰ αὐτὰ τοῖς μὲν οὐρανίοις τὸν γέλωτα, τοῖς δὲ ὑπὸ σελήνην τὰ δάκρυα συνδιαιρούμεθα· ὅταν δὲ καὶ αὐτῶν τῶν ὑπὸ σελήνην τάς τε γενέσεις καὶ τὰς φθορὰς συλλογιζώμεθα, τὰς μὲν εἰς τὸν γέλωτα τῶν θεῶν, τὰς δὲ εἰς τοὺς θρήνους ἀναπέμπομεν. καὶ διὰ ταῦτα κἀν τοῖς μυστηρίοις κατὰ χρόνους τεταγμένους ἀμφότερα ταῦτα δρᾶν οἱ τῶν ἱερῶν θεσμῶν ἡγεμόνες παρακελεύονται, καὶ εἴρηται ἐν ἄλλοις. καὶ ὁ αὐτὸς τρόπος μήτε τῶν ἐν ἀπορρήτοις δρωμένων παρὰ τοῖς θεουργοῖς τοὺς ἀνοήτους ἐπαΐειν μήτε τῶν τοιούτων πλασμάτων. ἡ γὰρ ἄνευ ἐπιστήμης τούτων ἀμφοτέρων ἀκρόασις δεινὴν καὶ ἄτοπον ἐργάζεται σύγχυσιν ἐν ταῖς τῶν πολλῶν ζωαῖς τῆς περὶ τὸ θεῖον εὐλαβείας. Ἀπολογία ὑπὲρ τῶν ἐν τῇ Ὁμήρου ποιήσει δοκούντων εἰς καταφρόνησιν σωφροσύνης τοὺς ἀκούοντας κινεῖν παντοδαπῶν τρόπων.

in R.1.129 (1t) Τοσαῦτα καὶ περὶ τοῦ γέλωτος εἰρήσθω τῶν θεῶν, ὃν ἡ ποίησις ἄσβεστον διὰ τὰς ἀναγεγραμμένας αἰτίας προσείρηκεν. ἐφεξῆς δέ ἐστιν τοῖς τοιούτοις προβλήμασιν διασκέψασθαι τοὺς περὶ τῆς σωφροσύνης λόγους, μή πῃ ἆρα πρὸς ταύτην ἡμᾶς διαλωβᾶται τὰ Ὁμήρου ποιήματα. σωφροσύνης δέ, φησὶν ὁ Σωκράτης [III 389d], μέγιστον μὲν εἶδος ἡ πρὸς τοὺς ἄρχοντας αἰδώς, δεύτερον δὲ ἡ τῶν ἐπιθυμιῶν τῶν ἐν τῇ ψυχῇ καὶ τῶν ἡδονῶν ἐπικράτεια, καὶ τρίτον ἄλλο τούτοις ἑπόμενον, ὃ δὴ μικρὸν ὕστερον θεωρήσομεν. ἀλλ᾽ οὖν τοῖν δυοῖν τούτοιν ὁ μὲν Ἀχιλλεὺς κατὰ θάτερον ἁμαρτάνων φαίνεται, τοιαῦτα πρὸς τὸν ἄρχοντα παρρησιαζόμενος [Il. A 225]· οἰνοβαρὲς κυνὸς ὄμμα τ ᾽ ἔχω ν , καὶ τὸ ἐφεξῆς τοῦ ἔπους. ὁ δὲ Ὀδυσσεὺς κατὰ τὸ λοιπόν, ὥσπερ ὅταν ἀφοριζόμενος τῶν βίων τὸν κάλλιστον λέγῃ τὴν πολιτείαν διαφερόντως ἐκείνην ἀποδέχεσθαι τῶν ἀνθρώπων, ὁπόταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα · δαιτυμόνες δ ᾽ ἀνὰ δώμα τ ᾽ ἀκουάζωνται ἀοιδοῦ ἥμενοι ἑξείη ς , παρὰ δὲ πλήθωσι τράπεζαι σίτου καὶ κρειῶ ν , μέθυ δ ᾽ ἐκ κρητῆρος ἀφύσσων οἰνοχόος προχέῃσι καὶ ἐγχείῃ δεπάεσσιν [ι 6 ——10]. ἐν γὰρ τούτοις οὐδὲν ἄλλ᾽ ἢ τὴν πολυάρατον ἡδονὴν καὶ τὴν πλήρωσιν τῶν ἐπιθυμιῶν τέλος προεστήσατο τῆς ζωῆς. Ταῦτα δὴ τοῦ Σωκράτους ἐπιτιμῶντος τοῖς Ὁμήρου λόγοις, πρὸς μὲν τὴν προτέραν ἐπίστασιν ἀπαντησόμεθα λέγοντες, ὅτι τοῖς μὲν φύλαξιν, οὓς αὐτὸς ἄρχοντας καθίστησιν τῆς πόλεως, τοσαύτην ὑπεροχὴν λαχοῦσιν παιδείας ἕνεκα καὶ ἀρετῆς πρὸς τοὺς ἀρχομένους πρέποι ἄν που τούς τε ἐπικούρους καὶ σύμπαντας τοὺς ἄλλους πλείστην καὶ μεγίστην τιμὴν ἀπονέμειν· σωτῆρες γὰρ ὄντως ἐκεῖνοι καὶ εὐεργέται τῆς ὅλης προεστᾶσι πολιτείας, καὶ οὐδὲν ἀνόσιον οὐδὲ ἄδικον ἄν τις ἀπ᾽ ἐκείνων κατὰ νοῦν καὶ δίκην ἀρχόντων εἰς τοὺς ἀρχομένους ἥξειν προσδοκήσειεν.

in R.1.130 ὁ δὲ δὴ ποιητὴς οὔτε κατ᾽ ἀρετὴν διαφέροντα τὸν Ἀγαμέμνονα τῶν ὑπηκόων πάντων εἶναι συγχωρήσας οὔτε ἐν τοῖς εὖ ποιοῦσι τοὺς ἄλλους, ἀλλ᾽ ἐν τοῖς εὖ πάσχουσι τετάχθαι, καὶ διαφερόντως ὑπὸ τῆς στρατηγικῆς Ἀχιλλέως ἐπιστήμης, εἰκότως δήπου καὶ πληττόμενον αὐτὸν ὑπὸ τῶν κρειττόνων καὶ μείζονα τὴν εἰς τὸ κοινὸν φιλίαν παρεχομένων, ἐν οἷς πλημμελεῖ καὶ τοῖς ἑαυτοῦ καταχαρίζεται πάθεσιν, εἰσάγει, καὶ μετὰ παρρησίας τοὺς ἀρίστους αὐτῷ τῶν Ἑλλήνων διαλεγομένους παραδίδωσιν, οὐδὲν ὑπολογιζομένους τὸ πλῆθος τῶν ἑπομένων στρατιωτῶν οὐδὲ τὴν ναυτικὴν δύναμιν. ἡ γὰρ ἀρετὴ πανταχοῦ τίμιον, ἀλλ᾽ οὐ τὰ ὄργανα τῆς ἀρετῆς. οὐκ ἄρα περὶ τοὺς ἄρχοντας καὶ σωτῆρας τῶν ὅλων ἐξαμαρτάνειν φήσομεν τὸν τὰ τοιαῦτα ὀνείδη προφέροντα τοῖς πλήθεσιν μὲν τῶν ὑπηκόων διαφέρουσιν, ἀρετῇ δὲ πάμπολυ λειπομένοις. ἐπεὶ καὶ αὐτὸς μικρὸν ὕστερον ὁ τῶν πολλῶν τούτων καὶ δυσαριθμήτων στρατιωτῶν βασιλεὺς ὁμολογεῖ τὴν διαφορὰν τῆς ἀρετῆς καὶ ἀποδύρεται τὴν ἑαυτοῦ δυστυχίαν· ἀασάμη ν , οὐ δ ᾽ αὐτὸς ἀναίνομα ι , καὶ ἀντί νυ πολλῶν λαῶν ἐστὶν ἀνή ρ , ὅντε Ζεὺς κηρὶ φιλήσ η , ὡς νῦν τοῦτον ἔτισ ε .

in R.1.131 Πρὸς δὲ αὖ τὴν κατὰ τῶν Ὀδυσσέως λόγων ἐπιτίμησιν λεγέσθω μὲν καί, ὅτι τὰ τοιαῦτα συμβολικώτερον ἀφερμηνεύειν δέδοκται τοῖς τὴν καλουμένην πλάνην ἐπ᾽ ἄλλας ὑπονοίας μεθιστᾶσι καὶ τοὺς Φαίακας καὶ τὴν παρ᾽ αὐτοῖς εὐδαιμονίαν ἀνωτέρω τῆς θνητῆς φύσεως τάττειν ἀξιοῦσιν. καὶ γὰρ ἡ δαὶς παρ᾽ ἐκείνοις καὶ ἡ θοίνη καὶ ἡ ἐναρμόνιος ᾠδὴ τρόπον ἕτερον ῥηθήσεται καὶ οὐ τὸν τοῖς πολλοῖς συνεγνωσμένον. λεγέσθω δὲ αὖ, ὅτι καὶ τοῖς τὸ φαινόμενον τῆς ποιήσεως μεταθέουσιν ἔξεστιν ἁπαντᾶν πρὸς τοὺς τοιούτους λόγους καὶ δεικνύναι πρῶτον μέν, ὅτι καὶ αὐτὸς ὁ τῶν Ἑλλήνων σοφώτατος οὐχ ἡδονὴν ἀξιοῖ κρατεῖν ἐν ταῖς ὀρθαῖς πολιτείαις, ἀλλ᾽ εὐφροσύνην· ὅπῃ δὲ ταῦτα διέστηκεν ἀλλήλων, παρ᾽ αὐτοῦ Πλάτωνος μεμαθήκαμεν. ἔπειθ᾽ ὅτι διὰ μουσικῆς ἅπασαν συναρμόζεσθαι τὴν πόλιν καὶ πρὸς ἑαυτὴν ὁμόφρονα γίνεσθαι κατήκοον οὖσαν τῶν πρὸς ἀρετὴν ἀγόντων μελῶν δοκιμάζει. τὸ γὰρ ἐπιστῆσαι τῷ πλήθει μὴ τὸν τυχόντα τὴν μουσικήν, ἀλλὰ τὸν θείας μέτοχον κατ᾽ αὐτὴν ἐπιπνοίας, ἄνωθεν ἀπὸ τῶν τῆς μιᾶς ταύτης ἐφόρων ἐπὶ πᾶσαν διατείνει τὴν πολιτείαν

παιδείαν τε καὶ ἀρετὴν ἀληθινήν. τρίτον δὲ ὅτι τοῖς τῆς τοιαύτης μετειληφόσιν ἁρμονίας καὶ τὴν ἀφθονίαν τῶν ἀναγκαίων προστίθησιν, ὧν δεῖται τὸ πλῆθος τὸ πολὺ ἐν ταῖς πόλεσιν. οὐ γὰρ τὸ ἐμπιπλαμένους τῶν τοιούτων ζῆν, ἀλλὰ τὸ μηδενὸς προσδεῖν τῶν τὸν θνητὸν βίον συμπληρούντων ⟦ τι ⟧ διαφερόντως ἐνεκωμίασεν. πρέποντα ἄρα τοῖς ἡμετέροις δόγμασιν καὶ ταῖς ἀδιαστρόφοις προλήψεσιν περὶ τῆς δημοτικῆς εὐδαιμονίας καὶ ὁ τῶν Ἑλλήνων σοφώτατος φαίνεται λέγων. εἰ δέ τις τὴν μὲν εὐφροσύνην ἀφέλοι καὶ τὴν διὰ τῆς ἐνθέου μουσικῆς παιδείαν, τραπέζας δὲ καὶ ἀπολαύσεις ἀμέτρους καὶ ἀμούσους καὶ πρὸς ἡδονὴν βλεπούσας αὐτὸν ἀποδέχεσθαι νομίζοι, πόρρω που τὰ τοιαῦτα ὁ Σωκράτης εἰκότως εἶναί φησι τῆς ἑαυτοῦ πολιτείας· οὐ γὰρ θέμις ἐν εὐδαιμόνων πόλει τὴν ἀπέραντον κρατεῖν ἡδονὴν καὶ τὸν τοῖς γαστριμάργοις προσήκοντα βίον.

in R.1.132 Τί αἰνίττεται ἡ τοῦ Διὸς πρὸς τὴν Ἥραν συνουσία, καὶ τίς ὁ τῆς Ἥρας κόσμος, καὶ τίς ὁ τόπος ἐν ᾧ ἡ συνουσία, καὶ τίς ὁ ἔρως τοῦ Διός, καὶ τίς ὁ θεῖος ὕπνος, καὶ ἁπλῶς πάσης ἐκείνης τῆς μυθολογίας ἐξήγησις. Πρὸς μὲν οὖν τὰς τοιαύτας τοῦ Σωκράτους ἐπιστάσεις οὐ χαλεπὸν ἁπαντᾶν. ἐκδέχεται δὲ ἡμᾶς ἀπορία μείζων ἔτι 〈καὶ〉 χαλεπωτέρα καὶ περὶ μεγίστων οὖσα, τῶν τοῦ Διὸς πρὸς τὴν Ἥραν συνουσιῶν. καὶ γὰρ ταύτην ὁ Σωκράτης ἀνεκίνησεν ὡς οὐδαμῇ προσήκουσαν ἀκροᾶσθαι νέοις. καὶ πῶς γὰρ οὐ παντελῶς ἂν δόξειεν ἀθέμιτον εἶναι τοιαῦτα περὶ τοῦ μεγίστου τῶν θεῶν ὑπονοεῖν, ὅτι διὰ τὸν πρὸς τὴν Ἥραν ἔρωτα τῶν μὲν δεδογμένων ἐπελάθετο πάντων, αὐτοῦ δὲ χαμαὶ συγγενέσθαι τῇ θεῷ, μηδὲ εἰς τὸ δωμάτιον ἐλθεῖν ἀνασχόμενος ἔσπευσεν, καὶ τὰ τῶν ἀνθρωπίνων ἐραστῶν ὑπέμεινεν φράξασθαι. καὶ γὰρ ἐκείνων ἕκαστος πρῶτον μὲν ἁπάντων ὁμοῦ προτίθησι πραγμάτων τὴν πρὸς τὸ ἐρώμενον συναφήν, ἔπειτα καὶ μείζω πεπονθέναι φησὶν ὧν πέπονθεν ἐν τῷ πρόσθεν χρόνῳ. τοιαῦτα γὰρ καὶ ὁ Ζεὺς πεποίηται λέγων· οὐ γὰρ πώποτέ μ ’ ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν [Il. Ξ 315 sq.], καὶ ὅτι καὶ αὐτῆς ἐρᾷ μειζόνως ἢ ὅτε τὴν πρώτην ἐμισγέσθην φιλότητι εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας [Il.

in R.1.133 Ξ 295 sq.]. ὁ μὲν οὖν ἡμέτερος καθηγεμὼν προηγουμένην καταβαλλόμενος πραγματείαν εἰς τοῦτον ἅπαντα τὸν μῦθον ἐνθεαστικώτατα τὴν ἀπόρρητον αὐτοῦ θεωρίαν ἐξέφηνεν. ἡμεῖς δὲ ὅσον πρὸς τὴν παροῦσαν πρόθεσίν ἐστι τῶν ἐκεῖ γεγραμμένων σύμφωνον παραλαβόντες λέγωμεν ὡς δυνατὸν συντόμως, τίς μὲν ἡ τῆς Ἥρας πρὸς τὸν Δία συνουσία, τίς δὲ ἡ συναγωγὸς ἀμφοτέρων αἰτία, πῶς δὲ ὁ Ζεὺς καὶ ἐγρηγορέναι λέγεται καὶ καθεύδειν παρὰ μέρος, τίς δὲ ὁ τρόπος τῆς ἀπάτης, καθ’ ἣν αὐτὸν ἡ μεγίστη θεὸς ἀπατᾶν μεμυθολόγηται, καὶ ὁ ἔρως οὗτος, ὃν διαφερόντως ἐρᾶν λέγει τῆς Ἥρας κατὰ ταύτην τὴν συμπλοκήν, τίνα ἔλαχεν δύναμιν· πάντα ταῦτα τῆς πρεπούσης ἀναπτύξεως τυχόντα μόνως ἂν ἡμῖν ἐπιδείξειεν τὸν Ὅμηρον ἁπάσης βλασφημίας ἐν τοῖς προκειμένοις ἔπεσιν καθαρεύοντα. Πάντων τοίνυν τῶν θείων διακόσμων προϊόντων ἔκ τε τῆς μιᾶς τῶν ὅλων ἀρχῆς, ἣν ἓν καὶ τἀγαθὸν ὁ Πλάτων εἴωθεν ἀποκαλεῖν, καὶ ἐκ τῶν μετὰ ταύτην προσεχῶς ἀναφανέντων δυοειδῶν αἰτίων, ἃ δὴ πέρας καὶ ἄπειρον 〈ὁ〉 ἐν τῷ Φιλήβῳ Σωκράτης προσείρηκεν [p. 23c sqq.], ἄλλος δὲ ἄλλοις τῶν σοφῶν ὀνόμασιν ἀπεσέμνυνεν, καὶ μεριζομένων μὲν ἀπ’ ἀλλήλων καὶ διακρινομένων κατὰ τὴν πρέπουσαν θεοῖς διάκρισιν ἐκ τῶν δευτέρων ἀρχῶν, ᾗπερ δὴ καὶ εἰώθασιν τὰ μὲν ἄρρενα τοῖς θήλεσιν, τὰ δὲ ἄρτια τοῖς περιττοῖς, τὰ δὲ πατρικὰ τοῖς μητρικοῖς ἀντιδιαιρεῖν οἱ τῆς περὶ θεῶν ἀληθείας ἐξηγηταί, πάλιν δὲ αὖ σπευδόντων εἰς ἕνωσιν καὶ ὁμοφυῆ κοινωνίαν διὰ τὴν πρωτίστην αἰτίαν πᾶσιν τοῖς οὖσιν ἐξηγουμένην τῶν ἡνωμένων ἀγαθῶν, ἐντεῦθεν οἶμαί ποθεν οἱ μυθοπλάσται λαβόντες ἀφορμὴν τῆς συμβολικῆς θεωρίας τόν τε γάμον ἐπὶ τοὺς θεοὺς ἀνήγαγον καὶ τὰς συνουσίας καὶ τοὺς ἐκ τούτων τόκους καὶ αὖ τὰς τῶν ἐγγόνων συμπλοκὰς καὶ συζεύξεις, ἕως ἅπαν τὸ θεῖον πλάτος ταῖς τοιαύταις προόδοις καὶ ταῖς κοινωνίαις διαποικιλλόμενον ἄνωθεν ἄχρι τῶν ἐγκοσμίων τελέως ἐθεάσαντο.

in R.1.134 καθάπερ οὖν ἐν τοῖς πρὸ τῆς δημιουργίας θεοῖς ἀνύμνησαν Κρόνου καὶ Ῥέας καὶ Οὐρανοῦ καὶ Γῆς συνόδους καὶ συναπογεννήσεις, κατὰ τὰ αὐτὰ δὴ καὶ ἐν τοῖς δημιουργοῖς τοῦ παντὸς τὴν πρωτίστην σύζευξιν Διὸς καὶ Ἥρας παραδεδώκασιν τοῦ μὲν Διὸς τὴν πατρικὴν ἀξίαν λαχόντος, τῆς δὲ Ἥρας μητρὸς οὔσης τῶν πάντων ὧν ὁ Ζεὺς πατήρ, καὶ τοῦ μὲν ἐν μονάδος τάξει τὰ ὅλα παράγοντος, τῆς δὲ κατὰ τὴν γόνιμον δυάδα τῷ Διὶ τὰ δεύτερα συνυφιστάσης, καὶ τοῦ μὲν πρὸς τὸ πέρας τὸ νοητόν, τῆς δὲ πρὸς τὴν ἀπειρίαν ἀφομοιουμένων· καθ' ἑκάστην γὰρ τάξιν θεῶν εἶναι προσήκει τὰς ἀνάλογον ἐκείνοις ὑφισταμένας πρωτουργοὺς αἰτίας. πρὸς δὴ τὴν ἕνωσιν τῶν μεγίστων τούτων θεῶν ἀμφότερα δεῖ προϋπάρχειν, τοῦ μὲν μοναδικοῦ καὶ δημιουργικοῦ θεοῦ τὴν ἑνιαίαν ὑπεροχήν, τῆς δὲ γεννητικῆς καὶ δυαδικῆς αἰτίας τὴν πρὸς ἐκεῖνον τελέαν ἐπιστροφήν. ἡ γὰρ ὁμοφυὴς τῶν κρειττόνων κοινωνία τοῦτον ἀποτελεῖται τὸν τρόπον, τῶν μὲν ὑπερτέρων ἐν ἑαυτοῖς ἱδρυμένων καὶ τοῖς ἑαυτῶν θειοτέροις, τῶν δὲ καταδεεστέρων ἐνδιδόντων ἑαυτὰ ταῖς ἐκείνων δυνάμεσιν. καὶ διὰ ταύτας οἶμαι τὰς αἰτίας ἡ μὲν Ἥρα πρὸς τὴν τοῦ Διὸς ἐπειγομένη συνουσίαν τελειοῖ τὴν ἑαυτῆς ὅλην οὐσίαν καὶ προπαρασκευάζει ταῖς παντοίαις δυνάμεσιν, ταῖς ἀχράντοις, ταῖς γεννητικαῖς, ταῖς νοεραῖς, ταῖς ἑνοποιοῖς, ὁ δὲ Ζεὺς ἀνεγείρει τὸν ἐν ἑαυτῷ θεῖον ἔρωτα, καθ' ὃν καὶ τὰ προσεχῶς αὐτοῦ μετέχοντα πληροῖ τῶν ἀγαθῶν καὶ προτείνει τὴν συναγωγὸν εἰς ἓν τοῦ πλήθους αἰτίαν καὶ τὴν ἐπιστρεπτικὴν τῶν δευτέρων πρὸς ἑαυτὸν ἐνέργειαν.

in R.1.135 μία δὲ ἕνωσις ἀμφοτέρων καὶ ἀδιάλυτος συμπλοκὴ τῶν θεῶν τούτων ἀποτελεῖται, χωριστὴ τοῦ παντὸς καὶ τῶν ἐγκοσμίων ὑποδοχῶν ἐξῃρημένη. καὶ γὰρ ὁ Ζεὺς ἐπὶ ταύτην ἀνάγει τὴν κοινωνίαν, τῆς Ἥρας αὐτῷ προτεινούσης τὴν καταδεεστέραν καὶ ἐγκόσμιον, ἀεὶ μὲν καθ' ἑκατέραν τῶν θεῶν ἡνωμένων, τοῦ δὲ μύθου μερίζοντος καὶ τὰ ἀϊδίως ἀλλήλοις συνυφεστηκότα χωρίζοντος, καὶ τὴν μὲν χωριστὴν τοῦ παντὸς μῖξιν εἰς τὴν τοῦ Διὸς βούλησιν ἀναπέμποντος, τὴν δὲ εἰς τὸν κόσμον προϊοῦσαν αὐτῶν κοινὴν συνεργίαν ἐπὶ τὴν τῆς Ἥρας πρόνοιαν. τὸ δὲ αἴτιον, ὅτι πανταχοῦ τὸ μὲν πατρικὸν τῶν ἐξῃρημένων ἀγαθῶν καὶ ἑνικωτέρων προκατάρχει, τὸ δὲ μητρικὸν τῶν προσεχῶν τοῖς μετέχουσιν καὶ πληθυομένων κατὰ τὰς παντοίας προόδους. εἰκότως ἄρα καὶ ὁ ὕπνος καὶ ἡ ἐγρήγορσις μεμερισμένως ἐν τοῖς συμβόλοις ὑπὸ τῶν μύθων παραλαμβάνονται, τῆς μὲν ἐγρηγόρσεως τὴν εἰς τὸν κόσμον πρόνοιαν τῶν θεῶν δηλούσης, τοῦ δὲ ὕπνου τὴν χωριστὴν ἁπάντων τῶν καταδεεστέρων ζωήν, καίτοι τῶν θεῶν ὁμοῦ καὶ προνοούντων τοῦ παντὸς καὶ ἐν ἑαυτοῖς ἱδρυμένων. ἀλλ' ὥσπερ ὁ Τίμαιος τότε μὲν ἐνεργοῦντα παραδίδωσι τὸν τῶν ὅλων δημιουργὸν καὶ ὑφιστάντα τὴν γῆν, τὸν οὐρανόν, τὰς πλανωμένας, τὴν ἀπλανῆ, τοὺς κύκλους τῆς ψυχῆς, τὸν νοῦν τὸν κοσμικόν, τότε δὲ ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει μένοντα [p. 42e] καὶ ἀφ' ὅλων ἐξῃρημένον τῶν εἰς τὸ πᾶν ἐνεργούντων, οὕτω δὴ πολὺ πρότερον οἱ μῦθοι ποτὲ μὲν ἐγρηγορότα τὸν πατέρα τῶν ἐγκοσμίων πάντων, ποτὲ δὲ καθεύδοντα πρὸς ἔνδειξιν τῆς διττῆς ζωῆς παραλαμβάνουσιν. νῷ γὰρ κατέχει τὰ νοητ ά , φησίν τις θεῶν, αἴσθησιν δὲ ἐπάγει κόσμοι ς .

in R.1.136 οὐκοῦν κατὰ ταύτην μὲν τὴν ἐνέργειαν ἐγρηγορέναι τις ἂν αὐτὸν εἴποι (καὶ γὰρ ἡ παρ' ἡμῖν ἐγρήγορσις ἐνέργεια τῆς αἰσθήσεώς ἐστιν), κατ' ἐκείνην δὲ καθεύδειν ὡς κεχωρισμένην τῶν αἰσθητῶν καὶ κατὰ νοῦν τέλειον ἀφωρισμένην ζωὴν προστησάμενον· καὶ βουλεύεσθαι μὲν περὶ τῶν ἀνθρωπίνων ἐγρηγορότα (κατ' αὐτὴν γὰρ τὴν ζωὴν προνοεῖ τῶν ἐν τῷ κόσμῳ πραγμάτων), καθεύδοντα δὲ καὶ μετὰ τῆς Ἥρας εἰς τὴν χωριστὴν ἕνωσιν ἀναγόμενον οὐκ ἐπιλελῆσθαι τῆς ἑτέρας, ἀλλ' ἔχοντα κἀκείνην ἐνεργὸν μετ' ἐκείνης καὶ ταύτην ἔχειν. οὐ γὰρ ὡς ἡ φύσις τὰ δεύτερα ποιεῖ νοήσεως χωρὶς οὐδ' αὖ διὰ τὴν νόησιν ἐλαττοῖ τὴν εἰς τὰ καταδεέστερα πρόνοιαν, ἀλλ' ὁμοῦ καὶ κατὰ δίκην ἄγει τὰ προνοούμενα καὶ εἰς τὴν νοητὴν ἄνεισι περιωπήν. Δηλοῖ δὲ ἄρα τὴν τοιαύτην ὁ μῦθος ἐξῃρημένην ὑπεροχὴν ἐν τῇ Ἰδῃ λέγων αὐτῷ τὴν πρὸς τὴν Ἥραν γενέσθαι συνουσίαν· ἐκεῖ γὰρ καὶ τὴν Ἥραν ἐλθοῦσαν ἑαυτὴν

ἐπιδοῦναι τῷ μεγίστῳ Διί. τί οὖν ἄλλο τὴν Ἴδην αἰνίσσεσθαι φήσομεν ἢ τὸν τῶν ἰδεῶν τόπον καὶ τὴν νοητὴν φύσιν, εἰς ἣν ἄνεισιν ὁ Ζεὺς καὶ ἀνάγει τὴν Ἥραν δι' ἔρωτος οὐκ ἐπιστρέφων εἰς τὸ μετέχον, ἀλλὰ δι' ὑπερβολὴν ἀγαθότητος καὶ ταύτῃ δευτέραν ἕνωσιν πρός τε ἑαυτὸν καὶ τὸ νοητὸν χαριζόμενος. τοιοῦτοι γὰρ οἱ τῶν κρειττόνων ἔρωτες, ἐπιστρεπτικοὶ τῶν καταδεεστέρων εἰς τὰ πρῶτα καὶ ἀποπληρωτικοὶ τῶν ἐν αὐτοῖς ἀγαθῶν καὶ τελεσιουργοὶ τῶν ὑφειμένων. οὐκ ἄρα τὴν ἀξίαν ἐλαττοῖ τοῦ μεγίστου Διὸς ὁ μῦθος, αὐτοῦ που χαμαὶ συγγινόμενον τῇ Ἥρᾳ παραδιδούς, οὐκ ἀνασχόμενον εἰς τὸ δωμάτιον ἐλθεῖν· ἀντὶ γὰρ τῆς ἐγκοσμίου συμπλοκῆς τὴν ὑπερκόσμιον αὐτὸν ᾔρῆσθαί φησιν. ὁ γοῦν Ἡφαιστότευκτος θάλαμος τὴν τοῦ παντὸς ἐνδείκνυται διακόσμησιν καὶ τὸν αἰσθητὸν τόπον· ἐπεὶ καὶ ὁ Ἥφαιστος δημιουργός ἐστιν τοῦδε τοῦ παντός, ὡς εἴρηται καὶ πρότερον.

in R.1.137 Εἰ δὲ βούλει καὶ τὴν τῆς Ἥρας ἐννοῆσαι παρασκευήν, καθ' ἣν συνῆψεν ἑαυτὴν τῷ μεγίστῳ τῶν θεῶν καὶ προεκαλέσατο τὴν πατρικὴν τοῦ Διὸς πρόνοιαν εἰς τὴν κοινωνίαν τῶν γονίμων ἑαυτῆς δυνάμεων, μειζόνως οἶμαι θεάσῃ τὴν ὑπερβολὴν τῆς ὑμνουμένης ἐν τῷ μύθῳ τούτῳ χωριστῆς ἑνώσεως τῶν θεῶν. ἐξομοιοῖ γὰρ ἑαυτὴν παντοδαπῶς τῇ μητρὶ τῶν θεῶν, ἀφ' ἧς καὶ αὐτὴ προελήλυθεν, καὶ ταῖς μερικωτέραις κοσμεῖται δυνάμεσιν τῶν ὁλικῶς ἐν ἐκείνῃ προϋπαρχουσῶν, καὶ μόνον οὐχὶ Ῥέαν αὐτὴν ὑφειμένην ἀποτελέσασα τῷ δημιουργῷ πρόσεισιν τοῦ παντὸς ἐπὶ τὸ σφέτερον ἀνηγμένῳ νοητόν. καὶ γὰρ δεῖ 〈τὴν〉 τῷ μιμουμένῳ τὸν πατέρα διὰ τῆς χωριστῆς τῶν ἐγκοσμίων ζωῆς συνάπτεσθαι μέλλουσαν καὶ αὐτὴν πρὸς τὴν μητέρα τῶν θείων πάντων διακόσμων ἀφομοιῶσαι τὴν ἑαυτῆς τελειότητα, καὶ οὕτω δὴ συμφυῆ τὴν πρὸς αὐτὸν ἐνστήσασθαι κοινωνίαν. αἱ μὲν οὖν χαῖται τῆς θεοῦ καὶ οἱ πλόκαμοι διασπειρόμενοί τε πανταχῇ καὶ πάλιν ὑπ' αὐτῆς ἐνιζόμενοι πάντως οὐκ ἄδηλον, ὅτι ταῖς χαίταις εἰσὶν ἀνάλογον τῆς μητρός· χαῖται μὲν γὰρ ἐς ὀξὺ πεφρικότι φωτὶ βλέποντα ι , φησίν τις θεῶν· καὶ γὰρ τοὺς Ἡραίους πλοκάμους φαεινοὺς ὁ ποιητὴς ἀπεκάλεσεν [Il. Ξ 176]. ἡ δὲ ζώνη τοῖς προεληλυθόσιν μὲν ἀπ' αὐτῆς, οὐκ ἀποτετμημένοις δὲ θυσάνοις κατακεκοσμημένη πρὸς τὸν ἐκεῖ ζωστῆρα τὸν ὅλον καὶ παντελῆ τὴν ἀφομοίωσιν ἔλαχεν. καὶ ἔστι ζῳογόνος τις καὶ αὕτη καὶ γεννητικὴ παντὸς τοῦ πλήθους τῶν ψυχῶν, ἃς τῶν ἐξηρτημένων θυσάνων ὁ ἀριθμὸς ἐνδείκνυται συμβολικῶς. τὰ δὲ ἕρματα καὶ τὰ ὑποδήματα τάς τε πρωτίστας καὶ τὰς ἐσχάτας ἀπεικονίζεται τῶν ἐκεῖθεν ἀπορρεουσῶν μερικῶν δυνάμεων, ὧν αἳ μὲν περὶ τὰς ἄκρας ὑφίστανται τῆς θεοῦ δυνάμεις κἀκείνων ἐξέχονται, αἳ δὲ τὰς περιπεζίους αὐτῆς ὑποδέχονται προόδους.

in R.1.138 ἡ δὲ ἀμβροσία καὶ τὸ ἔλαιον τῶν ἀχράντων ἐστὶν τῆς θεοῦ δυνάμεων συνθήματα· καὶ γὰρ αἱ ἀμείλικτοι τάξεις περὶ αὐτὴν ὑφεστήκασιν. ὅπερ οὖν ἐκεῖ τὸ ἀδάμαστόν ἐστιν τῶν θεῶν καὶ τῆς καθαρότητος αἴτιον γένος, τοῦτο ἐνταῦθα διὰ τούτων σημαίνεται τῶν συμβόλων. καὶ γὰρ ἡ ἀμβροσία τὴν πάσης ἀκαθαρσίας καὶ παντὸς μολυσμοῦ δύναμιν ὑπεραίρουσαν παρίστησιν, καὶ τὸ ἔλαιον ῥώμης ὂν ποιητικὸν καὶ γυμναστικῇ προσῆκον οἰκείως ἔχει τῇ Κουρητικῇ θεότητι. καὶ γὰρ οἱ πρώτιστοι Κούρητες τά τε ἄλλα τῇ τάξει τῆς Ἀθηνᾶς ἀνεῖνται καὶ περιεστέφθαι λέγονται τῷ θαλλῷ τῆς ἐλάας, ὥς φησιν Ὀρφεύς [fr. 133]. Τοιούτοις δὴ οὖν συμβόλοις ἡ θεὸς αὕτη τελειωθεῖσα καὶ οἷον Ῥέα γενομένη μερικὴ πρόσεισιν τῷ δημιουργῷ τοῦ παντὸς κατὰ ταύτην συναφθησομένη τὴν ζωήν, καθ' ἣν διαφερόντως μιμεῖται τὸν Κρόνον, οὐκ εἰς τὸ πᾶν προϊών, ἀλλὰ χωριστὸς ὢν ἀπὸ τῶν ἐγκοσμίων, οὐδὲ περὶ τῶν τῇδε βουλευόμενος κατὰ τὴν ἄγρυπνον πρόνοιαν τῶν ὅλων, ἀλλ' ἐξῃρημένος τῶν αἰσθητῶν κατὰ τὸν θεῖον ὕπνον, καὶ ταύτῃ τὸν πατέρα ζηλῶν· καὶ γὰρ ἐκεῖνος καθεύδων πρώτιστος παραδέδοται τῶν θεῶν· ἔνθα Κρόνος μὲν ἔπειτα φαγὼν δολόεσσαν ἐδωδὴν κεῖτο μέγα ῥέγχων [Orph. fr. 115]. εἰκότως δὴ οὖν καὶ ἡ τῆς Ἥρας παρασκευὴ πρὸς τὴν ὅλην Ῥέαν ἀποβλέπει, τοῦ Διὸς κατὰ τὸν Κρόνον ἱσταμένου καὶ διὰ τὴν πρὸς ἐκεῖνον ὁμοιότητα τὴν ἐν τῇ Ἴδῃ συνουσίαν προτιμῶντος τῆς εἰς

τὸν κόσμον προϊούσης. ἐπεὶ καὶ ὁ κεστὸς καὶ ἡ τῆς Ἀφροδίτης σύλληψις ἐπὶ πλέον αὐτὴν ἐξομοιοῖ πρὸς τὴν Ῥέαν.

in R.1.139 ἦν γὰρ καὶ ἐκεῖ τῆς θεοῦ ταύτης προϋφεστῶσα μονάς, ἄνωθεν ἀπὸ τῆς συνεκτικῆς τοῦ Οὐρανοῦ θεότητος διὰ μέσου Κρόνου προελθοῦσα καὶ καταλάμψασα πᾶσαν τὴν νοερὰν ζωὴν τῷ φωτὶ τοῦ κάλλους. ἀλλ᾽ ἡ μὲν Ἀφροδίτη τὸν κεστὸν ἐν τῷ στήθει λέγεται φέρειν, ὡς ἂν προβεβλημένας αὐτοῦ τὰς δυνάμεις ἔχουσα· ἡ δὲ Ἥρα κρύπτει πως αὐτὸν ὑπὸ τοῖς κόλποις, ὡς ἂν ἄλλην μὲν ἰδιότητα λαχοῦσα τῆς ὑπάρξεως, ἔχουσα δὲ καὶ τὸν κεστόν, καθ᾽ ὅσον καὶ αὐτὴ πεπλήρωται τῆς ὅλης Ἀφροδίτης. οὐ γὰρ ἔξωθέν ποθεν ἐπάγεται τὴν συνάπτουσαν αὐτὴν πρὸς τὸν δημιουργὸν δύναμιν, ἀλλ᾽ ἐν ἑαυτῇ καὶ ταύτην συνείληφεν. δηλοῦσι δὲ αἱ κοιναὶ προλήψεις τὴν τῶν θεαινῶν τούτων κοινωνίαν, ζυγίαν τε καὶ γάμων προστάτιν τιμῶσαι τὴν Ἥραν, ὡς ἂν ἀφ᾽ ἑαυτῆς ἀρξαμένην τῶν τοιούτων ἐνεργειῶν. ἑαυτὴν γὰρ συζεύγνυσιν τῷ δημιουργῷ κατὰ τὸν ἐν ἑαυτῇ κεστόν, καὶ διὰ τοῦτο καὶ τοῖς ἄλλοις ἅπασιν αὕτη παρέχεται τὴν ἔνθεσμον πρὸς ἄλληλα κοινωνίαν. Ἀλλὰ πῶς λέγονται πρῶτον μὲν εἰς εὐνὴν φοιτῆσαι τὴν ἀρχὴν φίλους λήθοντε τοκῆα ς , ἔπειτα μειζόνως ἀλλήλοις συνάπτεσθαι νῦν δι᾽ ἔρωτος ὑπερβολήν, ὃν ὁ Ζεὺς ἠράσθη τῆς Ἥρας; ἢ διτταὶ καὶ τῶν ἄλλων ἀγαθῶν εἰσιν αἱ ἰδιότητες καὶ τῆς ἑνώσεως ἡ μὲν συμφυὴς τοῖς ἑνιζομένοις, ἡ δὲ ἄνωθεν αὐτοῖς ἀπὸ τῶν τελειοτέρων αἰτίων ἐφήκουσα. καὶ κατὰ μὲν τὴν ἑτέραν λανθάνειν λέγονται τοὺς ἑαυτῶν γεννήτορας, ὡς ἂν ἰδίαν ταύτην λαχοῦσαι τὴν ἕνωσιν, κατὰ δὲ τὴν λοιπὴν ἐπ᾽ αὐτὰ ἀνάγεσθαι τὰ σφέτερα αἴτια· διὸ καὶ μείζονα ταύτην εἶναι καὶ τελεωτέραν ἐκείνης. ἀμφοτέρων δὲ ὁμοῦ καὶ διαιωνίως οὐσῶν παρὰ τοῖς θεοῖς οἱ μῦθοι μερίζουσιν, ὡς τὸν ὕπνον καὶ τὴν ἐγρήγορσιν, ὡς τὴν πρόοδον καὶ τὴν ἐπιστροφήν, ὡς τὴν μετάδοσιν τῶν οἰκείων ἀγαθῶν εἰς τὰ δεύτερα καὶ τὴν μέθεξιν τῶν πρωτουργῶν αἰτίων· καὶ γὰρ ταῦτα συνυπάρχοντα ἀλλήλοις οἱ μυθοπλάσται τὴν ἀλήθειαν ἐπικρυπτόμενοι χωρίζουσιν.

in R.1.140 Πάντα ἄρα κατὰ τὸν θεολογικὸν τρόπον Ὁμήρῳ τὰ περὶ τῆς συνουσίας λέγεται τοῦ τε μεγίστου Διὸς καὶ τῆς Ἥρας. μαρτυρεῖ δὲ ἄρα τούτοις καὶ ὁ ἐν τῷ Κρατύλῳ Σωκράτης [p. 404b], οὐκ ἀλλαχόθεν αὐτὴν ἐτυμολογῶν ἢ ἀπὸ τοῦ ἔρωτος, ὡς τῷ Διί, φησίν, οὖσαν ἐραστήν. οὐκ ἄρα κατὰ τὴν ἀπόρρητον θεωρίαν ἐγκαλέσομεν Ὁμήρῳ τοιαῦτα γεγραφότι περὶ τῶν μεγίστων τούτων θεῶν. εἰ δὲ μὴ προσήκοντα νέοις ἐστὶ κατὰ τὸ φαινόμενον ἀκούειν, ἀλλ᾽ ἡμῖν, φαῖεν ἂν οἱ ποιηταὶ τῶν τοιούτων, οὐ πρὸς νέους ὁ λόγος οὐδὲ παιδευτικῶς τὰ τοιαῦτα γράφομεν, ἀλλὰ μαινομένῳ στόματι· καὶ ταῦτα ἡμᾶς ἡ τῶν Μουσῶν ἐργάζεται μανία, ἧς τὸν στερόμενον τῶν ἐπὶ ποιητικὰς θύρας ἀφικομένων ἀτελῆ καὶ αὐτὸν καὶ τὴν ποίησιν αὐτοῦ προσειρήκασιν. Ἀλλὰ περὶ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα· περὶ δὲ τῶν Ἄρεως καὶ Ἀφροδίτης συνουσιῶν καὶ τῶν Ἡφαίστου δεσμῶν ἐφεξῆς διέλθωμεν. οὐδὲ γὰρ ταῦτα προσίεσθαί φησιν ὁ Σωκράτης [III p. 390c] οὐδὲ τοὺς τοιούτους μύθους παραδώσειν τοῖς νέοις. τί οὖν καὶ διὰ τούτων ἡ ποίησις αἰνίσσεται, λέγωμεν συντόμως. Τί αἰνίττεται ἡ μυθολογία περὶ Ἀφροδίτης καὶ Ἄρεως καὶ τῶν Ἡφαίστου δεσμῶν, οἷς λέγει συνδεῖν ἀμφοτέρους τὸν Ἥφαιστον.

in R.1.141 (1t) Ἄμφω μὲν οὖν οἵδε οἱ θεοὶ περὶ πάντα τὸν κόσμον ἐνεργοῦσιν, ὅ τε Ἥφαιστος λέγω καὶ ὁ Ἄρης, ὃ μὲν διακρίνων τὰς ἐναντιώσεις τοῦ παντὸς καὶ ἀνεγείρων ἀεὶ καὶ σώζων ἀτρέπτως, ἵνα τέλειος ὁ κόσμος ᾖ πᾶσιν τοῖς εἴδεσιν συμπεπληρωμένος, ὃ δὲ τὴν ὅλην αἰσθητὴν διακόσμησιν τεχνικὴν ἀπεργαζόμενος καὶ λόγων φυσικῶν καὶ δυνάμεων ἀποπληρῶν, καὶ περὶ μὲν τὸν οὐρανὸν εἴκοσι τρίποδας ὑφιστάς, ἵνα τῷ τελεωτάτῳ τῶν πολυέδρων αὐτὸν κατακοσμῇ σχημάτων, τὰ δὲ ὑπὸ σελήνην ποικίλα καὶ πολύμορφα διαπλάττων εἴδη· πόρπας τε γναπτάς θ ᾽ ἕλικας κάλυκας τε καὶ ὅρμους [Il. Σ 401] κατὰ τὴν ἔντεχνον ποίησιν δημιουργῶν. καὶ δὴ καὶ Ἀφροδίτης ἄμφω δέονται κατὰ τὰς ἑαυτῶν ἐνεργείας, ὃ μὲν ἵνα τοῖς ἐναντίοις ἁρμονίαν ἐμποιήσῃ καὶ τάξιν, ὃ δὲ ἵνα τοῖς αἰσθητοῖς δημιουργήμασιν κάλλος ἐναπεργάσηται

καὶ ἀγλαΐαν, ὅση καὶ τόνδε τὸν κόσμον κάλλιστον ἀποτελέσαι τῶν ὁρωμένων ἠδύνατο. πανταχοῦ δὲ τῆς Ἀφροδίτης οὔσης ὁ μὲν Ἥφαιστος αὐτῆς ἀεὶ κατὰ τὰς ὑπερτέρας μετέχει τάξεις, ὁ δὲ Ἄρης κατὰ τὰς ὑποδεεστέρας· οἷον εἰ ὁ Ἥφαιστος ὑπερκοσμίως, ὁ Ἄρης ἐγκοσμίως, καὶ εἰ ἐκεῖνος οὐρανίως, ὑπὸ σελήνην οὗτος. διὸ καὶ ὃ μὲν κατὰ βούλησιν τοῦ Διὸς ἄγεσθαι λέγεται τὴν Ἀφροδίτην, ὃ δὲ μοιχεύειν αὐτὴν μεμυθολόγηται. τῷ μὲν γὰρ δημιουργῷ τῶν αἰσθητῶν κατὰ φύσιν ἐστὶν ἡ πρὸς τὴν καλλοποιὸν αἰτίαν καὶ συνδετικὴν κοινωνία, τῷ δὲ τῆς διαιρέσεως προστάτῃ καὶ τῆς ἐναντιώσεως τῶν ἐγκοσμίων ἀλλοτρία πώς ἐστιν ἡ τῆς ἑνώσεως χορηγὸς δύναμις· τοῖς γὰρ συναγωγοῖς τὰ διακριτικὰ γένη τῶν θεῶν ἀντιδιῄρηται.

in R.1.142 ταύτην τοίνυν τὴν τῶν ἀνομοίων αἰτίων σύμπνοιαν οἱ μῦθοι μοιχείαν προσειρήκασιν. ἔδει δὲ ἄρα τῷ παντὶ καὶ τῆς τοιαύτης κοινωνίας, ἵνα καὶ τὰ ἐναντία συναρμοσθῇ καὶ ὁ ἐν τῷ κόσμῳ πόλεμος τέλος ἔχῃ τὴν εἰρήνην. ἐπειδὴ δὲ ἄνω μὲν ἐν τοῖς οὐρανίοις τὸ κάλλος προλάμπει καὶ τὰ εἴδη καὶ ἡ ἀγλαΐα καὶ τὰ Ἡφαιστότευκτα δημιουργήματα, κάτω δὲ ἐν τῇ γενέσει τῶν στοιχείων ἡ ἀντίθεσις καὶ ἡ μάχη καὶ ἐναντίωσις τῶν δυνάμεων καὶ ὅλως τὰ Ἀρεϊκὰ δῶρα, διὰ δὴ τοῦτο καὶ τὴν σύνερξιν τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης ἐφορᾷ μὲν ἄνωθεν ὁ Ἥλιος, μηνύει δὲ τῷ Ἡφαίστῳ, καθ' ὅσον αὐτοῦ συνεργεῖ ταῖς ὅλαις ποιήσεσιν. ὁ δὲ Ἥφαιστος δεσμοῖς περιβάλλειν αὐτοὺς λέγεται παντοίοις ἀφανέσι τοῖς ἄλλοις, ὡς ἂν καὶ τὰ γενητὰ κατακοσμῶν τοῖς τεχνικοῖς λόγοις καὶ μίαν σύστασιν ἀπεργαζόμενος ἔκ τε τῶν Ἀρεϊκῶν ἐναντιώσεων καὶ τῶν συναρμοστικῶν τῆς Ἀφροδίτης ἀγαθῶν· δεῖ γὰρ ἀμφοῖν τῇ γενέσει. ἐπεὶ δὲ ἄλλοι μὲν οἱ δεσμοὶ τῶν οὐρανίων, ἄλλοι δὲ οἱ τῶν ὑπὸ σελήνην (οἳ μὲν γάρ εἰσιν ἄλυτοι, καθάπερ φησὶν ὁ Τίμαιος [p. 43a], οἳ δὲ λυτοί), διὰ δὴ τοῦτο λύει πάλιν ὁ Ἥφαιστος τοὺς δεσμούς, οἷς τὸν Ἄρη συνέδησε καὶ τὴν Ἀφροδίτην, καὶ τοῦτο διαφερόντως ποιεῖ τῷ Ποσειδῶνι πειθόμενος· ὃς δὴ τὴν ἀειγενεσίαν σώζεσθαι βουλόμενος καὶ τὸν κύκλον τῆς μεταβολῆς εἰς ἑαυτὸν ἀνακυκλεῖσθαι τά τε γενόμενα φθορᾶς ἀξιοῖ καὶ τὰ φθαρέντα εἰς γένεσιν ἀναπέμπει. Τί οὖν θαυμαστόν, εἰ καὶ Ὅμηρος ὑπὸ τῶν Ἡφαίστου δεσμῶν τόν τε Ἄρεα καὶ τὴν Ἀφροδίτην συνδεῖσθαί φησιν, ὅπου καὶ ὁ Τίμαιος τοὺς λόγους τοὺς δημιουργικούς, οἷς οἱ κατ' οὐρανὸν τὰ γενητὰ συνιστᾶσιν, δεσμοὺς προσείρηκεν [p. 31c]; πῶς δὲ οὐ κατὰ τὴν 〈τῶν〉 πραγμάτων λέγεται φύσιν τὸ λύειν αὐτὸν τὰ δεδεμένα τῶν γενεσιουργῶν δεσμῶν λυτῶν ὑπαρχόντων; καὶ ἔοικεν ὅ τε ὅλος δημιουργὸς ἐκ τῶν ἐναντίων στοιχείων τὸν κόσμον συνιστὰς καὶ δι' ἀναλογίας ἐν αὐτῷ φιλίαν ἀπεργαζόμενος συνάγειν εἰς ταὐτὸν τὰς Ἡφαίστου καὶ Ἄρεως καὶ Ἀφροδίτης ἐνεργείας, καὶ γεννῶν μὲν τὰς ἐναντιώσεις τῶν στοιχείων κατὰ τὸν ἐν ἑαυτῷ γεννᾶν Ἄρεα, φιλίαν δὲ μηχανώμενος κατὰ τὴν τῆς Ἀφροδίτης δύναμιν ἐνεργεῖν, συνδέων δὲ τοῖς Ἀρεϊκοῖς τὰ Ἀφροδίσια καὶ τὴν Ἡφαίστου τέχνην ἐν παραδείγματι προειληφέναι· πάντα γάρ ἐστιν αὐτὸς καὶ μετὰ πάντων ἐνεργεῖ τῶν θεῶν.

in R.1.143 καὶ δὴ καὶ οἱ νέοι δημιουργοὶ τὸν σφέτερον πατέρα μιμούμενοι ζῷά τε ἀπεργάζονται θνητὰ καὶ φθίνοντα πάλιν δέχονται, τῷ Ἡφαίστῳ συναπογεννῶντες τοὺς ἐνταῦθα δεσμοὺς καὶ τῆς λύσεως αὐτῶν προειληφότες αὐτοὶ τὰς αἰτίας· πανταχοῦ γὰρ ὁ τὸν δεσμὸν περιέχων καὶ τὴν τῆς λύσεως οἶδεν ἀνάγκην. Τίνα ῥητέον πρὸς τὰς τοῦ Σωκράτους ἐπιστάσεις περὶ φιλοχρηματίας τῆς παρ' Ὁμήρῳ τοῖς ἥρωσιν ἀποδιδομένης. Τοσαῦτα καὶ πρὸς ταύτην εἰρήσθω τοῦ Σωκράτους τὴν ἐπίστασιν· μετὰ δὲ ταύτην ἐκεῖνα ἐπισκεπτέον, ὅσα δή φησιν τὸ φιλοχρήματον ἡμῶν αὔξειν τῆς ψυχῆς. τί γὰρ βουλόμενος ὁ Φοῖνιξ τῷ Ἀχιλλεῖ συνεβούλευεν δῶρα μὲν λαβόντι τῆς μήνιος ἀπαλλάττεσθαι, ἄλλως δὲ μή; τί δὲ Ἀχιλλεὺς ὁ καὶ παρὰ τοῦ Ἀγαμέμνονος δῶρα λαμβάνων ὑπὲρ τῆς ὕβρεως καὶ τὸν τοῦ Ἕκτορος νεκρὸν οὐκ ἄλλως ἀποδιδοὺς ἢ μετὰ χρημάτων λήψεως; ὁ γὰρ τῶν τοιούτων κατήκοος γιγνόμενος δεινὴν καὶ ἀπλήρωτον τὴν ἐπιθυμίαν περὶ τὴν τῶν χρημάτων κτῆσιν ἀπεργάζεται.

in R.1.144

Πρὸς δὴ ταῦτα καὶ ἡμεῖς ἐν βραχεῖ λέγωμεν, ὅτι καὶ ὁ Φοῖνιξ συνεβούλευε χρήματα λαβόντι παύεσθαι τῆς ὀργῆς, καὶ Ἀχιλλεὺς λαβὼν ἀπηλλάττετο, τεκμήριον ἄμφω ποιούμενοι τὴν τῶν χρημάτων δόσιν τῆς τοῦ διδόντος μεταμελείας, ἀλλ' οὐχ ὡς τὸ φιλοχρήματον ἀποπιμπλάντες τῆς ψυχῆς, οὐδ' ὡς ὅρον τῆς εὐδαιμονίας ἡγούμενοι τὴν τῶν χρημάτων αὔξησιν. οὐδὲ γὰρ τὴν ἀρχὴν αὐτοὶ τὰ χρήματα ᾔτησαν, ἀλλὰ προτεινόμενα ἐδέξαντο. εἰ δὲ καὶ τοῦ Ἕκτορος τὸν νεκρὸν χρημάτων ἀπέδοτο τῷ πατρί, τάχα μὲν καὶ ἔθος τι τοιοῦτον εἶναι φήσομεν, λύτρα δέχεσθαι τῶν πολεμίων σωμάτων. δεῖ δὲ αὖ κἀκεῖνο συννοεῖν, ὅτι στρατηγικὸν καὶ τοῦτο εἴποι τις ἄν, τὸ τῶν ἀνταγωνιστῶν περικόπτειν τὴν εὐπορίαν, αὔξειν δὲ τὰ τῶν οἰκείων ἐν ἀλλοτρίᾳ χώρᾳ πολεμεῖν ἀναγκαζομένων. ἀλλὰ ταῦτα πάντα καὶ τὰ τοιαῦτα τοῖς μὲν ἥρωσιν ἐκείνοις λόγον τινὰ εἶχεν ὑπ' αὐτῶν πραττόμενα, καὶ περιστατικῶς ἐνεργοῦσιν καὶ κατ' ἄλλα ἤθη τὰς πράξεις μετιοῦσιν· τοῖς δὲ ὑπ' αὐτῷ νομοθέτῃ τρεφομένοις ἀνεπιτήδεια πάντως ἐστὶν ἀκούειν, ὧν αἵ τε φύσεις φιλόσοφοι καὶ ἡ παιδεία πρὸς ταύτην βλέπουσα τὴν ζωὴν παραδέδοται, κτήσεις δὲ καὶ περιουσίαι παντελῶς ἀφῄρηνται. εἰ δὲ βούλεσθε, κἀκεῖνα προσθῶμεν τοῖς εἰρημένοις ὑπὲρ Ἀχιλλέως, ὅτι καὶ τῷ Ἀγαμέμνονι φιλοχρηματίαν αὐτὸς ἐγκαλεῖ καὶ ὡς ἐπονείδιστον διαβάλλει τὸ πάθος· Ἀτρείδη κύδιστε φιλοκτεανώτατε πάντων [Il. A 122]. καὶ τὴν ὀλιγωρίαν ἣν ἔχει περὶ τὴν τῶν χρημάτων κτῆσιν αὐτὸς παρίστησι λέγων, ὅτι πάντα κατορθῶν καὶ πόλεις ἀνδραποδιζόμενος καὶ αἰχμαλώτους λαμβάνων σμικρὰ ἐκ πολλῶν κομιζόμενος οὐ διαφέρεται καὶ ὡς τῶν ὅλων ἐπιτρέπει τῷ Ἀγαμέμνονι τὴν διανομήν, ἐν οὐδενὸς μέρει τήν τε παρουσίαν αὐτῶν καὶ τὴν αὔξησιν τιθέμενος· ἐγὼ δ ' ὀλίγον τε φίλον τε ἔρχο μ ' ἔχων ἐπὶ νῆα ς , ἐπὴν κεκάμω πολεμίζων [Il.

in R.1.145 A 167 sq.]. ἔτι δὲ οὐδὲ προτείνοντος τοῦ Ἀγαμέμνονος τὰ δῶρα προσήκατο ⟦ τε ⟧ τὴν ἀρχήν, ὅτε μήπω καιρὸν ᾤετο τῆς πρὸς αὐτὸν εἶναι διαλλαγῆς. οὕτως οὐχ ἡ τῶν χρημάτων ὑπόσχεσις ἡμερώτερον αὐτὸν ἐποίει περὶ τὸν ὑβριστήν, ἀλλὰ καὶ ὅτε προσήκειν ὑπέλαβεν καταλῦσαι τὴν μῆνιν, αὐτὸς μὲν ὡς τῷ φίλῳ τιμωρήσων παρεσκευάζετο, τὰ δὲ δῶρα ὑπ' ἐκείνου μήτε ἐπιστρεφομένου πρὸς αὐτὰ τοῦ Ἀχιλλέως μήτε προστίθεσθαί τι τοῖς αὐτοῦ νομίζοντος ἀγαθοῖς ἀπεπληροῦτο. δηλοῖ δὲ αὐτοῦ καὶ τὸ πλῆθος τῶν ἐν τῷ ἀγῶνι προτεθέντων ἄθλων τὴν περὶ ταῦτα ὀλιγωρίαν. καὶ γὰρ ἕκαστον τῶν ἀγωνιστῶν τοῖς προσήκουσιν δώροις ἐφιλοφρονήσατο, τὸν 〈δὲ〉 Νέστορα δι' ἡλικίαν ἀθλεῖν οὐ δυνάμενον τῇ χρυσῇ φιάλῃ τῶν ἄλλων διαφερόντως ἐδωρήσατο. πῶς οὖν φιλοχρήματος καθ' Ὅμηρον ὁ χρώμενος εἰς δέον τοῖς χρήμασιν, καὶ παρόντων ὀλιγωρῶν καὶ ἀπόντα μὴ περιεργαζόμενος καὶ ἐλασσοῦσθαι περὶ αὐτὰ τῶν ἄλλων ἀνεχόμενος καὶ ὀνειδίζων ἐν μέσοις τοῖς Ἕλλησιν ὡς νόσημα ψυχῆς τὸ πάθος τῷ πλεονάζοντι κατὰ τὴν τῶν χρημάτων ἄμετρον ὄρεξιν; πῶς δὲ ὁ Φοῖνιξ φιλοχρηματίας διδάσκαλος, ἔθος τι παλαιὸν Ἑλληνικὸν ἀποπληροῦν κελεύων; οὕτω γάρ, φησί, καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶ ν , δωρητοί τ ' ἐπέλοντο παραρρητοί τ ' ἐπέεσσιν [Il. I 524. 526]. ἀλλὰ ταῦτα μὲν τοῖς ἡρωϊκοῖς πρέποντα χρόνοις καὶ τοῖς ἔθεσιν, οἷς ἐκεῖνοι πρὸς ἀλλήλους ἐχρῶντο, τῆς ἀκροτάτης ἠξίωται παρ' Ὁμήρῳ μιμήσεως. τοῖς δὲ παρ' ἡμῖν τρεφομένοις νέοις πολλοῦ δεῖ τὰ τοιαῦτα προσήκειν, οἷς οὐδὲν ἔργον ὑπὸ τοῦ νομοθέτου προστέτακται πλὴν τῆς παιδείας καὶ τῆς εἰς ἀρετὴν ἀγωγῆς· χρημάτων δὲ ἐπιμέλεια καὶ τῶν ἀναγκαίων τοῖς τὸν θνητὸν βίον διαζῶσιν φροντὶς ἄλλοις παραδέδοται τοῖς εἰς τὴν κάτω πόλιν τελοῦσιν.

in R.1.146 Πῶς δεῖ ἀπολογεῖσθαι ὑπὲρ τῆς φαινομένης περὶ τὸ θεῖον ὀλιγωρίας ἐν τῇ ποιήσει τῶν ἡρώων. Τούτων δὲ αὖ τὸν εἰρημένον τρόπον ἐχόντων ἑπόμενον ἂν εἴη καὶ τὰ ἄλλα ἐφεξῆς ἀνεγεῖραι τῶν ἀπορημάτων, ὅσα τῷ Ἀχιλλεῖ τὴν περὶ τὸ θεῖον ὀλιγωρίαν ἐγκαλεῖ. πῶς γὰρ 〈οὐ〉 τοιοῦτος ὁ πρὸς μὲν τὸν Ἀπόλλω τοιαῦτα ἀποτολμῶν φθέγγεσθαι· ἔβλαψάς μ ' ἑκάεργ ε , θεῶν ὀλοώτατε πάντων [Il. X 15], πρὸς δὲ τὸν ποταμὸν Ξάνθον διαμαχόμενος ὄντα θεόν, ἀντὶ δὲ τοῦ

Σπερχειοῦ τῷ Πατρόκλῳ νεκρῷ ὄντι προσάγων τὰς τρίχας [Il. Ψ 141 sqq.]; ὅτι μὲν οὖν εἴπερ τις ἄλλος τῶν ἡρώων καὶ Ἀχιλλεὺς περὶ τὰ θεῖα καθ' Ὅμηρόν ἐστιν ἀσφαλέστατος, δηλοῖ καὶ τὸν Ἀπόλλω θεραπεύειν αὐτὸς συμβουλεύων θυσίαν τε πέμπειν τῷ θεῷ παρασκευάζων τοὺς Ἕλληνας καὶ τὸν ἱερέα τοῦ θεοῦ παντοδαπῶς ἐκμειλίττεσθαι, καὶ τοῖς τῆς Ἀθηνᾶς ἐπιφοιτησάσης αὐτῷ προστάγμασιν ἑτοίμως πειθόμενος, καὶ ἐπᾴδων τῷ θυμῷ, καὶ τὸ περὶ τοὺς θεοὺς σέβας καὶ μέχρι τῆς ἀλογίας διατείνων, καὶ πάντων μάλιστα πεπεισμένος, ὅτι τὸ τοῖς θεοῖς ὑπηρετεῖν καὶ τῆς τῶν κρειττόνων βουλήσεως ἐξάπτειν ἑαυτὸν ἀνυσιμώτατόν ἐστι πρὸς τὴν ἐκείνων εὐηκοΐαν, σπένδων τε τῷ Διὶ καὶ εὐχόμενος μετὰ τῆς πρεπούσης τοῖς θεοῖς ἐπιστήμης.

in R.1.147 καὶ γὰρ τὸ προκαθῆραι τὴν φιάλην καὶ τὸ μόνῳ τῷ Διὶ ταύτην ἐξαίρετον ἀνεῖναι καὶ τὸ ἐν μέσῳ ἕρκει στάντα τὸν ἐκ μέσου τοῦ κόσμου πανταχοῦ διήκοντα καλεῖν τῆς περὶ τὸ θεῖόν ἐστιν εὐλαβείας καὶ τῆς γνώσεως τῶν οἰκείων τοῖς τιμωμένοις συνθημάτων τεκμήριον ἐναργές. εἰ δὲ πρὸς τὸν Ἀπόλλω θρασύτερα τοῦ δέοντος ἀπέρριψεν, ἐννοεῖν χρὴ τὰς Ἀπολλωνιακὰς τάξεις ἄνωθεν ἄχρι τῶν τελευταίων διηκούσας, καὶ τὰς μὲν θείας οὔσας, τὰς δὲ ἀγγελικάς, τὰς δὲ δαιμονίας, καὶ ταύτας πολυειδῶς μεριζομένας· καὶ ὡς οὐ πρὸς τὸν θεὸν ἀποτείνεται διὰ τῶν τοιούτων ῥημάτων, ἀλλὰ πρὸς τὸν δαιμόνιον, καὶ τοῦτον οὐ τὸν πρώτιστον καὶ τοῖς ὁλικὴν ἔχουσιν ἐπικράτειαν συντεταγμένον, ἀλλὰ τὸν τῶν καθ' ἕκαστα προσεχῶς ἐπιστατοῦντα καὶ (τί γὰρ οὐ δεῖ λέγειν σαφῶς;) τὸν τοῦ Ἕκτορος αὐτοῦ φρουρόν. λέγει γέ τοι διαρρήδην ὁ ποιητής· αὐτῷ γὰρ ἑκάεργος Ἀγήνορι πάντα ἐοικὼς ἕστη πρόσ θ ' Ἀχιλῆος [Il. Φ 600 sq.]. τοῦτον τοίνυν τὸν Ἀπόλλω, καθ' ὅσον αὐτῷ πρὸς τὴν πρᾶξιν ἐμποδὼν γίνεται φυλάττων ἀπαθῆ τὸν πολέμιον, ὁλοώτατον ἀποκαλεῖ, καὶ οὐ περὶ αὐτὸν πλημμελεῖ τὸν θεόν, ἀλλὰ τὸν ἐν τοῖς μερικωτάτοις τεταγμένον τῆς Ἀπολλωνιακῆς σειρᾶς. καὶ δεῖ μὴ πάντας τοὺς λόγους μηδὲ τὰς ἐνεργείας εἰς ἐκεῖνον ἀναπέμπειν τὸν πρώτιστον, ἀλλὰ καὶ τὰς δευτέρας αὐτοῦ καὶ τρίτας ἀναλογίζεσθαι προόδους, οἷον τίς μὲν ὁ τῷ Διὶ σύνθακος καὶ τοῖς Ὀλυμπίοις θεοῖς, τίς δὲ ὁ τὴν ἡλιακὴν σφαῖραν ἐπιστρεφόμενος, τίς δὲ ὁ ἀέριος Ἀπόλλων, τίς δὲ ὁ χθόνιος, τίς δὲ ὁ τῆς Τροίας προστάτης, τίς δὲ ὁ τοῦ Ἕκτορος ἰδίως προνοῶν, περὶ οὗ καὶ ὁ ποιητὴς λέγει· ᾤχετο δ ' εἰς Ἄΐδα ο , λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων [Il.

in R.1.148 X 213]. εἰς γὰρ ταύτας ἁπάσας βλέποντες τὰς τάξεις δυνησόμεθα καὶ τοὺς τοῦ Ἀχιλλέως λόγους πρός τινα τοιαύτην μερικὴν δύναμιν ἀναφέρειν, σώζειν μὲν τὸ προνοούμενον ἐθέλουσαν, ἐμποδίζουσαν δὲ τῷ Ἀχιλλεῖ περὶ τὰς κατορθώσεις. καὶ γὰρ τὸ ἔβλαψας οἰκείως ἂν ἔχοι πρὸς τὸν τοιοῦτον δαίμονα, τοῦ τέλους τῶν παρόντων πόνων αὐτὸν ἀφαιρούμενον. καὶ τὸ ὁλοώτατε δηλοῖ σαφῶς τὸν διαφερόντως αὐτῷ τῶν ἄλλων θεῶν τε καὶ δαιμόνων ἐναντιούμενον· ὁ γὰρ τὸν μάλιστα λυπήσαντα φυλάττων ἀπαθῆ παντὸς μᾶλλον ἐμποδὼν γίνεται τῷ λυπηθέντι πρὸς τὴν τῆς τιμωρίας ἀπαίτησιν. εἰ δὲ μηδὲ οὗτος ὁ τρόπος τῶν λόγων ἀζήμιος τῷ Ἀχιλλεῖ γέγονεν, ἀλλὰ μικρὸν ὕστερον καὶ αὐτὸς ὑπὸ δή τινος Ἀπολλωνιακῆς δυνάμεως ἀναιρεῖσθαι λέγεται· ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων ἐσθλὸν ἐόν τ ' ὀλέσωσιν [Il. X 359 sq.], πῶς οὐχὶ καὶ διὰ τούτων ἡμᾶς ἡ ποίησις περὶ τὸ θεῖον σωφρονεστέρους ποιεῖ καὶ τὸ δαιμόνιον; καίτοι με οὐ λέληθεν, ὅτι τοῖς περὶ τὰς τελετὰς δεινοῖς πολλὰ τοιαῦτα περὶ τοὺς δαίμονας ἀποτετόλμηται· ἀλλ' ἴσως ἐκείνοις μὲν ὑπὸ θειοτέρων δυνάμεων φρουρουμένοις οὐδεμίαν τὰ τοιαῦτα ζημίαν ἐπάγειν ἐστὶν ἱκανά, τοῖς δὲ ἄλλοις ἀνθρώποις ἕπεται δίκη σωφρονίζουσα τὴν ἐν τοῖς λόγοις πλημμέλειαν. Καὶ μὴν καὶ περὶ τῆς πρὸς τὸν Ξάνθον αὐτοῦ λεγομένης μάχης οὐ χαλεπὸν ἀπαντᾶν. οὐ γὰρ πρὸς αὐτὸν τὸν θεὸν ἀπειθὴς ἦν, ἀλλ' ἢ πρὸς τὸ φαινόμενον ὕδωρ ἐμποδίζον αὐτῷ τὴν κατὰ τῶν πολεμίων ὁρμὴν ἢ πρός τινα τῶν ἐγχωρίων δυνάμεων μετὰ θεῶν συμμάχων ἠγωνίζετο· καὶ γὰρ Ἀθηνᾶς καὶ Ποσειδῶνος αὐτῷ παρόντων καὶ συμπνεόντων ἀνθίστατο.

in R.1.149 καί μοι δοκεῖ κατὰ πάσας τὰς διαφορὰς ἡ ποίησις τοὺς ἀγῶνας διαπλέκουσα, καὶ τότε μὲν ἀνθρώπων πρὸς ἀλλήλους μάχας ἱστοροῦσα, τότε δὲ τῶν κρειττόνων γενῶν, ὥσπερ ἐν τῇ καλουμένῃ θεομαχίᾳ, καὶ ταύτην παραδοῦναι τὴν ἀντίστασιν τῶν ἡρώων πρός τινας δαιμονίας φύσεις, ἐνδεικνυμένη τοῖς τῶν τοιούτων ἐπαΐειν δυναμένοις, ὅτι καὶ τὰ πρώτιστα τῶν τελευταίων ἐξισοῦταί πως τοῖς ἐσχάτοις τῶν πρώτων, καὶ διαφερόντως ὅταν ὑπ' αὐτῶν κινῆται καὶ φρουρῆται τῶν θεῶν. καὶ οὐκ Ἀχιλλεὺς πρὸς τὸν Ξάνθον μόνος, ἀλλὰ καὶ Ἡρακλῆς οὕτω πρὸς τὸν Ἀχελῷον διαγωνίσασθαι λέγεται, πρὸς ὃν καὶ ὁ Ἀχιλλεὺς τὴν ἑαυτοῦ ζωὴν ἐπανάγων οὐδὲ τοὺς τοιούτους ἀγῶνας ἀπεσείετο. Τὸ δὲ δὴ τρίτον τῶν προκειμένων ζητημάτων διαλύσομεν λέγοντες, ὅτι πρώτιστον μὲν ἦν τῷ Ἀχιλλεῖ καὶ προηγούμενον ἀγαθὸν ἐπανελθόντι τῷ Σπερχειῷ τὰς τρίχας ἀποκείρασθαι κατὰ τὴν ὑπόσχεσιν· ἀπογνόντι δὲ ἄρα τῆς ἐπανόδου καὶ τοῦτο πεισθέντι προειπούσης τῆς μητρός· αὐτίκα γάρ τοι ἔπειτα με θ ' Ἕκτορα πότμος ἑτοῖμος [Il. Σ 96], πῶς οὐχὶ τὸ δεύτερον ἦν ἀναγκαῖον εἰς τιμὴν τοῦ φίλου τὰς κόμας ἀφελεῖν; ἐπεὶ καὶ ὁ παρ' ἡμῖν Σωκράτης δέχεται τοὺς στεφάνους, οὓς ὁ Ἀλκιβιάδης ἔφερεν τῷ θεῷ, καὶ ἀναδεῖται καὶ οὐδὲν οἴεται πλημμελὲς οὔτε αὐτὸς ποιεῖν οὔτε ποιοῦντα τὸν νεανίσκον περιορᾶν· καὶ ταῦτα ἐν Ἀλκιβιάδῃ δευτέρῳ [p. 151a] παρειλήφαμεν. ἐῶ λέγειν, ὡς οὐδὲ ἱεραί πω τοῦ ποταμοῦ γεγόνεσαν αἱ τρίχες· ὁ γὰρ μετὰ τὴν ἐπάνοδον ἱερὰς αὐτὰς ἀνήσειν ἐπαγγειλάμενος ἀφαιρεθεὶς τῆς ἐπανόδου συναφῄρηται καὶ τῆς τῶν τριχῶν ἀφιερώσεως. Πῶς ἀπολογητέον ὑπὲρ τῆς τῶν ἡρώων ἐν τῇ ποιήσει περὶ τὸν βίον φαινομένης ὀλιγωρίας ἢ ὅλως ἀτόπου παρὰ τοῖς ποιηταῖς ἐν τοῖς μύθοις ἱστορίας.

in R.1.150 Ἀλλὰ τούτων μὲν ἄδην· ὑπόλοιπον δέ ἐστί μοι περὶ τῶν εἰς τὸν Ἕκτορα τῷ Ἀχιλλεῖ πεπραγμένων καὶ τῶν περὶ τὸ σῆμα ἕλξεων τοῦ Πατρόκλου, καὶ ὧν εἰς τοὺς ζωγρηθέντας ἔδρασεν ἐμβαλὼν εἰς τὴν πυράν, τὸν εἰκότα λόγον ἀποδοῦναι. ταῦτα γὰρ οὐκ ἀληθῆ περὶ ἀνδρὸς λέγεσθαί φησιν ὁ Σωκράτης [p. 391c], ὃς ἦν θεᾶς παῖς καὶ Πηλέως τοῦ σωφρονεστάτου, καὶ ἀπὸ Διὸς φύντος καὶ ὑπὸ τῷ σοφωτάτῳ Χείρωνι τεθραμμένου. εἴρηται μὲν οὖν καὶ ὑπὸ τῶν παλαιῶν, ὡς Θετταλικόν τι τοιοῦτον ἔθος ἦν (καὶ ὁ Κυρηναῖος μαρτυρεῖ ποιητής· πάλαι δ ' ἔτι Θεσσαλὸς ἀνὴρ ῥυστάζει φθιμένων ἀμφὶ τάφον φονέα ς) καὶ ὡς ταῦτα συμπληροῦντα τὴν περὶ τὸν Πάτροκλον ὁσίαν παρείληπται. εἰ δὲ καὶ ὁ Ἕκτωρ εἶλκε τὸν Πάτροκλον ὄντα νεκρόν, ἵνα ἀ π ' ὤμοιϊν κεφαλὴν τάμοι ὀξέϊ χαλκ ῷ , τὸν δὲ νέκυν Τρῴῃσιν ἐρυσάμενος κυσὶ δοίη [Il. P 126 sq.], καὶ ταῦτα οὐκ ἠγνόησεν, ἀλλ' εἰπούσης ἔγνω τῆς Ἴριδος· μάλιστα δὲ φαίδιμος Ἕκτωρ ἑλκέμεναι μέμονε ν , κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει πῆξαι ἀνὰ σκολόπεσσι ταμόν θ ' ἀπαλῆς ἀπὸ δειρῆ ς . ἀλ λ ' ἄνα μη δ ' ἔτι κεῖσο · σέβας δέ σε θυμὸν ἱκέσθ ω , Πάτροκλον Τρῴῃσι κυσὶν μέλπηθρα γενέσθαι [Il.

in R.1.151 Σ 175 sqq.], πῶς οὐ τὴν πρέπουσαν αὐτῷ δίκην ἀποδίδωσιν ἕλκων περὶ τὸν τοῦ Πατρόκλου τάφον καὶ ταύτῃ τὸν φίλον τιμῶν, καὶ τῆς μὲν ἐννοίας αὐτὸν διὰ τῆς ἕλξεως τὴν τιμωρίαν εἰσπραττόμενος, μὴ ποιήσαντα δὲ ὅσα προὔθετο τοῖς οἰκείοις ἀποδιδοὺς καὶ ταφῆς ἀξιωθῆναι συγχωρῶν. ὁ γὰρ τοιαῦτα μέτρα ταῖς πράξεσιν ἐπάγων κατὰ τὴν ὅλην δίκην ἐνεργεῖ καὶ τὴν πρόνοιαν τῶν θεῶν. διὸ καὶ ὁ ποιητὴς ὑπηρετοῦντα ταῖς τῶν κρειττόνων βουλήσεσιν αὐτὸν ἡμερώτερα περὶ τὸν Ἕκτορα βουλεύεσθαί φησιν, ὡς καὶ ταῖς ἑαυτοῦ χερσὶν θεραπεῦσαι τὸ λείψανον· τὸν δ ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ ἔχρισαν ἐλαί ῳ , ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶν α , αὐτὸς τόν γ ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας [Il. Ω 587 sqq.]. πάντα ἄρα κατὰ τὸ προσῆκον αὐτῷ μέτρον ἀποδέδοται τὰ περὶ τοὺς ἀπελθόντας ἐνεργήματα· τόν τε γὰρ φίλον διαφερόντως ἐτίμησεν οὐ μόνον καταγωνισάμενος τὸν πολέμιον, ἀλλὰ καὶ τῆς ἐννοίας αὐτὸν τῆς ἀνοσίου δίκην εἰσπραξάμενος· καὶ αὖ πάλιν τῷ πολεμίῳ τῆς ὕβρεως ἀμοιβὴν τήν τε περὶ τὸν Πρίαμον φιλανθρωπίαν καὶ τὴν περὶ αὐτὸν θεραπείαν ἐσχάτην κατεβάλλετο. Περί γε μὴν τῶν ἐπὶ τῇ πυρᾷ σφαγέντων τοσοῦτον ῥητέον, ὅτι κατὰ μὲν τὸ φαινόμενον ἥ τε περὶ τὸν

Πάτροκλον αὐτῷ τιμὴ καὶ διὰ τούτων τελέως συμπεπλήρωται, καὶ οὐδὲν περὶ ἐκείνους ὠμότερον ἔπραξέν τι, ⟦ ἢ ⟧ εἰ πολεμίους ὄντας αὐτοὺς ὥσπερ τῶν ἄλλων τοὺς προστυχόντας ἀπέκτεινεν. τί γὰρ ἂν διαφέροι πρὸς τῇ πυρᾷ τοῦτο παθεῖν ἢ πρὸς τῷ ποταμῷ; πῶς δὲ οὐκ ἄμεινον ἔπραξαν ὑπὸ τοῦ πυρὸς ἅρδην αὐτοῖς τῶν σωμάτων ἀφανισθέντων, ἢ ὑπὸ τῶν θηρίων σπαραττόμενοι καὶ ταὐτὰ τῷ Λυκάονι πάσχοντες, πρὸς ὅν φησιν ὁ Ἀχιλλεύς· ἐνταυθοῖ νῦν κεῖσο με τ ’ ἰχθύσι ν , οἵ ς ’ ὠτειλῆς αἶ μ ’ ἀπολιχμήσονται ἀκηδέες [Il.

in R.1.152 Φ 122 sq.]. εἰ δὲ δεῖ καὶ τῶν ἀπορρητότερον ὑπὸ τοῦ καθηγεμόνος ἡμῶν τεθεωρημένων κἀν τούτοις ποιήσασθαι μνήμην, ῥητέον ὅτι πᾶσα ἡ περὶ τὴν πυρὰν ἐκείνην τοῦ Ἀχιλλέως πραγματεία μιμεῖται τὸν παρὰ τοῖς θεουργοῖς τῆς ψυχῆς ἀπαθανατισμὸν εἰς τὴν χωριστὴν ζωὴν ἀνάγουσα τὴν τοῦ Πατρόκλου ψυχήν. διὸ καὶ στὰς πρὸ τῆς πυρᾶς ἐπικαλεῖσθαι λέγεται τοὺς ἀνέμους, Βορρᾶν καὶ Ζέφυρον [Il. Ψ 194], ἵνα καὶ τὸ φαινόμενον ὄχημα διὰ τῆς ἐμφανοῦς αὐτῶν κινήσεως τύχῃ τῆς πρεπούσης θεραπείας, καὶ τὸ τούτου θειότερον ἀφανῶς καθαρθῇ καὶ εἰς τὴν οἰκείαν ἀποκαταστῇ λῆξιν, ὑπὸ τῶν ἀερίων καὶ τῶν σεληναίων καὶ τῶν ἡλιακῶν αὐγῶν ἀνελκόμενον, ὥς πού φησίν τις τῶν θεῶ ν , καὶ πάννυχος ἐπισπένδειν παραδέδοται τῇ πυρᾷ· χρυσέου ἐκ κρητῆρο ς , ἐλὼν δέπας ἀμφικύπελλο ν , ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο [Il. Ψ 219. 221]· μονονουχὶ κηρύττοντος ἡμῖν τοῦ ποιητοῦ, καὶ ὅτι περὶ τὴν τοῦ φίλου ψυχὴν ἡ πραγματεία τοῦ Ἀχιλλέως ἦν, ἀλλ’ οὐ περὶ τὸ φαινόμενον μόνον, καὶ ὅτι πάντα συμβολικῶς αὐτῷ παρείληπται, καὶ ὁ χρυσοῦς κρατὴρ τῆς πηγῆς τῶν ψυχῶν, καὶ ἡ σπονδὴ τῆς ἐκεῖθεν ἀπορροίας κρείττονα ζωὴν ἐποχετευούσης τῇ μερικῇ ψυχῇ, καὶ ἡ πυρὰ τῆς ἀχράντου καθαρότητος τῆς εἰς τὸ ἀφανὲς περιάγειν ἀπὸ τῶν σωμάτων δυναμένης· καὶ ὅλως πολλὰ τῆς ὑπονοίας ταύτης λάβοι τις ἂν τεκμήρια τοῖς τοῦ καθηγεμόνος ἡμῶν ἐντυχών.

in R.1.153 τοιαύτης δὲ τῆς περὶ τὸν Πάτροκλον οὔσης θεραπείας οὐκ ἂν ἀπὸ τρόπου τις λέγοι καὶ τοὺς δώδεκα τούτους τοὺς πρὸς τῇ πυρᾷ σφαγέντας ὥσπερ ὀπαδοὺς συντετάχθαι τῇ τοῦ Πατρόκλου ψυχῇ, τὸ ἡγεμονικὸν αὐτῆς τοῦ Ἀχιλλέως εἰδότος καὶ θεραπεύσαντος. διὸ καὶ τὸν ἀριθμὸν τοῦτον ὡς οἰκειότατον τοῖς ἕπεσθαι μέλλουσιν καὶ ταῖς παντελέσι προόδοις ἀνειμένον τῶν θεῶν ἐπελέξατο. πολλοῦ ἄρα δεῖ κατά τινα τῆς ψυχῆς ὠμότητα δεινὴν καὶ ἀγριότητα ταῦτα ἐκεῖνος, ἀλλ’ οὐ κατά τινας ἱερατικοὺς θεσμοὺς περὶ τὰς τῶν ἐν πολέμῳ τελευτησάντων ψυχὰς ἀφωρισμένους ἅπασαν τὴν πραγματείαν ταύτην πραγματεύσασθαι. μήτ’ οὖν ὑπερηφανίαν αὐτῷ θεῶν τε καὶ ἀνθρώπων ἐγκαλῶμεν μήτε ἀπιστῶμεν, εἰ θεᾶς ὢν παῖς καὶ Πηλέως καὶ Χείρωνος μαθητὴς τοιαῦτ’ ἔπραξεν. τὰ μὲν γὰρ ὡς τῆς ὅλης δίκης στοχαζόμενος, τὰ δὲ πολέμου νόμῳ, τὰ δὲ ἱεραῖς μεθόδοις χρώμενος ἔπραξεν. ἐν ἅπασιν δ’ ὁ ποιητὴς τὰ μέτρα τῆς μιμήσεως τελέως διεσώσατο. Τὰ μὲν δὴ πρὸς Ὅμηρον βλέποντα τῶν Σωκρατικῶν ἐγκλημάτων τοιαύτης 〈ἂν〉 ἀπαντήσεως τυγχάνοι. εἰ δὲ Θησέα τις καὶ Πειρίθουν εἰσάγοι τῶν ποιητῶν ἐπὶ τὴν τῆς Ἑλένης ἁρπαγὴν ὡρμηκότας ἢ εἰς Ἅιδου κατεληλυθότας, τάχα ἂν καὶ ταῦτα μυθικώτερον λεγόμενα τῆς πρεπούσης ἀξιώσαιμεν θεωρίας, λέγοντες τοῦ ἀφανοῦς κάλλους καὶ 〈οὐ〉 τοῦ ἐμφανοῦς ἐραστὰς γενομένους τοὺς ἥρωας τούτους μεμυθολογῆσθαι τήν τε Ἑλένην ἡρπακέναι καὶ εἰς Ἅιδου πεπορεῦσθαι, κἀκεῖθεν αὖ τὸν μὲν δι’ ὑψηλόνοιαν ὑφ’ Ἡρακλέους ἀνῆχθαι, τὸν δὲ αὐτοῦ που καταμεῖναι πρὸς τὸ ἄναντες ἑαυτὸν ἐπιδοῦναι τῆς θεωρίας ἀδυνατήσαντα.

in R.1.154 εἰ δὲ καὶ ἄλλως πως ἔχει τὰ τοιαῦτα, τῆς Ὁμηρικῆς οὐχ ἅπτεται ποιήσεως, τοῖς τε θεοῖς πανταχοῦ καὶ τοῖς κρείττοσιν ἡμῶν γένεσιν καὶ ταῖς ἡρωϊκαῖς ζωαῖς τὸ πρέπον ἀποδούσης κατὰ τὴν μίμησιν, καὶ τὰ μὲν ἀπορρητότερον ἐνδειξαμένης, τὰ δὲ καὶ αὐτόθεν σὺν νῷ καὶ ἐπιστήμῃ περὶ τούτων ἡμᾶς διδαξάσης, καὶ οὐδὲν ἀπολειπούσης γένος τῶν ὄντων ἀδιερεύνητον, ἀλλ’ ἕκαστα κατὰ τὴν ἑαυτῶν τάξιν ἐνεργοῦντα πρός τε ἑαυτὰ καὶ τὰ ἄλλα παραδιδούσης. 〈Βιβλίον β 〉 Ὅτι πανταχοῦ τὸν Ὅμηρον ὡς ἡγεμόνα πάσης ἀληθείας ὁ Πλάτων εἴωθεν γεραίρειν ⟦ δεύτερον ⟧ . Ἃ μὲν τοίνυν ὑπὲρ Ὁμήρου δυνατὸν λέγειν πρὸς τὰς

ἐν Πολιτείᾳ τοῦ Σωκράτους ἐπιστάσεις, τοιαῦτα ἂν εἴη. πάλιν δὲ αὖ ἀπ' ἄλλης ἀρχῆς δεικνύωμεν, ὡς ἄρα καὶ αὐτὸς ὁ Πλάτων πολλαχοῦ, 〈πανταχοῦ〉 μὲν οὖν ὡς εἰπεῖν, εἰσποιεῖται τὸν Ὅμηρον καὶ φίλον ἡγεῖται καὶ μάρτυρα καλεῖ τῶν ἑαυτοῦ δογμάτων, τότε μὲν πρὸ τῶν ἀποδείξεων ὥσπερ εἰς θείαν φήμην ἀναφέρων τὴν τούτου φωνὴν τὴν τῶν ῥηθησομένων ἀλήθειαν, τότε δὲ μετὰ τὰς ἀποδείξεις ἀνέλεγκτον ἀποφαίνων τὴν ἐπιστήμην ἐκ τῆς Ὁμήρου κρίσεως, τότε δὲ καὶ ἐν μέσοις τοῖς περὶ τῶν ὄντων λόγοις ἐπ' αὐτὸν ἀναπέμπων τὴν τῆς θεωρίας ἁπάσης ἀρχήν.

in R.1.155 ἐν Φαίδωνι [p. 94d] μὲν γάρ, ὅπου διαφερόντως ὁ Σωκράτης τὴν ἑαυτοῦ ζωὴν ἀναπλοῖ καὶ πᾶν τὸ τῆς ἐπιστήμης πλάτος ἀνοίγει τοῖς ἑαυτοῦ ζηλωταῖς, πολλοῖς δή τισιν καὶ παντοδαποῖς λόγοις καταδησάμενος, ὡς ἄρα ἄλλη μέν ἐστιν ἡ ἁρμονία τῶν σωμάτων, ἄλλη δὲ ἡ ψυχῆς φύσις, καὶ διέζευκται ταῦτα κατ' οὐσίαν ἀπ' ἀλλήλων, τελευτῶν ἐπὶ τόνδε τὸν ποιητὴν καταφεύγει καὶ τοῖς ἐκείνου ῥήμασιν ἐναργεστάτοις τεκμηρίοις χρώμενος ἐξῃρημένην ἐπιδείκνυσι τὴν ψυχὴν τῆς περὶ τὸ σῶμα τῶν κράσεων ἁρμονίας. τὸ γὰρ διαμαχόμενον, φησίν, πρὸς τὴν ἐν τῷ στήθει τεταγμένην ζωὴν κινουμένην καὶ λέγον· τέτλαθι δὴ κραδί η , πάντως που κατὰ φύσιν ἐξήλλακται τούτου πρὸς ὃ διαμάχεται, καὶ τὸ κατεξανιστάμενον τοῦ σώματος οὐκ ἂν ἐν τῷ σώματι τὴν ὑπόστασιν ἔχοι. καὶ οὕτω δὴ προϊὼν ὁ Σωκράτης καὶ συμπεραινόμενος, ὅτι τὴν οὐσίαν τῆς ψυχῆς ἑτέραν χρὴ φάναι τῆς τοῦ σώματος ἁρμονίας, ὥσπερ εἰς ἄφυκτον ἀνάγκην κατακλείων τὸν σύμπαντα λόγον· οὔτε γὰρ ἄ ν , φησίν, Ὁμήρῳ θείῳ ποιητῇ ταύτῃ λέγοντες ὁμολογοῖμεν οὔτε ἡμῖν αὐτοῖς [p. 95a]. πολλοῦ ἄρα δεῖ τὴν Ὁμήρου κρίσιν ἀτιμάζειν, τὴν πρὸς αὐτὸν διαφωνίαν ἐν ἴσῳ τοῖς παντελῶς ἀδυνάτοις τιθέμενος; ἀλλὰ μὴν προσήγορον ἑαυτῷ καὶ φίλον ἐνόμιζεν ἐν τοῖς περὶ ψυχῆς λόγοις ὁ τὴν πρὸς ἑαυτὸν ἀναρμοστίαν τῆς πρὸς ἐκεῖνον οὐδὲν διαφέρειν ἡγούμενος. ἐν δὲ τοῖς Νόμοις θειότατόν τε αὐτὸν ποιητὴν ἀποκαλεῖ, καθάπερ ἄλλοις ἄλλο τι τῶν ὀνομάτων, καὶ τούτῳ τὸ θεῖον προσήκειν οἰόμενος· ἔοικεν γοῦν, φησίν, οὗτος ὁ ποιητὴς θειότατος γεγονέναι· καὶ περὶ τῆς τῶν πολιτειῶν μεταβολῆς διαλεγόμενος, καὶ ὅπως ἐκ τῆς πατρονομικῆς ἐπιστασίας εἰς τοῦτο τὸ σχῆμα προῆλθον τῶν ἀνθρώπων 〈οἱ〉 οἰκισμοὶ διδάσκων [III 676a sqq.

in R.1.156], πανταχοῦ τὴν Ὁμήρου μαρτυρίαν προστίθησιν, καὶ τέλος εἰς πᾶσαν ποιητικὴν τὴν ἔνθεον μίαν εὐφημίαν τὴν μεγίστην διέτεινεν· θεῖον γὰρ οὖν δὴ καὶ τὸ ποιητικὸν ὂν γένος ὑμνῳδοῦν πολλῶν τῶν κα τ ' ἀλήθειαν γεγονότων σύν τισι Χάρισι καὶ Μούσαις ἐφάπτεται ἑκάστοτε [III 682a]. ἐν δὲ τῷ Μίνωϊ τὴν περὶ τοῦδε τοῦ ἥρωος κρίσιν ἣν ἔσχεν Ὅμηρος ἐξηγούμενος ἐπάγει· καὶ Ὀδυσσείας ἐν Νεκυίᾳ δικάζοντα χρυσοῦν σκῆπτρον ἔχοντα πεποίηκεν [p. 319a], καὶ ὅτι χρυσοῦν σκῆπτρον οὐδὲν ἄλλο ἢ τὴν παιδείαν λέγει τοῦ Μίνωος ᾗ εὔθυνε τὴν Κρήτην [p. 320d]. καὶ οὐκ ἐν τούτῳ τῷ διαλόγῳ μόνον Ὁμήρῳ χρῆται μάρτυρι τῆς περὶ τοῦ Μίνωος ἱστορίας, ἀλλὰ καὶ ἐν Νόμοις [I 624a] γράφων· μῶν οὖν κα θ ' Ὅμηρον λέγεις ὡς τοῦ Μίνω φοιτῶντος δ ι ' ἐνάτου ἔτους πρὸς τὴν τοῦ πατρὸς ἑκάστοτε συνουσίαν καὶ κατὰ τὰς πα ρ ' ἐκείνου φήμας ταῖς πόλεσιν ὑμῶν θέντος τοὺς νόμου ς ; καὶ ὅλως πανταχοῦ τὴν περὶ τῶν ἡρώων ἀλήθειαν παρ' Ὁμήρου δοκιμάζει μανθάνειν. ἐν δὲ τῷ Γοργίᾳ μετὰ τοὺς πολλοὺς καὶ μακροὺς ἀγῶνας, οὓς ὑπὲρ σωφροσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς ἁπάσης πρὸς τὸν Καλλικλέα διηγωνίσατο, μῦθον διεξιέναι μέλλων, οὐ μῦθον ἀλλὰ λόγον ὄντα, καθάπερ φησὶν αὐτός, καὶ τῶν ἐν Ἅιδου δικαστῶν διαμνημονεύσειν καὶ τῆς ἀφ' ἑνὸς πατρὸς εἰς τρεῖς δημιουργικὰς μονάδας τῶν θεῶν προόδου καὶ τῆς ἐν τῷ παντὶ διακληρώσεως, ἀπὸ τῆς Ὁμηρικῆς ὑφηγήσεως τὰς τῆς θεομυθίας ἀρχὰς καταβάλλεται· ὥσπερ γὰρ Ὅμηρος λέγε ι , διενείμαντο τὴν ἀρχὴν ὅ τε Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων [p.

in R.1.157 523a]· καὶ μικρὸν ὕστερον δικαστὴν 〈ἐν〉 Ἅιδου καθίζων τὸν Μίνω ταῖς ψυχαῖς τὴν Ὁμήρου περὶ αὐτοῦ διδασκαλίαν ὡς ἔνθεον προστίθησιν [p. 526c]. ἐῶ λέγειν ὅτι καὶ τῶν ἐν Ἅιδου

δικαιωτηρίων παρ' ἐκείνου τὰς ἀφορμὰς εἴληφεν· ἀλλὰ τοῦτο μὲν καὶ εἰσαῦθις μέτιμεν. ἐν δὲ τῇ Σωκράτους ἀπολογίᾳ [p. 41a] καὶ περὶ τῆς λήξεως ἣν εἶχεν ἐνδείκνυται καὶ τῆς πρὸς αὐτὸν συντάξεως· ἢ αὖ Ὀρφεῖ συγγενέσθαι καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτο ὑμῶ ν ; ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάνα ι , εἰ ταῦτά ἐστιν ἀληθ ῆ . τίς οὖν μηχανὴ μὴ οὐχὶ σοφὸν ὄντως τὰ θεῖα γεγονέναι τὸν τοιοῦτον νομίζειν, πρὸς ὃν καὶ αὐτὸς ἀφορᾷ καὶ ὃν ζηλωτὸν ἡγεῖται τῆς ἐν Ἅιδου λήξεως ὑπάρχειν; τὸ γὰρ εἰς τὴν ὁμοίαν ἐκείνῳ τάξιν ἀποκαταστῆναι μακάριον ὄντως ὑπολαμβάνειν ἁπάσης μὲν αὐτὸν ἐπιστήμης, ἁπάσης δὲ ἀρετῆς ἐπήβολον γενέσθαι μαρτυρεῖ. ἐν δὲ αὖ τῷ Συμποσίῳ (καὶ γὰρ τῶν ἐνταῦθα γεγραμμένων ἀναμνήσωμεν ἡμᾶς αὐτούς) ἄντικρυς καὶ τὴν ὅλην αὐτοῦ πραγματείαν ἀποθαυμάζει καὶ ζηλωτὴν εἶναί φησιν τοῖς ἔμφροσι· καὶ εἰς Ὅμηρον ἀποβλέψας καὶ Ἡσίοδον καὶ τοὺς ἄλλους ἀγαθοὺς ποιητὰς ζηλῶ ν , ὅσα ἔκγονα καταλείπουσι ν , ἃ ἐκείνοις ἀθάνατον κλέος καὶ μνήμην παρέχεται αὐτὰ τοιαῦτα ὄντα [p. 209d]. πολλοῦ ἄρα δεῖ τὰ Ὁμήρου ποιήματα καὶ τῶν ἄλλων ὅσοι τῆς ἐνθέου κεκοινωνήκασι μανίας (οὗτοι γὰρ ἂν δήπου καὶ ἀγαθοὶ προσαγορεύοιντο ποιηταί) τρίτα παντελῶς ἀπὸ τῆς ἀληθείας καὶ φαντασίαν παρεχόμενα τῆς γνώσεως τῶν ὄντων ἡγεῖσθαι, ζηλωτὰ καὶ ἀξιομνημόνευτα αὐτὰ τιθέμενος εἶναι καὶ διανοίας οὐ τῆς ἐπιτυχούσης γεννήματα.

in R.1.158 ἐν δὲ τῷ Ἴωνι τά τε ἄλλα ἐξυμνεῖ τόνδε τὸν ποιητὴν καὶ παρακελεύεται παντὸς μᾶλλον αὐτῷ συγγενέσθαι καὶ ἀπολαύειν τῆς νοερᾶς αὐτοῦ καὶ ἐπιστημονικῆς ὑφηγήσεως· ἅμα δὲ καὶ ἀναγκαῖον εἶναι ἔν τε ἄλλοις ποιηταῖς διατρίβειν πολλοῖς καὶ ἀγαθοῖ ς , καὶ δὴ καὶ μάλιστα ἐν Ὁμήρῳ τῷ ἀρίστῳ καὶ θειοτάτῳ τῶν ποιητῶ ν , καὶ τὴν τούτου διάνοιαν ἐκμανθάνει ν , μὴ μόνον τὰ ἔπ η , ζηλωτόν ἐστιν [p. 530b]. Ἐκ δὴ τούτων τε καὶ τῶν τοιούτων ἁπάντων ἓν ἐκεῖνο συναγάγωμεν, ὅτι καὶ προσήγορον ἑαυτῷ τὸν Ὅμηρον ὁ Πλάτων ὑπείληφεν εἶναι καὶ ἡγεμόνα καὶ διδάσκαλον οὐ τῶν τραγῳδιοποιῶν μόνον (τούτων μὲν γὰρ ἔστω καθ' ὅσον ἐστὶ μιμητὴς ἡγεμών), ἀλλὰ τῶν ἐν φιλοσοφίᾳ δογμάτων καὶ τούτων τῶν μεγίστων. εἰ γὰρ ἐν μὲν τοῖς περὶ θεῶν λόγοις καὶ περὶ τῆς τριττῆς τῶν δημιουργῶν διανομῆς καὶ περὶ τῶν ἐν Ἅιδου λήξεων καὶ περὶ τῆς ψυχικῆς οὐσίας ἐπ' αὐτὸν ἀναπέμπει τὴν αἰτίαν τῆς θεωρίας, ἁπάντων δὲ ποιητῶν θειότατον ἀποκαλεῖ καὶ ζηλωτὸν τοῖς ἔμφροσιν καὶ μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν τὴν πρὸς αὐτὸν συνουσίαν περὶ πολλοῦ τίθεσθαι συνομολογεῖ, πῶς οὐ παντὶ καταφανής ἐστιν τήν τε ὅλην αὐτοῦ ζωὴν ἀποδεχόμενος καὶ τὴν ποίησιν ἀσπαζόμενος καὶ ἣν ἔσχεν περὶ τῶν ὄντων κρίσιν οἰκειούμενος; μὴ τοίνυν ἐκ τῶν ἐν Πολιτείᾳ γεγραμμένων ἐπαιρώμεθα λέγειν, ὅτι τῆς Ὁμήρου διδασκαλίας ὁ Πλάτων ἐστὶν κατήγορος, μηδὲ ὅτι κατὰ τὰ αὐτὰ τοῖς σοφισταῖς καὶ τὴν τούτου πραγματείαν εἰδωλοποιὸν ἀποφαίνει, μηδὲ ὅλως διαφέρεσθαι τοὺς ἄνδρας ὑπολαμβάνωμεν. καὶ γὰρ ἐκεῖνος ἐνθουσιάζων καὶ ὑπὸ τῶν Μουσῶν ἀναβακχευόμενος περὶ τῶν θείων ἡμᾶς ἀναδιδάσκει καὶ τῶν ἀνθρωπίνων πραγμάτων.

in R.1.159 ταῦτα ὁ Πλάτων ταῖς ἀνελέγκτοις τῆς ἐπιστήμης μεθόδοις κατεδήσατο καὶ διὰ τῶν ἀποδείξεων ἐναργέστερα τοῖς πολλοῖς ἡμῶν κατέστησεν, οἳ καὶ τῆς τοιαύτης δεόμεθα βοηθείας εἰς τὴν τῶν ὄντων κατανόησιν. Διὰ τίνας αἰτίας ἐν Πολιτείᾳ τὴν Ὁμήρου ποίησιν ὡς ἀνεπιτήδειον ἀκούειν τοῖς νέοις ἀπεδοκίμασεν. Εἰ δὲ τοῖς ὑπ' αὐτῷ νομοθέτῃ τρεφομένοις καὶ κατὰ τὸ πρώτιστον εἶδος τῆς ζωῆς τελειουμένοις ἄβατόν τε τὴν ψυχὴν ἔχειν ὀφείλουσιν ἁπάσης ποικιλίας καὶ τῆς ἐναντίας διαθέσεως τῷ καλῷ 〈καὶ〉 τῷ ἀγαθῷ καὶ πρὸς μόνον τὸν τῆς ἀρετῆς ὅρον ἀποβλέπειν ἀνάρμοστός ἐστιν ἡ τοιαύτη διδασκαλία, τῆς μὲν ἁπλότητος τῶν θείων πολυειδῆ παραπετάσματα μηχανησαμένη, τῆς δὲ ὑπερφυοῦς περὶ αὐτῶν ἀληθείας καὶ τῆς ἐπέκεινα τῶν καλῶν πάντων ὑπάρξεως τὰ φαινόμενα αἰσχρὰ καὶ τὰ παρὰ φύσιν προκαλύμματα ποιησαμένη, πῶς διὰ ταῦτα προσήκει τὴν Ὁμηρικὴν θεωρίαν διοικίζειν τῆς Πλατωνικῆς φιλοσοφίας, εἰ μὴ καὶ τὴν αὐτοῦ τοῦ Πλάτωνος πραγματείαν διϊστάνειν τῆς Πλάτωνος ἐπιστήμης ἀνεξόμεθα; κατὰ γὰρ τὸν αὐτὸν λόγον καὶ ταύτην οἶμαι τοῖς ἐν ἐκείνῃ τῇ πολιτείᾳ παιδευομένοις οὐδαμῇ

προσήκουσαν ἀποφαίνειν δυνατόν. καὶ πῶς γὰρ ἂν πρέποι τοῖς κατηκόοις μὲν ἐσομένοις τῶν τοῦ νομοθέτου προσταγμάτων, ἀμιγῆ δὲ πρὸς πᾶσαν κακίαν τὴν ζωὴν προστησομένοις, νοῦν δὲ καὶ ἐπιστήμην ἡγεμόνα τῆς ὅλης ἐπιτηδεύσεως ποιησομένοις, ἀκούειν Θρασυμάχου μὲν τοῦ σοφιστοῦ βδελυρώτατον ἀποκαλοῦντος τὸν σοφώτατον [rp.

in R.1.160 I 338d], Καλλικλέους δὲ ἠλιθίους τοὺς σώφρονας προσαγορεύοντος [Gorg. 491e], αὐτοῦ δὲ Σωκράτους τὴν ἡδονὴν ἀγαθὸν λέγοντος καὶ προσκατασκευάζοντος, ἄλλου δὲ ἄλλο τι φθεγγομένου τῶν ἐν τοῖς διαλόγοις κατὰ τὴν φαινομένην μίμησιν προβεβλημένων; ὅλως γὰρ μονοειδεῖς εἶναι χρὴ τοὺς περὶ τῶν ὄντων λόγους καὶ ἁπλᾶς καὶ ἀμιγεῖς πρὸς τὰ ἀντικείμενα τὰς ὑφηγήσεις τῶν ἐκεῖ τρεφομένων νέων καὶ καθαρευούσας ἁπάσης μὲν ἀμφιβολίας, ἁπάσης δὲ ποικιλίας, ἁπάσης δὲ τῆς ἐναντίας πρὸς τὴν ἀρετὴν διαθέσεως. πότ' οὖν ἡ τοιαύτη τῶν ἠθῶν μίμησις, οἵαν οἱ Πλάτωνος προΐστανται λόγοι, καὶ ἡ πολυειδὴς ἐξαλλαγὴ τῶν δογμάτων τούτων καὶ αἱ παντοδαπαὶ τῶν διαλεκτικῶν ἀγώνων ἐπιχειρήσεις πρὸς τὸ εἶδος ἐκεῖνο τῆς παιδείας συναρμοσθήσονται, μίαν ἁπλότητα καὶ ὅρον ἕνα ζωῆς ἀεὶ μεταθέον, εἰδώλων δὲ παντοίων καὶ φαντασίας ἁπάσης ἐξῃρημένον; διὰ ταῦτα γοῦν καὶ ὁ Σωκράτης ἐν ἐκείνοις διασκεψάμενος, ὁποῖον εἶδος λέξεως ἂν πρέποι τοῖς παρ' αὐτῷ τρεφομένοις νέοις εἰς τὴν περὶ τῶν ὄντων διδασκαλίαν, μάλιστα μὲν ἀποσκευάζεσθαι τὴν μιμητικὴν ἰδέαν τῶν λόγων παρακελεύεται καὶ τῆς ποικιλίας τῆς ἐν ταύτῃ καθαρεύειν τοὺς ποιητάς, εἰ δ' ἄρα καὶ δέοι μιμήσει προσχρῆσθαι, τῶν κατ' ἀρετὴν ζώντων καὶ μετ' ἐπιστήμης φθεγγομένων προΐστασθαι δεῖν τὴν μίμησιν, ἀλλ' οὐ τῶν φορτικῶν καὶ ἀγοραίων ἠθῶν οὐδὲ τῶν πολυκεφάλων θηρίων οὐδὲ ὅλως τῶν ἐναντίων τοῖς ἀγαθοῖς. εἰ τοίνυν καὶ ἡ τοῦ Πλάτωνος αὕτη πραγματεία παντοδαπὰ μὲν εἴδη ζωῆς ἀποτυποῦται, πᾶσι δὲ ἀποδίδωσι τὸ πρέπον ἐν τοῖς λόγοις 〈καὶ〉 φθέγγεται ὥσπερ ἐν σκηνῇ κατ' ἐξουσίαν ἕκαστος, καὶ ὁ σοφὸς καὶ ὁ ἀμαθής, καὶ ὁ σώφρων καὶ ὁ ἀκόλαστος, καὶ ὁ δικαιότατος καὶ ὁ ἀδικώτατος, καὶ ὁ ἐπιστήμων καὶ ὁ σοφιστής, ἀγῶνες δὲ παντοῖοι τῶν ἐν φιλοσοφίᾳ δογμάτων ἀνακινοῦνται, καί που καὶ πιθανώτεροι τῶν τὰ ἀληθῆ κατασκευαζόντων εἰσὶν οἱ τῶν ἀντικειμένων ὑπερηγοροῦντες, πῶς ἂν χώραν ἔχοι παρὰ τῷ νομοθέτῃ τῆς ἁπλῆς ἐκείνης καὶ νοερᾶς πολιτείας; πῶς δὲ οὐ τὰ αὐτὰ ἂν πάσχοι τοῖς Ὁμήρου ποιήμασιν; καὶ γὰρ ταῦτα διὰ τὴν ποικιλίαν τῶν ἠθῶν οὐ προσιέμεθα καὶ διὰ τὴν φαινομένην εἰδωλοποιΐαν.

in R.1.161 ὁ αὐτὸς οὖν λόγος καὶ τὸν Ὅμηρον ἡμᾶς ἐκβάλλειν τῆς πολιτείας καὶ τὸν Πλάτωνα αὐτόν, μᾶλλον δὲ ἑκάτερον μὲν ἡγεμόνα τῆς ζωῆς ἐκείνης καὶ ἀρχηγὸν ἀποφαίνειν, τὸ δὲ μιμητικὸν ἀμφοτέρων διὰ πάσης ὡς εἰπεῖν τῆς ἑκατέρου πραγματείας διῆκον ἀποδοκιμάζειν, ὡς ἀλλότριον τῆς κατ' ἐκείνην τελειότητος. πολλὰ γὰρ τῶν δευτέρων καὶ τρίτων ἀγαθῶν καταδεέστερα τῆς πρωτίστης ὄντα πολιτείας ὁ κατ' αὐτὴν ἱστάμενος νομοθέτης ἀποσκευάζεται· λέγω δὲ οἷον τὴν τῶν κτημάτων διανομήν, ἣν ἐν Νόμοις [V 737c sqq.] παρειλήφαμεν, τὴν κατὰ λόγους ἁρμονικοὺς τῶν ὅλων διαίρεσιν, τὴν τῶν ἀρχόντων ποικιλίαν, τὴν ἰδίαν τῶν παίδων ἐπιμέλειαν, τὴν διὰ τῆς μέθης παιδείαν [II 672a sqq.]. ἅπαντα γὰρ ταῦτα τοῖς μὲν κατὰ τὴν δευτέραν πολιτείαν βιωσομένοις παντὸς μᾶλλόν ἐστιν προσήκοντα, τοῖς δὲ καὶ εἰς ἐκείνην τὴν πρωτίστην καὶ οὐρανίαν ὄντως τελεῖν μέλλουσιν οὐδαμῇ ἂν πρέποντα φανείη. ποῦ γὰρ ἡ τῶν κλήρων διαίρεσις τοῖς πάντα κοινὰ κεκτημένοις διαφέρει; ποῦ δὲ ἡ μεριστὴ τῶν παίδων ἐπιστασία τοῖς κοινοῖς τῶν γιγνομένων πατράσιν; ποῦ δὲ ἡ μέθη καὶ τὰ συμπόσια καὶ οἱ παιδικοὶ χοροὶ τοῖς ἀδιάστροφα τὰ ἤθη παντελῶς προβεβλημένοις καὶ οὐδὲν προσδεόμενα τῶν ἔξωθεν ἐπῳδῶν; Τί οὖν δεῖ θαυμάζειν, εἰ καὶ οἱ Πλάτωνος λόγοι πάντων ἡμῖν τῶν καλῶν λειμῶνας ἀφθόνους προτείνοντες καὶ αἱ τῶν κατόχων ταῖς Μούσαις ποιητῶν πραγματεῖαι τῇ πρωτίστῃ τῶν πολιτειῶν οὐ διαφέρουσιν; τῷ γὰρ ἁπλῷ τὸ ποικίλον, καὶ τῷ μονοειδεῖ τὸ

πολυειδές, καὶ τῷ παραδείγματι τῆς ἀρίστης ζωῆς τὸ μιμητικὸν γένος οὐκ ἄν ποτε προσαρμοσθείη· παράδειγμα δέ, φησὶν ὁ Σωκράτης, πολιτείας ὀρθῆς καὶ τελέας γράφομεν.

in R.1.162 διὸ καὶ πάντα αὐτῇ πρὸς ἀκρίβειαν τὰ ἀγαθὰ φέροντες ἀποδίδομεν, τὴν ἕνωσιν, τὴν ἁπλότητα, τὴν ἀλήθειαν, τὴν αὐτάρκειαν. ὥσπερ οὖν εἴ τις τοῖς νοητοῖς εἴδεσιν, ἃ δὴ παραδείγματα τῶν ὄντων εἶναι τιθέμεθα, σχῆμα προσάγοι καὶ μέγεθος καὶ χρόαν, καὶ ὅσα ἄλλα προσήκει ταῖς τούτων εἰκόσιν, ἀλλ᾽ οὐ τοῖς πρωτουργοῖς καὶ ὄντως οὖσιν γένεσιν, συγχεῖν αὐτὸν 〈τὰ〉 κατ᾽ οὐσίαν διεστῶτα καὶ συγκλώθειν τὰ ἀνάρμοστά φαμεν, οὕτως οἶμαι καὶ τοῖς ἐν τῇ τελεωτάτῃ πολιτείᾳ φῦσίν τε καὶ τρεφομένοις ἤθεσιν καὶ κατὰ τὸ παράδειγμα τῆς ἀρίστης παιδείας τελειουμένοις μιμήσεις διὰ λόγων καὶ εἴδη παντοίας ζωῆς καὶ σκηνὴν τῶν διαφόρων παθημάτων 〈τῶν〉 ἐν τοῖς ἀνθρώποις προτείνειν οὐκ ἄν ποτε συγχωρήσαιμεν. ἄμικτα γὰρ πάντα καὶ ἄχραντα καὶ τέλεια ἐπιτηδεύματα τῆς πολιτείας ἐκείνης ἐξῆπται *** τῶν ἄλλων ἁπάντων· καὶ ὅσα τῷ νῷ σύστοιχα καὶ τοῖς ἀΰλοις καὶ νοεροῖς λόγοις, ταῦτα πρὸς τὴν παιδείαν μόνα τῶν ἐκεῖ τρεφομένων ἐκλεγόμεθα. πᾶσα δὲ αὖ μίμησις τοῖς φαινομένοις, ἀλλ᾽ οὐ τοῖς ἀληθέσιν, καὶ τοῖς πεπληθυσμένοις, ἀλλ᾽ οὐ τοῖς ἡνωμένοις τῶν ὄντων, καὶ τοῖς μεριστοῖς τὴν φύσιν, ἀλλ᾽ οὐ τοῖς ἀμερίστως ὑφεστηκόσιν ἐστὶ σύζυγος. ὅπου τοίνυν ἐνοειδὴς μὲν ὁ τῆς ὅλης ζωῆς σκοπός, κοινωνία δὲ ἀδιαίρετος προτιμᾶται διαφερόντως τῆς μεριστῆς περιγραφῆς, ἀλήθεια δὲ ἄμικτος πρὸς τὴν ἐπίπλαστον καὶ εἰδωλικὴν ἕξιν προέστηκεν, τίς μηχανὴ τὴν πολυειδῆ μίμησιν οἰκείαν ὑπάρχειν τῇ τοιαύτῃ τελειότητι; μήτ᾽ οὖν τὴν Ὁμήρου ποίησιν μόνον τῆς πρωτίστης ἐκβάλλωμεν πολιτείας, ἀλλὰ καὶ τὴν Πλάτωνος πραγματείαν μετ᾽ ἐκείνης, ὡς πολὺ τῆς μιμήσεως ἀπολαύουσαν, μήτε τὴν μίμησιν ταύτην παντελῶς ἀποδοκιμάζωμεν, διότι τοῖς ἐν ἐκείνῃ τῇ πολιτείᾳ παιδευομένοις ἐστὶν ἀνάρμοστος· οὐ γὰρ τὸ τοῖς πρωτίστοις μηδαμῇ προσῆκον καὶ τῆς δευτέρας ἢ τρίτης τάξεως ἀπεστέρηται τῶν ἀγαθῶν.

in R.1.163 Ὅτι διὰ πάσης τῆς ἑαυτοῦ συγγραφῆς Ὁμήρου ζηλωτής ἐστιν ὁ Πλάτων ταῖς τε λεκτικαῖς ἀρεταῖς καὶ ταῖς πραγματικαῖς. Ἀλλὰ περὶ μὲν τούτων ἄλις· ὅτι δὲ οὐ μόνον ἡμῖν παρεκελεύσατο ζηλοῦν τὴν Ὁμήρου ποίησιν ὁ Πλάτων, καθάπερ ἐν τῷ Ἴωνι [p. 530b] γέγραπται, καὶ πρὸς τὴν ἐκείνου διάνοιαν ἀποβλέπειν, ἀλλὰ καὶ αὐτὸς ὄντως ἐστὶν Ὁμήρου ζηλωτής, μάθοιμεν ἂν τήν τε προβεβλημένην ταύτην τῶν λόγων ἰδέαν καὶ τὴν τῶν δογμάτων ἐπιστήμην, ἣν πανταχοῦ μεταδιώκει, κατανοήσαντες. τὸ μὲν γὰρ τῆς λέξεως εἶδος ὅπως κατ᾽ ἴχνος συνυφαίνεται παρ᾽ αὐτῷ τῆς Ὁμηρικῆς μιμήσεως, καὶ ὡς τὰ ἤθη πάντα τῶν διαλεγομένων ἀνήπλωται καὶ αἱ τῆς ζωῆς ἕξεις μετὰ τῆς ἴσης ἐναργείας ἡμῖν παραδέδονται, μεθ᾽ ὅσης καὶ Ὅμηρος τοὺς περὶ τῶν ἡρώων λόγους διέθηκεν, καὶ ὡς μονονουχὶ παρόντας ἑκάτερος καὶ φθεγγομένους τὰ ἑαυτοῦ δόγματα καὶ ζῶντας παρίστησιν τούτους οὓς ἂν μιμῆται, παντὶ καταφανὲς καὶ διὰ τῶν εἰρημένων ὑπέμνησται. καὶ γὰρ τὴν φαντασίαν ἡμῶν κινεῖ παντοίως ἡ τῶνδε τῶν ἀνδρῶν μίμησις καὶ τὰς δόξας μετατίθησιν καὶ συμμεταμορφοῖ τοῖς ὑποκειμένοις πράγμασιν, ὥστε πολλοὺς μὲν Ἀπολλοδώρῳ συνδακρύειν ἀναβρυχωμένῳ, πολλοὺς δὲ Ἀχιλλεῖ θρηνοῦντι τὸν φίλον, καὶ τοσούτοις ὕστερον χρόνοις τὰ αὐτὰ πάσχειν τοῖς τότε παροῦσιν.

in R.1.164 οὐδὲ γὰρ ἡμεῖς ἀπεῖναι δοκοῦμεν τῶν πραγμάτων διὰ τὴν ἐκ τῆς μιμήσεως ἐναργῆ φαντασίαν τῶν μεμιμημένων. Εἰ δὲ τούτων ἀπαλλαγέντες καὶ τὴν περὶ τὴν λέξιν πολυπραγμοσύνην ἄλλοις ἀφέντες ἐπὶ τὴν τῆς θεωρίας ἀναδράμοιμεν τῶν ἀνδρῶν ὁμοιότητα, πάλιν κἀνταῦθα τὴν ἀνέλεγκτον ἐπιστήμην τὴν αὐτὴν παρ᾽ ἀμφοτέροις διαλάμπουσαν γνωσόμεθα καὶ τὸν Πλάτωνα πανταχοῦ μεταθέοντα τὴν πρὸς Ὅμηρον ἀφομοίωσιν. εἰ γὰρ βούλεσθε, τῶν ἐν Τιμαίῳ γεγραμμένων ἀναμνησθῶμεν, ἐν οἷς πάντα μὲν τὰ θεῖα γένη τοῦ κόσμου, πάντα δὲ τὰ θνητὰ παράγων, μίαν δὲ δημιουργικὴν πρόνοιαν ἐπὶ πάντα διατείνων μέχρι τοῦ ποιητοῦ καὶ πατρὸς τῶν ὅλων ἀνάγει τὴν θεωρίαν· τὰ δὲ ἐπέκεινα τῆς ἀρχῆς ταύτης ἀφίησιν ἄρρητα, πλὴν

ὅσον τοῦ νοητοῦ παραδείγματος τῆς δημιουργικῆς ἕνεκα μονάδος πεποίηται μνήμην· ὁ γὰρ τοῦ παντὸς ὑποστάτης αὐτὸς δημιουργεῖ τὰ αἰσθητὰ πρὸς τὸ νοητὸν παράδειγμα βλέπων. ταύτην τοίνυν ἅπασαν τὴν τῶν ὅλων μέθοδον οὐκ ἀλλαχόθεν ἔμοιγε δοκεῖ συνελεῖν ἢ ἐκ τῆς Ὁμηρικῆς ποιήσεως. καὶ γὰρ Ὅμηρος περὶ τῶν ἐγκοσμίων πραγμάτων ἀναδιδάσκων καὶ τῆς εἰς τὸ πᾶν καθηκούσης προνοίας τῶν θεῶν μέχρι τοῦ Διὸς ἄνεισιν καὶ τῆς δημιουργικῆς αἰτίας, καὶ εἰς μίαν ταύτην ἀρχὴν ἀκίνητον καὶ ἀεὶ ὡσαύτως ἱδρυμένην ἀναπέμπει τὴν γένεσιν τῶν ἐν τῷ κόσμῳ πάντων, καὶ πατέρα θεῶν τε καὶ ἀνδρῶν διὰ πάσης ὡς εἰπεῖν τῆς πραγματείας ἀνυμνεῖ τὸν μέγιστον τοῦτον θεόν· ὥσπερ δὴ καὶ ὁ Τίμαιος ⟦ ὡσ ⟧ ὕστερον ἀπογεννῶντα μὲν αὐτὸν τοὺς ἐν τῷ παντὶ θεοὺς παραδίδωσιν, ὑφιστάντα δὲ καὶ τὰς μεριστὰς ψυχὰς καὶ εἰς ἀνδρῶν πέμποντα γένεσιν· τοιαύτη γὰρ ἡ πρωτίστη κάθοδος τῶν ψυχῶν, ἣν ἐξ ἀνάγκης ἁπάσαις αὐταῖς προσκεῖσθαι παρὰ τοῦ γεννήσαντος πατρὸς διατείνεται.

in R.1.165 μέχρι δ’ οὖν τῆς μιᾶς δημιουργίας καὶ Ὅμηρος ἀνατρέχει καὶ πάντα ἐξάπτει τῆς τοῦ Διὸς πατρονομικῆς ἐπιστασίας, Κρόνου δὲ καὶ Ῥέας ὡς αἰτίων τοῦ δημιουργοῦ διαμνημονεύει, κατὰ τοὺς δεινοὺς τῶν διαλεκτικῶν ἀπὸ τῆς προσεχοῦς αἰτίας αὐτῷ τὴν περὶ τοῦ δημιουργοῦ θεωρίαν ὡρμῆσθαι βουλόμενος ὡς ἐκεῖθεν μάλιστα καταφανῆ γενησομένην. Πάλιν τοίνυν ὁ μὲν θεῖος ποιητὴς διττὰς δημηγορίας τοῦ πατρὸς τῶν ὅλων ἡμῖν ἐξέφηνεν, ὥς που καὶ πρότερον εἴπομεν [p. 106, 21], πρὸς τοὺς ἐγκοσμίους θεούς, καὶ τὴν μὲν αὐτῶν ἐπιστρεπτικὴν καὶ συναγωγὸν τῶν ἀκουόντων εἰς τὸν ἕνα δημιουργικὸν νοῦν, χωριστοὺς ἀπεργαζομένην τῶν προνοουμένων ἁπάντων τοὺς θεοὺς καὶ συνελίσσουσαν τὸ πλῆθος ἐπὶ τὴν ἐξῃρημένην μονάδα καὶ Διὸς ἔνδο ν , ὥς φησιν ἡ ποίησις [Il. Υ 13], συλλέγουσαν, τὴν δὲ προνοίας χορηγὸν καὶ δυνάμεων γεννητικῶν καὶ προάγουσαν ἕκαστον εἰς τὴν τῶν δευτέρων ἐπιμέλειαν καὶ κινητικὴν πρὸς τὴν μετάδοσιν τῆς τάξεως, ἵνα δὴ καὶ τὰ ἔσχατα τοῦ παντὸς καὶ ὁ ἐν τῇ φύσει πόλεμος μετάσχῃ τῆς τῶν θεῶν νοερᾶς ἐπιστασίας. ὁ δὲ αὖ Πλάτων, ἢ εἰ βούλεσθε λέγειν ὁ παρὰ τῷ Πλάτωνι Τίμαιος [p. 41a], δημηγοροῦντα μὲν 〈καὶ〉 αὐτὸς ἀπὸ τῆς νοερᾶς περιωπῆς τὸν πατέρα τῶν ὅλων παραδίδωσιν εἰς ἅπαντας τοὺς ἀπ’ αὐτοῦ προεληλυθότας θεούς, τούς τε ἀεὶ περιπολοῦντας καὶ τοὺς φαινομένους καθ’ ὅσον ἂν ἐθέλωσιν, ἀλλ’ ἐν τοῖς αὐτοῖς λόγοις καὶ ἐπιστρέφοντα τὸ πλῆθος εἰς ἑαυτὸν καὶ εἰς τὴν πρόνοιαν ἀνεγείροντα τῶν θνητῶν· καὶ τὰ μὲν πρῶτα τῆς δημηγορίας τῆς ἐπιστροφῆς τοῖς ἐγκοσμίοις θεοῖς τῆς εἰς τὸν ἕνα δημιουργὸν μεταδίδωσιν, τὰ δὲ τελευταῖα τῆς προνοητικῆς τῶν καταδεεστέρων δυνάμεως.

in R.1.166 μιμούμενοι γάρ φησιν τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμετέραν γένεσιν ζῷα ἀπεργάζεσθε καὶ γεννᾶτ ε . πάντῃ ἄρα φήσομεν αὐτὸν Ὁμήρῳ καὶ τοῖς Ὁμήρου ποιήμασιν ἑπόμενον τὰ τοιαῦτα γράφειν, ζηλοῦντα τὸν τρόπον τῆς περὶ τῶν ὅλων πραγμάτων ὑφηγήσεως. Καὶ μὴν καὶ ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης ἐνθεαστικῶς ἤδη καὶ ποιητικῶς φθεγγόμενος ἀνάγει μὲν τοὺς ἐν τῷ κόσμῳ θεοὺς εἰς τὴν τῶν νοητῶν περιωπὴν ὑφ’ ἡγεμόνι τῷ μεγίστῳ Διΐ· τούτῳ γάρ, φησίν, ἕπεται στρατιὰ θεῶν τε καὶ δαιμόνων κατὰ ἕνδεκα μέρη κεκοσμημένη [p. 246e], δαῖτα δὲ καὶ θοίνην αὐτοῖς προτίθησιν καὶ εὐπαθείας ἀμηχάνους καὶ τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν, ταῦτα δὴ τὰ παρὰ τοῖς ποιηταῖς θρυλούμενα, καὶ ἐπὶ τὴν ἑαυτοῦ μετάγει θεωρίαν [p. 247e]. οὐ γὰρ ἔστιν μαινομένῳ στόματι λέγοντα τῶν τοιούτων ὀνομάτων ἀπέχεσθαι, ἀλλ’ ἡ πρὸς τὸ δαιμόνιον γένος οἰκειότης ἡ προευτρεπίζουσα τὴν τοῦ θείου φωτὸς παρουσίαν ἀνακινεῖ τὴν φαντασίαν εἰς τὴν συμβολικὴν ἀπαγγελίαν. πόθεν δὴ οὖν ὁ Σωκράτης οἴεσθε τὴν τοιαύτην τῶν λόγων μέθοδον ἢ ἐκ τῶν Ὁμηρικῶν ποιημάτων ἀνήγειρεν; ἢ οὐχὶ καὶ Ὅμηρος τοιαῦτα ἄττα γράφει περί τε τοῦ μεγίστου Διὸς καὶ τῶν ἑπομένων αὐτῷ θεῶν· Ζεὺς γὰρ ἐς Ὠκεανὸν με τ ’ ἀμύμονας Αἰθιοπῆας χθιζὸς ἔβη μετὰ δαῖτ α , θεοὶ δ ’ ἅμα πάντες ἕπονται [Α 423 sq.] παντὶ γοῦν τοῦτο καταφανὲς τῷ καὶ μετρίως τῆς τοιᾶσδε θεωρίας ἐπῃσθημένῳ, ὅτι τὸν μέγιστον τῶν θεῶν

ἄνωθεν ἐκ τῶν νοητῶν τρέφεσθαι ῥητέον ἐπὶ δαῖτα καὶ θοίνην ἰόντα 〈καὶ〉 πρὸς τὰς οἰκείας ἀρχὰς ἐπιστρέφειν καὶ ἀπ' ἐκείνων πληροῦσθαι τῶν ἐξῃρημένων καὶ ἑνοειδῶν ἀγαθῶν.

in R.1.167 ἐκεῖ τοίνυν καὶ οἱ Αἰθίοπες οἱ τῷ θείῳ φωτὶ καταλαμπόμενοι καὶ ὁ πρώτιστος Ὠκεανὸς ὁ τῆς νοητῆς πηγῆς ἀπορρέων, καὶ ἡ πλήρωσις ἐκεῖθεν τῷ τε δημιουργικῷ νῷ καὶ πᾶσι τοῖς ἐξηρτημένοις αὐτοῦ θεοῖς. Ἔτι τοίνυν Ὅμηρος μὲν ἀγαθότητι καὶ ἀνεκλείπτῳ δυνάμει διὰ πάντων φοιτώσῃ τῶν ὄντων καὶ γνώσει περιληπτικῇ τῶν ὅλων ἑνιαίως χαρακτηρίζει τὴν ἰδιότητα τῶν θεῶν· καὶ γὰρ θεοὶ δωτῆρες ἐάων φησὶν καί· θεοὶ δέ τε πάντα δύναντα ι , καὶ ἐν ἄλλοις· θεοὶ δέ τε πάντα ἴσασι ν . ὁ δὲ Ἀθηναῖος ξένος ἐντεῦθεν ὁρμηθεὶς κατεσκεύασεν ἀδαμαντίνοις ὡς εἰπεῖν λόγοις τὴν ἐπὶ πάντα διήκουσαν πρόνοιαν τῶν θεῶν· καὶ γὰρ βούλεσθαι πάντα πληροῦν ἀγαθῶν τοὺς θεοὺς καὶ δύνασθαι (πάντα γὰρ ποδηγοῦσιν ἀνελάττωτοι κατὰ τὴν δύναμιν ὄντες) καὶ εἰδέναι τὸ προσῆκον αὐτοῖς. προσήκει δὲ ἄρα τοῖς πάντων αἰτίοις τὸ προνοεῖν τῶν σφετέρων γεννημάτων, τοῖς πάντων ἄρχουσιν τὸ κοσμεῖν τὰ ἀρχόμενα ὑπ' αὐτῶν. οὔτ' οὖν δι' ἔνδειαν ἀγαθῶν τὴν πρόνοιαν ἀναιρετέον οὔτε δι' ὕφεσιν δυνάμεως (πολλοῖς γὰρ ἡ μὲν τῆς εὐποιΐας ἔφεσις πάρεστιν, ἡ δὲ ἀσθένεια παραιρεῖται τὴν εὐεργετικὴν εἰς τοὺς ἄλλους ἐνέργειαν) οὔτε δι' ἄγνοιαν τῶν ἐπιβαλλόντων αὐτοῖς ἔργων· οὔτε γὰρ ἑαυτοὺς οὔτε τὰ μεθ' ἑαυτοὺς ἀγνοοῦσιν. ταῦτα δὴ οὖν ὁ Ἀθηναῖος ξένος τοῖς ἀνελέγκτοις κατεδήσατο λογισμοῖς, οὐκ ἀλλαχόθεν ἢ παρ' Ὁμήρου τὰς κοινὰς καὶ διὰ πάντων τῶν θείων γενῶν διηκούσας ἰδιότητας λαβών, τὴν ἀγαθοειδῆ βούλησιν, τὴν ἀπερίληπτον δύναμιν, τὴν παντελῆ τῶν ὄντων νόησιν.

in R.1.168 Πρὸς δὲ τοῖς εἰρημένοις καὶ τὰς παρ' ἀμφοτέροις νεκυίας ἐνθυμηθῶμεν, καὶ ὅπως Ὁμήρῳ μὲν τά τε ἄλλα διεσκεύασται ποιητικῶς καὶ κατὰ τὴν θείαν μανίαν καὶ ἡ τῶν διαφόρων ἐν Ἅιδου λήξεων παράδοσις (καὶ γὰρ κολαζομένους τινὰς καὶ κρινομένους εἰσήγαγεν, καὶ κρίνοντας ἄλλους καὶ καθαίροντας, καὶ τῶν κολάσεων ποικίλα εἴδη καὶ τῶν καθάρσεων τρόπους ἐξηλλαγμένους), τῷ δὲ αὖ Πλάτωνι καὶ ταῦτα κατὰ τὸν Ὁμήρου ζῆλον πεπραγμάτευται. καὶ γὰρ ἐν Πολιτείᾳ καὶ ἐν Φαίδωνι καὶ ἐν Γοργίᾳ περὶ τῶν ἐν Ἅιδου ψυχῶν καὶ ὑπὸ τὴν βασιλείαν τοῦ Πλούτωνος τελουσῶν πολλὰ καὶ θαυμαστὰ διελήλυθεν, ἐν Φαίδωνι μὲν τοὺς τόπους διαφερόντως τοὺς ἐκεῖ καὶ τὰ ὅλα δικαιωτήρια τῶν ψυχῶν ἀφηγούμενος, ἐν Πολιτείᾳ δὲ τὰς παντοίας τῶν κρινομένων τίσεις καὶ τὴν πορείαν αὐτῶν τὴν ὑπὸ γῆν καὶ τὰ δράματα τὰ περὶ αὐτοὺς διεξιών, ἐν δὲ τῷ Γοργίᾳ τῶν δικαστῶν 〈τὰς〉 τάξεις καὶ τὰς διαφορότητας προηγουμένως ἡμῖν ἀναφαίνων. καίτοι πανταχοῦ πάντα ἂν εὕροις αὐτῷ μνήμης ἠξιωμένα, ἀλλ' οὗ μὲν πλείων ὁ περὶ τῶν δικαιωτηρίων λόγος, οὗ δὲ ὁ περὶ τῶν δικαστῶν αὐτῶν, οὗ δὲ ὁ περὶ τῶν κρινομένων ψυχῶν καὶ τῶν ποικίλων περὶ αὐτὰς παθημάτων. καὶ ὅτι ταῦτα κατὰ τὸν Ὁμήρου ζῆλον ὁ Πλάτων διέθηκεν, ἐνδείκνυταί που καὶ αὐτὸς τῷ ποιητῇ τούτῳ μάρτυρι χρώμενος ἐν αὐτοῖς ἐκείνοις τοῖς λόγοις. καὶ γὰρ ὡς ὁ Μίνως χρυσοῦν ἔχων σκῆπτρον δικάζει καὶ ἐπισκοπεῖ τὴν τῶν λοιπῶν δικαστῶν κρίσιν, ἐκ τῆς Ὁμήρου νεκυίας εἰληφέναι συνομολογεῖ [Gorg. p. 526c], καὶ ὅτι δυνάσται τινές εἰσιν καὶ τύραννοι καὶ βασιλεῖς οἱ τῶν μεγίστων ἁμαρτημάτων τὰς μεγίστας τιμωρίας ὑπέχοντες (Τιτυοὶ γὰρ καὶ Σίσυφοι καὶ Τάνταλοι, φησίν, καὶ παρ' Ὁμήρῳ κολάζονται [p.

in R.1.169 525d]), καὶ ὅτι μέγιστόν ἐστι τῶν τῆς γῆς χασμάτων καὶ ταῖς ψυχαῖς φρικωδέστατον δικαιωτήριον ὁ Τάρταρος· τούτου γάρ, φησὶν ὁ ἐν τῷ Φαίδωνι Σωκράτης [p. 112a], καὶ Ὅμηρος διαμνημονεύει λέγων· τῆλε μά λ ' ἦχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρο ν . ἐπεὶ καὶ τῶν ποταμῶν ἐκεῖθεν τὴν ἱστορίαν παρείληφεν· καὶ γὰρ ὅτι πάντων ἐστὶν Ὠκεανὸς ἐξωτάτω τῶν ῥευμάτων· Ὠκεανὸς μὲν πρῶτ α , τὸν οὔπως ἔστι περῆσα ι . καὶ περὶ τῶν ἄλλων ὡσαύτως· Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κωκυτός θ ' ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ [κ 513 sq.]. ὅθεν οἶμαι καὶ ὁ Σωκράτης Στύγιον αὐτὸν προσείρηκεν [Phaed. p. 113c].

ἐν δὲ τῇ Πολιτείᾳ [X 614b] τῆς νεκυίας ἀρχόμενος οὐκ Ἀλκίνου φησὶν ἀπόλογον ἐρεῖν, ἀλλὰ ἀλκίμου τινὸς ἀνδρὸς Ἠρὸς τοῦ Ἀρμενίου τὸ γένος Παμφύλου, μονονουχὶ λέγων σαφῶς, ὅτι τὴν παρ' Ὁμήρῳ νέκυιαν ἑαυτῷ προθεὶς καὶ ἐκείνην παράδειγμα ποιησάμενος μέλλει καὶ περὶ τούτων διαλέγεσθαι τῶν ἐν ἐκείνῳ τῷ μύθῳ προκειμένων εἰς ἀφήγησιν. Ἀλλὰ μὴν καὶ εἰ τῶν ἐν Κρατύλῳ γεγραμμένων ἀναμνησθείημεν, μάθοιμεν ἂν καὶ ἐξ ἐκείνων, ὅτι διὰ πάντων ὡς εἰπεῖν τῶν ἐν φιλοσοφίᾳ σκεμμάτων εἰς τὴν Ὁμήρου ποίησιν ἀποβλέπων ὁ Πλάτων ἐκεῖθεν παραδέχεται τὰς πρώτας ὑποθέσεις τῶν λόγων. πρόκειται μὲν γὰρ αὐτῷ περὶ ὀνομάτων ἐν ἐκείνῳ τῷ διαλόγῳ τὴν ἀληθεστάτην ἐκφῆναι θεωρίαν· διττῶν δὲ αὖ ὄντων ὀνομάτων καὶ διττοὺς ἐχόντων τῆς αἰτίας ἀπολογισμούς, τοὺς μὲν ἀγνώστους ἡμῖν, τοὺς δὲ γνωρίμους, ἑκατέρων τὸν Ὅμηρον ποιεῖται μάρτυρα [p.

in R.1.170 392a]. σαφέστατα γὰρ ἐκεῖνον διαστείλασθαι τά τε ἀνθρώπινα καὶ τὰ θεῖα τῶν ὀνομάτων, τὴν Βατίειαν καὶ τὴν Μυρίνην, καὶ Ξάνθον λέγοντα τὸν ποταμὸν καὶ Σκάμανδρον, καὶ τὴν χαλκίδα τὸ ὄρνεον καὶ τὴν κύμινδιν· καὶ τούτων τὰ μὲν νοερώτερα καὶ τῆς φύσεως τῶν ὑποκειμένων τελέως ἀντεχόμενα πραγμάτων καὶ κατὰ τὸν αἰσθητὸν τύπον εὐπρεπέστερά τε καὶ εὐφωνότερα τῶν θεῶν ἔγγονα τιθέμενον, τὰ δὲ τοῖς εἰρημένοις ἅπασι τούτων λειπόμενα τῶν ἀνθρώπων· καὶ τῶν ἀνθρωπείων αὖ τὰ μὲν εἰς ἐμφρονεστέρους ἀνάγοντα νομοθέτας, τῶν δὲ τοὺς ἀφρονεστέρους ποιοῦντα κυρίους τῆς θέσεως, 〈ὡσ〉 ἐν τοῖς περὶ τοῦ Ἀστυάνακτος καὶ τοῦ Σκαμανδρίου δεδήλωκε. ταύτας δὴ καὶ τοιαύτας ἀρχὰς ὁ Σωκράτης παρ' Ὁμήρου λαβὼν τῆς περὶ τῶν ὀνομάτων θεωρίας διορίζει, τί μέν ἐστιν αὐτῶν τὸ φύσει, τί δὲ τὸ θέσει, καὶ τίς μὲν ἡ πρὸς τὰ πράγματα αὐτῶν ὁμοιότης, τίς δὲ ἡ ἀπολισθάνουσα τῶν δηλουμένων ἀνομοιότης, καὶ ὅπως τὰ μὲν πρώτιστα τῶν ὀνομάτων καὶ ὅσα θεῖα συνυφέστηκεν τοῖς οὖσιν, τὰ δὲ δεύτερα ἀπεικασίαν τινὰ φέρεται τῶν ὄντων, τὰ δὲ πολλοστὰ ἀπὸ τῆς ἀληθείας καὶ τῆς τοιαύτης ὁμοιότητος ἀποπέπτωκεν· καὶ ὅλως ἅπασαν ἐκείνην τὴν πραγματείαν Ὁμήρῳ καὶ τοῖς ἐνθέοις ποιηταῖς ἑπόμενος διεπραγματεύσατο. Μὴ τοίνυν μηδὲ ἐκεῖνο παρῶμεν εἰς ἔνδειξιν ἐναργεστέραν τῆς τοῦ Πλάτωνος πρὸς Ὅμηρον φιλίας, ὅτι καὶ τὴν οἰκονομίαν πολλαχοῦ ζηλοῖ τῶν Ὁμηρικῶν ὑποθέσεων.

in R.1.171 ὃ μὲν γὰρ τὴν Ὀδυσσέως πλάνην τριπλῆν ἡμῖν ἀφηγήσατο· καὶ γὰρ γινομένην αὐτὴν παραδίδωσι, καὶ ἐν διηγήσεσι τοῦ Ὀδυσσέως πρὸς τὸν Ἀλκίνουν, καὶ αὖ πάλιν ἐν τοῖς πρὸς τὴν Πηνελόπην λόγοις συνεσπειραμένως ἅπασαν περιλαμβάνοντος. ὃ δὲ τὴν πολιτείαν τριπλασιάσας φαίνεται· καὶ γὰρ ἐν Πειραιεῖ τὴν πρώτην αὐτῆς ἔκφανσιν γενέσθαι φησίν, καὶ ἐν ἄστει διηγουμένου τοῦ Σωκράτους, καὶ ἐκ τρίτων συνοπτικῶς αὐτὴν πρὸ τῆς φυσιολογίας τοῖς ἀμφὶ Τίμαιον καὶ Κριτίαν ἀπαγγέλλοντος. πάνυ γε οὐχ ὁρᾶτε τῆς Ὁμηρικῆς ποιήσεως ὑπερερῶντα τὸν Πλάτωνα καὶ τῶν ἐν αὐτῇ μυστικῶν διανοημάτων, ὃς καὶ τὴν φαινομένην αὐτοῦ ζηλοῖ μεταχείρησιν καὶ ἔστιν οὐκ ἐνθεάζων μόνον καὶ μύθους συντιθείς, ἀλλὰ καὶ φιλοσοφῶν καὶ ῥητορεύων Ὁμηρικός. καὶ γὰρ ἡ τῆς μιμήσεως ἐνάργεια καὶ ἡ ποικιλία τῶν ἠθῶν καὶ ἡ τῶν ὀνομάτων ὥρα καὶ ἡ τῆς οἰκονομίας τέχνη καὶ ἡ τῶν σχημάτων ἐξαλλαγὴ τῆς Ὁμηρικῆς ἐστιν ἰδέας μεστή· καὶ οὐχ οἱ τραγῳδιοποιοὶ μόνον πολλὰ τῶν παρ' Ὁμήρῳ βραχείας μνήμης ἠξιωμένων σκηνὰς καὶ ὑποθέσεις ἐποιήσαντο τελείας, ἀλλὰ καὶ αὐτὸς ὁ Πλάτων ἐκ μικρᾶς αὐτῷ δεδομένης ἐκεῖθεν ἀρχῆς πραγματείας ὅλας καὶ διαλόγους πολυστίχους συνεγράψατο. φέρε γὰρ ἑνὸς ἐπιμνησθῶμεν, εἰ βούλεσθε, καὶ τοὺς ἐν Ἀλκιβιάδῃ [I 129 sqq.] τοῦ Σωκράτους θεωρήσωμεν λόγους, ἐν οἷς ἄλλο μὲν τὸ χρώμενον εἶναί φησιν ἐκεῖνος, ἄλλο δὲ τὸ ὄργανον· καὶ τὸ μὲν ἐν ὑπηρέτου μέρει τετάχθαι, τὸ δὲ ἐξῃρῆσθαι τῆς ἐκείνου φύσεως· καὶ τὸν ἕκαστον ἡμῶν οὔτε ἐν τῇ χείρονι μοίρᾳ τὴν ὑπόστασιν ἔχειν οὔτε ἐξ ἀμφοτέρων συμπεπληρῶσθαι, τοῦ τε ὀργάνου λέγω καὶ τοῦ χρωμένου, ἀλλὰ κατ' αὐτὸ μόνον τελέως ἀφωρίσθαι τὸ χρώμενον. ὅθεν δὴ κατὰ τὴν ψυχὴν αὐτὸν ὑφεστάναι τὴν τῶν σωματικῶν

ὀργάνων ἐξῃρημένην ἐπιδείκνυσιν, καὶ ταύτην οὐ πᾶσαν, ἀλλὰ τὴν νοεράν, ἣν καὶ οὑτωσί πως αὐτὸ τὸ αὐτὸ προσείρηκεν ἐν ἐκείνοις.

in R.1.172 αὐτὸ μὲν γὰρ καὶ ἡ ψυχὴ πᾶσα πρὸς τὸ ὀστρεῶδες ὄργανον, τὸ δὲ ὄντως αὐτὸ τοῦτο ἄρα ἦν ἐκεῖνο τὸ νοερὸν εἶδος τῆς ψυχῆς. ταύτην δὴ οὖν σύμπασαν τῶν δογμάτων τὴν θεωρίαν περὶ τῆς φύσεως ἡμῶν ἐκ τῶν Ὁμηρικῶν ποιημάτων μοι δοκεῖ παραλαβὼν τοῖς ἀποδεικτικοῖς λόγοις ἱκανῶς καταδήσασθαι. καὶ γὰρ ἐκεῖνος πρῶτος διέκρινεν τὸν ἕκαστον ἡμῶν ἀπὸ τῶν ἐξηρτημένων ὀργάνων καὶ διεστήσατο καλῶς τὰ εἴδωλα τῶν πρωτουργῶν ὑποστάσεων· δηλοῖ δὲ ὁ σοφώτατος Ὀδυσσεὺς ἐν Νεκυίᾳ [λ 601 sqq.] τὸν Ἡρακλέα λέγων ἰδεῖν γυμνὸν τόξον ἔχοντα καὶ προστιθεὶς εἴδωλο ν , αὐτὸς δὲ με τ ’ ἀθανάτοισι 〈θεοῖσιν〉 τέρπεται ἐν θαλίῃ καὶ ἔχει καλλίσφυρον Ἥβη ν , καὶ οὐδὲν ἄλλο ἐνδεικνύμενος, ἢ ὅτι τὴν μὲν ἀληθινὴν τοῦ Ἡρακλέους οὐσίαν ἐν τῇ ψυχῇ τίθεσθαι προσήκει, τὸ δὲ ἐξημμένον τῆς ψυχῆς εἴδωλον ὄργανον ἐκείνου καὶ ἀπεικασίαν πρὸς ἐκεῖνον φερόμενον, ἀλλ’ οὐκ ἐκεῖνον ὑπολαμβάνειν. ἄνωθεν 〈ἄρα〉 ἀπὸ τῆς Ὁμηρικῆς ὑφηγήσεως ἤρτηται τὰ περὶ τοῦ ἀνθρώπου τῷ Πλάτωνι δοκοῦντα, μηδὲ τῶν ὀνομάτων ἀποσχομένῳ τῶν Ὁμηρικῶν. τὸ γὰρ αὐτὸ τὸ αὐτὸ πόθεν ἀλλαχόθεν ἂν φήσαιμεν ἢ ἐκ τοῦ αὐτὸς δὲ με τ ’ ἀθανάτοισι θεοῖσιν ἔχειν τὴν ἀφορμήν, καὶ τὸ τὴν σωματικὴν φύσιν εἴδωλον τῆς ἀληθινῆς οὐσίας ἀποκαλεῖν πῶς οὐχὶ παντὶ δῆλον ἐκεῖθεν μετενηνεγμένον; ἐπεὶ καὶ τὸ ἦλθε δ ’ ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο χρύσεον σκῆπτρον ἔχων [λ 90 sq.], σαφῶς τὸν ἕκαστον ἡμῶν ἐν ψυχῇ διορίζεται τὴν ὕπαρξιν ἔχειν. Πῶς ἄν τις ἀπολογήσαιτο πρὸς τὰ ἐν Φαίδρῳ ῥηθέντα περὶ Ὁμήρου, ἐν οἷς δοκεῖ τὸν Στησίχορον ὡς μουσικώτερον προκρίνειν.

in R.1.173 Ἀλλὰ τούτων μὲν πολλὰ ἂν εὕροι τις παραδείγματα πρὸς τὴν ἑκατέρου πραγματείαν ἀποβλέπων. ἐπεὶ δὲ ταῦτα ὑπέμνησται, μικρὰ περὶ τῶν ἐν Φαίδρῳ γεγραμμένων προσθέντες τοὺς περὶ τῆς ποιητικῆς ἀνακινήσωμεν λόγους, οὓς ὁ ἐν Πολιτείᾳ Σωκράτης ἐν τῷ δεκάτῳ διέξεισιν. ἴσως γὰρ ἄν τινες καὶ σφόδρα τὸν Πλάτωνα φαῖεν τὴν Ὁμήρου δόξαν ἀφανίζειν καὶ ἐκ τῶν ἐν τῷ Φαίδρῳ [p. 243a] περὶ τῆς παλινῳδίας εἰρημένων. ἔστι γάρ, φησίν, τοῖς ἁμαρτάνουσιν περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖο ς , ὃν Ὅμηρος μὲν οὐκ ᾔσθητ ο , Στησίχορος δ έ . τῶν γὰρ ὀμμάτων στερηθεὶς διὰ τὴν Ἑλένης κακηγορίαν οὐκ ἠγνόησεν ὥσπερ Ὅμηρο ς , ἀλ λ ’ ἅτε μουσικὸς ὢν ἔγνω τὴν αἰτία ν , καὶ ποιεῖ εὐθύς · οὐκ ἔσ τ ’ ἔτυμος λόγος οὗτος · καὶ τὰ τούτοις ἐφεξῆς, ἐν οἷς τά τε ἄλλα δῆλός ἐστιν, ὡς ἂν φαῖεν οἱ τῶν τοιούτων ἀντιλαμβανόμενοι ῥημάτων, τὸν Ὅμηρον λοιδορῶν, καὶ ὅτι Στησιχόρου καταδεέστερος εἰς τὸ γνῶναί τε τὴν αἰτίαν τῶν δαιμονίων μηνιμάτων καὶ γνόντα διὰ τῆς παλινῳδίας ἱλάσασθαι, ἐπεὶ καὶ τὸ κακηγορῆσαι τὴν Ἑλένην παῖδα τοῦ μεγίστου Διὸς λεγομένην καὶ τὸ δι’ ἔνδειαν μουσικῆς ἀγνοῆσαι τὸ πάθος δόξειεν ἂν μεγάλην μοῖραν ἔχειν τῆς περὶ αὐτὸν βλασφημίας. Ἀλλ’ οὖν καὶ πρὸς ταῦτα λεκτέον, ὅτι Στησίχορος μὲν ὁ Ἱμεραῖος πάντα τὸν περὶ τῆς Ἑλένης μῦθον ὡς λόγον ὄντα καὶ γεγονότων μόνον πραγμάτων ἀφήγησιν παραδεξάμενος καὶ κατὰ τοῦτον δὴ τὸν τρόπον τὴν περὶ αὐτοῦ ποίησιν διαθεὶς εἰκότως καὶ δίκης τυχεῖν καὶ διὰ τὴν ἐκ τῆς μουσικῆς ὠφέλειαν ἐπιγνῶναι τὴν ἑαυτοῦ πλημμέλειαν λέγεται, Ὅμηρος δὲ κατ’ ἄλλην οἶμαι καὶ τελεωτέραν τῆς ψυχῆς ἕξιν ἀποστὰς μὲν τῶν ἐν αἰσθήσει φερομένων καλῶν καὶ τῆς φαινομένης ἁπάσης ἁρμονίας τὴν ἑαυτοῦ νόησιν ὑπεριδρύσας, εἰς δὲ τὴν ἀφανῆ καὶ ὄντως οὖσαν ἁρμονίαν ἀνατείνας τὸν τῆς ψυχῆς νοῦν καὶ περιαχθεὶς εἰς τὸ ἀληθινὸν κάλλος ὑπὸ τῶν τὰ τοιαῦτα διαμυθολογεῖν εἰωθότων ἀφαιρεθῆναι τῶν ὀμμάτων εἴρηται καὶ τοιοῦτόν τι παθεῖν, οἷον δὴ καὶ αὐτὸς τὸν Δημόδοκον τὸν παρὰ τοῖς Φαίαξιν ᾠδὸν πεπονθέναι φησίν, ὃν ὁ θεὸς ὁ τῆς μουσικῆς χορηγὸς ὀφθαλμῶν μὲν ἄμερσ ε , δίδου δ ’ ἡδεῖαν ἀοιδήν [θ 64].

in R.1.174 καὶ γὰρ τοῦτον ἄντικρυς τῆς ἐνθεαστικῆς αὐτοῦ ζωῆς παράδειγμα προεστήσατο, καὶ διὰ τοῦτο τῆς μὲν ἐμφανοῦς ἁπάσης αὐτὸν ἁρμονίας καὶ τοῦ κάλλους διὰ τὴν ἐκ τῆς Μούσης κατακωχὴν

ἐξῃρῆσθαι λέγει, τοῖς δὲ νοεροῖς περὶ θεῶν καὶ μυστικοῖς διανοήμασιν τὰς ἑαυτοῦ διαποικίλλειν ἐνεργείας. καὶ οὐχ Ὅμηρος μόνον καὶ Δημόδοκος ἐκεῖνος, ἀλλὰ καὶ Ὀρφεὺς μυθολογεῖται τοιαῦτα ἄττα τραγικῶς παθεῖν διὰ τὴν ἐν μουσικῇ τελέαν ζωήν· σπαραχθεὶς γὰρ καὶ μερισθεὶς παντοίως τὸν τῇδε βίον ἀπολιπεῖν, ἐπειδὴ μεριστῶς οἶμαι καὶ διῃρημένως αὐτοῦ μετέσχον οἱ τότε τῆς μουσικῆς καὶ ὅλην ἅμα καὶ παντελῆ τὴν ἐπιστήμην οὐ δεδύνηνται δέξασθαι. τὸ δ' οὖν ἀκρότατον αὐτῆς μέρος καὶ πρώτιστον οἱ τὴν Λέσβον οἰκοῦντες παρεδέξαντο· καί που διὰ τοῦτο καὶ τὴν κεφαλὴν ὁ μῦθος τὴν ἐκείνου σπαραχθέντος εἰς Λέσβον ἐξενεχθῆναί φησιν. ἀλλ' Ὀρφεὺς μὲν ἅτε τῶν Διονύσου τελετῶν ἡγεμὼν γενόμενος τὰ ὅμοια παθεῖν ὑπὸ τῶν μύθων εἴρηται τῷ σφετέρῳ θεῷ (καὶ γὰρ ὁ σπαραγμὸς τῶν Διονυσιακῶν ἕν ἐστιν συνθημάτων), Ὅμηρος δὲ ἀφαιρεθῆναι τῶν ὀμμάτων λέγεται, διότι δὴ πᾶν τὸ φαινόμενον κάλλος ὑπερδραμὼν καὶ τὸν ἐνταῦθα τῶν ψυχῶν ἱστορήσας πόλεμον ἐπὶ τὴν νοερὰν ἑαυτὸν ἀνήγαγεν τοῦ κάλλους θεωρίαν.

in R.1.175 τοῦτο γάρ φησιν καὶ ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης· τὸ τῇδε κάλλος διὰ τῆς ἐναργεστάτης τῶν αἰσθήσεων κατειλήφαμε ν , στίλβον ἐναργέστατ α . ὄψις γὰρ ἡμῖν ὀξυτάτη τῶν διὰ τοῦ σώματος αἰσθήσεων ἔρχετα ι , ᾗ φρόνησις οὐχ ὁρᾶται [p. 250d]. Τὸν τοίνυν ὑπεριδόντα μὲν τοῦ ὁρατοῦ κάλλους, φρονήσει δὲ καὶ νοερᾷ ζωῇ τὴν οἰκείαν ἐνέργειαν ἐπιτρέψαντά φασιν οἱ τραγικώτεροι τῶν μύθων καὶ αὐτῶν ἀφαιρεθῆναι τῶν ὀμμάτων διὰ τὴν τῆς Ἑλένης κακηγορίαν· ἅπαν γὰρ οἶμαι τὸ περὶ τὴν γένεσιν κάλλος ἐκ τῆς δημιουργίας ὑποστὰν διὰ τῆς Ἑλένης οἱ μῦθοι σημαίνειν ἐθέλουσιν, περὶ ὃ καὶ τῶν ψυχῶν πόλεμος τὸν ἀεὶ χρόνον συγκεκρότηται, μέχρις ἂν αἱ νοερώτεραι τῶν ἀλογωτέρων εἰδῶν τῆς ζωῆς κρατήσασαι περιαχθῶσιν ἐντεῦθεν εἰς ἐκεῖνον τὸν τόπον, ἀφ' οὗ τὴν ἀρχὴν ὡρμήθησαν. τὴν δὲ περίοδον ἄρα ταύτην ὁ μέν τις δεκέτη προσείρηκεν, ὁ δὲ μυριέτη· διαφέρει δὲ οὐδὲν οὕτως ἢ ἐκείνως λέγειν. καὶ γὰρ ἡ χιλιὰς μία περίοδός ἐστιν ἀπὸ γενέσεως αὖθις εἰς γένεσιν ἄγουσα τὰς ψυχάς· εἴτε τοίνυν ἐννέα χιλιάδας ἐτῶν περὶ γῆν αἱ ψυχαὶ καλινδούμεναι κατὰ τὴν δεκάτην ἀποκαθίστανται, εἴτε ἐνναέτει χρόνῳ τῷ περὶ τὴν γένεσιν προσκαρτερήσασαι πολέμῳ κρατεῖν μὲν τοῦ βαρβαρικοῦ κλύδωνος ἐν τῷ δεκάτῳ, περιάγεσθαι δὲ εἰς τὰς συννόμους ἑαυτῶν οἰκήσεις λέγονται, πάντως που δῆλον, ὅτι τὸν τῶν τοιούτων ἐν τῷ κόσμῳ πραγμάτων φιλοθεάμονα καὶ ἀπὸ τῶν ἐμφανῶν ἀνηγμένον καὶ τῶν εἰκόνων εἰς τὴν ἀφανῆ ταῖς αἰσθήσεσιν ἡμῶν θεωρίαν εἰκότως τυφλὸν οἱ μυθοπλάσται γεγονέναι λέγουσιν.

in R.1.176 ἔπρεπεν δὲ ἄρα τοῖς διὰ συμβόλων ἀεὶ τὴν περὶ τῶν ὄντων ἀλήθειαν κατακρύπτουσιν καὶ τὴν περὶ αὐτῶν φήμην συμβολικώτερον παραδοθῆναι τοῖς ὕστερον. Οὐκ ἄρα Ὁμήρου Στησίχορος μουσικώτερος (οὐδὲ γὰρ τὰ αὐτὰ παθήματα περὶ ἑκάτερον συμβέβηκεν, εἰ μὴ κατὰ τὸ φαινόμενον μόνον τοῦ μύθου πρόσχημα) οὐδὲ Ὁμήρῳ παλινῳδίας ἔδει πρὸς τὸ θεῖον ἐπιστρέψαντι κάλλος, ἀλλὰ Στησιχόρῳ πέρα τοῦ μέτρου τὸν περὶ τῆς Ἑλένης μῦθον φιλοφρονησαμένῳ. εἰ δὲ ὁ Σωκράτης ἐν ἐκείνοις τῷ φαινομένῳ χρώμενος ἡμαρτηκέναι φησὶν τὸν Ὅμηρον καὶ ἁμαρτόντα τὰ αὐτὰ τῷ Στησιχόρῳ παθεῖν, οὐ θαυμαστόν, ἐπεὶ καὶ ἑαυτὸν ὡσαύτως ἁμαρτεῖν περὶ τὸν πρότερον λόγον φησὶν οὐχ ἁμαρτὼν σαφῶς· νῦν δ ' ᾖσθημαι τὸ ἁμάρτημ α . —λέγεις δὲ δὴ τ ί ; —δεινό ν , ὦ Φαῖδρ ε , δεινὸν λόγον αὐτός τε ἐκόμισας ἐμέ τε ἠνάγκασας εἰπεῖ ν . —πῶς δ ή ; —εὐήθη καὶ ὑπό τι ἀσεβ ῆ , οὗ τί ἂν εἴη δεινότερον [p. 242d]. ὥσπερ οὖν αὐτὸς ὡς λοιδορήσας τὸν ὑβριστὴν ἔρωτα καὶ ὃν οἱ θεοὶ πνιγμὸν ἔρωτος ἀληθοῦς προσειρήκασιν ἡμαρτηκέναι λέγει, καθ' ὅσον ἀντὶ τῆς τοῦ θείου καὶ ἀναγωγοῦ τῶν ψυχῶν ἔρωτος θεωρίας περὶ τὸ ἔσχατον αὐτοῦ καὶ ἔνυλον εἴδωλον ἐστράφη, τὸν αὐτὸν τρόπον καὶ Ὅμηρον περὶ τὴν Ἑλένην ἁμαρτεῖν ἂν λέγοι, καθ' ὅσον τὸν τῆς ψυχῆς νοῦν εἰς τὴν θέαν τοῦ ἐμφανοῦς κάλλους κατήγαγεν· ἁμάρτημα γάρ ἐστιν ψυχῆς ἡ τῶν ἐσχάτων κατανόησις ὡς πρὸς τὴν ἄχραντον καὶ τελείαν τῶν ὄντως ὄντων περιωπήν.

in R.1.177 τοσαῦτα καὶ περὶ τῶν ἐν Φαίδρῳ γεγραμμένων εἰς Ὅμηρον εἴχομεν λέγειν. Τίνες εἰσὶν αἱ τρεῖς ἕξεις τῶν ψυχῶν, καὶ πῶς τὴν ποιητικὴν τριττὴν ἀποδείξομεν κατὰ ταύτας συνδιαιρουμένην τὰς τρεῖς ἕξεις ἐν ἡμῖν. Εἶεν· ἀλλ' ἐπὶ τοὺς περὶ τῆς ποιητικῆς λόγους ἐντεῦθεν τραπώμεθα καὶ θεωρήσωμεν, τίνα μὲν γένη τῆς κατὰ Πλάτωνα ποιητικῆς ἐστιν, εἰς ποίαν δὲ ἀποβλέπων ἐν τῷ δεκάτῳ τῆς Πολιτείας τοὺς κατ' αὐτῆς ἐλέγχους διεξελήλυθεν, ὅπως δὲ ἄρα κἀν τούτοις Ὅμηρος ἐξῃρημένος ἀποδείκνυται τῶν τοῖς πολλοῖς ποιηταῖς προσηκόντων ἐλέγχων. Ἵν' οὖν καὶ ταῦτα γένηται σαφῆ, τὴν ἀρχὴν τῆς περὶ τούτων διδασκαλίας ἐντεῦθεν λάβωμεν. τριττὰς ἐν ψυχῇ εἶναί φαμεν ὡς τὸ ὅλον εἰπεῖν ζωάς· τὴν μὲν ἀρίστην καὶ τελεωτάτην, καθ' ἣν συνάπτεται τοῖς θεοῖς καὶ ζῇ τὴν ἐκείνοις συγγενεστάτην καὶ δι' ὁμοιότητος ἄκρας ἡνωμένην ζωήν, οὐχ ἑαυτῆς οὖσαν, ἀλλ' ἐκείνων, ὑπερδραμοῦσα μὲν τὸν ἑαυτῆς νοῦν, ἀνεγείρασα δὲ τὸ ἄρρητον σύνθημα τῆς τῶν θεῶν ἑνιαίας ὑποστάσεως καὶ συνάψασα τῷ ὁμοίῳ τὸ ὅμοιον, τῷ ἐκεῖ φωτὶ τὸ ἑαυτῆς φῶς, τῷ ὑπὲρ οὐσίαν πᾶσαν καὶ ζωὴν ἑνὶ τὸ ἑνοειδέστατον ⟦ τὴν ⟧ τῆς οἰκείας οὐσίας τε καὶ ζωῆς. τὴν δὲ ταύτης μὲν δευτέραν πρεσβείᾳ τε καὶ δυνάμει, μέσην δὲ ἐν μέσῃ τῇ ψυχῇ τεταγμένην, καθ' ἣν ἐπιστρέφει μὲν εἰς ἑαυτὴν ἀπὸ τῆς ἐνθέου καταβᾶσα ζωῆς, νοῦν δὲ καὶ ἐπιστήμην προστησαμένη τῆς ἐνεργείας ἀρχὴν ἀνελίττει μὲν τὰ πλήθη τῶν λόγων, θεᾶται δὲ τὰς παντοίας τῶν εἰδῶν ἐξαλλαγάς, εἰς ταὐτὸν δὲ συνάγει τό τε νοοῦν καὶ τὸ νοούμενον, ἀπεικονίζεται δὲ τὴν νοερὰν οὐσίαν ἐν ἑνὶ τὴν τῶν νοητῶν φύσιν περιλαβοῦσα.

in R.1.178 τρίτην δὲ ἄλλην ἐπὶ ταύταις τὴν συμφερομένην ταῖς καταδεεστέραις δυνάμεσιν καὶ μετ' ἐκείνων ἐνεργοῦσαν, φαντασίαις τε καὶ αἰσθήσεσιν ἀλόγοις προσχρωμένην καὶ πάντῃ τῶν χειρόνων ἀναπιμπλαμένην. Τούτων δὴ οὖν τῶν τριττῶν τῆς ζωῆς εἰδῶν ἐν ταῖς ψυχαῖς θεωρουμένων κατὰ τὴν ὁμοίαν τάξιν καὶ τὴν τῆς ποιητικῆς νοήσωμεν διάκρισιν ἄνωθεν συμπροϊούσης ταῖς πολυειδέσι τῆς ψυχῆς ζωαῖς καὶ εἰς πρῶτά τε καὶ μέσα καὶ ἔσχατα γένη τῆς ἐνεργείας ποικιλλομένης. καὶ γὰρ ταύτης ἡ μέν ἐστιν ἀκροτάτη καὶ πλήρης τῶν θείων. ἀγαθῶν, καὶ αὐτοῖς ἐνιδρύουσα τὴν ψυχὴν τοῖς αἰτίοις τῶν ὄντων, κατὰ τινά τε ἕνωσιν ἄρρητον εἰς ταὐτὸν ἄγουσα τῷ πληροῦντι τὸ πληρούμενον, καὶ τὸ μὲν ἀΰλως καὶ ἀναφῶς ὑποστρωννύουσα πρὸς τὴν ἔλλαμψιν, τὸ δὲ προκαλουμένη πρὸς τὴν μετάδοσιν τοῦ φωτός, μιγνυμένων δ ' ὀχετῶν πυρὸς ἀφθίτου ἔργα τελοῦσα κατὰ τὸ λόγιον, ἕνα δὲ σύνδεσμον θεῖον ἀπεργαζομένη τοῦ μετεχομένου καὶ μετέχοντος καὶ σύγκρασιν ἑνοποιόν, ὅλον μὲν τὸ καταδεέστερον ἑδράζουσα ἐν τῷ κρείττονι, τὸ δὲ θειότερον μόνον ἐνεργεῖν ὑπεσταλμένου τοῦ καταδεεστέρου καὶ ἀποκρύπτοντος ἐν τῷ κρείττονι τὴν σφετέραν ἰδιότητα παρασκευάζουσα. αὕτη δὴ οὖν μανία μέν ἐστιν σωφροσύνης κρείττων ὡς συνελόντι φάναι, κατ' αὐτὸ δὲ τὸ θεῖον μέτρον ἀφορίζεται· καὶ ὥσπερ ἄλλη πρὸς ἄλλην ὕπαρξιν τῶν θεῶν 〈ἀνάγει〉, οὕτω δὴ καὶ αὕτη τῆς συμμετρίας ἀποπληροῖ τὴν ἐνθεάζουσαν ψυχήν· διὸ δὴ καὶ τὰς ἐσχάτας αὐτῆς ἐνεργείας μέτροις τε καὶ ῥυθμοῖς κατεκόσμησεν. ὥσπερ οὖν κατὰ μὲν τὴν ἀλήθειαν τὴν μαντικήν, κατὰ δὲ τὸ κάλλος τὴν ἐρωτικὴν μανίαν ὑφίστασθαι λέγομεν, οὕτως ἄρα καὶ κατὰ τὴν συμμετρίαν τὴν θείαν τὴν ποιητικὴν ἀφωρίσθαι φαμέν.

in R.1.179 Ἡ δὲ ταύτης μὲν τῆς ἐνθεαστικῆς καὶ πρωτίστης ὑποδεεστέρα, μέση δὲ ἐν τῇ ψυχῇ θεωρουμένη κατ' αὐτὴν δήπου τὴν ἐπιστήμονα καὶ νοερὰν ἕξιν ἔλαχεν τὴν ὑπόστασιν, γιγνώσκουσα μὲν τὴν οὐσίαν τῶν ὄντων καὶ τῶν καλῶν καὶ ἀγαθῶν ἔργων τε καὶ λόγων ὑπάρχουσα φιλοθεάμων, εἰς δὲ τὴν ἔμμετρον προάγουσα καὶ ἔνρυθμον ἕκαστα τῶν πραγμάτων ἑρμηνείαν. οἷα δὴ πολλὰ τῶν ἀγαθῶν ποιητῶν εὕροις ἂν γεννήματα, ζηλωτὰ τοῖς εὖ φρονοῦσιν, νουθεσίας καὶ συμβουλῶν ἀρίστων πλήρη καὶ νοερᾶς εὐμετρίας ἀνάμεστα φρονήσεώς τε καὶ τῆς ἄλλης ἀρετῆς προτείνοντα τὴν μετουσίαν τοῖς εὖ πεφυκόσιν, ἀνάμνησίν τε παρεχόμενα τῶν τῆς ψυχῆς περιόδων καὶ τῶν ἀϊδίων ἐν αὐταῖς λόγων καὶ τῶν ποικίλων δυνάμεων. Τρίτη δὲ ἐπὶ ταύταις ἐστὶν ἡ δόξαις καὶ φαντασίαις συμμιγνυμένη καὶ διὰ μιμήσεως συμπληρουμένη

καὶ οὐδὲν ἀλλ’ ἢ μιμητικὴ καὶ οὖσα καὶ λεγομένη καὶ τότε μὲν εἰκασίᾳ προσχρωμένη μόνον, τότε δὲ καὶ φαινομένην προϊσταμένη τὴν ἀφομοίωσιν, ἀλλ’ οὐκ οὖσαν, εἰς ὄγκον μὲν ἐπαίρουσα τὰ σμικρὰ τῶν παθημάτων, ἐκπλήττουσα δὲ τοὺς ἀκούοντας τοῖς τοιοῖσδε ὀνόμασι καὶ ῥήμασιν, καὶ ταῖς ἐξαλλαγαῖς τῶν ἁρμονιῶν καὶ ταῖς τῶν ῥυθμῶν ποικιλίαις συμμεταβάλλουσα τὰς τῶν ψυχῶν διαθέσεις, καὶ τὰς τῶν πραγμάτων φύσεις οὐχ οἱαίπερ εἰσίν, ἀλλ’ οἷαι φαντασθεῖεν ἂν τοῖς πολλοῖς ἐπιδεικνύουσα· σκιαγραφία τις οὖσα τῶν ὄντων, ἀλλ’ οὐ γνῶσις ἀκριβής, τέλος τε προϊσταμένη τὴν τῶν ἀκουόντων ψυχαγωγίαν, καὶ πρὸς ἐκεῖνο διαφερόντως βλέπουσα τὸ παθητικὸν καὶ χαίρειν καὶ λυπεῖσθαι πεφυκὸς τῆς ψυχῆς. ἔστιν δὲ ὅπερ ἔφαμεν καὶ ταύτης τὸ μὲν εἰκαστικόν, ὃ καὶ πρὸς τὴν ὀρθότητα τοῦ μιμήματος ἀνατείνεται, τὸ δὲ τοιοῦτον οἷον εἴπομεν, φανταστικὸν καὶ φαινομένην μόνον τὴν μίμησιν παρεχόμενον. Ὅτι κατὰ Πλάτωνα τὰς τρεῖς ἰδέας τῆς ποιητικῆς ἀποδείξομεν τοιαύτας οὔσας καὶ τοσαύτας.

in R.1.180.1(1)

Τὰ μὲν τοίνυν γένη τῆς ποιητικῆς τοσαῦτά ἐστιν, ὡς συντόμως διελέσθαι. δεῖ δὲ καὶ τὸν Πλάτωνα τούτων ἐπιδεῖξαι τὴν μνήμην ποιησάμενον καὶ καθ’ ἕκαστον ἐπελθεῖν τὰ ἐκείνῳ περὶ αὐτῶν ἀρέσκοντα. καὶ πρῶτον περὶ τῆς ἐνθέου ποιητικῆς, ὅσα θαυμαστὰ διανοήματα λάβοι τις ἂν μὴ παρέργως ἀναλεγόμενος τὰ γεγραμμένα, διαπερανώμεθα· τούτων γὰρ οἶμαι προδιορισθέντων ῥᾴδιον καὶ περὶ τῶν ἐχομένων ἔσται τοὺς προσήκοντας ἀποδοῦναι λόγους. ταύτην τοίνυν τὴν ἔνθεον ποιητικὴν ἐν Φαίδρῳ [p. 245a] κατοκωχὴν μὲν ἀπὸ Μουσῶν καὶ μανίαν προσείρηκεν, εἰς ἁπαλὴν δὲ καὶ ἄβατον ἄνωθεν δίδοσθαι ψυχήν, ἔργον δὲ αὐτῆς εἶναί φησιν ἀνεγείρειν τε καὶ ἐκβακχεύειν κατά τε τὰς ᾠδὰς καὶ τὴν ἄλλην ποίησιν, τέλος δὲ τὸ μυρία τῶν παλαιῶν ἔργα κοσμοῦσαν τοὺς ἐπιγιγνομένους παιδεύειν. Ἐν οἷς δὴ παντὶ καταφανές, ὅτι πρῶτον μὲν τὴν ἀρχηγικὴν καὶ πρωτουργικὴν αἰτίαν τῆς ποιητικῆς τὴν τῶν Μουσῶν εἶναί φησιν δόσιν. ὡς γὰρ τὰ ἄλλα πάντα τά τε ἀφανῆ καὶ τὰ ἐμφανῆ δημιουργήματα τοῦ πατρὸς τῆς ἁρμονίας πληροῦσιν καὶ τῆς ἐνρύθμου κινήσεως, οὕτως δὴ καὶ ταῖς κατόχοις 〈ἐξ〉 αὐτῶν ψυχαῖς τὸ τῆς θείας συμμετρίας ἴχνος ἐλλάμπουσαι τὴν ποιητικὴν ἀποτελοῦσιν τὴν ἔνθεον. ἐπεὶ δὲ ὅλη μὲν ἡ ἐνέργεια τοῦ ἐλλάμποντός ἐστιν ἐν ταῖς θείαις παρουσίαις, τὸ δ’ ἐλλαμπόμενον ἑαυτὸ ταῖς ἐκεῖθεν κινήσεσιν ἐπιδίδωσιν καὶ τῶν σφετέρων ἠθῶν ἐξιστάμενον ὑπέστρωται ταῖς τοῦ θείου καὶ μονοειδοῦς ἐνεργείαις, διὰ ταῦτα οἶμαι κατοκωχήν τε καὶ μανίαν ὁμοῦ τὴν τοιαύτην προσείρηκεν ἔλλαμψιν· ὡς μὲν κρατοῦσαν τῶν ὑφ’ ἑαυτῆς κινουμένων ὅλων κατοκωχὴν αὐτὴν ὀνομάσας, ὡς δὲ ἐξιστᾶσαν τῶν οἰκείων ἐνεργημάτων εἰς τὴν ἑαυτῆς ἰδιότητα τὰ ἐλλαμπόμενα μανίαν προσειπών.

in R.1.181

δεύτερον δὲ ὅτι καὶ αὐτὴν τὴν κάτοχον ἐσομένην ταῖς Μούσαις ψυχὴν ὁποίαν εἶναι δεῖ προσδιώρισεν, ἁπαλήν γε φησὶν λαβοῦσα καὶ ἄβατον ψυχή ν . ἡ μὲν γὰρ σκληρὰ καὶ ἀντίτυπος καὶ δυσπαθὴς πρὸς τὴν θείαν ἔλλαμψιν ἐναντίως ἔχει πρὸς τὴν τῆς κατοκωχῆς ἐνέργειαν· ἑαυτῆς γάρ ἐστιν μᾶλλον ἢ τοῦ ἐλλάμποντος καὶ οὐκ εὐτύπωτος πρὸς τὴν ἐκεῖθεν δόσιν. ἡ δὲ ὑπ’ ἄλλων παντοδαπῶν κατεχομένη δοξασμάτων καὶ ποικίλων καὶ ἀλλοτρίων τοῦ θείου πεπληρωμένη διαλογισμῶν ἐπισκιάζει τὴν θείαν ἐπίπνοιαν, συμμιγνῦσα ταῖς ἐκ ταύτης κινήσεσιν τὰς ἰδίας ἑαυτῆς ζωάς τε καὶ ἐνεργείας. δεῖ δὴ οὖν ἀμφότερα ἅμα τὴν ψυχὴν προειληφέναι ταύτην, ἥτις ἂν μέλλῃ ταῖς Μούσαις ἔσεσθαι κάτοχος, ἁπαλήν τε αὐτὴν ὑπάρχειν καὶ ἄβατον, ἵνα πρὸς μὲν τὰ θεῖα παντελῶς εὐπαθὴς ᾖ καὶ συμπαθής, πρὸς δὲ τὰ ἄλλα πάντα ἀπαθὴς καὶ ἄδεκτος αὐτῶν καὶ ἀμιγὴς πρὸς αὐτά. τρίτον τοίνυν τὸ κοινὸν ἔργον τῆς τε τοιαύτης ἐπιτηδειότητος καὶ τῆς τῶν Μουσῶν κατοκωχῆς καὶ μανίας προστίθησιν. τὸ γὰρ ἀνεγείρειν τε καὶ ἐκβακχεύειν τοῦτο δή ἐστιν τὸ ἐκ τῆς ἀμφοτέρων εἰς ταὐτὸν συμπληρούμενον ἔργον, λέγω δὴ τοῦ τε ἐλλαμπομένου καὶ ἐλλάμποντος· τοῦ μὲν ἄνωθεν κινοῦντος, τοῦ δὲ ὑπεστρωμένου τῇ ἐκείνου δόσει. ἔστι δὲ ἡ μὲν ἔγερσις ἀνάτασις ὑπὸ τῆς

ψυχῆς καὶ ἀδιάστροφος· ἐνέργεια καὶ ἀπὸ τῆς ἐν τῇ γενέσει πτώσεως ἐπιστροφὴ πρὸς τὸ θεῖον, ἡ δὲ βακχεία κίνησις ἔνθεος καὶ χορεία περὶ τὸ θεῖον ἄτρυτος, τελεσιουργὸς τῶν κατεχομένων. δεῖ δὲ αὖ πάλιν καὶ τούτων ἀμφοτέρων, ἵνα ἅπτωτοι μὲν ὦσιν οἱ κάτοχοι πρὸς τὸ χεῖρον, εὐκίνητοι δὲ πρὸς τὸ κρεῖττον. τέταρτον δὴ οὖν τὸ μυρία τῶν παλαιῶν ἔργα κοσμεῖν καὶ διὰ τούτων τοὺς ἐπιγινομένους παιδεύειν πρόδηλον, ὅτι τά τε ἀνθρώπινα διὰ τῶν θείων αὐτὴν τελειότερα δεικνύναι καὶ λαμπρότερά φησιν, καὶ παιδείαν ἀπ' αὐτῆς ἀληθινὴν παραγίνεσθαι τοῖς κατηκόοις αὐτῆς γινομένοις.

in R.1.182 πολλοῦ ἄρα δεῖ τὴν ποιητικὴν ταύτην τὴν ἔνθεον τῆς παιδευτικῆς δυνάμεως ἀποστερεῖν· ἀλλ' οἶμαι τὸ τῆς παιδείας οὐ ταὐτὸν εἶναι πρός τε τὰς τῶν νέων ἕξεις καὶ τὰς τῶν ἤδη τελεωθέντων ἐκ τῆς πολιτικῆς καὶ δεομένων τῆς μυστικωτέρας ἤδη περὶ τῶν θείων ἀκροάσεως. ἔστιν ἄρα ἡ τοιαύτη ποίησις παντὸς μᾶλλον παιδευτικὴ τῶν ἀκουόντων, ὅταν ἔνθεος ᾖ καὶ ὅταν τὸ θεῖον αὐτῆς τοῦτο κατάδηλον γίνηται τοῖς ἀκούουσιν· ἡ γὰρ ἐπιπολῆς αὐτῆς ἐπαφὴ τῆς ἔνδον ἀποκρυπτομένης μυστικῆς ἀληθείας οὐκ ἀντιλαμβάνεται. ταύτην δὴ τὴν ἐκ τῶν Μουσῶν ὑφισταμένην ἐν ταῖς ἁπαλαῖς καὶ ἀβάτοις ψυχαῖς ποιητικὴν ἁπάσης ἄλλης τέχνης ἀνθρωπίνης εἰκότως προτίθησιν· τὸν γὰρ ἄνευ τῆς τοιαύτης μανίας ποιητὴν ἀτελῆ καὶ αὐτὸν καὶ τὴν ποίησιν αὐτοῦ ⟦ καὶ ⟧ ὑπὸ τῆς τῶν μαινομένων ἀφανίζεσθαι τὴν τοῦ σωφρονοῦντος διϊσχυρίζεται· τῆς γὰρ θείας δόσεως τῷ παντὶ τὴν ἀνθρωπίνην ἐπιβολὴν ἀπολείπεσθαι. Τοιάδε μὲν οὖν ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης ὑπὲρ τῆς ἐνθέου ποιητικῆς ἡμᾶς ἀνεδίδαξεν, τῇ τε θείᾳ μαντικῇ καὶ τῇ τελεστικῇ συντάττων αὐτὴν διαφερόντως καὶ τὴν πρώτην ἔκφανσιν αὐτῆς εἰς θεοὺς ἀναπέμπων. σύμφωνα δὲ τούτοις καὶ ἐν τῷ Ἴωνι πρὸς τὸν ῥαψῳδὸν διαλέγεται περὶ αὐτῆς, οὗ δὴ καὶ ἐμφανέστατα τὴν Ὁμήρου ποιητικὴν ἔνθεον ἀποφαίνει καὶ ἄλλοις ἐνθουσιασμῶν αἰτίαν τοῖς περὶ αὐτὴν διατρίβουσιν. εἰπόντος γὰρ οἶμαι τοῦ ῥαψῳδοῦ [p. 531a] περὶ μὲν τῶν Ὁμήρου ποιημάτων εὐπορεῖν τι λέγειν, περὶ δὲ τῶν τοῖς ἄλλοις ποιηταῖς γεγραμμένων οὐδαμῶς, ὁ Σωκράτης τὴν αἰτίαν ἀποδιδοὺς τοῦ τοιούτου παθήματος· ἔστι γὰρ τοῦτ ο , φησίν, τέχνη μὲν οὐκ ὂν παρὰ σοὶ περὶ Ὁμήρου εὖ λέγει ν , θεία δὲ δύναμις ἥ σε κινεῖ [p.

in R.1.183 533d]. καὶ ὡς τοῦτο ἀληθές, παντί που καταφανές. οἱ μὲν γὰρ τέχνῃ τι ποιοῦντες ἐπὶ πάντων ὡς εἰπεῖν τῶν ὁμοίων τὸ αὐτὸ δύνανται ἀπεργάζεσθαι, οἱ δὲ θείᾳ τινὶ δυνάμει περί τι συμμέτρως ἔχοντες οὐκέτι καὶ πρὸς τὰ ἄλλα τὴν αὐτὴν ἐξ ἀνάγκης ἔχουσι δύναμιν. πόθεν οὖν ἡ τοιαύτη τῷ ῥαψῳδῷ δύναμις ἐφήκει, πρὸς μὲν Ὅμηρον αὐτὸν διαφερόντως συνάπτουσα, πρὸς δὲ τοὺς ἄλλους οὐκέτι ποιητάς, ἐφεξῆς ὁ Σωκράτης ἀναδιδάσκει, τῇ λίθῳ χρώμενος ἐναργεστάτῳ παραδείγματι τῆς τελεωτάτης ἐκ τῶν Μουσῶν κατοκωχῆς, ἣν Ἡρακλείαν οἱ πολλοὶ καλοῦσιν. τί οὖν αὕτη ἡ λίθος ἀπεργάζεται; οὐ μόνον δή φησιν αὐτοὺς ἄγει πρὸς ἑαυτὴν τοὺς σιδηροῦς δακτυλίου ς , ἀλλὰ καὶ δύναμιν αὐτοῖς ὁλκὸν τῶν ὁμοίων ἐντίθησι ν , ὥστε ἄλλους ἄγειν δακτυλίους · καὶ πολλάκις φησὶν ὁρμαθὸς δακτυλίων ἢ σιδηρίων ἐξ ἀλλήλων ἤρτηται · πᾶσι δὲ ἄρα τούτοις ἀ π ' ἐκείνης τῆς λίθου ἡ δύναμις ἐξήρτηται ι . τίνα μὲν οὖν τρόπον τὰ τοσαῦτα πάθη περὶ τοὺς δακτυλίους συμβαίνει καὶ τίς ἡ τῆς λίθου δύναμις, οὐ πρόκειται λέγειν ἐν τούτοις· τὰ δὲ τούτοις παραπλήσια καὶ ἐπὶ τῆς ἐνθέου ποιητικῆς τοῦ Σωκράτους προστιθέντος ἀκούσωμεν. οὕτω δὲ καὶ ἡ Μοῦσα ἐνθέους μὲν ποιεῖ αὐτοὺ ς , διὰ δὲ τῶν ἐνθέων τούτων ἄλλων ἐνθουσιαζόντων ὁρμαθὸς ἐξαρτᾶται ι . ἐν οἷς πρῶτον μὲν τὴν θείαν αἰτίαν ἐνικῶς προηνέγκατο, Μοῦσαν αὐτὴν προσειπών, ἀλλ' οὐχ ὥσπερ ἐν τῷ Φαίδρῳ τὴν ἐκ Μουσῶν κατοκωχήν τε καὶ μανίαν εἰς ἅπαν αὐτῶν τὸ πλῆθος ἐπέτρεψεν, ἵνα πάντα τὸν τῶν ἐνθεαστικῶς κινουμένων ἀριθμὸν οἷον εἰς μονάδα μίαν ἀνάγῃ τὴν πρωτουργὸν τῆς ποιητικῆς ἀρχήν.

in R.1.184

ἔστι γὰρ ἡ ποιητικὴ μονοειδῶς μὲν ἐν τῷ πρώτῳ κινοῦντι καὶ κρυφίως, δευτέρως δὲ καὶ ἀνειλιγμένως ἐν τοῖς ποιηταῖς ὑπὸ τῆς μονάδος ἐκείνης κινουμένοις, ἐσχάτως δὲ καὶ ὑπουργικῶς ἐν τοῖς ῥαψῳδοῖς, διὰ μέσων τῶν ποιητῶν ἐπὶ τὴν μίαν αἰτίαν ἀναγομένοις. ἔπειτα τὴν θείαν ἐπίπνοιαν ἄνωθεν ἄχρι τῶν τελευταίων μεθέξεων διατείνων δῆλός ἐστιν ὁμοῦ μὲν τὴν περιουσίαν τῆς πρωτίστης ἀρχῆς τῆς κινούσης ἀνυμνῶν, ὁμοῦ δὲ τὴν τῶν πρώτων μετεχόντων μέθεξιν δεικνὺς ἐνεργεστάτην. τὸ γὰρ διὰ τῶν σφετέρων ποιημάτων ἀνεγείρειν καὶ ἄλλους εἰς ἐνθεασμὸν τρανεστάτην ἐν αὐτοῖς τὴν τοῦ θείου παρουσίαν ἐπιδείκνυσιν. τούτοις δὴ οὖν ἑπομένως καὶ τὰ ἐφεξῆς προστίθησιν περὶ τῆς τῶν ποιητῶν κατοκωχῆς. πάντες γὰρ οἵ τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ οὐκ ἐκ τέχνη ς , ἀλ λ ’ ἔνθεοι ὄντες καὶ κατεχόμενοι πάντα ταῦτα τὰ καλὰ λέγουσιν ποιήματ α , καὶ οἱ μελοποιοὶ οἱ ἀγαθοὶ ὡσαύτως καὶ πάλιν ἐξῆς· κοῦφον γὰρ χρῆμα ποιητής ἐστι καὶ πτηνὸν καὶ ἱερό ν , καὶ οὐ πρότερον οἷός τε ποιεῖ ν , πρὶν ἂν ἔνθεός τε γένηται καὶ ἔκφρων [p. 534b]. καὶ τέλος, ὅτι διὰ ταῦτα ἅτε οὐ τέχνῃ ποιοῦντες καὶ πολλὰ λέγοντες καὶ καλὰ περὶ τῶν πραγμάτω ν , ὥσπερ σὺ περὶ Ὁμήρο υ , ἀλλὰ θείᾳ μοίρ ᾳ , τοῦτο μόνον ἕκαστος οἷός τέ ἐστι ποιεῖν καλῶ ς , ἐ φ ’ ὃ ἡ Μοῦσα αὐτὸν ὥρμησε ν . ἐν δὴ τούτοις ἅπασιν τὴν ἔνθεον ποιητικὴν μέσην ἀτεχνῶς ἱδρῦσθαί φησιν τῆς τε θείας αἰτίας—ἣν Μοῦσαν προσείρηκεν, καὶ ταύτῃ τὸν Ὅμηρον ζηλῶν, καὶ ποτὲ μὲν εἰς τὸ πλῆθος, ποτὲ δὲ εἰς τὴν ἕνωσιν ἀποβλέπων τῆς τῶν Μουσῶν σειρᾶς (ἔσπετε νῦν μο ι , Μοῦσα ι , καὶ ἄνδρα μοι ἔννεπε Μοῦσα φησὶν ἐκεῖνοσ)—ταύτης δ’ οὖν τῆς πρωτίστης ἀρχῆς τῶν ἐνθεαστικῶν κινήσεων καὶ τῶν τελευταίων ἀπηχημάτων τῆς ἐπιπνοίας τῶν ἐν τοῖς ῥαψῳδοῖς κατὰ συμπάθειαν ὁρωμένων ἐν μέσῳ τὴν τῶν ποιητῶν μανίαν ἔταξεν, κινουμένην τε καὶ κινοῦσαν καὶ πληρουμένην ἄνωθεν καὶ εἰς ἄλλα διαπορθμεύουσαν τὴν ἐκεῖθεν ἔλλαμψιν, ἕνα τε σύνδεσμον παρεχομένην τοῖς ἐσχάτως μετέχουσι πρὸς τὴν μετεχομένην μονάδα.

in R.1.185 Τούτοις δὴ οὖν καὶ ὅσα ὁ Ἀθηναῖος ξένος ἐν τῷ τρίτῳ τῶν Νόμων λέγει περὶ τῆς ποιητικῆς καὶ ὅσα ὁ Τίμαιος περὶ τῶν ποιητῶν που συναρμόσωμεν. ὃ μὲν γὰρ θεῖο ν , φησίν, καὶ τὸ ποιητικὸν ἐνθεαστικὸν ὂν γένος ὑμνῳδοῦν σύντισι Χάρισιν καὶ Μούσαις πολλῶν τῶν κα τ ’ ἀλήθειαν γεγονότων ἐφάπτεται ἑκάστοτε [leg. III 682a]. 〈ὃ〉 δὲ ἕπεσθαι παρακελεύεται τοῖς φοιβολήπτοις ποιηταῖς τῶν θεῶν οὖσι παισὶν καὶ εἰδόσιν τὰ τῶν σφετέρων προγόνων, καίπερ ἄνευ τε εἰκότων καὶ ἀποδείξεων λέγουσιν [Tim. 40d]. ἐξ ὧν καὶ παντὶ ῥᾴδιον ἐννοῆσαι, τίνα μὲν οἴεται εἶναι τὴν ἔνθεον ποιητικήν, ὁποίους δὲ τοὺς κατ’ αὐτὴν ἱσταμένους ποιητάς, καὶ ὡς οὗτοι μάλιστα τῶν θείων εἰσὶ καὶ μυστικῶν νοημάτων ἄγγελοι τὰ τῶν πατέρων διαφερόντως εἰδότες. ὅταν ἄρα τῶν μυθικῶν πλασμάτων ἐπιλαμβάνηται καὶ εὐθύνῃ τὰ τραγικώτερα τῶν ἀναγεγραμμένων, δεσμοὺς καὶ τομὰς καὶ ἔρωτας καὶ μίξεις καὶ δάκρυα καὶ γέλωτας, αὐτὸν ἂν μάλιστα τῶν τοιούτων ἔχοιμεν λόγων ὡς εὖ ἐχόντων κατὰ τὴν ἐν τοῖς συμβόλοις τούτοις ἀποκρυπτομένην ὥσπερ προκαλύμμασι θεωρίαν μάρτυρα. ὁ γὰρ διαφερόντως αὐτοῖς πιστεύειν ἐν ταῖς περὶ θεῶν πραγματείαις ἀξιῶν, κἂν ἄνευ ἀποδείξεως λέγωσιν, διὰ τὴν ἐκ τῶν θεῶν ἐπίπνοιαν, οὗτος δή που θαυμάσεται τὴν ἐν τοῖς μύθοις δι’ ὧν ἐκεῖνοι τὰ θεῖα παραδιδόασιν ἀλήθειαν· καὶ ὁ θεῖον τὸ ποιητικὸν γένος ἀποκαλῶν οὐκ ἂν τὴν ἄθεον ἐπ’ αὐτὸ καὶ γιγαντικὴν ἀναπέμποι περὶ τῶν θείων πραγμάτων ὑπόνοιαν· καὶ ὁ σύν τισι Χάρισιν καὶ Μούσαις τοὺς ποιητὰς λέγειν ἃ λέγουσιν ἀποφαινόμενος τὴν ἐκμελῆ καὶ ἀνάρμοστον καὶ ἄχαριν φαντασίαν πόρρω τῆς θεωρίας αὐτῶν διῳκίσθαι πάντως προείληφεν.

in R.1.186 ὅταν οὖν τὴν ποιητικὴν καὶ τὴν διὰ τῶν μύθων ἔνδειξιν μὴ προσάγειν ταῖς τῶν νέων ἀκοαῖς νομοθετῇ, πολλοῦ δεῖ τὴν ποιητικὴν αὐτὴν ἀτιμάζειν, ἀλλὰ τὴν τῶν νέων ἕξιν ὡς ἀγύμναστον πρὸς τὴν τούτων ἀκρόασιν ἀπάγει τῆς τοιᾶσδε μυθοποιΐας. ὡς γάρ που καὶ ἐν Ἀλκιβιάδῃ δευτέρῳ φησίν [p. 147b], τοιοῦτόν ἐστιν τὸ τῆς ποιητικῆς γένος· φύσει γάρ ἐστιν σύμπασα

αἰνιγματώδης καὶ οὐ τοῦ προστυχόντος ἀνδρὸς γνωρίσα ι . τοιαῦτα δὲ καὶ ἐν Πολιτείᾳ σαφῶς ἔλεγεν [II 378d], ὡς ὁ νέος οὐκ ἔστι δυνατὸς κρίνειν ὅ τι τ ’ ἔστιν ὑπόνοια καὶ ὃ μ ή . πάντῃ ἄρα φήσομεν αὐτὸν τὴν ἔνθεον ἀποδέχεσθαι ποιητικήν, ἣν θείαν ἐπονομάζει καὶ τοὺς ἔχοντας αὐτὴν σιγῇ σέβειν ἀξιοῖ [rep. II 378a]. τοσαῦτα μὲν οὖν περὶ ταύτης εἰρήσθω τῆς πρώτης καὶ θεόθεν ὑφισταμένης ἐν ταῖς ἁπαλαῖς καὶ ἀβάτοις ψυχαῖς. Μετὰ δὲ ταύτην τὴν ἐπιστήμονα τῶν ὄντων καὶ κατὰ νοῦν καὶ φρόνησιν ἐνεργοῦσαν θεωρήσωμεν, ἣ πολλὰ μὲν περὶ τῆς ἀσωμάτου φύσεως νοήματα τοῖς ἀνθρώποις ἐξέφηνεν, πολλὰ δὲ περὶ τῆς σωματικῆς ὑποστάσεως εἰκότα προήγαγεν εἰς φῶς δόγματα, διηρευνήσατο δὲ καὶ τὴν καλλίστην καὶ τοῖς ἤθεσιν πρέπουσαν συμμετρίαν καὶ τὴν ἐναντίαν πρὸς ταύτην διάθεσιν, πάντα δὲ ταῦτα μέτροις τε καὶ ῥυθμοῖς κατεκόσμησεν οἰκείοις. τοιαύτην γάρ που καὶ τὴν Θεόγνιδος ποιητικὴν εἶναί φησιν ὁ Ἀθηναῖος ξένος [leg.

in R.1.187 I 630a], ἣν ἐγκωμιάζει τῆς Τυρταίου μειζόνως, διότι τῆς ὅλης ἀρετῆς ἐστιν ὁ Θέογνις διδάσκαλος καὶ τῆς εἰς ἅπασαν διατεινούσης τὴν πολιτικὴν ζωήν. ὃ μὲν γὰρ τὴν πιστότητα τὴν ἐκ τῶν ἀρετῶν ἁπασῶν συμπληρουμένην ἀποδέχεται καὶ τὴν ἀληθεστέραν κακίαν ἐκβάλλει τῶν πόλεων τὴν στάσιν καὶ εἰς μίαν ὁμόνοιαν περιάγει τὰς τῶν πειθομένων ζωάς, ὃ δὲ αὐτὴν καθ’ ἑαυτὴν τὴν ἀνδρείαν ἔξιν ἐγκωμιάζει καὶ εἰς ταύτην προτρέπει τῶν ἄλλων ἀμελήσας ἀρετῶν. κάλλιον δὲ ἀκούειν αὐτῶν τῶν τοῦ Πλάτωνος ῥημάτων. ποιητὴν δὲ καὶ ἡμεῖς μάρτυρα ἔχομεν Θέογνι ν , πολίτην τῶν ἐν Σικελίᾳ Μεγαρέω ν , ὅς φησιν · πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι ἄξιος ἐν χαλεπ ῇ , Κύρν ε , διχοστασί ῃ . τοῦτον δή φαμεν ἐν πολέμῳ χαλεπωτέρῳ ἀμείνονα ἐκείνου πάμπολυ γενέσθα ι , σχεδὸν ὅσον ἀμείνω δικαιοσύνη καὶ σωφροσύνη καὶ φρόνησις εἰς ταὐτὸν ἐλθοῦσαι μετὰ ἀνδρείας αὐτῆς μόνον ἀνδρεία ς . πιστὸς γὰρ καὶ ὑγιὴς ἐν στάσεσιν οὐκ ἄν ποτε γένοιτο ἄνευ ξυμπάσης ἀρετῆ ς . ἐνταῦθα τοίνυν ἀποδέχεται τὸν Θέογνιν ὡς πολιτικῆς ἐπιστήμης μετέχοντα καὶ τῆς ὅλης ἀρετῆς, ἣν δὴ πιστότητα κέκληκεν, ἡγεμόνα καὶ σύμβουλον· ἐν δὲ Ἀλκιβιάδῃ δευτέρῳ [p. 142e] τὸν ὀρθότατον τῆς εὐχῆς τρόπον ἀφοριζόμενος καὶ ἀσφαλέστατον εἰς τὴν ποιητικὴν αὐτὸν ἀναπέμπει τὴν ἔμφρονα. κινδυνεύει γοῦ ν , ὦ Ἀλκιβιάδ η , φησίν, φρόνιμός τις εἶναι ἐκεῖνος ὁ ποιητή ς , ὃς δοκεῖ φίλοις ἀνοήτοις τισὶ χρησάμενο ς , ὁρῶν αὐτοὺς καὶ πράττοντας καὶ εὐχομένους ἅπερ οὐ βέλτιον ἦ ν , ἐκείνοις δὲ ἐδόκει κοινῇ ὑπὲρ ἁπάντων εὐχὴν ποιήσασθα ι .

in R.1.188 λέγει δέ πως ὡδί · Ζεῦ βασιλε ῦ , τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις ἄμμι δίδο υ , τὰ δὲ λυγρὰ καὶ εὐχομένων ἀπέρυκ ε . τὴν γὰρ διάκρισιν τῶν ἀγαθῶν καὶ τῶν κακῶν καὶ τὴν πρέπουσαν ταῖς μέσαις ἕξεσιν τῶν ἀνθρώπων πρὸς τὸ θεῖον ὁμιλίαν μόνος ὁ ἐπιστήμων ἀφορίζειν κύριος· καὶ διὰ τοῦτο καὶ τὸν τῶν στίχων τούτων ποιητὴν φρόνιμον ὁ Σωκράτης ἀπεκάλεσεν, ὡς οὔτε δι’ ἐνθουσιασμὸν οὔτε δι’ ὀρθὴν δόξαν, ἀλλὰ δι’ ἐπιστήμην κρίνοντα μὲν τὰς τῶν αἰτουμένων φύσεις, στοχαζόμενον δὲ καὶ τῆς τῶν αἰτούντων ἕξεως, σώζοντα δὲ τὸ πρέπον ταῖς ἀγαθουργοῖς τῶν θεῶν δυνάμεσιν. καὶ γὰρ τὸ πάντας ἐπιστρέψαι διὰ τῆς εὐχῆς εἰς τὴν μίαν τοῦ Διὸς βασιλικὴν πρόνοιαν, καὶ τὸ τῶν ἀγαθῶν τὴν ὑπόστασιν ἐξάψαι τῆς τοῦ θεοῦ δυνάμεως, καὶ τὸ τῶν ἀληθινῶν κακῶν τὴν γένεσιν ἀφανίσαι διὰ τῆς τοῦ κρείττονος εὐμενείας, καὶ ὅλως τὸ ταῦτα τοῖς μὲν εὐχομένοις ἄγνωστα φάναι, τῷ δὲ θεῷ κατὰ τοὺς προσήκοντας ὅρους διακεκριμένα, φρονήσεώς ἐστι καὶ ἐπιστήμης οὐ τῆς τυχούσης ἔργον. εἰκότως δὴ οὖν τὴν τοιαύτην ποιητικὴν ἔμφρονα καὶ ἐπιστήμονά φαμεν ὑπάρχειν· ἡ γὰρ ταῖς μέσαις ἕξεσιν τὰς ὀρθὰς ἀφορίζειν δυναμένη δόξας αὕτη δή που κατὰ τὴν τελέαν ἐπιστήμην ὑφέστηκεν. Τὸ τρίτον δὴ οὖν περὶ τῆς μιμητικῆς λέγωμεν, ἣν ποτὲ μὲν εἰκάζειν τὰ πράγματα, ποτὲ δὲ φαινομένως ἀποτυποῦσθαι προείπομεν. ταύτης γὰρ δὴ τὸ μὲν ὅσον εἰκαστικόν ἐστιν ὁ Ἀθηναῖος ξένος ἐναργῶς ἡμῖν παραδίδωσιν, τὸ δὲ ὅσον φανταστικόν, ὁ ἐν τῇ Πολιτείᾳ Σωκράτης παρίστησιν.

in R.1.189 ὅπως δὲ ταῦτα διενήνοχεν ἀλλήλων, τό τε εἰκαστικὸν λέγω τῆς μιμητικῆς εἶδος καὶ τὸ φανταστικόν, ὁ Ἐλεάτης ξένος ἡμᾶς ἱκανῶς ἀναδιδάσκει. δύο γά ρ , φησί [Soph. 235d], φαίνομαι καθορᾶν εἴδη τῆς μιμητικῆ ς , μίαν μὲν τὴν εἰκαστικὴν ὁρῶν ἐν αὐτῇ τέχνη ν . ἔστιν δὲ αὖτη μάλιστ α , ὁπόταν κατὰ τὰς τοῦ παραδείγματος συμμετρίας τις ἐν μήκει καὶ πλάτει καὶ βάθει καὶ πρὸς τούτοις ἔτι χρώματα ἀποδιδοὺς τὰ προσήκοντα ἑκάστοις τὴν τοῦ μιμήματος γένεσιν ἀπεργάζητα ι . —τί δ έ ; οὐ πάντες οἱ μιμούμενοί τι τοῦ τ ’ ἐπιχειροῦσι δρᾶ ν ; —οὔκουν ὅσοι γε τῶν μεγάλων πού τι πλάττουσιν ἔργων ἢ γράφουσι ν . εἰ γὰρ ἀποδιδοῖεν τὴν τῶν καλῶν ἀληθινὴν συμμετρίαν οἷσ θ ’ ὅτι σμικρότερα μὲν τοῦ δέοντος τὰ ἄν ω , μείζω δὲ τὰ κάτω φαίνοι τ ’ ἂν διὰ τὸ τὰ μὲν πόρρωθε ν , τὰ δὲ ἐγγύθεν ὑ φ ’ ἡμῶν ὁρᾶσθα ι . —πάνυ μὲν οὖ ν . —ἀ ρ ’ οὖν οὐ χαίρειν τὸ ἀληθὲς ἐάσαντες οἱ δημιουργοὶ νῦν οὐ τὰς οὔσας συμμετρία ς , ἀλλὰ δοξούσας εἶναι καλὰς τοῖς εἰδώλοις ἐναπεργάζοντα ι ; ταῦτα δὴ διελόμενος ὁ Ἐλεάτης ξένος εἰκότως οἶμαι καὶ ἐπὶ τέλει τοῦ διαλόγου [p. 264c] τὸν σοφιστὴν ἐνδῆσαι τῇ ὁριστικῇ μεθόδῳ βουλόμενος τῆς εἰδωλουργικῆς τὸ μὲν εἰκαστικὸν ἔθετο, τὸ δὲ φανταστικόν· τὸ μὲν οἷόν ἐστι τὸ παράδειγμα, τοιοῦτον ἀπεργαζόμενον τὸ μίμημα, τὸ δὲ φαίνεσθαι τοιοῦτον τὸ γενόμενον οἷον τὸ μιμηθὲν παρασκευάζον. καὶ τῆς μιμητικῆς τοίνυν τῆς ποιητικῆς τὸ μὲν εἰκαστικόν ἐστιν, αὐτὰ τὰ πράγματα περὶ ὧν ποιεῖται τοὺς λόγους ἀποτυπούμενον, τὸ δὲ μείζω καὶ ἐλάττω τὰ αὐτὰ φαίνεσθαι καὶ τὴν ὁμοίωσιν ἐν φαντασίᾳ κειμένην ἔχειν, ἀλλ’ οὐκ ἀληθείᾳ παρεχόμενον.

in R.1.190 Τὸ μὲν δὴ μιμητικὸν ἅμα καὶ εἰκαστικὸν ὁ Ἀθηναῖος ξένος μνήμης ἠξίωσεν. τὴν γὰρ μουσικὴν οὐ τὴν ἡδονὴν τέλος ποιουμένην, ἀλλὰ τὴν πρὸς τὸ παράδειγμα ἀφομοίωσιν, καὶ τὴν ὀρθότητα τοῦ μιμήματος ἐπιδεῖξαι προθέμενος οὑτωσί πως φησίν [leg. II 667c]· τί δ έ ; τῇ τῶν ὁμοίων ἐργασί ᾳ , ὅσαι τέχναι εἰκαστικα ί , ἆ ρ ’ οὐ κ , ἂν τοῦτο ἐξεργάζωντα ι , τὸ μὲν ἡδονὴν ἐν αὐτοῖς γίνεσθα ι , παρεπόμενον ἐὰν γίνητα ι , χάριν αὐτὸ δικαιότατον ἂν ἡμῖν προσαγορεύει ν ; τὴν δὲ ὀρθότητά που τῶν τοιούτων ἡ ἰσότης ἄ ν , ὡς ἐπὶ τὸ πᾶν εἰπεῖ ν , ἐξεργάζοιτ ο . — — οὐκοῦν καὶ μουσικήν γε πᾶσάν φαμεν εἰκαστικήν τε εἶναι καὶ μιμητική ν ; ἥκιστα ἄρα ὅταν τις μουσικὴν ἡδονῇ φῇ κρίνεσθα ι , τοῦτον ἀποδεκτέον τὸν λόγο ν . καὶ ἐφεξῆς [p. 668b]· καὶ μὴν τοῦτό γε πᾶς ἂν ὁμολογοῖ περὶ μουσικῆ ς , ὅτι πάντα τὰ περὶ αὐτήν ἐστι ποιήματα μίμησίς τε καὶ ἀπεικασί α . καὶ τοῦτό γε μῶν οὐκ ἂν ξύμπαντες ὁμολογοῖεν ποιηταί τε καὶ ἀκροατα ί ; — καὶ μάλ α . τὴν ἄρα ποιητικὴν ταύτην, ὅση τῇ μουσικῇ συντέτακται τῇ παιδευτικῇ τῶν ἠθῶν καὶ τάς τε ἁρμονίας δύναται κρίνειν καὶ τοὺς ῥυθμούς, εἰκαστικὴν ἄν τις ἐν δίκῃ προσείποι καὶ οὕτω μιμητικήν· διὸ καὶ οὐ τὴν ἡδονὴν τέλος ἔχει, ἀλλὰ τὴν ὀρθότητα τῶν εἰκασθέντων. Τὸ μὲν οὖν εἰκαστικὸν αὐτῆς τοιοῦτον· τὸ δὲ φανταστικὸν ἐκ τῶν ἐν Πολιτείᾳ γεγραμμένων κατανοήσωμεν. ἀποδείξας γὰρ ὁ Σωκράτης, ὅτι τρίτος ἀπὸ τῆς ἀληθείας καὶ μιμητικός ἐστιν ὁ τοιοῦτος ποιητής, οἷον ἐπισκοπεῖν προύθετο, καὶ τοῦτο ἑξῆς προστίθησιν, ὅτι μιμεῖται φανταστικῶς τῷ τῆς ζωγραφίας παραδείγματι προσχρώμενος.

in R.1.191 τὸν μὲν δὴ μιμητὴν ὡμολογήκαμε ν . εἰπὲ δέ μοι περὶ τοῦ ζωγράφου τόδ ε , πότερα ἐκεῖνο αὐτὸ τὸ ἐν τῇ φύσει ἕκαστον δοκεῖ σοι ἐπιχειρεῖν μιμεῖσθαι ἢ τὰ τῶν δημιουργῶν ἔργ α ; —τὰ τῶν δημιουργῶ ν , ἔφ η . —ἆρα οἷα ἔστιν ἢ οἷα φαίνετα ι ; τοῦτο γὰρ ἔτι διόρισο ν . —πῶς λέγει ς ; ἔφ η . —ὧδ ε . κλίνη ἐάν τε ἐκ πλαγίου αὐτὴν θεᾷ ἐάν τε καταντικρὺς ἄν τε ὅπῃ οὖ ν , μή τι διαφέρει αὐτὴ αὐτῆ ς , 〈ἢ〉 διαφέρει μὲν οὐδέ ν , φαίνεται δὲ ἄλλοί α ; καὶ τὰ ἄλλα ὡσαύτω ς ; —οὕτω ς , ἔφ η , φαίνετα ι , διαφέρει δὲ οὐδέ ν . —τοῦτο δὴ αὐτὸ σκόπει · πρὸς πότερον γραφικὴ πεποίηται περὶ ἕκαστο ν , πότερα πρὸς τὸ ὂν ὡς ἔχει μιμήσασθα ι , ἢ πρὸς τὸ φαινόμενον ὡς φαίνετα ι , φαντάσματος ἢ ἀληθείας οὖσα μίμησι ς ; — φαντάσματος ἔφη [X 597e sqq.]. διὰ δὴ τούτων ἐναργέστατα παρίστησιν ὁ Σωκράτης, ὅτι τὸ φανταστικὸν τοῦ μιμητικοῦ γένους τῆς ποιητικῆς ἀποτεμόμενος ἡδονῆς τε στοχάζεσθαι μόνης καὶ τῆς τῶν

ἀκουόντων αὐτὸ ψυχαγωγίας φησίν. καὶ γὰρ ταύτης τῆς μιμήσεως τὸ φανταστικὸν ἀπολείπεται τοῦ εἰκαστικοῦ, καθ' ὅσον ἐκεῖνο μὲν πρὸς τὴν ὀρθότητα βλέπει τοῦ μιμήματος, τοῦτο δὲ ἄρα πρὸς τὴν ἐκ τῆς φαντασίας τοῖς πολλοῖς γινομένην ἡδονήν. Τὰ μὲν οὖν γένη τῆς ποιητικῆς τοιᾶσδε καὶ παρὰ τῷ Πλάτωνι διακρίσεως ἠξίωται, τὸ μὲν ὡς κρεῖττον ἐπιστήμης, τὸ δὲ 〈ὡσ〉 ἐπιστημονικόν, τὸ δὲ ὡς ὀρθοδοξαστικόν, τὸ δὲ ὡς καὶ τῆς ὀρθῆς δόξης ἀπολειπόμενον. λέγει γοῦν περὶ τοῦ ἐσχάτου σαφῶς [p. 602a], ὡς οὔτε ἄρα εἴσεται οὔτε ὀρθοδοξάσει ὁ τοιόσδε μιμητή ς , οἷον τὸν ποιητὴν τοῦτον ἐλέγομεν, περὶ ὧν ἂν μιμῆται πρὸς κάλλος ἢ πονηρία ν .

in R.1.192 Ὅτι καὶ ἡ Ὁμήρου ποίησις ἐπιδείκνυσι τὰς τρεῖς ἰδέας ἐν ἑαυτῇ τῆς ποιητικῆς. Τούτων δὲ αὖ διωρισμένων ἐπὶ τὴν Ὁμήρου ποίησιν ἀναδράμωμεν καὶ θεωρήσωμεν πᾶσαν ἐν αὐτῇ ποιητικῆς ἕξιν διαλάμπουσαν, διαφερόντως δὲ τὰς τοῦ ὀρθοῦ καὶ τοῦ καλοῦ στοχαζομένας. ὅταν μὲν γὰρ ἐνθουσιάζων ἐνεργῇ καὶ ταῖς Μούσαις κάτοχος ὢν καὶ τὰ μυστικὰ περὶ αὐτῶν τῶν θεῶν ἀφηγῆται νοήματα, τηνικαῦτα κατὰ τὴν πρωτίστην ἐνεργεῖ καὶ ἔνθεον ποιητικήν· ὅταν δὲ αὖ τὴν τῆς ψυχῆς ζωὴν καὶ τὰς ἐν τῇ φύσει διαφορὰς καὶ τὰ πολιτικὰ καθήκοντα διεξίῃ, τότε δὴ μάλιστα κατὰ τὴν ἐπιστήμην διατίθησιν τοὺς λόγους· ὅταν δὲ ἄρα τοὺς προσήκοντας ἀποδιδῷ τῆς μιμήσεως τύπους τοῖς τε πράγμασι καὶ τοῖς προσώποις, τηνικαῦτα κατὰ τὴν εἰκαστικὴν προΐσταται τὴν μίμησιν· ὅταν δὲ οἶμαι πρὸς τὸ φαινόμενον τοῖς πολλοῖς, ἀλλ' οὐ πρὸς τὴν ἀλήθειαν τοῦ ὄντος ἀποτείνηται καὶ οὕτω δὴ τὰς τῶν ἀκουόντων ἐπάγηται ψυχάς, τότε που κατὰ τὸ φανταστικόν ἐστιν ποιητής. λέγω δὲ οἷον, ἵν' ἀπὸ τῆς ἐσχάτης ἀρξώμεθα τοῦ ποιητοῦ μιμήσεως, τὸν ἥλιον ἔστιν ὅπου λέγει τὰς ἀνατολὰς ἀπό τινος ποιεῖσθαι λίμνης καὶ τὰς δύσεις ὡσαύτως οὐχ ὡς ἔστιν ἑκάτερον τούτων οὐδ' ὡς γίνεται λέγων οὐδὲ ταύτῃ μιμούμενος διὰ λόγων, ἀλλ' ὡς φαίνεται ταῖς αἰσθήσεσιν ἡμῶν διὰ τὴν ἀπόστασιν· τοῦτο τοίνυν καὶ πᾶν τὸ τοιόνδε φανταστικὸν τῆς ποιήσεως φαθί με λέγειν. πάλιν ὅταν τοὺς ἥρωας μιμῆται πολεμοῦντας ἢ βουλευομένους ἢ λέγοντας κατὰ τὰ εἴδη τῆς ζωῆς, τοὺς μὲν ὡς ἔμφρονας, τοὺς δὲ ὡς ἀνδρείους, τοὺς δὲ ὡς φιλοτίμους, τῆς εἰκαστικῆς ἂν εἴποιμι τὸ τοιοῦτον ἔργον ὑπάρχειν.

in R.1.193 καὶ μὴν καὶ ὅταν ἢ τὰς διαφόρους ὑποστάσεις τῶν μορίων τῆς ψυχῆς εἰδὼς ἀναφαίνηται καὶ διδάσκων, ἢ τὴν ἐξαλλαγὴν τοῦ εἰδώλου πρὸς τὴν χρωμένην ψυχὴν ἢ τὴν τάξιν τῶν ἐν τῷ παντὶ στοιχείων, γῆς ὕδατος ἀέρος αἰθέρος οὐρανοῦ, ἢ ἄλλο τι τοιοῦτον, τὴν ἐπιστήμονα τῆς ποιητικῆς δύναμιν ταύτην ἂν ἐγὼ θαρρῶν ἀποφηναίμην. ἐφ' ἅπασι δὲ τούτοις ὅταν περί τε τῆς δημιουργικῆς ἡμᾶς ἀναδιδάσκῃ καὶ τῆς εἰς τρία διανομῆς τῶν ὅλων, ἢ ὅταν περὶ τῶν Ἡφαίστου δεσμῶν, ἢ ὅταν περὶ τῆς πατρικῆς τοῦ Διὸς ἑνώσεως πρὸς τὴν γόνιμον θεότητα τῆς Ἥρας δι' ἀλύτου συμπλοκῆς, τότε δὴ φαίην ἂν αὐτὸν ἐνθουσιάζειν σαφῶς καὶ διὰ τὴν ἐκ τῶν Μουσῶν κατοκωχὴν τὰ τοιαῦτα διατιθέναι μυθολογήματα. δηλοῖ δέ που καὶ αὐτὸς ἐπὶ τοῦ Δημοδόκου τὴν ἐκ θεῶν ὡρμημένην ἐνέργειαν, λέγων πρὸ τῆς ᾠδῆς ὅτι ὁρμηθεὶς θεοῦ ἤρχετο καὶ ὅτι ἔνθεος ἦν καὶ ὅτι ἡ Μοῦσα αὐτὸν ἐφίλησεν ἢ ὁ μουσηγέτης θεός· ἢ σέ γε Μοῦ ς ' ἐδίδαξε Διὸς παῖς ἢ σέ γ ' Ἀπόλλων · λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδει ς , ὅσ ς ' ἔρξαν τ ' ἔπαθόν τε καὶ ὅσ ς ' ἐμόγησαν Ἀχαιοί [Od. θ 488—490]. Καίτοι γε ὅτι τὸν Δημόδοκον ὡς ἑαυτὸν τρόπον τινὰ προΐσταται καὶ τῶν περὶ ἑαυτὸν παθημάτων παράδειγμα ποιεῖται, τῶν διατεθρυλημένων ἐστὶν ἱκανῶς, καὶ τὸ ὀφθαλμῶν μὲν ἄμερσ ε , δίδου δ ' ἠδεῖαν ἀοιδὴν [Od.

in R.1.194 θ 64] ἄντικρυς τὸν κατ' αὐτὸν μῦθον εἰς ἐκεῖνον ἀναπέμπειν ἔοικεν. τοῦτον δ' οὖν ἐνθεάζοντα λέγειν ἃ λέγει σαφῶς διϊσχυρίζεται. Ἀλλ' εὖ γε ὅτι Δημοδόκου καὶ τῆς ἐνθεαστικῆς ᾠδῆς ἐπεμνήσθημεν· δοκεῖ γάρ μοι κατὰ τὰ πρόσθεν εἰρημένα τῆς ποιήσεως γένη διελεῖν τοὺς παρ' αὐτῷ μνήμης ἠξιωμένους μουσικούς. ὁ μὲν γὰρ Δημόδοκος ἔνθους ἦν, ὥσπερ εἴρηται, καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα ἀφηγούμενος, καὶ θεόθεν ἐξάψασθαι λέλεκται τὴν ἑαυτοῦ μουσικήν· ὁ

δὲ Φήμιος ὁ ἐν Ἰθάκῃ κατὰ τὴν γνῶσιν μάλιστα τῶν τε θείων καὶ τῶν ἀνθρωπίνων ἐχαρακτηρίζετο· Φήμι ε , πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδα ς , ἔρ γ ’ ἀνδρῶν τε θεῶν τ ε , τά τε κλείουσιν ἀοιδοί [α 33 sq.] λέγει που πρὸς αὐτὸν ἡ Πηνελόπη· τρίτος δὲ ἄλλος ὁ τῆς Κλυταιμνήστρας ᾠδός, μιμητικός τις ὡς ἔοικεν καὶ ὀρθῇ δόξῃ χρώμενος καὶ τὰ τῆς σωφροσύνης μέλη προτείνων τῇ γυναικί· πὰρ γὰρ ἔην καὶ ἀοιδὸς ἀνή ρ , ᾧ πόλ λ ’ ἐπέτελλεν Ἀτρείδης Τροίηνδε κιών [γ 267 sq.]. καὶ μέχρι τῆς τούτου συνουσίας οὐδὲν ἀνόσιον ἔργον τῇ Κλυταιμνήστρᾳ πέπρακτο, ταῖς παιδευτικαῖς ᾠδαῖς σωφρονίζοντος αὐτῆς τὴν ἄλογον ζωήν. τέταρτος δὲ εἰ βούλει μουσικὸς ἀνάλογον τῇ φανταστικῇ τῆς ποιήσεως ἰδέᾳ τεταγμένος Θάμυρις ἐκεῖνος, ὃν αἱ Μοῦσαι λέγονται παῦσαι τῆς ᾠδῆς· αἱ δὲ χολωσάμεναι πηρὸν θέσαν [B 599]· πολυτροπωτέραν γὰρ καὶ αἰσθητικωτέραν καὶ τοὺς πολλοὺς ἀρέσκουσαν οὗτος μουσικὴν μετεχειρίζετο.

in R.1.195 διὸ καὶ φιλονικῆσαι λέγεται ταῖς Μούσαις, ὡς ἂν τῆς ἁπλουστέρας μουσικῆς, καὶ ταῖς Μούσαις οἰκειοτάτης τὴν ποικιλωτέραν ἐπίπροσθεν ποιησάμενος, καὶ ἀποπεσεῖν τῆς τῶν θεαινῶν εὐμενείας. ὁ γὰρ τῶν Μουσῶν χόλος οὐκ εἰς ἐκείνας ἀναπέμπει τι πάθος, ἀλλὰ τὴν τούτου δείκνυσιν ἀνεπιτηδειότητα τῆς ἐκείνων μεθέξεως. οὗτος οὖν ἐστιν ὁ πολλοστὸς ἀπὸ τῆς ἀληθείας ᾠδὸς καὶ τὰ πάθη τῶν ψυχῶν προκαλούμενος καὶ φανταστικὸς καὶ οὔτε δόξαν ὀρθὴν οὔτε ἐπιστήμην ἔχων περὶ τῶν μιμημάτων. Πάντα ἄρα τὰ γένη τῆς ποιήσεως παρ’ Ὁμήρῳ τεθεάμεθα, διαφερόντως δὲ τὸ ἐνθουσιαστικόν, καθ’ ὃ δὴ καὶ μάλιστα χαρακτηρίζεσθαί φαμεν αὐτόν (καὶ οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ Πλάτων θεῖον ποιητὴν καὶ θειότατον τῶν ποιητῶν καὶ παντὸς μᾶλλον ἄξιον ζηλοῦν πολλαχοῦ προσαγορεύων αὐτόν, ὡς ἐν τοῖς ἔμπροσθεν ἐδείκνυμεν)· ἀμυδρότατον δὲ τὸ μιμητικὸν ἅμα καὶ φανταστικόν, ἵνα καὶ τοῖς πολλοῖς ᾖ πιθανός, καὶ ὅτι μὴ πᾶσα ἀνάγκη πᾶν τὸ τοιοῦτον τῆς ποιήσεως ἐξῃρῆσθαι. ἀλλὰ Ὅμηρος μὲν τοῦτον τὸν τρόπον· οἱ δὲ τῆς τραγῳδίας ποιηταὶ φανταστικοὶ μόνον ὄντες καὶ τῆς τῶν πολλῶν στοχαζόμενοι ψυχαγωγίας εἰκότως κατὰ τοῦτο πλεονάζουσιν τῆς ποιήσεως τὸ εἶδος. ὥσπερ οὖν εἴ τις εἰς πόλιν εὐνομουμένην εἰσελθὼν καὶ θεασάμενος ἐκεῖ, καθάπερ φησὶν ὁ Ἀθηναῖος ξένος [leg. II 673e], καὶ τὴν μέθην ἕνεκά τινος χρησίμου παραλαμβανομένην μὴ τὴν φρόνησιν τὴν ἐν τῇ πόλει μηδὲ τὴν ὅλην τάξιν ζηλώσειεν, ἀλλ’ αὐτὴν καθ’ αὑτὴν μόνην τὴν μέθην, οὐκ ἐκείνην ἂν αἰτίαν ἔχοι τῆς ἑαυτοῦ παρανοίας, ἀλλὰ τὴν οἰκείαν ἀσθένειαν τῆς κρίσεως, οὕτως οἶμαι καὶ οἱ τραγῳδιοποιοὶ τὸ ἔσχατον τῆς Ὁμηρικῆς ποιήσεως ζηλώσαντες οὐκ εἰς ἐκεῖνον τὴν ἀρχὴν τῆς σφετέρας πλημμελείας, ἀλλ’ εἰς τὴν ἑαυτῶν ἀναπέμπουσιν ἀδυναμίαν.

in R.1.196 λεγέσθω τοίνυν ἡγεμὼν τῆς τραγῳδίας Ὅμηρος, καθόσον αὐτὸν ἐζήλωσαν οἱ τῆς τραγῳδίας ποιηταὶ τά τε ἄλλα, καὶ ὅτι μέρη τῆς ἐκείνου κατενείμαντο ποιήσεως, τὰ μὲν εἰκαστικῶς εἰρημένα φανταστικῶς μιμησάμενοι, τὰ δὲ ἐπιστημόνως συντεθέντα ταῖς τῶν πολλῶν ἀκοαῖς προσαρμόσαντες. ἀλλ’ οὐ τραγῳδίας μόνον ἐστὶν διδάσκαλος (ταύτης μὲν γὰρ κατὰ τὸ ἔσχατον τῆς ἑαυτοῦ ποιήσεως), ἀλλὰ καὶ τῆς Πλάτωνος ἁπάσης πραγματείας τῆς μιμητικῆς καὶ τῆς φιλοσόφου θεωρίας ὅλης. Τί ἐστιν, ὅπερ ὁ Σωκράτης ἐν τῷ δεκάτῳ τῆς πολιτείας ἐκβάλλει τῆς Ὁμήρου ποιητικῆς, καὶ διὰ τίνας αἰτίας, καὶ ὅτι οὐχ ὅλην αὐτήν, ἀλλ’ ὅτι τὸ ἔσχατον αὐτῆς ἀποδοκιμάζει μόνον. Περὶ μὲν δὴ ποιητικῆς αὐτῆς καὶ τῆς Ὁμήρου τελεωτάτης ποιήσεως ἱκανὰ τὰ εἰρημένα. τούτοις δὲ τοὺς τοῦ Σωκράτους ἀντιπαρατείνωμεν λόγους καὶ θεασώμεθα, τίνα μὲν ἐλέγχει ποιητικὴν ἰδέαν, ὅπως δὲ αὐτὸν Ὅμηρον ἐξαιρήσωμεν τῶν πολλῶν ἐκείνων καὶ παντοδαπῶν ἐλέγχων· καὶ πρῶτον ὅτι μὴ πᾶσαν εὐθύνει τὴν ποιητικὴν ἐκ τῶν γεγραμμένων ἐπιδείξωμεν. ἐν ἀρχῇ μὲν οὖν εὐθὺς τοῦ δεκάτου βιβλίου· καὶ μή ν , ἦν δὲ ἐγ ώ , φησίν, πολλὰ μὲν καὶ ἄλλα περὶ αὐτῆς ἐννοῶ (τῆς εἰρημένης πολιτείας λέγων), ὡς παντὸς ἄρα

μᾶλλον ὀρθῶς ᾠκίζομεν τὴν πόλι ν , οὐχ ἥκιστα δὲ ἐνθυμηθεὶς περὶ ποιήσεω ς , τὸ μηδαμῇ παραδέχεσθαι αὐτῆς ὅση μιμητικ ή .

in R.1.197 παντὸς γὰρ μᾶλλον οὐ παραδεκτέον νῦν καὶ ἐναργέστερο ν , ὡς ἐμοὶ δοκε ῖ , φαίνεται [p. 595a]. καὶ πάλιν ἑξῆς· ὡς μὲν πρὸς ὑμᾶς εἰρῆσθαι (οὐ γάρ μου κατερεῖτε πρὸς τοὺς τραγῳδίας ποιητὰς καὶ τοὺς ἄλλους πάντας τοὺς μιμητικού ς) , λώβη ἔοικεν εἶναι πάντα τὰ τοιαῦτα τῆς τῶν ἀκουόντων διανοίας [p. 595b]. τὸ μὲν οὖν προκείμενον αὐτῷ τοῦτό ἐστιν, τὴν μιμητικὴν μόνον ποίησιν καὶ ταύτης ὡς δειχθήσεται διαφερόντως τὴν φανταστικὴν ἐκβάλλειν. ἡμεῖς δέ, εἰ μὲν πᾶσαν ποιητικὴν τοιαύτην ἐνόμιζεν εἶναι, τάχ’ ἂν ὑπελαμβάνομεν αὐτὸν ὁμοίως ἅπασαν ἐλέγχειν· εἰ δὲ τὴν ἔνθεον ποίησιν καὶ τὴν μετ’ ἐπιστήμης τοὺς λόγους ποιουμένην ἑτέραν ἀπολείπει τῆς ἀτελοῦς καὶ μιμήσει χρωμένης, πρὸς μὲν ταύτην τείνειν οἰησόμεθα τοὺς ἐλέγχους, ἐκείνην δὲ ἐξαιρήσομεν τῶν προκειμένων λόγων. δηλοῖ δέ που καὶ αὐτὸς εἰπὼν ἐν ἀρχῇ καὶ διορισάμενος [p. 595a], ὡς οὐ χρὴ τῆς ποιητικῆς ἀποδέχεσθαι ταύτην ὅση μιμητική. τό τε γὰρ πᾶσαν οἰόμενον εἶναι μιμητικὴν τοῦτο προστιθέναι περιττόν, καὶ τὸ κατὰ πάσης τοὺς αὐτοὺς ἐφαρμόττειν λόγους ὑπολαμβάνοντα πρὸς τὴν μιμητικὴν ἀποτείνεσθαι μόνην ἄλογον. λείπεται ἄρα τοσοῦτον φάναι τῆς ποιητικῆς εὐθύνεσθαι μόνον, ὅσον περὶ τὴν μίμησιν τὴν πᾶσαν ἔχει σπουδήν. ἐπεὶ κἀν τοῖς ἐφεξῆς οὑτωσί πως προάγει τὸν ἔλεγχον· ὁ ποιητὴς μιμητής· πᾶς μιμητὴς τρίτος ἀπὸ τῆς ἀληθείας· ὁ ἄρα ποιητὴς τρίτος ἀπὸ τῆς ἀληθείας. διὸ καὶ ἐξ ἀρχῆς ὡρίσατο, τί ποτέ ἐστι μίμησις, λέγων· τὸν τοῦ τρίτου ἄρα γεννήματος ἀπὸ τῆς φύσεως μιμητὴν καλεῖς [p. 597e], καὶ συνάγων ἀμφοτέρας τὰς προτάσεις οὑτωσί πως φησίν· τοῦ τ ’ ἄρα ἔσται καὶ ὁ τραγῳδιοποιό ς , εἴπερ μιμητής ἐστι ν , τρίτος ἀπὸ βασιλέως καὶ τῆς ἀληθείας πεφυκὼς καὶ οἱ ἄλλοι πάντες μιμητα ί .

in R.1.198 εἶτ’ ἐπὶ τούτοις δείκνυσιν, ὡς οὐδὲ πάσης μιμήσεως ἐπιλαμβάνεται, ἀλλὰ τῆς φανταστικῆς, καὶ συνάγει· πόρρω ἄρα τοῦ ἀληθοῦς ἡ μιμητική ἐστιν [p. 598b], καὶ ὅτι ὁ κατὰ ταύτην μιμητὴς οὐδὲ ὀρθοδοξάσει περὶ ὧν ἂν μιμῆται πρὸς κάλλος ἢ πονηρίαν συλλογίζεται [p. 602a]. Τί οὖν ταῦτα πρὸς τὴν καθ’ Ὅμηρον ποιητικήν; πρὸς μὲν γὰρ τὴν τραγικὴν ποίησιν καὶ κωμικὴν ἱκανά· τούτων γὰρ τὸ ὅλον μίμησίς ἐστιν πρὸς τὴν τῶν ἀκουόντων ἐξειργασμένη ψυχαγωγίαν· πρὸς δὲ τὴν Ὁμήρου ποιητικὴν τὴν ἀπὸ θεῶν ὡρμημένην καὶ τῶν ὄντων ἐκφαίνουσαν τὴν φύσιν οὐδὲν ἂν προσήκοι. καὶ πῶς γὰρ ἂν ἡ διὰ συμβόλων τὰ θεῖα ἀφερμηνεύουσα μιμητικὴ προσαγορεύοιτο; τὰ γὰρ σύμβολα τούτων, ὧν ἐστι σύμβολα, μιμήματα οὐκ ἔστιν· τὰ μὲν γὰρ ἐναντία τῶν ἐναντίων οὐκ ἄν ποτε μιμήματα γένοιτο, τοῦ καλοῦ τὸ αἰσχρόν, καὶ τοῦ κατὰ φύσιν τὸ παρὰ φύσιν· ἡ δὲ συμβολικὴ θεωρία καὶ διὰ τῶν ἐναντιωτάτων τὴν τῶν πραγμάτων ἐνδείκνυται φύσιν. εἴ τις ἄρα ποιητὴς ἔνθους ἐστὶν καὶ διὰ συνθημάτων δηλοῖ τὴν περὶ τῶν ὄντων ἀλήθειαν, ἢ εἴ τις ἐπιστήμῃ χρώμενος αὐτὴν ἡμῖν ἐκφαίνει τὴν τάξιν τῶν πραγμάτων, οὗτος οὔτε μιμητής ἐστιν οὔτε ἐλέγχεσθαι δύναται διὰ τῶν προκειμένων ἀποδείξεων. Σκοπεῖτε δέ, εἰ βούλεσθε, καὶ τῶν λόγων ἕκαστον ἐφ’ ἑαυτοῦ θεωροῦντες· ὁ ποιητὴς μιμητής· ὁ μιμητὴς τρίτος ἀπὸ τῆς ἀληθείας· 〈ὁ ποιητὴς ἄρα τρίτος ἀπὸ τῆς ἀληθείασ〉 . ἀλλ’ οὐχ ὁ πρώτιστος ποιητὴς φαῖμεν ἂν τοιοῦτος, οὐδὲ ὁ τῶν ποιητῶν ὡς φῂς θειότατος, ἀλλ’ ᾗ μὲν κάτοχος ταῖς Μούσαις, αὐτοῖς σύνεστι τοῖς οὖσιν καὶ θεᾶται τὴν περὶ τῶν ὄντων ἀλήθειαν, ᾗ δὲ μιμητής, τρίτος ἐστὶν ἀπὸ τῆς ἀληθείας.

in R.1.199 δεῖ δὲ ἕκαστον ἐκ τοῦ κρατίστου χαρακτηρίζειν, ὧν ⟦ μὲν ⟧ ἐνεργεῖ, καὶ οὐκ ἐκ τοῦ τελευταίου· ἐπεὶ καὶ Πλάτωνα μιμητὴν ἂν οὕτως τις ἀποφήνειε καὶ τρίτον ἀπὸ τῆς ἀληθείας. ἔστι γὰρ ἐν τοῖς διαλόγοις ⟦ ἡ ⟧ μίμησις τῶν διαλεγομένων συμπινόντων, ἔστι δὲ καὶ πολεμούντων καὶ εἰρηνευόντων μίμησις, ὡς ἐν Τιμαίῳ καὶ ἐν Κριτίᾳ τεθεάμεθα· ἀλλὰ τοῦτο μὲν πάρεργον, τὸ δὲ ἐξαίρετον ἀγαθὸν τοῦ Πλάτωνος ἡ φιλόσοφός ἐστι θεωρία. καὶ Ὁμήρου τοίνυν ὁ μὲν ἐνθεασμὸς τὸ πρώτιστόν ἐστιν ἀγαθὸν ἐν τῇ ποιήσει, τὸ δὲ μιμητικὸν ἔσχατον· τοῖς δὲ

τραγῳδιοποιοῖς τοῦτο προηγουμένως ἐσπούδασται καὶ τὸ ὅλον αὐτοῖς ἡ μίμησις δύναται. ἀλλ᾽ εἰ καὶ μιμεῖσθαι, φησίν [p. 599a], Ὅμηρος ἱκανὸς καὶ πρὸς τῷ παραδείγματι τὸν νοῦν ἔχειν καὶ ποιεῖν ταῦτα ἃ μιμεῖται, πῶς οὐκ ἄτοπον αὐτὸν ἐπὶ τῇ δημιουργίᾳ τῶν εἰδώλων ἑαυτὸν τάξαι καὶ τοῦτο προστήσασθαι τοῦ βίου τέλος; ἀλλ᾽ οὐδὲ ἡμεῖς συγχωρήσομεν τέλος εἶναι τοῦ βίου τῷ θείῳ ποιητῇ τὴν μίμησιν, ἀλλὰ πάρεργον, καὶ δεύτερον, ἀλλ᾽ οὐ πρῶτον, καὶ μιμεῖσθαι μὲν αὐτὸν πολλὰ ὧν οὐ δύναται ποιεῖν διὰ τὸ ψιλὴν αὐτὸν πεῖραν λαβεῖν τῶν μιμημάτων, μιμεῖσθαι δὲ αὖ καὶ ὅσα οἷός τε ποιεῖν ἦν. καὶ γὰρ ναυπηγοῦντα τὸν Ὀδυσσέα καὶ ἡνιοχοῦντα ἄλλον μιμεῖται, 〈εἰ〉 καὶ οὐ πάντως ἡνιοχεῖν ἠδύνατο καὶ ναυπηγεῖν· γνωστικῶς γὰρ εἶχεν ταῦτα καὶ οὐ χειρουργικῶς· ἀλλὰ καὶ συμβουλεύοντα καὶ περὶ τῶν δικαίων εἰσηγούμενον· ταῦτα δὲ οὐ μιμεῖσθαι μόνον, ἀλλὰ καὶ ποιεῖν ἱκανὸς ἦν. Τίνα ἄν τις ἀπολογήσαιτο πρὸς τοὺς ἐλέγχοντας λόγους ὡς οὐκ ὄντα τὸν Ὅμηρον ἀνθρώπων παιδευτικὸν οὐδὲ ὅλως πολιτικόν.

in R.1.200 (1E)

Ἐνταῦθα δὴ λοιπὸν ἐπιρρεῖ παντοίων ἐρωτήσεων πλῆθος, τίνας ἐπαίδευσεν Ὅμηρος, εἴπερ μὴ μιμητὴς μόνον, ἀλλὰ καὶ δημιουργὸς παιδείας ἀληθοῦς, τίσι τῶν πόλεων ἔθετο νόμους, τίς πόλεμος δι᾽ ἐκεῖνον ἐπράχθη καλῶς, τίνες ἰδίᾳ τῆς Ὁμήρου παιδείας ἀπολελαύκασιν. πρὸς δὴ ταῦτα πάντα καὶ τὰ τοιαῦτα φήσομεν, ὅτι καὶ τὸ μῆκος τοῦ χρόνου τὴν ἐν ταῖς διαδοχαῖς τῶν ἀνθρώπων μνήμην ἀφῄρηται, καὶ τὸ μὴ εἶναι κατ᾽ ἐκείνους τοὺς καιροὺς ἄνδρας ἱστορεῖν τὰ τοιαῦτα δεινοὺς τῆς διὰ τούτων ἡμᾶς διδασκαλίας ἀπεστέρησεν, ὧν Ὅμηρος ἰδίᾳ τε καὶ κοινῇ ταῖς πόλεσιν εἰς παιδείαν καὶ εὐνομίαν συνετέλεσεν. ἐπεὶ ὅτι γε τῶν πόλεών τινες ἐν τοῖς ὕστερον χρόνοις διαμφισβητήσασαι πρὸς ἀλλήλας Ὁμήρῳ δικαστῇ καὶ τοῖς Ὁμήρου γράμμασιν ἐχρήσαντο τῶν δικαίων, ἐκ τῆς ἱστορίας παρειλήφαμεν. τί οὖν θαυμαστόν, εἰ καὶ ζῶντα νομοθέτην τινὲς προεστήσαντο καὶ ἰδίᾳ διδάσκαλον ἐποιήσαντο καὶ ταῖς ἐκείνου συμβουλαῖς ὥσπερ ἐπῳδαῖς ἐχρήσαντο; ταῦτα δὴ ἠγνόηται τοῖς ὕστερον. καὶ γὰρ ὅτι Πυθαγόρας πολλοὺς ἐπαίδευσεν καὶ ὅτι Λυκοῦργος Λακεδαιμονίοις ἐνομοθέτησεν ἢ Σόλων Ἀθηναίοις, ἐκ τῶν πολυστίχων ἡμεῖς ἔγνωμεν συγγραμμάτων, ὅσοι τῶν χρόνων ἐκείνων ἀπελείφθημεν. ἀλλ᾽ ὅ γε μιμητής, φησίν, οὔτε δόξαν ὀρθὴν ἔχει περὶ ἐκείνων ἃ μιμεῖται, ὥσπερ ὁ δημιουργός (οὐ γὰρ σύνεστιν τῷ χρησομένῳ), οὔτε ἐπιστήμην· οὐ γάρ ἐστιν ὁ χρησόμενος. τρεῖς γὰρ αὗται τέχναι νοείσθωσαν περὶ τὸν χαλινόν, εἰ τύχοι, ἡ χρησομένη, ἡ ποιήσουσα, ἡ μιμησομένη· δῆλον οὖν ὡς ἡ μὲν ἐπιστήμην ἕξει τῆς τοῦ χαλινοῦ χρείας, ἡ δὲ δόξαν ὀρθήν, ὑπ᾽ ἐκείνης διδασκομένη ποῖον εἶναι δεῖ τὸν χαλινόν, ἡ δὲ οὐδέτερα τούτων· γράφει γὰρ ὁ ζωγράφος χαλινὸν οὔτε ἱππέως οὔτε χαλινοποιοῦ παρόντος.

in R.1.201

ταῦτα καὶ ἡμεῖς ἀληθῆ φήσομεν ἐπὶ τῶν μιμητῶν μόνον· εἰ δέ τις τοῦτο μὲν προστήσαιτο ὡς πάρεργον, ἄλλην δὲ ἐπιστήμην ἔχοι καὶ γνῶσιν τῶν πραγμάτων, πῶς οὐκ ἀνάγκη τοῦτον καὶ ὧν μιμεῖται τὸ κάλλος εἰδέναι καὶ τὴν πονηρίαν; δηλοῖ δέ που τοῦτο καὶ αὐτὸς ὁ θεῖος ποιητής, πανταχοῦ τοῖς πραττομένοις τὴν ἑαυτοῦ κρίσιν ἐπιφέρων, ὅτι καλὰ καὶ ὅτι αἰσχρά, τῷ δὲ φρένας ἄφρονι πεῖθε ν , καὶ νήπιος λέγων, καὶ φρεσὶ γὰρ κέχρητο ἀγαθῇσιν καὶ ὅσα τοιαῦτα, ταῖς πράξεσιν τὸ κάλλος καὶ τὴν μοχθηρίαν ἀφορίζων. ἀλλ᾽ ὁ μιμητής, φησίν, καὶ εἰδωλοποιὸς οὗτος ποιητὴς πρὸς τὸ παθητικὸν τῆς ψυχῆς ἀποτείνεται καὶ τούτου προκαλεῖται τὰς κινήσεις· καὶ ἡμεῖς συμφήσομεν, εἰ τὴν τραγῳδίαν λέγοι καὶ τὴν κωμῳδίαν καὶ τὴν ἐν ταύταις μίμησιν. εἰ δὲ τὴν Ὁμήρου ποίησιν, τὸ μέγιστον αὐτῆς ἔργον εἰς τὴν τοῦ νοῦ καὶ τῆς διανοίας ἡμῶν τελείωσιν ἀποκεῖσθαι διατεινόμεθα, καὶ οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ Πλάτων, ὅταν λέγῃ [Ion. p. 533e] τῷ ποιητῇ τῷ κατόχῳ ταῖς Μούσαις καὶ τοὺς ἀκούοντας συνενθουσιᾶν καὶ συνεπαίρεσθαι πρὸς τὴν θείαν μανίαν. εἰ μὲν οὖν τὸ παθητικόν ἐστι τὸ ἐνθουσιάζον, πρὸς τοῦτο καὶ Ὅμηρος προσεχέτω τὴν ἐνέργειαν· εἰ δὲ νοῦς ἢ τοῦ νοῦ θειότερον, πολλοῦ ἂν δέοιμεν ταὐτὸν ἐκ τῆς Ὁμήρου ποιήσεως πάσχειν, ὅπερ ἐκ τῆς τραγικῆς μιμήσεως. ὅταν οὖν ὁ Σωκράτης λέγῃ σαφῶς· ὁ δὴ μιμητικὸς ποιητὴς οὐ πρὸς τὸ λογιστικὸν τῆς ψυχῆς πέφυκε ν , εἰ

μέλλει εὐδοκιμήσειν ἐν τοῖς πολλοῖ ς , ἀλλὰ πρὸς τὸ ἀγανακτητικὸν καὶ ποικίλον ἦθος [p. 605a], ἀπαντησόμεθα λέγοντες· ἀλλ᾽ ὁ ἐνθουσιαστικὸς πρὸς τὸ θεῖον τῆς ψυχῆς ποιεῖται τοὺς λόγους, ὅταν δὲ καὶ κολάζῃ τὰ πάθη διὰ τῶν ἐπιπλήξεων, πῶς ἂν φήσειέν τις αὐτὸν προκαλεῖσθαι καὶ τρέφειν τὸ παθητικόν; τοσαῦτα μὲν πρὸς τὰς Σωκρατικὰς ἐφόδους ὑπὲρ Ὁμήρου δικαιολογούμεθα καὶ τῆς ἐνθέου ποιήσεως.

in R.1.202 Διὰ ποίας αἰτίας ὁ Πλάτων ἐλέγχειν εἵλετο τὸν Ὅμηρον ὡς μὴ ὄντα παιδευτικὸν ἀνθρώπων ἱκανόν. Πάλιν δὲ ἐπὶ θάτερα μεταβάντες αὐτὸ τοῦτο ζητήσωμεν, διὰ ποίαν οὖν αἰτίαν ὁ Πλάτων τοιαῦτα περὶ Ὁμήρου καὶ ποιητικῆς εἵλετο λέγειν· οὔτε γὰρ ἐλάνθανεν αὐτὸν τὰ παρ᾽ ἡμῶν ῥηθέντα καὶ ὅσα αὐτὸς ἐν ἄλλοις ἀνέγραψεν, οὔτε διὰ πάθος πεποίηται τὴν σύστασιν τῶν εἰρημένων λόγων· οὐ γὰρ θέμις αὐτῷ. τί οὖν τὸ αἴτιον, προσθῶμεν τοῖς ἔμπροσθεν. δοκεῖ δή μοι τὴν τῶν καθ᾽ ἑαυτὸν ἀνθρώπων περὶ φιλοσοφίαν καὶ τοὺς τῆς ἐπιστήμης λόγους ὀλιγωρίαν πολλὴν καὶ ἀμήχανον οὖσαν ὁρῶν, τῶν μὲν ἀχρηστίαν πάντων τῶν περὶ αὐτὴν ἐσχολακότων καταψηφιζομένων, τῶν δὲ καὶ φευκτὸν εἶναι τὸν ἐν φιλοσοφίᾳ βίον ἡγουμένων, ποιητικὴν δὲ πέρα τοῦ μέτρου θαυμαζόντων καὶ τὴν μίμησιν αὐτῆς ζηλούντων καὶ μόνην πρὸς τὴν παιδείαν ἐξαρκεῖν οἰομένων, τοὺς ἀγῶνας ἐνστήσασθαι τούτους, ἐν οἷς ἐπιδείκνυσιν τὸ μὲν ποιητικὸν καὶ μιμητικὸν γένος πόρρω πῃ τῆς ἀληθείας πλανώμενον, τὴν δὲ ἀληθῆ σωτηρίαν τῶν ψυχῶν φιλοσοφίαν παρεχομένην. κατὰ γὰρ τὴν ἀγαθοειδῆ ταύτην βούλησιν καὶ τοὺς σοφιστὰς ἐλέγχει καὶ τοὺς δημαγωγούς, ὡς οὐδὲν πρὸς ἀρετὴν συντελεῖν δυναμένους. οὕτως οὖν οἶμαι καὶ τοὺς ποιητὰς εὐθύνει, διαφερόντως μὲν τοὺς τῆς τραγῳδίας δημιουργούς, καὶ ὅσοι μιμηταὶ ψυχαγωγίαν τινὰ μεμηχανημένοι τῶν ἀκουόντων, ἀλλ᾽ οὐκ ὠφέλειαν πρὸς ἀρετήν, καὶ γοητεύοντες τοὺς πολλούς, ἀλλ᾽ οὐ παιδεύοντες· Ὅμηρον δὲ ὡς ἀρχηγὸν τῆς τοιαύτης Μούσης καὶ τοῖς τραγῳδιοποιοῖς τὰ σπέρματα τῆς μιμήσεως παρασχόμενον ἀξιοῖ τῶν ὁμοίων ἐλέγχων, ἀπάγων τοὺς πολλοὺς τῆς περὶ τὴν ποίησιν πτοίας, οἳ τῆς ἀληθινῆς παιδείας ἀμελήσαντες περὶ τοὺς ποιητὰς ὡς πάντων ἐπιγνώμονας διέτριβον.

in R.1.203 ὅτι δὲ ἀπὸ ταύτης ὁ Πλάτων τῆς προαιρέσεως πάντας καταβέβληται τοὺς περὶ ποιητῶν λόγους, ἐκ τῶν γεγραμμένων δῆλον· οὐκοῦ ν , ἦν δὲ ἐγ ώ , μετὰ ταῦτα σκεπτέον τήν τε τραγῳδίαν καὶ τὸν ἡγεμόνα αὐτῆς Ὅμηρο ν , ἐπειδή τινων ἀκούομε ν , ὅτι οὗτοι πάσας μὲν τέχνας ἐπίσταντα ι , πάντα δὲ τὰ ἀνθρώπεια τὰ πρὸς ἀρετὴν καὶ κακία ν , καὶ τά γε θεῖ α . ἀνάγκη γὰρ τὸν ἀγαθὸν ποιητή ν , εἰ μέλλοι περὶ ὧν ἂν ποιῇ καλῶς ποιήσει ν , εἰδότα ἄρα ποιεῖ ν , ἢ μὴ οἷόν τε εἶναι εὖ ποιεῖ ν . δεῖ δὴ ἐπισκέψασθα ι , πότερον μιμηταῖς τούτοις οὗτοι ἐντυχόντες ἐξηπάτηνται καὶ τὰ ἔργα αὐτῶν ὁρῶντες οὐκ αἰσθάνονται τριττὰ ἀπέχοντα τοῦ ὄντος καὶ ῥᾴδια ποιεῖν μὴ εἰδότι τὴν ἀλήθεια ν . φαντάσματα γά ρ , ἀλ λ ᾽ οὐκ ὄντα ποιοῦσιν · ἤ τι καὶ λέγουσιν καὶ τῷ ὄντι οἱ ἀγαθοὶ ποιηταὶ ἴσασιν περὶ ὧν δοκοῦσι τοῖς πολλοῖς εὖ λέγειν [p. 598d sqq.]. αὐτὸς γὰρ ἐν τοῖσδε τοῖς ῥήμασιν λέγει τὴν αἰτίαν σαφῶς, δι᾽ ἣν τὸν κατὰ τῆς ποιητικῆς ταύτης ἐνεστήσατο λόγον, διότι δὴ τοὺς πολλοὺς ἐαλωκότας ὑπὸ τῆς μιμήσεως ἑώρα καὶ πάντων ἐπιστήμονας οἰομένους εἶναι τοὺς πάντα χρήματα μιμουμένους καὶ εἰδωλοποιούς.

in R.1.204 παιδευτικῶς ἄρα τῶν πολλῶν καὶ διορθωτικῶς τῆς ἀτόπου φαντασίας καὶ προτρεπτικῶς εἰς τὴν φιλόσοφον ζωὴν τούς τε τραγῳδιοποιοὺς κοινοὺς παιδευτὰς ὑπὸ τῶν τότε καλουμένους ὡς οὐδὲν ὑγιὲς ἐπεσκεμμένους διήλεγξεν, καὶ τῆς πρὸς Ὅμηρον ὑφῆκεν αἰδοῦς καὶ συντάξας αὐτὸν τοῖς τραγικοῖς ὡς μιμητὴν ἐν τοῖς λόγοις ηὔθυνεν. οὐ δὴ θαυμαστόν ἐστιν ἔτι, πῶς ὁ αὐτὸς καὶ θεῖος ποιητής ἐστι καὶ τρίτος ἀπὸ τῆς ἀληθείας. ὡς μὲν γὰρ κάτοχος ταῖς Μούσαις θεῖός ἐστιν, ὡς δὲ μιμήσεως ἐφαψάμενος τρίτος ἀπὸ τῆς ἀληθείας. ὧδέ πως καὶ πρὸς τὰ μέγιστα τῶν δογμάτων αὐτῷ χρῆται μάρτυρι καὶ τῆς πολιτείας αὐτὸν ἐκβάλλει. ὡς μὲν γὰρ ἐπιστήμων τὴν αὐτὴν ἔχει τῷ Πλάτωνι περὶ τῶν ὄντων γνῶσιν, ὡς δὲ τοῖς τραγῳδιοποιοῖς ἔχων τι κοινὸν τῆς εὐνομουμένης ἐκβάλλεται πόλεως· εἰ γὰρ τὴν ἡδυσμένη ν , φησὶν ὁ

Σωκράτης, παραδέξει Μοῦσαν ἐν μέλεσιν ἢ ἔπεσι ν , ἡδονή σοι καὶ λύπη ἐν τῇ πόλει βασιλεύσετον [607a]. ὅτι δὲ καὶ Ὅμηρον, καθόσον ἐστὶν ἐν τῇ ποιήσει τῆς τραγῳδίας τις ἀρχή, συμπεριλαμβάνει τοῖς ἐλέγχοις καὶ ὁ προηγούμενος λόγος εἰς τὴν τοιαύτην τείνει μίμησιν, διὰ πάντων ὡς εἰπεῖν ⟦ τῶν ἐκ ⟧ τῶν τοῦ Σωκράτους ῥημάτων ἐστὶν καταφανές. ἔοικεν γά ρ , φησίν, Ὅμηρος τῶν καλῶν πάντων τούτων τῶν τραγικῶν διδάσκαλος καὶ ἡγεμὼν γενέσθα ι . ἀλ λ ’ οὐ γὰρ πρό γε τῆς ἀληθείας τιμητέος ἀνήρ [p. 595c]. καὶ ἐξῆς· τοῦτο ἄρα ἐστὶ καὶ ὁ τραγῳδιοποιό ς , εἴπερ μιμητής ἐστ ι , τρίτος ἀπὸ τοῦ βασιλέως καὶ τῆς ἀληθείας πεφυκώς [p. 597e]. οὗ μὲν γὰρ τὴν αἰτίαν εἶπεν, δι’ ἣν καὶ πρὸς Ὅμηρον ἂν αἱρεῖται παρρησιάζεσθαι διὰ λόγων· οὗ δὲ ὡς προηγουμένως περὶ τραγῳδίας ἀγωνιζόμενος αὐτὸν διαφερόντως τὸν τραγῳδιοποιὸν μνήμης ἠξίωσεν ὡς τρίτον ἀπὸ τῆς ἀληθείας.

in R.1.205 καὶ ἔοικεν οὐδὲν ἄλλο κατασκευάζειν ἐν τούτοις ὁ Πλάτων ἢ τοῦτο, ὃ καὶ Σωκράτης αὐτῷ πρῶτον ἐντυχὼν περὶ τραγῳδίαν σπουδάζοντι καὶ ἀποδείξας, ὡς οὐδὲν ἀγαθὸν ὑπάρχει τοῖς ἀνθρώποις, ἀπέτρεψεν τῆς τοιαύτης μιμήσεως, καὶ τρόπον τινὰ τοὺς Σωκρατικοὺς ἐκείνους ἀναγράφειν λόγους, ἐν οἷς ἀπέφαινεν οὔτε παιδευτικὴν οὖσαν οὔτε ὠφέλιμον τὴν τραγῳδίαν, ἀλλὰ τρίτην ἀπὸ τῆς ἀληθείας, καὶ οὔτε ἐπιστήμης οὔτε ὀρθῆς δόξης μετέχουσαν περὶ ὧν μιμεῖται πραγμάτων οὐδὲ τῆς διανοίας ἡμῶν, ἀλλὰ τῆς ἀλογίας στοχαζομένην. ταῦτα δέ, εἰ καὶ ἔστι πως παρ’ Ὁμήρῳ συνῃρημένως καὶ ἀρχοειδῶς, ἀλλὰ μὴ διὰ ταῦτα τὴν Ὁμήρου ποίησιν αἰτιώμεθα. οὐδὲ γὰρ Πλάτωνα διὰ τὴν ἐν τῇ λογογραφίᾳ καλλιέπειαν αἰτιατέον καὶ τὴν περὶ τὴν λέξιν ἐπιμέλειαν, εἰ καὶ ἄλλοι περὶ ταύτην διαφερόντως ἐσπούδασαν, τὰς τελευταίας ἐνεργείας μιμούμενοι τοῦ Πλάτωνος, οὐδὲ αὐτὸν τὸν δημιουργὸν τῶν θνητῶν ἕνεκα πραγμάτων καὶ τῆς περὶ τὴν γένεσιν κακίας, ἐπειδήπερ αἱ μερισταὶ ψυχαὶ καλινδοῦνται περὶ αὐτήν. ταῦτα, ὦ φίλοι ἑταῖροι, μνήμῃ κεχαρίσθω τῆς τοῦ καθηγεμόνος ἡμῶν συνουσίας, ἐμοὶ μὲν ὄντα ῥητὰ πρὸς ὑμᾶς, ὑμῖν δὲ ἄρρητα πρὸς τοὺς πολλούς. ΠΡΟΚΛΟΥ ΔΙΑΔΟΧΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΩΙ ΤΕΤΑΡΤΩΙ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΑΠΟΔΕΙΞΕΩΝ ΤΟΥ ΤΡΙΑ ΕΙΝΑΙ ΜΟΡΙΑ ΤΗΣ ΑΝΘΡΩΠΙΝΗΣ ΨΥΧΗΣ ΚΑΙ ΤΕΤΤΑΡΑΣ ΤΑΣ ΕΝ ΑΥΤΟΙΣ ΑΡΕΤΑΣ.

in R.1.206 (1t) Τὸν περὶ τῶν ἀρετῶν λόγον πῶς διέθηκεν ὁ ἐν Πολιτείᾳ Σωκράτης, περί τε τῶν πολιτικῶν γενῶν καὶ τῶν ψυχικῶν μερῶν χωρὶς διαλεχθείς, μάθοιμεν ἂν αὐτὸ τοῦτο πρῶτον ζητήσαντες παρ’ ἡμῖν αὐτοῖς, τί ποτέ ἐστιν ἀρετῆς ἴδιον ἁπάσης· λέγω δὲ ἀρετὴν οὐ τὴν ὁμωνύμως καὶ ἐπὶ τῶν ἀψύχων εἰωθυῖαν τάττεσθαι, καθάπερ φασὶ σκεύους ἀρετὴν καὶ τοιούτων τινῶν, ἀλλὰ τὴν κυρίως ὀνομαζομένην. ταύτην οὖν ζωτικὴν μὲν εἶναι πάντως φήσομεν περὶ αὐτήν, καὶ οὕτως ὡς τελειωτικὴν ἧς ἐστι ζωῆς, τοῦ εὖ αἰτίαν, ἀλλ’ οὐ τοῦ εἶναι τοῖς ἔχουσιν. διττῆς δὲ τῆς ζωῆς οὔσης, τῆς μὲν γνωστικῆς, τῆς δὲ ὀρεκτικῆς, εἶναι καὶ αὐτὴν τοῦ τε ὀρεκτικοῦ τινα τελείωσιν καὶ τοῦ γνωστικοῦ τῆς ζωῆς εἴδους. διὸ καὶ μὴ μίαν εἶναι δεῖν τὴν ἀρετὴν μηδὲ πλείους μιᾶς, ὁμοειδεῖς δὲ πάσας, ⟦ οὐχ ⟧ οὕτω διῃρημένης τῆς μιᾶς, ὡς τὰ ὁμοιομερῆ διαιρεῖται ἀπ’ ἀλλήλων, τῷ ποσῷ διαφέροντα μόνον, ἀλλὰ καὶ πλείους καὶ ἀνομοίας. ἀνάγκη γὰρ ὡς ἂν ἔχῃ τὰ ὑποκείμενα, καὶ τὰς τελειότητας αὐτῶν οὕτως ἔχειν, ὡς τῶν μὲν εἴδει διαφόρων καὶ τὰς ἀρετὰς εἴδει διαφέρειν, τῶν δὲ ὁμοειδῶν μίαν εἶναι καὶ τὴν ἀρετὴν κατ’ εἶδος. μία γὰρ τελειότης μιᾶς οὐσίας, εἴτε ταὐτὸν εἴη τοῦ τε εἶναι αἴτιον καὶ τοῦ εὖ εἶναι τοῖς οὖσιν (οἷον γὰρ τὸ εἶναι δίδωσι, τοιοῦτον δώσει καὶ τὸ εὖ εἶναι), εἴτε ἕτερον· ἀνάλογον γὰρ θατέρῳ δώσει θάτερον τῷ τὸ εἶναι διδόντι τὸ τοῦ εὖ χορηγόν, τῆς ἑκάστων ἀξίας δήπου στοχαζόμενον.

in R.1.207 ἀνάγκη δ’ οὖν μὴ μίαν εἶναι τὴν ἀρετήν, ὧν οὐκ ἔστιν ἡ οὐσία μία. καὶ διὰ ταῦτα ἄρα καὶ ὁ Σωκράτης ἔν τε τῇ πόλει διεστήσατο τὰ τρία γένη, φυλακικὸν ἐπικουρικὸν θητικόν, πρὶν ἐπιδείξῃ τὰ διαφέροντα γένη τῶν ἀρετῶν τίνα ποτέ ἐστιν ἐν τῇ ἀρίστῃ πολιτείᾳ, καὶ πρὶν τὰς ἐν μιᾷ ψυχῇ κατὰ τὸ ἀνάλογον ἀρετὰς καταδήσηται, τὰ μέρη τῆς ψυχῆς ἐπέδειξεν τὰ τρία κατ’ οὐσίαν ἀλλήλων διαφέροντα, λόγον θυμὸν ἐπιθυμίαν, εἰδὼς ταῖς τῶν ὑποκειμένων διαφοραῖς

συνεξαλλαττομένας αὐτῶν τὰς τελειότητας, καὶ διὰ τοῦτο πλείους ἀρετὰς ἀνομοειδεῖς οὔσας. Ταῦτα μὲν οὖν ὡς ἔφην προειλῆφθαι δεῖ· προσκείσθω δὲ εἰ βούλει τούτοις κἀκεῖνα ῥᾴω ποιήσοντα τὴν τῶν προκειμένων ἡμῖν ἔφοδον, ἄλλην μὲν ἑκάστου τελειότητα καὶ ἐνέργειαν εἶναι καθ' αὑτὸ θεωρουμένου τῶν ὄντων, ἄλλην δὲ κατὰ τὴν πρὸς ἄλλο σχέσιν, καὶ οὕτως ἄλλην, ὡς ἡ ἑκάστου ὕπαρξις ἄλλη τῆς τοῦ αὐτοῦ πρὸς ἄλλο σχέσεώς ἐστιν. οὐ γὰρ ταὐτὸν ἀνθρώπου τελειότης καὶ ἀνθρώπου δεσπότου, καθάπερ οὐδ' ἄνθρωπος καὶ δεσπότης ταὐτόν, οὐδὲ ταὐτὸν ψυχὴν ἁπλῶς ὁρᾶν καὶ ψυχὴν σώματος ἄρχουσαν. δῆλον δὲ τοῦτο καὶ ἐξ ὧν αὐτὸς ἐν Τιμαίῳ λέγει [p. 87e sq.]· τὴν γὰρ ἀσκήσεσιν χρωμένην ψυχὴν συντονωτέραις τοῦ σώματος μὴ εἶναι ὡς σώματος ἄρχουσαν ἐπαινετήν, φθείρουσαν τὸ ἀρχόμενον· καίτοι γε τὸ ψυχῆς ἔργον ποιεῖ τὰ ἑαυτῆς ἀσκοῦσα, καὶ εἰ τὸ ζῷον ἐξ ἀσυμμέτρων πρὸς ἄλληλα φαίνοιτο συνεστός. οὐκ ἔστιν δ' οὖν ταὐτὸν τὴν καθ' αὑτὸ τελειότητα ἑκάστου σκοπεῖν καὶ τὴν σχετικήν· οὐδ' ἄρα τὴν αὐτοπραγίαν ὡσαύτως ληψόμεθα τὴν ὡς αὐτοῦ καθ' αὑτὸ λαμβάνοντες καὶ τὴν ὡς ἄρχοντος ἢ ἀρχομένου.

in R.1.208 τὸ μὲν γὰρ ἄρχον καὶ ἀρχόμενον σχέσεις τινές εἰσιν· κωλύει δὲ οὐδὲν πράττειν μέν τι τὸ αὐτό, μὴ ὡς ἄρχον δὲ ἢ ὡς ἀρχόμενον, ἀλλ' ὡς ἔχον οὐσίαν τινὰ καθ' αὑτὸ καὶ ἐνέργειαν τῇ οὐσίᾳ συμβαίνουσαν ἣν ἔλαχεν. οἷον τὸ λογικὸν τὸ ἐν ἡμῖν καθαρτικῶς ζῶν 〈καὶ〉 θεωρητικῶς ἑαυτοῦ τὸ μὲν οἰκεῖον ἔργον πράττει, πεφυκὸς οὕτω ζῆν κατὰ τὴν αὐτοῦ οὐσίαν, οὐ μέντοι τὸ τοῦ ἄρχοντος τῶν ἀλόγων μορίων, οὐδὲν ἐκείνοις συμβαλλόμενον ἐν τῷ πρὸς ἑαυτὸ ἐνεργεῖν. ὀρθῶς γοῦν καὶ τοῦτο δέδειχεν ὁ Σωκράτης, πᾶσαν ἀρχικὴν τέχνην τῷ ἀρχομένῳ τὸ ἀγαθὸν ἐκπορίζειν· ὥσθ' ὅταν τὸ λογικὸν ἑαυτῷ μόνον τὸ ἀγαθὸν ἐκπορίζῃ καθαῖρον ἑαυτὸ καὶ ζητοῦν ἑαυτό, τὴν τοῦ ἄρχοντας οὐκ ἔχει ζωήν. οὕτω τοίνυν οὐδ' ὅταν ὁ θυμὸς τὰ θυμοῦ πράττῃ, κινούμενος ὡς ὄρεξις μόνον τιμωρητικὴ τῶν προσπεσόντων λυπηρῶν, οὐ σώζει τὴν ἀρχομένου πρὸς τὸν λόγον σχέσιν, ἀλλὰ τὸ μὲν τοῦ θυμοῦ πράττει μόνον (τοῦτο γὰρ ἔργον θυμοῦ τὸ ἀντιλυπήσεως ὀρέγεσθαι), οὐχ ὡς λόγου δὲ ἐνεργεῖ κατήκοος· κατὰ τὰ αὐτὰ δὲ καὶ τὸ ἐπιθυμητικὸν ἁπλήστως ὀρεγόμενον ἡδονῆς κατὰ τὴν αὐτοῦ φύσιν ζῇ (τοῦτο γὰρ ἔργον ἐπιθυμίας, ἡδέος ἐρᾶν οὐ τινός, ἀλλὰ παντός), οὐχ ὡς ἀρχόμενον δὲ ὑπὸ τοῦ μετρεῖν αὐτοῦ τεταγμένου τὴν ὄρεξιν, ὥσθ' ἕκαστον τῶν τριῶν εἶδος πράττειν ἂν εἴποις κατὰ τοῦτον τὸν τρόπον, ὅταν τὸ οἰκεῖον πράττῃ μόνον ὡς τῶν λοιπῶν οὐδὲ τὴν ἀρχὴν αὐτῷ συντεταγμένων. ἐπειδὴ δὲ συνέζευκται πάντα ἀλλήλοις καὶ μίαν συμπληροῖ ζωήν, δεῖ σκοπεῖν αὐτῶν πάντων καὶ τὴν σχετικὴν ἐνέργειαν, καὶ οὕτως ὁρᾶν τήν τε ἀρετὴν ἑκάστου καὶ τὴν κακίαν, καὶ ταύτην ὁρίζεσθαι πολιτικὴν ἀρετὴν ἕξιν οὖσαν τελειωτικὴν τῆς σχετικῆς τῶν τῆς ψυχῆς μορίων ζωῆς, τὴν δὲ ἐναντίαν ταύτης κακίαν ἕξιν διαφθείρουσαν τὴν κατὰ φύσιν αὐτῶν πρὸς ἄλληλα ζωτικὴν σχέσιν, ἐντεῦθεν δὲ ὁρμηθέντας ὁρᾶν καὶ ἐν τοῖς πολιτικοῖς γένεσιν ἑκάστου τὴν ζωὴν οὖσαν διπλῆν, τὴν μὲν καθ' αὑτό, τὴν δὲ κατὰ σχέσιν, καὶ πάλιν ἐπὶ τούτων τὴν ἀρετὴν καὶ τὴν κακίαν ὡσαύτως.

in R.1.209 ἔστω γὰρ ὁ φύλαξ τοιοῦτος, τὰ ὄντα θεώμενος καὶ ἑαυτῷ ζῶν καὶ μέχρι τἀγαθοῦ ταῖς νοεραῖς ἀναγόμενος περιωπαῖς. οὗτος τοίνυν ὡς μὲν ἄνθρωπος ἐνεργεῖ τὴν ἑαυτῷ προσήκουσαν ἐνέργειαν, τὴν δὲ ἀρχικὴν ἀφῆκε ζωήν· διὸ καὶ ὁ Σωκράτης οὐκ ἐᾷ μένειν αὐτὸν ἐπ' ἐκείνης, ἀλλὰ κατάγει πάλιν εἰς τὴν πρόνοιαν τῆς πόλεως, ἵν' ᾖ φύλαξ ὡς ἀληθῶς καὶ ἐν σχέσει, τὴν ἄσχετον καταλιπὼν ἐκείνην ζωήν. ἔστω δὲ αὖ ὁ ἐπίκουρος, διότι κύριός ἐστι τῶν ὅπλων, τῶν μὲν ἀρχόντων μηδένα λόγον ποιούμενος, ὁρμῶν δὲ ὡς ἔτυχεν κατὰ πάντων καὶ τῇ δυνάμει χρώμενος ἀμέτρως. ὡς μὲν ὁπλίτης δή που καὶ οὗτος ἐκπληροῖ τὴν πρέπουσαν ἐνέργειαν (τούτου γὰρ τὸ πολεμεῖν), ὡς δὲ ἀρχόμενος οὐκέτι· δεῖν γὰρ τὸν ἀρχόμενον εἰς τὴν τοῦ ἄρχοντος διάνοιαν βλέπειν. ἐκείνῳ τοίνυν ἑπόμενος σῴζει τὴν οἰκείαν τῷ ἀρχομένῳ ἀρετήν, κατεξανιστάμενος δὲ τοῦ ἄρχοντος διέφθειρεν τὴν σχετικὴν ἀρετήν. ἔστω δὴ οὖν καὶ 〈ὁ〉

χρηματιστὴς τελευταῖος αὐτὸς καθ' ἑαυτὸν ζῶν καὶ περὶ χρηματισμὸν διατρίβων, ὠνούμενος ἢ πιπράσκων καὶ εἰς μόνον τετραμμένος 〈τὸ〉 αὔξειν τὰ χρήματα. τὸ μὲν οἰκεῖον ἔργον δή που πράττει καὶ οὗτος, καθόσον ἔστιν ὃ λέγεται, χρηματιστής, οὔπω δὲ τὴν ἀρχομένου κακίαν ἢ ἀρετὴν ἔχει· εἰ δὲ μέρος γένοιτο πολιτικοῦ συντάγματος καὶ ἔχοι τὴν ἀρχομένου τάξιν, ἐν τούτῳ σχετικῶς μὲν ἤδη ζῇ, κατὰ δὲ ταύτην τὴν σχέσιν ἑπόμενος μὲν τοῖς ἄρχουσιν καὶ κατὰ τὴν ἐκείνων βούλησιν χρηματιζόμενος, ὡς ἂν ὁρίζωσιν ἐκεῖνοι τόν τε τρόπον τοῦ χρηματισμοῦ καὶ τὸ μέτρον, ἕξει τὴν οἰκείαν ἀρετὴν τῷ ἀρχομένῳ χρηματιστῇ, πλημμελῶν δὲ εἰς τοὺς ἄρχοντας καὶ μὴ φυλάττων τὰ ἐκείνων δόγματα μοχθηρὸς ἔσται χρηματιστὴς ὡς ἀρχόμενος.

in R.1.210 ἔστιν ἄρα καὶ ἐν τοῖς πολιτικοῖς γένεσιν διττὸν τὸ οἰκεῖον ἔργον, τὸ μὲν καθ' αὑτό, τὸ δὲ κατὰ σχέσιν, ὡς ἐν τοῖς μέρεσιν τῆς ψυχῆς. εἰ δέ ἐστιν ἐν ἀμφοτέροις καὶ ἄρχοντα καὶ ἀρχόμενα καὶ ἀρεταὶ καὶ κακίαι, τοῦτο δεῖ κατιδεῖν, ὅπως ἔχουσιν αἱ τῶν ἑτέρων ἀρεταὶ καὶ κακίαι πρὸς τὰς τῶν ἑτέρων, καὶ κατιδόντας λέγειν τὰς τῶν ψυχικῶν μερῶν τῶν ἐν τοῖς πολιτικοῖς γένεσιν ἀρετῶν ἢ κακιῶν ⟦ ὡσ ⟧ οἷον παραδείγματα προυπάρχειν. εἴσω μὲν γὰρ ἑκάτεραι ἐνεργοῦσαι τὰ μέρη τῶν ψυχῶν χεῖρον ἢ βέλτιον διατιθέασιν, ἔξω δὲ προϊοῦσαι καὶ εἰς πράξεις χωροῦσαι τὰ πολιτικὰ γένη κοσμοῦσιν ἢ ἀκοσμίας ἀναπιμπλᾶσιν. διὸ καὶ ὁ Σωκράτης ὀρθῶς ἀπὸ τῶν ἐν μιᾷ ψυχῇ ποιεῖται τὴν μετάβασιν ἐπὶ τὰς ἐν ταῖς ὅλαις πόλεσιν, ὡς εἰς γνωριμώτερα μεταβαίνων· καὶ γὰρ ἁπάσας τὰς ἔνδον ἕξεις οὐκ ἄλλως γνῶναι δυνατὸν τῶν ψυχῶν καὶ τὰς ἔνδον μενούσας ἐνεργείας ἢ ἀπὸ τῶν ἔξω προϊουσῶν ἐνεργειῶν. Τοῦτο μὲν οὖν φανερόν· ὁ γὰρ φύλαξ ἄρχων τῶν ἐπικούρων ἔξω ἐνεργεῖ μιμούμενος τὸν ἔνδον λόγον ἄρχοντα τοῦ θυμοῦ, καὶ ὁ ἐπίκουρος ὡσαύτως ἄρχει τοῦ χρηματιστικοῦ γένους, μιμούμενος ἐν τῇ ἔξω ἐνεργείᾳ τὴν ἔνδον ἀρχὴν τοῦ θυμοῦ κατὰ τῆς ἐπιθυμίας. σχέσεις μὲν οὖν αἱ ἀρχαὶ πᾶσαι, καὶ αἱ ψυχικαὶ καὶ αἱ πολιτικαί, μιμήσεις δὲ αἱ ἔξω τῶν ἔνδον καὶ ἐνέργειαι δεύτεραι πρωτουργῶν ἐκείνων οὐσῶν, καὶ ἡ ὡς ἀληθῶς πολιτικὴ περὶ ἐκείνας, ἀρχόντων οὖσα καὶ ἀρχομένων κοσμητική, πρώτως ἑκατέρων ὄντων, ὥσπερ ἡ τῶν πολιτικῶν γενῶν ὡς εἰκόνων οὖσα καὶ αὐτὴ ἐκείνης εἰκών. μᾶλλον δὲ μία μὲν ἕξις οὖσα, διπλᾶς δὲ ἐνεργείας ἔχουσα, τῶν μὲν ἔνδον ἀρχόντων καὶ ἀρχομένων, τὰς δὲ τῶν ἔξω κοσμητικάς.

in R.1.211 Διωρισμένων δὲ τούτων σκοπῶμεν ἤδη, πῶς ταῖς ἀρεταῖς δώσομεν πάροδον πάσαις τέτταρσιν οὔσαις, καὶ αὐτὸ δὴ τοῦτο ποιήσομεν τρανὲς τοῖς ποθοῦσι μαθεῖν, ὅτι τέτταρες. τριῶν δὴ μερῶν ὄντων (ἐντεῦθεν γὰρ ἡμῖν ἀρκτέον), τάξιν δὲ οὐκ ἴσην ἐχόντων, ἀλλὰ τοῦ μὲν ὄντος νῷ συγγενοῦς, τοῦ δὲ φύσει τῷ σώματι προσήκοντος, τοῦ δὲ ἀμφοτέρων ἐν μέσῳ ταχθέντος, ἄρχον μέν ἐστι δήπου μόνον κατὰ φύσιν τὸ τῷ νῷ συγγενές· νῷ δὲ ἄρα συγγενές ἐστι λόγος, ὃς καὶ αὐτὸν πέφυκεν γινώσκειν τὸν νοῦν. ἀρχόμενον δὲ μόνον κατὰ τὴν οἰκείαν τάξιν τὸ τῷ σώματι προσῆκον· τοιοῦτον δὲ τὸ ἐπιθυμητικόν, τῶν σωματικῶν χρειῶν ἐπιθυμοῦν, ὡς ὁ λόγος τῶν νοερῶν ἀγαθῶν· ἅμα δὲ ἄρχον καὶ ἀρχόμενον τὸ θυμοειδές, διότι μὲν ἄλογόν ἐστιν (ὑπάρχει γοῦν καὶ τοῖς ἀλόγοις ζῴοις καὶ γνώσεώς ἐστιν ἄμοιρον, ὡς τὸ ἐπιθυμητικόν), ἄρχεσθαι καὶ αὐτὸ κατὰ φύσιν δεόμενον ὑπὸ τοῦ τῷ νῷ συγγενοῦς, διότι δὲ ἀεὶ τῷ λόγῳ παρίσταται μαχομένης ἐπιθυμίας πρὸς αὐτόν, συγγενέστερον ὂν λόγῳ, μᾶλλον ἐκείνης ἄρχειν ὀφεῖλον, τῆς ἐπιθυμίας πορρωτέρω τοῦ λόγου τεταγμένης καὶ τῷ σώματι διαφερόντως συμπασχούσης. καὶ γὰρ ἡ μὲν περιπτύσσεται τὸ σῶμα καὶ οὐκ ἄν ποτε πρόοιτο πράττουσα τὰ ἑαυτῆς, ὃ δὲ περιπτύει πολλάκις τὸ σῶμα καὶ τὴν μετ' αὐτοῦ ζωήν, ἄλλο τι ποθῶν ὀρεκτόν, ὃ μή ἐστιν σώματος. τριῶν οὖν ὄντων τούτων, καὶ τοῦ μὲν ἄρχειν ὀφείλοντος μόνως, ὡς νοῦς, τοῦ δὲ ἄρχεσθαι μόνως, ὡς σῶμα, τοῦ δὲ ἄρχειν ἅμα καὶ ἄρχεσθαι κατὰ τὴν ἐν μέσῳ τῶν ἄκρων τάξιν, δύο μέν ἐστιν δήπου τὰ ἄρχοντα, τὸ μὲν πρώτως, τὸ δὲ δευτέρως, δύο δὲ κατὰ τὸν αὐτὸν λόγον τὰ ἀρχόμενα.

in R.1.212

δεῖ δὴ οὖν τὸ μὲν ⟦ ἓν ⟧ μόνως ἄρχον μίαν ἔχειν ἀρετὴν τῆς ἀρχικῆς σχέσεως τελειωτικήν, τὸ δὲ ἄρχον μὲν δευτέρως, ἀρχόμενον δὲ πρώτως τῶν δύο σχέσεων ἔχειν διττὰς ἀρετὰς τελειωτικάς (ὡς γὰρ τῶν διαφερουσῶν ὑπάρξεων διαφέρουσιν αἱ τελειώσεις, οὕτω καὶ τῶν σχέσεων), τὸ δὲ μόνως ἀρχόμενον μίαν ἔχει τελειωτικὴν ἀρετήν. ὁ μὲν δὴ λόγος, ὃς δέδεικται μόνως ἄρχειν ὀφείλων, ἀρετὴν ἀρχικὴν ἔχει τὴν φρόνησιν, καθ' ἣν ἑαυτῷ καὶ τοῖς ἄλλοις ὁρίζει τὰ μέτρα τῶν πράξεων· ἡ δὲ ἐπιθυμία μόνως οὖσα ἀρχόμενον ἀρετὴν ἔχει τὴν σωφροσύνην, καθ' ἣν μετρεῖ τὰς ἑαυτῆς ὀρέξεις ἐπιστρεφομένη πρὸς τὸν λόγον, καὶ αὐτὸ τοῦτο τὸ ὀρεχθῆναι λόγου λαβοῦσα παρὰ τοῦ λόγου διὰ τῶν συνειθισμένων καὶ τῆς παιδείας. ὁ δὲ θυμός, ὃν ἄρχεσθαι καὶ ἄρχειν ἐδείκνυμεν κατὰ φύσιν, ἕξει μὲν ὡς ἄρχων ἀνδρείαν, δι' ἣν ταπεινώσει τὸ ἐπιθυμητικὸν καὶ ἄτρωτον ἑαυτὸν φυλάξει τῶν ἀπ' αὐτοῦ πληγῶν, ἕξει δὲ καὶ σωφροσύνην ὡς ἀρχόμενος, καθ' ὅσον καὶ αὐτὸς ὀρέγεται τῶν ἀπὸ τοῦ λόγου μέτρων παιδευθείς. εἰ δὲ δὴ καὶ ὁ λόγος, ὡς ἀμφοῖν ἄρχων καὶ αἴτιος τῆς πρὸς ἑαυτὸν ἐπιστροφῆς καὶ τοῦ πειθηνίοις γενέσθαι, τοῦ μέτρου περιέχει τὴν ἀρχὴν ὃ δέδωκεν ἐκείνοις, εἴη ἂν ἡ σωφροσύνη, ἀρξαμένη μὲν ἀπὸ τοῦ λόγου, τελευτῶσα δὲ εἰς τὴν ἐπιθυμίαν διὰ μέσου τοῦ θυμοῦ, καὶ οὕτως ἁρμονία διὰ πασῶν ἐκ τριῶν ὅρων οὖσα, λόγου θυμοῦ ἐπιθυμίας. ὧν ὁ θυμὸς μέσος ὢν ὠδὶ μὲν ποιεῖ τὴν διὰ τεσσάρων, ὠδὶ δὲ τὴν διὰ πέντε συμφωνίαν, τὴν μὲν τοῦ λόγου πρὸς τὸν θυμὸν διὰ πέντε, τὴν δὲ τοῦ θυμοῦ πρὸς τὴν ἐπιθυμίαν διὰ τεσσάρων.

in R.1.213 ταύτην γοῦν ἐκάλουν οἱ Πυθαγόρειοι συλλαβὴν ὡς οὐ τελέαν οὖσαν συμφωνίαν, τὴν δὲ διὰ πέντε μᾶλλον ἢ ταύτην εἶναι συμφωνίαν· ὥσπερ δὴ καὶ τὸν θυμὸν μᾶλλον πρὸς τὸν λόγον ἔχειν δοτέον συμφωνίαν ἢ τὴν ἐπιθυμίαν πρὸς τὸν θυμόν, εἰ καὶ ἐλάσσων ἡ τούτων διάστασις, πλείων δὲ ἡ ἐκείνων· τὰ μὲν γὰρ ὀρέξεις μόνον ἄμφω, τὰ δὲ λόγος καὶ ὄρεξις, ἀλλ' οὖν πλείων ἡ συμφωνία θυμοῦ πρὸς λόγον, εἰ καὶ πλείων ἡ διάστασις, ἢ ἐπιθυμίας πρὸς θυμόν, εἰ καὶ ἐλάσσων. ὡς γὰρ εἴρηται καὶ πρότερον, φιλεῖ γοῦν συντάττειν ἑαυτὸν τῷ λόγῳ κατὰ φύσιν ὁ θυμὸς καὶ μᾶλλον εἶναι σύμμαχος ἐκείνῳ ἢ τῇ ἐπιθυμίᾳ μαχομένων ἐκείνων· διὸ τὴν μᾶλλον συμφωνίαν τῷ θυμῷ πρὸς τὸν λόγον δοτέον ἢ τῇ ἐπιθυμίᾳ πρὸς τὸν θυμόν· διὰ πασῶν δὲ τὴν ἐκ πάντων ῥητέον, ἣν ἐκεῖνοι πάλιν πασῶν συμφωνιῶν κατακορεστάτην ὠνόμαζον. καὶ γὰρ ὡς ἀληθῶς ἐστιν αὕτη συμφωνία· μόνη γὰρ ἐκ πασῶν ἔχει τοῦτο τὸ ἴδιον, ὅπερ ὁ Τίμαιός φησιν, τὸ τῶν ὀξυτέρων φθόγγων τὰς κινήσεις ἀποπαυομένας καταλαμβάνειν τὰς τῶν βαρυτέρων, καὶ καταλαμβανούσας ἀρχὴν τέλει συνάπτειν καὶ μίαν ἀποφαίνειν κίνησιν ἠρέμα ἀπολήγουσαν ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρύτερον. μόνη δ' οὖν αὕτη πασῶν συμφωνιῶν τοῦτο λαχοῦσα πρέπουσα ἂν εἴη τῇ μιᾷ τῆς ψυχῆς ἁρμονίᾳ, δι' ὅλων διηκούσῃ τῶν μερῶν αὐτῆς καὶ συνειρούσῃ ταῖς κινήσεσι τῶν ἀνωτέρω τὰς τῶν κατωτέρω, καὶ ταῖς ὑφέσεσιν ἐκείνων τὰς τούτων ἐπιτάσεις συμφυῶς ἐναρμοζούσῃ, καὶ ὄντως μίαν ἐκ πολλῶν ποιούσῃ τὴν ζωήν. Ταῦτα μὲν οὖν παρεξέβημεν ἐνδεικνύμενοι, πῶς ἁρμονίαν διὰ πασῶν ὁ Σωκράτης εἶπεν τὴν σωφροσύνην. εἰ δὲ φρόνησις μὲν ἀρετὴ μόνως ἄρχοντος, σωφροσύνη δὲ ἀρετὴ τοῦ ἀρχομένου, ἄμφω δὲ σωφροσύνη καὶ ἀνδρεία τοῦ ἄρχοντος ἅμα καὶ ἀρχομένου, δῆλον τὸ λοιπὸν ἡ δικαιοσύνη πάντων οὖσα, τοῦ μὲν ὡς ἄρχοντος, τοῦ δὲ ὡς ἀρχομένου, τοῦ δὲ ὡς καὶ ἄρχοντος καὶ ἀρχομένου, ὅπως ἂν ἕκαστον ἐνεργῇ κατὰ τὴν αὐτοῦ τάξιν, τὸ μὲν ὡς ἄρχον, τὸ δὲ ὡς ἀρχόμενον, τὸ δὲ ὡς τὸ συναμφότερον.

in R.1.214 ταῦτα μὲν οὖν δῆλά πως γέγονεν· ἐκεῖνο δ' ἄν τις ἐπιστήσας ζητήσειεν, πῶς ὁ θυμὸς καὶ ἄρχον ὢν καὶ ἀρχόμενον πρὸς τὴν μὲν ἐπιθυμίαν ὡς ἀρχόμενον ἔχει τινὰ κοινὴν ἀρετήν, μετέχων τι σωφροσύνης, πρὸς δὲ τὸν λόγον ὡς ἄρχον οὐκέτ' ἔχει κοινήν, ἀλλ' ἰδίαν ἀρετὴν τὴν ἀνδρείαν, καὶ ζητήσας ἐννοήσειεν, ὡς ἄρα ὅπερ εἴπομεν ἐστὶν ἀληθές, τὸ πλείονα τὴν ἀπόστασιν εἶναι τοῦ θυμοῦ πρὸς τὸν λόγον κατ' οὐσίαν ἢ τῆς ἐπιθυμίας πρὸς τὸν θυμόν· καίτοι γε μαχομένων λόγου καὶ ἐπιθυμίας οὐδέποτε τῆς ἐπιθυμίας ἐστὶ σύμμαχος, ἀλλὰ τῷ λόγῳ παρίσταται· πάσχει

δὲ τοῦτο διὰ τὴν κατὰ τῆς ἐπιθυμίας αὐθάδειαν, δι’ ἣν καὶ πρὸς αὐτὸν πολλάκις ἀπαυθαδίζεται τὸν λόγον, οὐ διὰ συγγένειαν τὴν πρὸς αὐτόν. ὥστε διὰ τοῦτο πρὸς μὲν ταύτην ὡς ἀρχόμενος ἀρετὴν ἔχει κοινήν, πρὸς δὲ ἐκεῖνον ὡς ἄρχων διαφέρουσαν· τὸ γὰρ ἀρχικὸν αὐτοῦ τε καὶ τοῦ λόγου πάντῃ διέστηκεν, τὸ μὲν ἀφ’ ἑαυτοῦ ἀρχόμενον τῆς ἀρχῆς (ἑαυτοῦ γὰρ ἄρχει πρῶτον ὁ λόγος καὶ ἑαυτὸν κοσμεῖ πρὸ τῶν ἄλλων καὶ τὴν οἰκείαν ὄρεξιν οὐκ ἐᾷ μένειν ἀμφίβολον καὶ φέρεσθαι πρὸς τὸ χεῖρον, ἔπειθ’ οὑτωσὶ καὶ τὰς τῶν ἀλόγων ὀρέξεις μετρεῖ καὶ ἐπανάγει πρὸς τὴν ἑαυτοῦ κρίσιν καὶ ὄρεξιν), τὸ δὲ οὐκ ἀφ’ ἑαυτοῦ ἀρχόμενον, ἀλλὰ τῷ χείρονι μόνῳ ἄνωθεν ἐπιστατοῦν· οὐ γὰρ ἑαυτοῦ δύναταί ποτε τὸ ἄλογον κρατεῖν οὐδὲ ὁρίζειν ἑαυτὸ καὶ ἐπιστρέφειν εἰς ἑαυτό.

in R.1.215 ὅτι δὲ θυμὸς ἐπιθυμίᾳ συγγενέστερον ἢ λόγῳ κατὰ Πλάτωνα, δῆλον· ἄμφω γὰρ τῶν αὐτῶν πατέρων, λόγος δὲ ἄλλου πατρός· ἄμφω θνητὰ καὶ μετ’ ἀλλήλων ὄντα ἢ μὴ ὄντα, λόγος δὲ ἀθάνατον· ἄμφω ἄδεκτα γνώσεως, λόγος δὲ φύσει γνωστικός. διότι μὲν οὖν τὸ ἄρχεσθαι τῷ θυμῷ κοινὸν καὶ ἐπιθυμίᾳ (καθ’ ὃ γὰρ ἄλογα ἄμφω καὶ παρ’ ἑτέρου κοσμεῖσθαι δεόμενα, ἄρχεται), κοινὴν ἀρετὴν ἔχει τὴν ἐπιστρέφουσαν αὐτὰ πρὸς τὴν τοῦ ἄρχοντος ὄρεξιν. καθ’ ὅτι δὲ τὸ ἄρχειν διαφέρον ἐπί τε λόγου καὶ θυμοῦ τὸν εἰρημένον τρόπον, διάφορον ἐσχήκατον ὡς ἄρχοντε τὴν ἀρχικὴν ἀρετήν, τὸ μὲν γνωστικήν (λόγος γὰρ ἦν), τὸ δὲ ζωτικήν· ὄρεξις γάρ. ὅπου μὲν οὖν ὄρεξις ὀρέξεως κρατεῖ, τῆς ἄτρωτον φυλαττούσης ἀρετῆς τὴν ὄρεξιν χρεία, ὅπου δὲ λόγος ὀρέξεως, τῆς κρίνειν τὸν λόγον ὀρθῶς παρασκευαζούσης. καὶ διὰ τοῦτο φρόνησις μὲν ἀρετὴ ἀρχικὴ λόγου, παρ’ ᾧ τὸ γιγνώσκειν καὶ τὸ κρίνειν ὀρθῶς τὸ ἄρχειν τῶν κρίσιν οὐκ ἐχόντων, ἀνδρεία δὲ ἀρετὴ ἀρχικὴ θυμοῦ, παρ’ ᾧ τὸ ζωτικὸν μόνον, παρ’ ᾧ ἡ κρίσις μὲν οὐκ ἔστιν, ὄρεξις δὲ κράτος ἔχειν ἐθέλουσα κατὰ 〈τῆσ〉 τοῦ χείρονος ὀρέξεως, καὶ κατεξανισταμένης αὐτῆς οὐκ ἀνεχομένη τῶν ὑπὲρ αὐτὴν ὀρέξεων. εἰ δ’ ὅπερ εἴρηταί μοι καὶ πρότερον, καὶ ἡ διάστασις τῶν ἄνω πλείων ἢ τῶν κάτω καὶ ἡ ἁρμονία μείζων, οὐδὲν θαυμαστόν· ἡ γὰρ ἔκλυσις τῆς ζωῆς ἀμυδροῖ τὴν ἁρμονίαν· ἐν γὰρ τοῖς μᾶλλον ζῶσιν μᾶλλόν ἐστιν, ἐν δὲ τοῖς ἧττον δῆλον ὡς ἧττον. Ὅτι μὲν οὖν αἱ ἀρεταὶ τέτταρες μόνον καὶ τί ἔργον ἑκάστης, εἴπομεν· ὅπως δὲ καὶ ἐν τοῖς πολιτικοῖς γένεσιν αὐτὰς τακτέον, ἤδη φανερόν.

in R.1.216 δῆλον γὰρ ὡς ἐν μὲν τῷ ἄρχοντι πάσης τῆς πόλεως καὶ προβουλευομένῳ μάλιστα τὴν φρόνησιν θετέον (τίνος γὰρ ἄλλου τῷ βουλευομένῳ χρεία μᾶλλον ἢ φρονήσεως; ἧς ἔργον ὁρᾶν τὸ ἐν πάσῃ πράξει ἀγαθὸν καὶ κακόν), ἐν δὲ τῷ πολεμοῦντι καὶ φρουρητικῷ γένει τὴν ἀνδρείαν. τούτους γὰρ ἀνδρείους ἡ φήμη καλεῖ, τοὺς ὑπομενητικοὺς τῶν κινδύνων, τοὺς ἀνανταγωνίστους τοῖς ἀντιπάλοις, τοὺς τὸν θάνατον περιπτύοντας. ὅπως μὲν οὖν κρατῶσι πάντων τῶν κατεξανίστασθαι τῆς πολιτείας ἐπιχειρούντων, ἀνδρείους αὐτοὺς εἶναι προσῆκον· τὰ δὲ μέτρα τῶν ἐνεργειῶν ἀπὸ τῶν ὡς ἀληθῶς ἀρχόντων παραδέχεσθαι καὶ ταύτῃ σωφρονεῖν, εἰς τὴν ἐκείνων βλέποντας προαίρεσιν. ἐν δὲ τῷ τελευταίῳ καὶ τῶν ἀναγκαίων πάντων ἐκποριστικῷ τὴν σωφροσύνην μόνως, ἵνα μὴ ἐπαιρόμενον τῇ περιουσίᾳ τῶν ἀναγκαίων ἀρκεῖν ἑαυτῷ πρὸς τὸ εὔδαιμον ὑπολάβῃ καὶ τῶν ἀρχόντων ὀλιγωρήσῃ διὰ τὴν ἐν τοῖς ἀναγκαίοις εὐπορίαν φαντασίαν τοῦ ἀγαθοῦ παρεχομένην. δεῖ γοῦν αὐτὸ σωφρονεῖν, ὑποστελλόμενον τοῖς ἄρχουσιν καὶ ὑπ’ ἐκείνων κοσμούμενον καὶ πειθαρχοῦν ἐκείνοις, ὡς ἐν τῷ παντί φησιν ὁ Τίμαιος [p. 48a] ἕπεσθαι τῷ νῷ τὴν ἀνάγκην. πάντων δὲ οὑτωσὶ τὴν οἰκείαν ἀρετὴν ἀπειληφότων, καὶ τοῦ μὲν φρονοῦντος, τοῦ δὲ ἀνδριζομένου, τοῦ δὲ σωφρονοῦντος, ἤδη γνώριμον τὸ τῆς δικαιοσύνης ἔργον. ἕκαστον γὰρ ἐν τῇ συντάξει τῇ πρὸς ἄλληλα παρασκευάζει τὸ ἑαυτοῦ μόνον πράττειν, καὶ μὴ δι’ ἀλλοτριοπραγίαν ὑφαρπάζειν τὰ τῶν ἄλλων ἐξαίρετα, ζῆν δὲ ἕκαστον ἐφ’ ᾧ τέτακται παρὰ τῆς πολιτικῆς ἐπιστήμης· ὡς μὴ τὸν φύλακα στρατεύεσθαι ἐπιχειρεῖν ἢ γεωργεῖν, εἰς ἀναξίαν ἑαυτοῦ μεταπίπτοντα ζωήν, μηδὲ τὸν ἐπίκουρον ἢ θητεύειν ἢ προβουλεύειν, μηδὲ τὸν χρηματιστὴν ἐπικουρεῖν, διότι τὰ ὅπλα

παρασκευάζει τοῖς ἐπικουρήσουσιν, ἢ γνώμην εἰσφέρειν, διότι τἀναγκαῖα πορίζει τοῖς τὰς γνώμας εἰσφέρειν ὀφείλουσιν.

in R.1.217 ὥστε καὶ ἐν τοῖς πολιτικοῖς γένεσιν αἱ ἀρεταὶ πᾶσαι τὸν αὐτὸν λόγον ἔχουσαι πρὸς ἀλλήλας εἰσίν, ὃν ἐν ἑκάστῃ τῶν ψυχῶν. Τούτων τοίνυν εὖ κειμένων κατίδωμεν, ὅπῃ μέτεισιν ὁ Σωκράτης τὸν περὶ αὐτῶν λόγον. ἀνάπαλιν μὲν οὖν ἀπὸ τῶν ἐν τοῖς πολιτικοῖς γένεσιν ἀρετῶν ἄρχεται, καθάπερ εἶπεν [p. 368d], ὡς ἐν μείζοσι γράμμασιν τὰ διὰ τῶν ἐλασσόνων γεγραμμένα θεάσασθαι βουλόμενος. τῷ γὰρ ὄγκῳ μιᾶς ψυχῆς μείζων ἡ πόλις, 〈εἰ〉 καὶ εἰκόνες εἰσὶν αἱ τῆς ὅλης πόλεως ἀρεταὶ τῶν τῆς μιᾶς ψυχῆς, κἀνταῦθα δήπου τοῦ λόγου κρατοῦντος, ὅς φησιν τὰ ἀμερέστερα τῇ δυνάμει κρατεῖν τῶν εἰς πλείονα μερισμὸν ὑποφερομένων, καὶ τὰ ἐλάττω κατ' ἀριθμὸν ὑπερφέρειν τῇ δυνάμει τῶν πλειόνων κατὰ τὸ ποσόν. ἐν δ' οὖν τοῖς πολιτικοῖς γένεσιν ἰδεῖν ἐθέλων προτέροις ἁπάσας αὐτὰ πρῶτον ἐν τάξει τὰ γένη τὰ πολιτικὰ ὑφίστησιν· λέγω δὲ ἐν τάξει, διότι πρῶτον ἔλαβεν ἀνθρώπους περὶ τὰ ἀναγκαῖα μόνα διατρίβοντας, ἀπολέμους, ἀπείρους παιδείας, κατὰ φύσιν ζῶντας, ἐλαχίστοις ἀρκουμένους, σωφρονικῶς διαιτωμένους· δεύτερον δὲ ἐπαύξων τὸ πολίχνιον διὰ τοὺς ἔξωθεν πολεμίους εἰς ἀνάγκην περιήγαγεν κατάλογον στρατιωτικὸν ἐπεισαγαγεῖν. τούτου δὲ εἰσαχθέντος ἀναγκαῖον ἐπέδειξεν λοιπὸν τὸν παιδευτικὸν λόγον, ἐξαναστήσας ἀπὸ τῆς φυσικῆς ζωῆς τὸν βίον ἐπὶ τὴν ἀμυντικήν· ἢ πῶς ἐκεῖνοι σωθήσονται χωρὶς ἐπικούρων, ἔχοντες ἐνίοτε τοὺς παροικοῦντας ἀδίκους; δεῖν οὖν τῶν προπολεμησόντων ὑπὲρ τῶν γεωργησόντων· οὐ γὰρ τὸν αὐτὸν ἄμφω πράξειν.

in R.1.218 καὶ γὰρ ἄλλη μὲν ἐπιτηδειότης πρὸς γεωργίαν, ἄλλη δὲ πρὸς στρατείαν· ὡς δὲ αἱ ἐπιτηδειότητες διαφέρουσιν, διοίσουσιν καὶ αἱ τελειότητες· καὶ δεῖ κατὰ τὴν αὐτοῦ φύσιν ἕκαστον τελειοῦν, εἰ μὴ μέλλοι κίβδηλον ἕξειν τὴν ζωὴν παρὰ τὴν αὐτοῦ φύσιν ἀγόμενος. καὶ πρὸς τούτῳ τοὺς καιροὺς οὐ παραλείψουσιν τῶν οἰκείων ἔργων, ὅπερ ἂν γένοιτο, εἰ ὁ αὐτὸς εἴη στρατιώτης εἰ τύχοι καὶ γεωργός, καὶ ὅταν δέῃ γεωργῆσαι στρατεύεσθαι ἀναγκαζόμενος πολέμου περιεστῶτος, καὶ ὅταν στρατεύεσθαι φυτεύων ἢ ἀροτριῶν καὶ τὴν γῆν ἐργαζόμενος ἀντὶ τοῦ πολεμεῖν ὑπὲρ τῆς γῆς, καὶ τὰ ὄργανα τὰ γεωργικὰ φέρων ἀντὶ τῶν πολεμίων, τὴν σμινύην ἀντὶ τῆς ἀσπίδος, ὡς εἰ μὴ γεωργήσειεν ἄπορος τῶν ἀναγκαίων ἐσόμενος. εἰ οὖν ἄλλον μὲν εἶναι δεῖ τὸν ἐπίκουρον, ἄλλον δὲ τὸν τῶν ἀναγκαίων φροντιστήν, δύο τούτω γένεε πολιτικὼ θετέον, ἐπικουρικὸν καὶ χρηματιστικόν, τὸ μὲν πoριστικὸν τῶν ἀναγκαίων, τὸ δὲ φρουρητικὸν ἑαυτοῦ τε καὶ ἐκείνου. δεῖν οὖν τούτῳ παιδείας, οὐκ ἐκείνῳ· καὶ γὰρ ἦθος τοῦτο ἔχειν χρὴ διαφέρον, οὐκ ἐκεῖνο· καὶ ὁποῖον τὸ ἦθος, ἐπεκδιηγησάμενος διττὸν τούτου τελειωτικὸν τοῦ γένους εἶδος τῆς παιδείας ἐδίδαξεν, τὸ μὲν εἰς ψυχὴν τεῖνον τῶν ἀνδρῶν, τὸ δὲ εἰς σῶμα. καὶ γὰρ σώματος ἐρρωμένου δεῖ πρὸς τοὺς πόνους τοὺς ἀναγκαίους τοῖς στρατευσομένοις. τρίτῳ δὲ ὅμως φασὶν τὴν πόλιν ἐπαυξάνων αὐτῶν τῶν ἐπικούρων τοὺς φύσει διαφερούσῃ χρωμένους τῶν ἄλλων καὶ μειζόνως πεπαιδευμένους ἐκλεξάμενος καθίστησι τὸ λοιπὸν ἐκ τούτων γένος. ὡς δὲ ἐμαυτὸν πείθω, δοκεῖ μοι δύο τρόπων ὄντων παιδείας, τοῦ μὲν κατὰ μουσικήν, τοῦ δὲ κατὰ γυμναστικήν, τούτους μάλιστα νομίσαι πρὸς τὴν ἁπάντων ἀρχὴν ἐπιτηδείους τοὺς φύσιν τε πρὸς μουσικὴν ἐπιτηδειοτέραν λαχόντας καὶ μᾶλλον τῶν ἄλλων ἐν αὐτῇ τεθραμμένους.

in R.1.219 αὕτη γὰρ καὶ ἐμφρονεστέρους ἀποτελεῖ διδάσκουσα περὶ θεῶν περὶ δαιμόνων περὶ ἡρώων περὶ ἀνθρώπων τὰ σπουδαιότατα, ἀλλ' οὐχ ἡ γυμναστική. τεκμήριον δὲ οὗ λέγω τὸ καὶ τὴν ὅλην λύεσθαι πολιτείαν οὐ διὰ γυμναστικῆς ἀμέλειαν, ἀλλὰ μουσικῆς, ὡς αὐτός φησιν ὁ τῶν Μουσῶν ἱερὸς λόγος [VIII 546d], τῶν ἀρχόντων διὰ μουσικῆς ἀμέλειαν ἀναξίων ὄντων 〈τῶν〉 πατέρων. ὥστε τοὺς πρὸς ταύτην πεφυκότας καὶ μουσικοὺς μᾶλλον εἰ φαῖμεν αὐτὸν ἐκλέγεσθαι καὶ φύλακας καθιστάνειν, οὐκ ἂν ἀπὸ γνώμης αὐτῷ λέγοιμεν, εἰ καὶ αὐτὸς

τοσοῦτον μόνον εἶπεν [III 412c], αὐτῶν τούτων φυλοκρινεῖν τοὺς ἀρίστους πρὸς τὸ πάντων ἄρχειν, κατὰ τί δὲ ἀρίστους, οὐ προσέθηκεν. ταῦτ᾽ οὖν τὰ τρία γένη καταστησάμενος πληρώματα τῆς πόλεως εὗρεν, ὃν ἤδη προείπομεν τρόπον, κατὰ τί σοφὴν ἂν εἴποιμεν τὴν ἐκ τούτων πόλιν, κατὰ τί ἀνδρείαν, κατὰ τί σώφρονα, κατὰ τί δικαίαν, τοῦ μὲν φυλακικοῦ διὰ τὸ μουσικώτατον εἶναι τὸ γένος ἐπιστήμην ἔχοντος τῶν ἀγαθῶν καὶ κακῶν (ἐδιδάχθη γὰρ ὑπὸ τῆς μουσικῆς, ἃ δὴ προείπομεν, πῶς δεῖ φρονεῖν περὶ τῶν κρειττόνων ἡμῶν, πῶς περὶ τῆς ἀνθρωπίνης εὐδαιμονίας· διὸ καὶ τοὺς ποιητὰς ἠνάγκαζεν, ὅσα πρὸς τούτους τείνει τοὺς τύπους, ποιεῖν. εἰ δὲ καὶ τῶν μαθημάτων αὐτῷ καὶ διαλεκτικῆς μεταδοτέον, ἔτι μειζόνως ἂν εἴη σοφὸν καὶ ἐπιστῆμον), τοῦ δὲ ἐπικουρικοῦ διὰ τὸ ζῆν ἐν ὅπλοις καὶ γυμνασίοις δὲ καὶ μελέταις τῶν πολεμικῶν ἀνδρείου μάλιστα ὄντος (τούτοις γοῦν διαφερόντως προσήκειν τὴν ἀρετὴν ταύτην ἅπαντας ὁμολογήσειν τοὺς καὶ τὴν τυχοῦσαν περὶ ἀνδρείας ἔχοντας ἔννοιαν), τοῦ δὲ χρηματιστικοῦ σωφρονεῖν ὀφείλοντος· ἡ γὰρ τῶν ἀναγκαίων εὐπορία ταύτης μάλιστα δεῖται τῆς ἀρετῆς, ὧν ἡ πλησμονὴ μεθίστησιν εἰς τὴν ἀκόλαστον ζωήν, τῶν δὲ τριῶν ἅμα γενῶν ἐν τῇ πρὸς ἄλληλα κοινωνίᾳ ἀρχῆς τε πέρι καὶ τοῦ ἄρχεσθαι τὴν αὐτοπραγίαν φυλαττόντων, ἣν ἐπέδειξεν οὖσαν τὴν δικαιοσύνην· πάντες γὰρ ἄνθρωποι τὸ μὴ τῶν ἀλλοτρίων ἐρᾶν φασιν εἶναι δικαιοπραγεῖν, καὶ οἱ ἐπαινέται δικαιοσύνης καὶ οἱ κατήγοροι· διὸ καὶ κακίζουσιν αὐτήν, ὡς δέον ὂν τὰ πάντων ἔχειν τὰ οἰκεῖα μόνα στέργουσαν.

in R.1.220 καὶ μέχρι μὲν τούτου παραλαμβάνων τὴν δικαιοσύνην ὡς πόλεως οἰκιστὴς οὐκ ἀδικεῖ τοὺς κατηγόρους αὐτῆς. καὶ γὰρ ἐκεῖνοί φασιν αὐτὴν εἶναι νόμῳ καλὸν καὶ ὡς ἀναγκαίαν τιμᾶσθαι, φευγόντων τὸ ἀδικεῖσθαι τῶν τὰ νόμιμα τιθέντων· τοῦτο γὰρ ἔσχατον εἶναι κακῶν, τὸ δὲ ἀδικεῖν μέγιστον ἀγαθόν, τὸ δὲ δίκαιον ἀμφοῖν μέσον, οὔτε ἀγαθὸν οὔτε κακόν, ἀλλ᾽ ἀναγκαῖον. ὅπερ οὖν εἴπομεν, κἂν ὡς πλήρωμα τῶν ἀγαθῶν παραλαμβάνῃ τὴν δικαιοσύνην, οὐκ ἀδικεῖ τοὺς ψέξοντας αὐτήν· νόμῳ γὰρ εἶναι δέδοκται καλόν. ἤδη δὲ καταπειρῶν τοῦ καὶ αὐτὴν ὄντως ἀγαθὸν εἶναι καὶ φύσει καλόν, ἀλλ᾽ οὐ νόμῳ μόνον, προσέθηκεν [p. 433b], ὅτι καὶ ταῖς ἄλλαις ἀρεταῖς αὕτη δίδωσι τὸ κράτος· ἑκάστη γὰρ αὐτοπραγεῖ διὰ ταύτην, καὶ οὐδεμία ἐκείνων οὕτως σώζει τὴν πόλιν ὡς αὕτη. δέδεικται γοῦν ὅτι ἡ ἐναλλαγὴ τῶν ἐπιτηδευμάτων, τοῦ φυλακικοῦ τοῦ ἐπικουρικοῦ τοῦ χρηματιστικοῦ, τελεώτατός ἐστι τῆς πολιτείας ὄλεθρος. εἰ οὖν αὕτη ταῖς ἄλλαις ἀρεταῖς ἐστιν ἐνάμιλλος, ἃς ὁμολογοῦσι καὶ οἱ κατήγοροι τῆς δικαιοσύνης εἶναι τῇ φύσει καλάς, οἷον τὴν φρόνησιν (ταύτης γὰρ ἀντέχονται κατὰ φύσιν πάντες· οἱ γοῦν φρόνησιν ψέγοντες ἢ ἐμφρόνως ψέγουσι, καὶ οὐ ψεκτὸν ἡ φρόνησις ὀρθῶς ψέγουσα, ἢ ἀφρόνως, καὶ οὐ ψεκτὸν ἡ φρόνησις οὐκ ὀρθῶς ψεγομένη), πᾶσα ἀνάγκη τὴν δικαιοσύνην εἶναι φύσει καὶ αὐτὴν ἀγαθόν, ἀλλ᾽ οὐ νόμῳ μόνον, ὡς καὶ τὴν φρόνησιν.

in R.1.221 Ταῦτα ὁ Σωκράτης περὶ τῶν ἐν πολιτικοῖς γένεσιν ἀρετῶν διανύσας μέτεισιν ἐπὶ τὰς τῶν ψυχικῶν μορίων, ἃς εἶναι πρὸ τούτων εἴπομεν, καὶ μεταχειρίζεται τριχῇ τὸν περὶ ἐκείνων πάντα λόγον. Πρῶτον μὲν γὰρ ἐπιδείκνυσιν, ὅτι οὐκ ἀλλαχόθεν αἱ διαφορότητες αὗται τῶν ἀνθρώπων εἰσὶν αἱ κατὰ τὴν ζωὴν οὔτε ἐν μιᾷ πόλει μόνῃ θεωρούμεναι ταγμάτων ἄλλων καὶ ἄλλων οὔτε ἐν ὅλοις ἔθνεσιν, ἢ ἀπὸ τῆς ψυχικῆς διαφόρου ζωῆς. οὐ γὰρ ἀπὸ δρυό ς , φησίν [VIII 544d], οὐ δ ᾽ ἀπὸ πέτρης (τοῦτο δέ ἐστιν, οὐκ ἀπὸ τῆς ἐσχάτης φύσεως, ἧς ἡ δρῦς εἰκών, οὐδὲ ἀπὸ τοῦ ἀψύχου καὶ στερεοῦ σώματος καθὸ σῶμα, τοῦτο γὰρ ἡ πέτρα δηλοῖ) Ἕλληνες μὲν εἰς φρόνησιν ἐπιτηδειότεροι, ὡς τὸ ὅλον ἔθνος εἰπεῖν, θυμοειδέστεροι δὲ Θρᾷκες, χρηματιστικώτεροι δὲ Φοίνικες, καὶ τούτων ἑκάτεροι κατὰ τὸ ὅλον ἔθνος, ἀλλ᾽ ἀπὸ τῆς ψυχῆς, παρ᾽ οἷς μὲν λόγου, παρ᾽ οἷς δὲ θυμοῦ, παρ᾽ οἷς δὲ ἐπιθυμίας ἀρχόντων. ὃ γὰρ ζῶσιν ἕκαστοι, τοῦτο εἰσίν, κἂν πάντα ἔχωσιν ζῶντες, κατὰ τὸ πρόχειρον αὐτοῖς ἐκεῖθεν χαρακτηρίζονται, καὶ τὸ ὅλον ἔθνος ἢ λογοειδὲς ἢ θυμοειδὲς ὀνομάζεται κατὰ τὸ ζῶν ἐν αὐτῷ μάλιστα μέρος τῆς ψυχῆς. ἢ οὖν ἀπὸ τοῦ σώματος ἔχουσι τὰς διαφορὰς ταύτας ἢ ἀπὸ τῆς ψυχῆς. ἀλλ᾽ οὐκ ἀπὸ τοῦ

σώματος· θερμοὶ γὰρ ἢ ψυχροὶ καὶ λευκοὶ καὶ μέλανες ἀπὸ τοῦ σώματος, οὐχὶ ἔμφρονες ἢ ἀνδρεῖοι ἢ σώφρονες ἢ τὰ ἐναντία τούτων· ἀπὸ τῆς ψυχῆς ἄρα τὴν ἐν τούτοις ἂν ἔχοιεν ἐξαλλαγήν.

in R.1.222 τοῦτο τοίνυν πρῶτον ἔδειξεν· ἴσως δ' ἄν τινες φαῖεν καὶ τὰς ἐν τούτοις διαφορὰς εἶναι σωματοειδεῖς· ἔπεσθαι γὰρ ταῖς κράσεσιν τοῦ σώματος, εἶναι δὲ ταύτας διαφόρους τῶν ἐθνῶν, 〈οὐ〉 τὰς δυνάμεις τῆς ψυχῆς. οὐ μὴν ἀλλ' εἰ καὶ ταῦτα λέγοιεν, δῆλον ὅτι συγχωρήσουσιν τὰς μὲν διαφορὰς εἶναι ταύτας ἀπὸ ψυχῆς, ἐκείνην δὲ ἑπομένην ταῖς κράσεσιν τῶν σωμάτων ἀναβλαστάνειν ταύτας τὰς διαφοράς. μένει τοίνυν ὁ τοῦ Σωκράτους λόγος, καὶ ἀπὸ ψυχῆς αἱ ζωαὶ αὗται, κἂν ῥίζαν ἔχωσιν τὴν κρᾶσιν. δεῖ δὲ καὶ τούτῳ αὐτῷ ἐξ ἀρχῆς ἐφιστάνειν, μὴ οὐ δέῃ τὴν ψυχὴν ἀπάγειν εἰς τὴν σώματος φύσιν. ἐν γὰρ τοῖς ἀπαιδεύτοις αἱ δυνάμεις αὐτῆς ἔπονται ταῖς κράσεσιν, ἡ δὲ φύσις τῷ μὲν δουλεύειν προσέταξεν, ὡς αὐτὸς εἶπεν ἐν Φαίδωνι [p. 79e], τῇ δὲ ἄρχειν, πρὸς τῷ καὶ μηδὲ πᾶν τὸ ἐπιθυμητικὸν συμπάσχειν κράσεσιν ἢ τὸ θυμοειδές· οὔκουν τὸ φιλοχρήματον οὐδὲ τὸ φιλότιμον δουλεύει κράσεσιν, ἀλλ' εἴπερ ἄρα τὸ φιλήδονον θατέρου καὶ τὸ ὀργίλον τοῦ λοιποῦ. παρὰ δὲ τοῖς πεπαιδευμένοις καὶ ταῦτα κρατεῖ τῆς κράσεως, ἢ ὥστε μηδὲ πλήττεσθαι τὴν ἀρχήν, ἢ ὥστε πληττόμενα τὴν πληγὴν ἄπρακτον ἐᾶν. τοῦτο μὲν οὖν, ὅπερ ἔφην, ὁ Σωκράτης ἐγύμνασε πρῶτον, δεικνὺς ὅτι ἐν αὐταῖς εἰσιν αἱ διαφοραὶ τῶν εἰδῶν τούτων τῆς ζωῆς ταῖς ψυχαῖς, οὐ μόνον δι' ὧν εἴπομεν, ἀλλὰ καὶ τῷ τὸ πλῆθος ἐκ τῶν καθ' ἕκαστα εἶναι τῶν τοιωσδὶ ζώντων τὸ ἄθροισμα λέγεται τοιονδὶ κατὰ τὴν κοινὴν ὁμοζωίαν. ἐκ γὰρ τῶν ἐμφρόνως ζώντων τὸ ἔμφρον πλῆθος, εἴτε ἕν τι πλῆθος εἴη πόλεως εἴτε ἔθνος, ⟦ εἰ ⟧ καὶ ἐκ τῶν θυμοειδῶς τὸ θυμοειδές, καὶ ἐκ τῶν χρηματιστικῶς τὸ χρηματιστικόν.

in R.1.223 —Δεύτερον δὲ ἐπὶ τούτῳ δείκνυσιν ἀναγκαῖον πρὸς τὸ προκείμενον, ὅτι οὐχ ἕν ἐστιν ἐν τῇ ψυχῇ τὸ λογικὸν τὸ θυμικὸν τὸ ἐπιθυμητικόν. τοῦτο γὰρ ἀναγκαῖον, ἵνα δειχθῇ τὰ τρία ἐκεῖνα τοῖς τρισὶν τούτοις ἀνάλογον, καὶ ὡς ἐκεῖνα καὶ ταῦτα διαφέροντα ἀλλήλων τοῖς αὐτοῖς ὅροις τῆς ζωῆς. δεύτερον δ' οὖν τοῦτο δείκνυσιν προλαβὼν ὁμολόγημα τοιόνδε· τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτὸ τἀναντία ποιεῖν ἢ πάσχειν ἀδύνατον, ἀλλὰ τὸ αὐτὸ μέν, κατ' ἄλλο δὲ καὶ ἄλλο. καὶ γὰρ θερμαίνεσθαι καὶ ψύχεσθαι, καὶ ἑστάναι δὲ καὶ κινεῖσθαι, καὶ θερμαίνειν καὶ ψύχειν δυνατόν, καὶ ὃ κατὰ τὸ αὐτὸ μέν, οὐ πρὸς ταὐτὸν δέ, πρὸς δὲ ἄλλο καὶ ἄλλο ποιεῖν τἀναντία δυνατὸν καὶ πάσχειν. τὸ γὰρ αὐτὸ καὶ φωτίζεσθαι καὶ σκοτίζεσθαι πρὸς ἄλλο καὶ ἄλλο δυνατόν, ὑπὸ τοῦδε μὲν φωτιζόμενον, ὑπὸ τοῦδε δὲ σκοτιζόμενον, καὶ αὐξητικὸν εἶναι κατὰ τὸ αὐτὸ καὶ φθίσεως ποιητικὸν πρὸς ἄλλο καὶ ἄλλο. τοιοῦτον γάρ ἐστιν εἰ τύχοι τὸ τρέφον μὲν τοδὶ τὸ μόριον καὶ αὖξον, ἄλλο δὲ τῷ τοῦτο τρέφειν φθίνειν ποιοῦν διὰ τὴν ἐναντίωσιν αὐτῶν· τὸ γάρ τῳ ξυνενεγκό ν , φησίν τις, ἄλλο τοῦτο ἔβλαψε ν . ἀλλὰ ταὐτὸν λέγω καὶ ⟦ τὸ ⟧ κατὰ τὸ αὐτὸ καὶ ⟦ τὸ ⟧ πρὸς τὸ αὐτὸ ποιητικὸν ἢ παθητικὸν εἶναι τῶν ἐναντίων ἀδύνατον. τούτου δὲ ὁμολογηθέντος λαμβάνει τὰς τῶν ἐγκρατῶν καὶ ἀκρατῶν ζωάς, ἐν αἷς ὁ λόγος μάχεται καὶ ὁ θυμός, ἢ ὁ λόγος καὶ ἡ ἐπιθυμία, ἢ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία· ταῦτα μὲν ἐν τοῖς πολεμοῦσιν γενναίως διὰ φιλοτιμίαν, καὶ τῆς ἐπιθυμίας σθενούσης διὰ λιμόν, καὶ τοῦ μὲν λέγοντος μενετέον, τῆς δὲ βοώσης ἀναχωρητέον· τὰ δὲ πρὸ τούτων ἐν τοῖς νοσοῦσι, τοῦ μὲν λόγου παραγγέλλοντος εἰ πυρεταίνοι τὸ σῶμα μὴ πιεῖν, τῆς δὲ ἐπιθυμίας εἰς τὸ πιεῖν παρακαλούσης, καὶ μαχομένων ἀλλήλοις· τὰ δὲ πρὸ ἀμφοτέρων ἐν τοῖς ὑβριζομένοις μέν, ἀνεχομένοις δέ, κἂν ὁ θυμὸς ἐρεθίζηται, οἷον ἐποίησεν Ὅμηρος τὸν Ὀδυσσέα πάσχοντα πάθος ἐν οἷς φησιν· τέτλαθι δ ή , κραδίη · καὶ κύντερον ἄλλο πο τ ' ἔτλης [υ 18].

in R.1.224 συνελόντες οὖν εἴπωμεν, λόγον καὶ θυμὸν ἅμα τὰ ἐναντία πάσχειν πρὸς ταὐτόν, οἷον τὸ ὑβρίσαν, τοῦ μὲν λέγοντος τιμωρητέον, τοῦ δὲ λέγοντος οὐδαμῶς. οὐκ ἄρα ταὐτόν ἐστι λόγος καὶ θυμός· ταὐτὸν γὰρ κατὰ ταὐτὸν πρὸς τὸ αὐτὸ τἀναντία πάσχειν ἢ ποιεῖν ἀμήχανον. πάλιν

λόγος καὶ ἐπιθυμία τἀναντία βοῶσιν ἐν οἷς εἴπομεν τοῖς πυρεταίνουσιν πρὸς ταὐτὸ τὸ πιεῖν· τὸ δὲ αὐτὸ κατὰ τὸ αὐτὸ πρὸς τὸ αὐτὸ τἀναντία ποιεῖν ἢ πάσχειν ἀμήχανον· οὐκ ἄρα λόγος καὶ ἐπιθυμία ταὐτόν. πάλιν θυμὸς καὶ ἐπιθυμία πρὸς τὸ αὐτὸ τὰς ἐναντίας ἀφιᾶσι φωνὰς ἐν τοῖς πολεμοῦσιν καὶ λιμώττουσιν· τὸ δὲ αὐτὸ κατὰ τὸ αὐτὸ πρὸς τὸ αὐτὸ τἀναντία ποιεῖν ἢ πάσχειν ἀμήχανον· οὐκ ἄρα θυμὸς καὶ ἐπιθυμία ταὐτόν. διαφέρει οὖν τὰ τρία ἀλλήλων κατ' οὐσίαν. ὅτι μὲν οὖν συνέπλεξεν ἐν τῷ ὁμολογήματι τὸ ποιεῖν καὶ πάσχειν, ἄρρητον αὐτὸ ποιῶν, δῆλον· ἴσως γὰρ ἄν τις εἴποι τὰς ἀλόγους κινήσεις ἐνεργείας εἶναί τινας, ἴσως δὲ ἄν τις πάθη· καὶ ἤδη τινῶν ἤκουσα λεγόντων ἐμμέτρως μὲν κινουμένων ἐνεργείας εἶναι τὰς κινήσεις, ἀμέτρως δὲ πάθη. ὅπως δ' οὖν ἂν ἔχῃ τὸ ὁμολόγημα, περιλαμβάνει τὰς κινήσεις αὐτῶν. ὥστε εἴ τις λέγοι τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν καὶ εἶναι ταῦτα μαχόμενα, δῆλός ἐστιν πολλῷ μᾶλλον αὐτὰ διϊστὰς ἀπ' ἀλλήλων. τὸ γὰρ ἐναντίον ποίημα πάθους αἴτιόν ἐστιν ἐναντίου· ὥστ' εἴ τι πάθος ἐναντίον ἔχει ποίημά τι τινός, ἔσται καὶ τῷ ἀπ' ἐκείνου πάθει ἐναντίον.

in R.1.225 εἰ οὖν μὴ ἔστιν ταὐτὸν τῷ πάσχοντι τὸ ἐναντίον, μειζόνως διέστηκεν κατ' οὐσίαν τοῦ ποιοῦντος τὸ ἐναντίον οὗ αὐτὸ πάσχει πάθους. τί δ' ἂν εἴποιμεν περὶ τοῦ φιλοχρημάτου καὶ φιληδόνου, πότερον καὶ ταῦτα τῇ οὐσίᾳ διαφέρειν ἢ ὁμοούσια εἶναι, δυνάμεις δὲ διαφόρους ὀρεκτικὰς ὑπάρχειν; ὅτι γὰρ καὶ ταῦτα ἀλλήλοις μάχεται, δηλοῦσιν οἱ φιλάργυροι καὶ λίχνοι, διὰ μὲν τὴν λιχνείαν ὁρμῶντες, ὅσα τὸ πάθος αὐτῶν ἐκπληροῖ, τοῦτο πορίζειν ἑαυτοῖς, διὰ δὲ τὴν φιλαργυρίαν τοὐναντίον βοῶντες· οὐκ ὠνητέο ν , δεινὴν τὴν τοῦ ἀργυρίου λέγοντες δαπάνην καὶ λιμοκτονοῦντες τῷ φιλοχρημάτῳ τὸ φιλήδονον, ἢ ἀνάπαλιν τῷ φιληδόνῳ τὸ φιλοχρήματον ἀνιῶντες. εἰ μὲν οὖν καὶ ταῦτα διαφέρει κατ' οὐσίαν, τί μὴ τέτταρα τὰ μέρη ποιοῦμεν τῆς ψυχῆς; εἰ δὲ μαχόμενα καὶ τἀναντία πάσχοντα μὴ διαφέρει κατ' οὐσίαν, οὐδὲ τὰ ἄλλα διαφέρειν ἀνάγκη διὰ τὸ τὰ ἐναντία πάσχειν. ταῦτα δὲ ἀποροῦντες λελήθαμεν ἡμᾶς αὐτοὺς οὐ συνιέντες τοῦ Σωκράτους πολυκέφαλον ὀνομάζοντος θηρίον τὴν ἐπιθυμίαν [IX 588c], ὡς ἂν ἄλογον ζωὴν οὖσαν μίαν καὶ πολλήν, ἅτε τῷ σώματι γειτνιῶσαν, ὃ δὴ παντελῶς ἐστιν πολὺ καὶ μεριστόν, ὥσπερ τὸ λογικὸν νῷ συγγενὲς ὂν μᾶλλον ἀμέριστον ἢ ἄλλο τι τῶν μερῶν τῶν ψυχικῶν. ἔστιν δ' οὖν τὸ ἐπιθυμητικὸν ἕν τε ὂν καὶ πολλὰ κατ' οὐσίαν, καὶ διὰ τοῦτο καὶ δυνάμεις ἔχον μαχομένας ἀπὸ οὐσιῶν διαφερουσῶν ὡρμημένας, ἵνα καὶ ταύτῃ συμφύηται τῷ σώματι· καὶ γὰρ τοῦτο ἐξ ἐναντίων ὑφέστηκεν. ἓν μὲν οὖν ἐστιν καθ' ὅσον μίαν ὄρεξιν ἔχει τὴν φιλοσώματον, καθ' ὃ καὶ διαφέρει τῶν λογικῶν. οὔτε γὰρ τὸ θυμοειδὲς φιλοσώματον, νίκης ὀρεγόμενον καὶ τιμῆς καὶ διὰ ταῦτα τὸ σῶμα προϊέμενον πολλάκις καὶ ὑπερορῶν τῆς μετ' αὐτοῦ ζωῆς· οὔτε τὸ λογικόν, οὗ τὸ ὀρεκτόν ἐστι τὸ ὄντως ἀγαθόν, μόνον δὲ τὸ ἐπιθυμητικὸν φιλοσώματον, κἂν ἡδονῆς ὀρέγηται κἂν χρημάτων· πάντα γὰρ ταῦτα σωματικά.

in R.1.226 καὶ γὰρ τὰ χρήματ α , φησὶν αὐτὸς ἐν Φαίδωνι [p. 66c], διὰ τὸ σῶμα ἀναγκαζόμεθα κτᾶσθα ι , δουλεύοντες τῷ σώματι καὶ ταῖς τοῦ σώματος ἐπιθυμίαις, καὶ ὅ γε φιλοχρήματος οὐκ ἂν ἑκὼν εἶναι σώματος καταφρονήσειεν, εἰ καὶ ποτὲ αὐτῷ συμβαίνει διὰ φιλοχρηματίαν ἀποθνήσκειν. ὥστε τὸ ἐπιθυμητικὸν ἁπλῶς φιλοσώματον ὂν καὶ ταύτῃ ἕν, φιλοχρήματον δὲ καὶ φιλήδονον καὶ ταύτῃ οὐχ ἕν. διὸ καὶ ὁ Πλάτων οὐχὶ πολλὰ εἶναι αὐτὸ ζῷά φησιν, ἀλλ' ἓν μὲν ζῷον, πολυκέφαλον δὲ καὶ ζῶν ἄλλοτε κατ' ἄλλην τῶν κεφαλῶν, ἀεὶ δὲ φιλοσωμάτως. καὶ ταύτῃ, καθάπερ εἴπομεν, τρίτον ἐστίν, ὡς τὸ λογικὸν πρῶτον νοῦ ὀρεγόμενον, ὡς τὸ θυμοειδὲς μέσον δυνάμεως· μέση γὰρ νοῦ καὶ ὑπάρξεως ἡ δύναμις. καὶ ταύτης μὲν ἥκει καὶ εἰς τὸ τρίτον ἡ ἔμφασις, καὶ διὰ τοῦτο ἐρᾷ σώματος, ὃ μετέχει μόνης ἐκείνης· τῆς δὲ δυνάμεως εἰς τὸ πρὸ αὐτῆς, καὶ διὰ τοῦτο ὀρέγεται δυνάμεως· νοῦ δὲ εἰς τὸ πρώτιστον, καὶ διὰ τοῦτο ἐφίεται τοῦ νοεῖν, ἐκείνου κρατοῦντος κἀνταῦθα τοῦ λόγου τοῦ τὰς τῶν πρώτων ἐμφάσεις διὰ πλειόνων χωρεῖν δεικνύντος καὶ ὀρεκτὰ εἶναι τὰ ἀνωτέρω πλείοσιν ἢ 〈τὰ〉 κατωτέρω. φιλοσώματον

οὖν τὸ ἔσχατον τῆς ψυχῆς καὶ τούτου μόνου ὀρεγόμενον, τοῦ σώζειν τὸ σῶμα. ἐπειδὴ δὲ τὸ σῶμα διττόν, τὸ μὲν ἐν ᾧ ἐστιν, τὸ δὲ ᾧ τοῦτο σώζει μὴ δυνάμενον ἀφ' ἑαυτοῦ σώζεσθαι, διὰ ταῦτα δυοειδεῖς ὀρέξεις ἔχει, τὴν μὲν τῆς εἰς τὸ κατὰ φύσιν ἀγωγῆς τοῦ ἐν ᾧ ἐστιν (καὶ κατ' αὐτὴν γίνεται φιλήδονον, πάσης ἡδονῆς εἰς φύσιν οὔσης ἀγωγῆς), τὴν δὲ τῆς περιποιήσεως ὧν ἐστιν ἐνδεὲς τὸ ἐν ᾧ ἐστιν· καὶ κατὰ ταύτην γίνεται φιλοχρήματον, πάσης τῆς τῶν χρημάτων περιποιήσεως τῆς τοῦ σώματος ἕνεκα θεραπείας ἀγαπωμένης.

in R.1.227 ὅσον μὲν οὖν ἐπὶ τούτοις, συμφωνεῖν ἔδει τὰς δυνάμεις ταύτας ἀλλήλαις ἀεί, λέγω δὲ τοῦτο τῷ τὴν μὲν σώζειν ὀρέγεσθαι τὸ ἐν ᾧ ἐστιν, τὴν δὲ τῶν ἀναγκαίων ὀρέγεσθαι πρὸς τὴν τούτου σωτηρίαν. ἐπειδὴ δὲ ἡ μὲν ἀντὶ τοῦ σώζειν τὸ κατὰ φύσιν τοῦ παρακολουθήματος ὀρέγεται τῆς εἰς τὸ κατὰ φύσιν ὁδοῦ τοῦ ἐν ᾧ ἐστιν (ἀπόλλυσιν γοῦν διὰ τὴν φιληδονίαν αὐτὸ καὶ λωβᾶται μυρίαν λώβην), ἡ δὲ οὐχ ὡς ἄλλου ἕνεκα τὰ τὴν χρείαν ἐκπληροῦντα τούτῳ τὴν ἀναγκαίαν διώκει, ἀλλ' ὡς προηγούμενα ἀγαθά, διέστησαν ἀλλήλων ἑκατέρα τὸ ἕνεκά του θεμένη τέλος, ἃ δὴ ὑλικὰ ὄντα μάχεται ἀλλήλοις, διότι τὰ ἕτερα συντελεῖ τῇ ἑαυτῶν φθίσει πρὸς τὴν τῶν ἑτέρων αὔξησιν. καὶ γὰρ ἡ τῆς ἡδονῆς ἀπέραντος ὄρεξις δεῖται τῆς τῶν χρημάτων δαπάνης, ἅτε διὰ σωμάτων γιγνομένης προσθήκης, ὧν ἡ εὐπορία διὰ τῆς τῶν χρημάτων ἐλαττώσεως, καὶ ἡ τῶν χρημάτων αὔξησις δεῖται 〈τῆσ〉 τῶν τὰς ἡδονὰς τῷ σώματι ποιούντων ἐλαττώσεως. ἐνταῦθα τοίνυν ἐν τῇ περὶ τὰ ἕνεκά του σπουδῇ ὡς προηγούμενα ἀγαθὰ διέστησαν ἀλλήλων αἱ τῆς ἐπιθυμίας ὀρέξεις, οὐκέθ' ἑνὸς οὖσαι τοῦ τὸ σῶμα κατὰ φύσιν ἔχειν, ἀλλὰ δυεῖν, ὧν ἡ τοῦ ἑτέρου πλησμονὴ διὰ τὴν τοῦ λοιποῦ γίνεται πάντως ἔνδειαν. ἐπειδὴ τοίνυν τὸ κατὰ φύσιν αὐτῶν τέλος ἕν, διὰ ταῦτα ψυχῆς ἓν αὐτὸ μόριον ἔθετο, κἂν ᾖ πολυκέφαλον, ὁ Σωκράτης, ὅπερ οὐκ εἶχεν ὡς ἐδείξαμεν ἐπὶ τοῦ λόγου καὶ τοῦ θυμοῦ, καὶ ἐπ' αὐτῶν καὶ τῆς ἐπιθυμίας. Ἀλλὰ τούτων διαλυθέντων καὶ τῶν τῆς ψυχῆς μερῶν κατ' οὐσίαν διακριθέντων τὸ τρίτον τῷ σωτῆρι, φασίν, σκόπει πῶς καὶ ἐν ταύτῃ θήσεται τὰς τέτταρας ἀρετάς· καὶ τοῦτο οὐκέτι χαλεπόν.

in R.1.228 εἰ μὲν οὖν γνωρίμως ἠβούλετο τοῖς πολλοῖς λέγειν, εἶπεν ἂν τοῦ μὲν λόγου τὴν φρόνησιν ἀρετὴν εἶναι, τοῦ δὲ θυμοῦ τὴν ἀνδρείαν, τοῦ δὲ φιλοχρημάτου τῆς ἐπιθυμίας τὴν δικαιοσύνην, τοῦ δὲ φιληδόνου λοιποῦ τὴν σωφροσύνην. νῦν δέ (δέδοκται γὰρ αὐτῷ τὸν ἄβατον τοῖς πολλοῖς τρόπον διατάττεσθαι περὶ αὐτῶν καὶ τὰ ἀνάλογον ταῖς ἀρεταῖς τῶν ἐν τῇ πόλει γενῶν κατατείνειν) τὴν μὲν φρόνησιν ἕξιν τελειωτικὴν τοῦ μόνως ἐν τῇ ψυχῇ τῶν λοιπῶν ἄρχειν ὀφείλοντος ἀποφαίνει, τὴν δὲ ἀνδρείαν ἕξιν τελειωτικὴν τοῦ δευτέρως ἄρχοντος ἐν αὐτῇ· καὶ δύο ταύτας ἀρχικὰς ἀρετὰς θέμενος τῶν δύο ἀρχικῶν μορίων τὰς λοιπὰς εἶναί φησιν τὴν μὲν σωφροσύνην ἕξιν εἰς ὁμόνοιαν ἄγουσαν τὰ ἀρχόμενα τοῖς ἄρχουσιν περὶ αὐτοῦ τοῦ ἄρχειν, τὸ μὲν ἔσχατον τοῖς δυσί, τὸ δὲ μέσον τῷ πρὸ αὐτοῦ ἑνί, τὴν δὲ δικαιοσύνην ἕξιν ἑκάστῳ τῶν μορίων τῶν ἀρχόντων καὶ ἀρχομένων διορίζουσαν τὸ οἰκεῖον ἔργον. δεῖ γὰρ ὁμολογήσαντα ἀλλήλοις τὰ μὲν ἄρχεσθαι, τὰ δὲ ἄρχειν, πράττειν τὰ μὲν ὅσα ἄρχουσιν προσήκει, τὰ δὲ ὅσα ἀρχομένοις. καὶ γὰρ τὸ ἄρχειν καὶ τὸ ἄρχεσθαι ἐν εἴδει τινὶ θεωρεῖται ζωῆς, ὅπερ ἡ δικαιοσύνη προξενεῖ, τῷ μὲν ἔργον ἀπονέμουσα τὸ πρέπον ἄρχοντι μόνον, ὑπὲρ τῶν ἀρχομένων βουλεύεσθαι, τῷ δὲ τὸ ἄρχοντι καὶ ἀρχομένῳ, τὸ ἕπεσθαι μὲν ἐκείνῳ, κρατεῖν δὲ τοῦ μετ' αὐτό, τῷ δὲ τὸ οἰκεῖον ἀρχομένῳ μόνως, ὑπεστάλθαι τοῖς ἄρχουσιν καὶ τὴν ἐκείνων κρίσιν ἐκπληροῦν. Ἀλλὰ τὸν μὲν περὶ τῶν ἀρετῶν τῶν πολιτικῶν λόγον οὑτωσὶ διέθηκεν ὁ Σωκράτης· καὶ δῆλον γέγονεν, ὅτι ἀνάγκη καὶ τοιαύτας εἶναι καὶ τοσαύτας αὐτάς.

in R.1.229 ἓν δὲ λείπεται πιέσαι μόνον, πόθεν ἂν γένοιτο δῆλον ὅτι τρία μόνα τὰ δεκτικὰ τούτων ἐστὶν μόρια τῆς ψυχῆς. τὸ μὲν γὰρ ἀλλήλων αὐτὰ κατ' οὐσίαν διαφέρειν ἔδειξεν ὁ Σωκράτης, τὸ δὲ ταῦτ' εἶναι μόνα καὶ μήτε πλείω μήτε ἐλάττω δεῖταί τινος σκέψεως, ἵνα γνῶμεν, ὅτι καὶ ἀρεταὶ τοσαῦται καὶ οὔτε πλείους οὔτε ἐλάττους εἰσίν· πλειόνων γὰρ ὄντων δεησόμεθα καὶ ἄλλων

ἀρετῶν. εἰλήφθω τοίνυν, ὅτι δύο τινῶν ὄντων καὶ ἰδιότητας ἐναντίας ἐχόντων τρεῖς δύο γίγνονται μεσότητες, ὥσπερ ἐπὶ τῶν στοιχείων ἐδιδάχθημεν, ἑκατέρας δύο μὲν 〈ἐκ〉 τοῦ ἐγγυτέρω κειμένου λαμβανούσης, μίαν δὲ ἐκ τοῦ λοιποῦ τοῦ πορρωτέρου· τούτου δὲ ληφθέντος ἴδωμεν, τίνες αἱ τοῦ λόγου καὶ τοῦ σώματος ἰδιότητες. οὐκοῦν ὁ λόγος ἀμερής ἐστιν, τὸ δὲ σῶμα πολυμερές, καὶ ὁ μὲν λόγος ὀρεκτικόν, τὸ δὲ σῶμα ἀνόρεκτον, καὶ ὁ μὲν λόγος νοητικόν, τὸ δὲ σῶμα ἀνόητον· καὶ εἴληπται ταῦτα τὸ μὲν ἀπὸ τῆς οὐσίας τοῦ λόγου, τὸ δὲ ἀπὸ τῆς ζωῆς, τὸ δὲ ἀπὸ τῆς γνώσεως· ἦν γὰρ τριφυής, ὂν ζωὴ νοῦς. τούτων οὖν ταύτῃ διῃρημένων ὁ θυμὸς ἀμερὴς μέν (ἔστι γὰρ ἁπλοῦς τῇ ἑαυτοῦ φύσει καὶ μίαν διὰ τοῦτο πολιτείαν παρεχόμενος) καὶ ὀρεκτικὸν ἅμα, ἔχων ὄρεξιν δυνάμεως· οὐ μέντοι νοητικόν, ἀλλὰ τῷ σώματι ταύτῃ προσέοικεν. ἡ δὲ ἐπιθυμία πολυμερὲς μέν, ὡς καὶ τὸ σῶμα, καὶ πολυειδές (διὸ καὶ πολυκέφαλον λέγεται θηρίον καὶ εἰς πλείους συντελεῖ πολιτείας), ὀρεκτικὸν δὲ οὐ τῶν αὐτῶν καὶ γνώσεως ἄμοιρον. ἀνάγκη ἄρα τὸν μὲν θυμὸν εἶναι τῷ λόγῳ προσεχῆ, τὴν δὲ ἐπιθυμίαν τῷ σώματι, δύο κοινωνοῦντα ἰδιώμασι, τὸν μὲν τῷ λόγῳ, τὴν δὲ τῷ σώματι, ὧν ἑκάτερον εἶχεν ἰδίᾳ τριῶν· καὶ γὰρ ἀλλήλοις κατὰ δύο κοινωνεῖ, τό τε ὀρεκτικὸν καὶ τὸ ἀνόητον, διαφέροντα καθ' ἓν τὸ ἀμερὲς καὶ πολυμερές.

in R.1.230 οὐκ ἄρα ἔστιν τι μόριον ἄλλο μεταξὺ σώματος καὶ ψυχῆς πλὴν τούτων. Καίτοι γε δόξειεν ἂν ὁ Σωκράτης μὴ ταῦτα μόνον ἀπολείπειν, ἐν οἷς φησιν [p. 443d] εὖ ἕξειν ἕκαστον ἡμῶν, ὅταν ἕκαστον τῶν τριῶν παρέχηται τὰ ἑαυτοῦ πρᾶττον καὶ συναρμόσηται ταῦτα ἀλλήλοις διὰ τῆς σωφροσύνης, καὶ εἴ τινα ἄλλα μεταξὺ τούτων ἐστίν· τοῦτο γὰρ ἄν που δόξειεν, ὡς εἶπον, μὴ ταῦτα μόνα ἀπολιπεῖν. καὶ τί ἂν εἴη μήτε τιμῆς ὀρεγόμενον ἐν ἡμῖν μήτε χρημάτων, μεταξὺ δὲ ὂν τούτων; ⟦ καὶ μήτε ὀρεγόμενον μήτε τιμῆς, μεταξὺ δὲ ὂν καὶ τούτων ⟧ μήποτε οὖν ἐκεῖνο ἐνδεικνύμενος ὁ Σωκράτης τοῦτο προσέρριψεν τοῖς περὶ τῶν τριῶν λόγοις, ὡς ἄρα οἱ βίοι τῶν ψυχῶν οὐκ εἰσὶν ἀμιγεῖς (οἷον ὁ μὲν κατὰ λόγον λέγω πρὸς τοὺς λοιποὺς ἄμικτος, ὁ δὲ κατὰ θυμὸν ἐν οὐδενὶ πρὸς τοὺς ἄκρους κοινωνῶν, ὁ δὲ κατ' ἐπιθυμίαν μόνην οὐδ' οὗτος τοῖς πρὸ αὐτοῦ συγκεραννύμενος), ἀλλά τινες καὶ μέσοι τούτων ἄρα εἰσίν, ὁμοῦ μὲν εἰ τύχοι κατὰ λόγον, ὁμοῦ δὲ κατὰ θυμόν, φιλομαθεῖς καὶ φιλότιμοί τινες, ὁμοῦ δὲ κατὰ θυμὸν καὶ κατ' ἐπιθυμίαν, φιλότιμοι καὶ φιλοχρήματοί τινες ὄντες, καὶ ἢ τὰς τιμὰς διώκοντες, ἵνα χρήματα ἀθροίσωσιν, ἢ τὰ χρήματα περιβαλλόμενοι, ἵνα διὰ ταῦτα τίμιοι γένωνται τοῖς τοὺς πλουσίους θαυμάζουσιν· ὥσπερ καὶ οἱ πρὸ τούτων ἢ τὰς μαθήσεις διώκοντες, ἵνα ἔντιμοι γένωνται μαθημάτων θύλακον ἔχοντες, ἢ τὴν τιμὴν διώκοντες, ἵνα τιμηθέντες ὑπὸ τῶν τὰ μαθήματα ἐχόντων μετάσχωσιν αὐτῶν. ταῦτ' οὖν ἐστιν τὰ μεταξὺ λόγου καὶ θυμοῦ καὶ αὖ θυμοῦ καὶ ἐπιθυμίας εἴδη τῆς ζωῆς, οὐχὶ ἄλλα μόρια ψυχῆς, ἀλλ' ἐκ τῆς τούτων μίξεως γινόμενα ποικίλα ἀντὶ ἁπλῶν.

in R.1.231 ἐκείνων γὰρ αὐτὸ καθ' αὑτὸ ἕκαστον ἦν ἁπλοῦν, τὸ μὲν φιλομαθὲς μόνως πάσης τιμῆς ὑπερορῶν, πάντων τῶν σωματικῶν περιπτύον, εἰς ἓν δὲ συντεταμένον, τὴν γνῶσιν τῆς ἀληθείας· τὸ δὲ φιλότιμον ἄγροικον εἶναι βουλόμενον καὶ τοῦ σώματος καταφρονοῦν ὡς σκιᾶς, ἑνὸς δὲ μόνου τῆς τιμῆς ἁπλήστως ἔχον· τὸ δὲ ἐπιθυμοῦν τοῦ σώματος μόνου κηδόμενον καὶ τῶν σώματος, τιμὰς δὲ ἐκείνας καὶ μαθήσεις λήρους ὑπολαμβάνον εἶναι. τῶν οὖν ἁπλῶν τοιούτων ὄντων ἀμίκτων τὰς ἐκ τούτων συμμιγεῖς ζωὰς τῶν ψυχῶν μεταξὺ τούτων ὁ Σωκράτης εἶπεν, ἃς δεῖν πάσας μετὰ τῶν ἀμίκτων ἁρμόσαι διὰ τῆς ἀρίστης ἁρμονίας, ἵν' ᾖ μέτρον καὶ τῆς τῶν μαθημάτων ὀρέξεως καὶ τῆς τῶν τιμῶν καὶ τῆς τῶν σωμάτων ἐπιμελείας, κἂν τῶν ἑτέρων διὰ τὰ ἕτερα γίνηταί τις ὄρεξις, ἵνα ἐμμελὴς ᾖ καὶ αὕτη καὶ μὴ διαφωνοῦσα πρὸς τὸν λόγον. οὐ μορίων οὖν ἄλλων οἰητέον αὐτὸν ἐνδείκνυσθαι φύσεις τῶν εἰς πολιτικὴν ἀρετὴν τελούντων, ἀλλὰ μῖξιν αὐτῶν τούτων καὶ γένεσιν ποικιλωτέρων εἰδῶν ἀνδράσιν πολιτικοῖς πρέπουσαν, ⟦ ἢ ⟧ οἷς προσῆκεν ἄλλα ἀντ' ἄλλων αἱρεῖσθαι πάθη καὶ ἄλλα ἀντ'

ἄλλων ἀποικονομεῖσθαι μετὰ φρονήσεως· τὸ γὰρ πάντων ἰδεῖν, ἀμιγῶν συμμιγῶν ἁπλῶν ποικίλων, ἄλλης ἐστὶ δήπου καὶ οὐ πολιτικῆς ἀρετῆς. εἰ μὴ ἄρα τριῶν ὄντων, ὧν παρέλαβεν, λόγου καὶ θυμοῦ κατὰ τὸ ὀργιστικόν, καὶ ἐπιθυμίας κατὰ τὸ φιλοσώματον (κατὰ ταῦτα γὰρ τὴν στάσιν λαβὼν ἔδειξε τὴν πάντων διαφοράν), καὶ μεταξὺ τούτων ἐνεδείξατό πως εἶναι τῶν μὲν τὸ φιλότιμον θυμοειδὲς μέν τι ὄν, ἀλλ᾽ οὐχὶ κατὰ τὸ ὀργιστικόν (θραύεται γοῦν πολλάκις διὰ τὸ φιλότιμον τὸ κινούμενον εἰς ὀργήν), τῶν δὲ τὸ φιλοχρήματον· καὶ γὰρ τοῦτο μάχεται πολλάκις πρὸς τὸ φιλήδονον· καὶ κρείττω ταῦτα ἐκείνων, εἴπερ ἐκεῖνα μὲν συναλλοιοῦται ταῖς σωματικαῖς κράσεσιν, ταῦτα δὲ οὐδὲν δεῖται κράσεως, ἐν πάσαις ἡλικίαις ἐνοχλοῦντα τὰς ψυχάς.

in R.1.232 οὐχ ὅτι τοίνυν λόγου καὶ θυμοῦ καὶ ἐπιθυμίας ἄλλα ἄττα μεταξύ, διὰ τοῦτο ἔφατο χρῆναι καὶ τὰ εἰρημένα συναρμόσασθαι, καὶ εἴ τινα αὐτῶν εἴη μεταξύ· οὐδὲ γάρ ἐστιν ἀληθές, ὅτι τῶν ληφθέντων εἰς τὴν παραβολήν ἐστιν ἕτερα μεταξὺ ταῦτα τὸ φιλότιμον καὶ φιλοχρήματον. ἦν γὰρ τὰ ληφθέντα τὶ τοῦ θυμοειδοῦς καὶ τὶ τοῦ ἐπιθυμητικοῦ καὶ οὐχ ὅλον ἑκάτερον· τούτων οὖν δεῖν τὰ μεταξὺ μετὰ τῶν ληφθέντων εἰς μίαν ἀναγαγεῖν ἁρμονίαν τὸν ὅλην μέλλοντα κοσμεῖν τὴν ἑαυτοῦ ψυχήν. Τόδε οὖν δῆλον ἐκ τῶν ἀποδεδειγμένων, ὡς οὔτε μία ἡ ψυχὴ οὔτε εἰς πλείω διαιρουμένη τῶν εἰρημένων, πλὴν ὅτι τὸ αἰσθητικὸν τούτων ἐστὶν πάντων ἕτερον· τοῦ μὲν λόγου, διότι καὶ ἄλογόν ἐστιν καὶ ἀλόγοις ὑπάρχει ζωαῖς, τῶν δὲ ἀλόγων δύο μερῶν, διότι ταῦτα μὲν ὀρεκτικά, γνωστικὸν δὲ τὸ αἰσθητικόν. καὶ τοῦτο μὲν ὑπάρχει καὶ οἷς τὸ ὀρεκτικὸν οὐ πάρεστιν, ὥσπερ τοῖς οὐρανίοις, τὸ δὲ ὀρεκτικὸν ἐξ ἀνάγκης δεῖται αἰσθήσεως· μετὰ αἰσθήσεων γὰρ αἱ ὀρέξεις. διὸ καὶ τὸ ζῴδιον οὐ τῷ ὀρεκτικῷ χαρακτηρίζουσιν, ἀλλὰ τῷ αἰσθητικῷ· τοῦτο γὰρ πᾶσιν ὑπάρχει ζῴοις. καὶ τὰ φυτὰ γοῦν ὁ Τίμαιος [p. 77b] αἰσθήσεως μετέχειν τῆς τῶν ἡδέων καὶ ἀλγεινῶν λέγων ζῷα καλεῖν ἠξίωσεν καὶ δέδειχεν ὄντα ζῷα· πᾶν γὰρ ζῷον εἶναι τὸ ζωῆς μετέχον. τοῦτο μὲν οὖν, ὅπερ ἔφην, ἄλλο τι τῶν τριῶν ὂν ὑπόκειται πᾶσι· καὶ γὰρ τῷ λογικῷ, καθόσον καὶ αἱ τούτου ἀναμνήσεις δι᾽ αἰσθήσεώς εἰσιν, καὶ τοῖς ἀλόγοις, καθόσον καὶ αἱ τούτων κινήσεις μετ᾽ αἰσθήσεώς εἰσιν.

in R.1.233 τὸ δὲ αὖ φανταστικὸν ζητητέον, εἰ ταὐτὸν τῷ αἰσθητικῷ πάντως θετέον· ἔξω μὲν γὰρ ἐνεργοῦν, ὡς ἂν δόξειεν, ἐστὶν αἰσθητικόν, κατέχον δὲ ὧν εἶδεν ἢ ἤκουσεν ἢ ἄλλην τινὰ αἴσθησιν ἔλαβεν τοὺς τύπους μνημονευτικόν. τοῦτο δὴ τὸ φανταστικόν. οὐ μὴν ἀλλ᾽ ὅ γε ἐν τῷ Φιλήβῳ [p. 39b] Σωκράτης τὸν ζῳγράφον ἐν ἡμῖν ἕτερον λέγων εἶναι τοῦ γραμματέως τοῦ διὰ τῶν αἰσθήσεων γράφοντος ἐν τῇ ψυχῇ μιμήματα τῶν παθημάτων, ὧν αἱ αἰσθήσεις ἀπαγγέλλουσιν, οὐκέτι τοῦτον ἐνεργοῦντα μετὰ τῆς αἰσθήσεως, ἀλλ᾽ αὐτὸν καθ᾽ αὑτὸν ἀνακινοῦντα τοὺς ἀπ᾽ ἐκείνων τύπους ἐνδείκνυται τὸν ζῳγράφον κατὰ τὸ φανταστικὸν τάττων, τὸν δὲ γραμματιστὴν κατὰ τὴν κοινὴν αἴσθησιν, ἕτερα εἶναι ταῦτα κατ᾽ οὐσίαν ἀλλήλων. ἐπεὶ καὶ τὸ ἐν Θεαιτήτῳ [p. 191c] κήρινον ἐκμαγεῖον σαφῶς διίστησι τῆς αἰσθήσεως, ἐν ᾧ τὰς σφραγῖδας ἀπομάττεσθαι τῶν αἰσθητῶν. εἴτε δὲ κατ᾽ οὐσίαν διέστηκεν ταῦτα ἀλλήλων, εἴτε ἕν ἐστιν καὶ πολλὰ τοῦτο τῆς φύσεως τὸ εἶδος, ἐκεῖνο φανερόν, ὅτι τὸ μνημονεῦον καὶ τὸ αἰσθανόμενον ἕτερον, κἂν περὶ μίαν οὐσίαν ἡ τούτων ὑπόστασις διαιρῆται, τῆς μιᾶς πλῆθος οὐσιῶδες ἐχούσης, καὶ ὡς τὸ μνημονευτικὸν ἐγγυτέρω λόγου μᾶλλον ἢ τὸ αἰσθητικόν· δέχεται γὰρ καὶ τοὺς ἀπ᾽ ἐκείνου τύπους, ὥσπερ ἀπὸ τῆς αἰσθήσεως. ταῦτα καὶ περὶ τούτων, ἵν᾽ ἔχωμεν ὡς ἄρα, κἂν ἄλλα μόρια ᾖ τῆς ἀλόγου ψυχῆς, περὶ τούτων εἴρηται νῦν τῶν πρὸς τὴν πολιτικὴν ἀρετὴν χρησίμων καὶ τῶν παιδευομένων ὑπ᾽ αὐτῆς. Οἶδα δὲ ἔγωγε τὸν Πορφύριον ἐν τοῖς συμμίκτοις ἱστοροῦντα προβλήμασι Μηδίου πρὸς Λογγῖνον συνουσίαν τινὰ περὶ τῶν μορίων τῆς ψυχῆς, ἣν οὐκ ἄξιον παραδραμεῖν.

in R.1.234 τοῦ γὰρ Μηδίου τὴν ψυχὴν ὀκταμερῆ ποιοῦντος καὶ διαιροῦντος εἰς τὸ ἡγεμονικόν, εἰς τὰς πέντε αἰσθήσεις, εἰς τὸ σπερματικόν, καὶ ἐπὶ πᾶσιν εἰς τὸ φωνητικόν, τὸν Λογγῖνον φάναι· τί

οὖν τὸ μίαν τὴν ψυχὴν ποιοῦν εἰς ὀκτὼ διῃρημένην; τὸν δὲ Μήδιον ἀντερωτῆσαι· τί δὲ τὸ μίαν ποιοῦν τὴν ψυχὴν κατὰ Πλάτωνα τριμερῆ οὖσαν; τοῦτο δὴ οὖν ἡμεῖς ἀξιώσωμεν λόγου τινός. ὅτι μὲν γὰρ οὐχ ἡ αὐτὴ ζήτησις τοῖς τε ἀπὸ τῆς στοᾶς ὀκταμερῆ ποιοῦσιν αὐτὴν καὶ Πλάτωνι τριμερῆ, δῆλον. οἱ μὲν γὰρ σωματικὰς ἀποδιαλήψεις ποιοῦνται τῶν μερῶν (διὸ εἰκότως ἄπορον θήσουσιν, ποῦ τὸ ἕν, καθ' ὃ μία 〈ἡ〉 ψυχή, διῃρημένων τῶν ὀκτὼ μερῶν καὶ συνεχείας οὐκ οὔσης), Πλάτων δὲ ἀσώματον λέγων, τῶν ἀσωμάτων ἀσυγχύτως ἡνωμένων, οὐ τὴν αὐτὴν ἂν ἔχοι φροντίδα περὶ τῆς κατὰ τὴν τριμέρειαν ἑνώσεως. οὐ μὴν ἀλλὰ καὶ ἕτερον τρόπον εὐοδεῖν τῷ Πλάτωνι τὸν λόγον δυνατόν, λέγοντι τὸν μὲν λόγον ἄλλης οὐσίας εἶναι θειοτέρας, τὸ δὲ ἄλογον ἄλλης καὶ πολλῷ λειπομένης, καὶ τὸν μὲν συνέχειν καὶ κοσμεῖν, τὸ δὲ συνέχεσθαι καὶ κοσμεῖσθαι. καθάπερ οὖν τὸ εἶδος τῇ ὕλῃ συγγενόμενον ἐπάγει τὸ ἕν, καὶ οὐδὲν ἄλλου δεόμεθα ταῦτα ἀλλήλοις ἑνοῦντος, κατὰ τὰ αὐτὰ δὴ καὶ ὁ λόγος εἴδους ἔχων τάξιν αὐτὸς ἑνίζει τὴν ἄλογον ζωὴν καὶ οὐ δεῖ τρίτου τινὸς ἄμφω συνδέοντος. εἰ δὲ καὶ τὸ μὲν οἱ νέοι θεοὶ παράγουσιν τῷ Πλάτωνι, τὸν δὲ ὁ εἷς δημιουργὸς προαίτιος ὤν, ὧν ἐκεῖνοι παράγουσιν, οὐκ ἂν ἀπορήσαις ἔτι τῆς ἑνιζούσης τῷ λόγῳ τὸ ἄλογον οὐσίας. ὁ γὰρ τοῦ μὲν αἴτιος ὤν, τοῦ δὲ προαίτιος αὐτὸς εἷς ὢν δίδωσιν καὶ τούτοις τὴν πρὸς ἄλληλα συνέχειαν καὶ ἕνωσιν. Ἀλλὰ τοῦτο μὲν τοιαύτην ἂν ἔχοι πρὸς τὸν γενναῖον Μήδιον ἀπόκρισιν τοῖς ὑπὲρ Πλάτωνος λέγουσιν.

in R.1.235 ἐκεῖνο δὲ προσθέντες τοῖς εἰρημένοις αὐτοῦ περιγράψωμεν τὸν λόγον, ὡς ἄρα καὶ ὄρεξίς ἐστιν ἐν τῇ λογικῇ ψυχῇ καὶ γνῶσις, καὶ ἡ ὄρεξις ἡ μὲν τοῦ ὄντος, ἡ δὲ τῆς γενέσεως, δι' ἣν ἄνεισίν τε εἰς τὸ ὂν καὶ πίπτει πάλιν εἰς γένεσιν· ἡ μὲν οὖν ἐστι φιλόσοφος, ἡ δὲ φιλογένεσις. καὶ ἡ γνῶσις ὡσαύτως, ἡ μὲν κατὰ τὸν ταὐτοῦ κύκλον τῶν νοητῶν, ἡ δὲ κατὰ τὸν θατέρου τῶν αἰσθητῶν, δι' ἃς καὶ ἀνάγει ἑαυτὴν εἰς τὴν ἐκείνων θέαν καὶ διερευνᾶται τὴν τῶν αἰσθητῶν φύσιν. τούτων οὖν εἰκόνες εἰσὶν αἱ ἄλογοι δυνάμεις, αἱ μὲν ὀρεκτικαὶ τῶν ὀρέξεων, αἱ δὲ γνωστικαὶ τῶν γνώσεων· ἡ μὲν φανταστικὴ τῆς νοητικῆς, ἡ δὲ αἰσθητικὴ τῆς δοξαστικῆς, καὶ ἡ μὲν θυμοειδὴς τῆς ἀναγωγοῦ ὀρέξεως, ἡ δ' ἐπιθυμητικὴ τῆς γενεσιουργοῦ. καὶ γὰρ αὕτη περιέπει τὸ σῶμα, καθάπερ ἡ φιλογένεσις ὄρεξις τὴν γένεσιν, καὶ ὁ θυμὸς ὑπερορᾷ μὲν σώματος, εἰς ἀσώματον δὲ ἀγαθὸν βλέπει τὴν τιμήν· καὶ ἡ μὲν φαντασία νόησις οὖσα μορφωτικὴ νοητῶν ἐθέλει γνῶσις εἶναί τινων, ἡ δὲ αἴσθησις περὶ ταὐτὸν ἔχει τῇ δόξῃ τὸ γενητόν, δόξῃ μετ' αἰσθήσεως ὂν ἀλόγου δοξαστόν. ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΩΙ ΠΕΜΠΤΩΙ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΔΕΙΚΝΥΝΤΩΝ ΛΟΓΩΝ ΚΟΙΝΑΣ ΕΙΝΑΙ ΤΑΣ ΑΡΕΤΑΣ ΚΑΙ ΤΗΝ ΠΑΙΔΕΙΑΝ ΑΝΔΡΩΝ ΚΑΙ ΓΥΝΑΙΚΩΝ.

in R.1.236.(1-2) Τὴν ἀρετὴν τὴν πολιτικὴν οὐκ ἀνδράσι μόνοις, ἀλλὰ καὶ γυναιξὶ κοινὴν ἐν τῷ πέμπτῳ τῆς Πολιτείας Σωκράτης ἐπιδεῖξαι βουλόμενος ἀναγκαίως πρὸ τῆς ἀρετῆς τὴν παιδείαν τὴν αὐτὴν ἀνδρῶν εἶναί φησι καὶ γυναικῶν, ὅσην καὶ οἵαν ἀφώρισεν, τὴν διὰ μουσικῆς καὶ τὴν διὰ γυμναστικῆς. τῆς δὲ αὖ παιδείας πολλῷ πρότερον τὴν φύσιν ὁμοειδῆ τῶν γενῶν ἀμφοτέρων οὖσαν ἐπιδείκνυσιν· μὴ γὰρ τούτου πιεσθέντος οὔτ' ἂν οἱ περὶ τῆς παιδείας λόγοι τὸ πιστὸν ἔχοιεν οὔτ' ἂν οἱ περὶ τῆς ἀρετῆς. καὶ γὰρ ἀνάγκη τῇ μὲν φύσει τὴν παιδείαν ἑπομένην εἶναι, τῇ δὲ παιδείᾳ τὴν ἀρετήν, τὴν μὲν τελειοῦσαν τὴν φύσιν, τὴν δὲ τέλος οὖσαν τῆς παιδείας. καί μοι δοκεῖ κἀν τούτοις ὁ Πλάτων γνῶναί τε καὶ καταδήσασθαι τἀληθές, τὸ μὲν ἄρρεν καὶ θῆλυ τῷ εἴδει τὰ αὐτὰ θέμενος, τὰ δὲ ὁμοειδῆ, καθάπερ τὸ εἶδος ἕν, καὶ τὴν ἀρετὴν μίαν ἔχειν διορίσας. εἴτε γὰρ νοῦς τὸ πρῶτον ὀρεκτόν, αὐτὸς ἑκάστῳ τὸ εἶναι καὶ τὸ εὖ εἶναι διδούς, οἷς μίαν δίδωσιν οὐσίαν, τούτοις δήπου καὶ τελειότητα δίδωσι μίαν, εἴτε τὸ μὲν ἀγαθὸν ἐπέκεινα τοῦ νοῦ, τῶν δὲ εἰδῶν ὁ νοῦς αἴτιος, συντρέχειν ἀνάγκη τὰς δόσεις αὐτῶν, καὶ τῇ τῶν εἰδῶν διανομῇ τὴν ἐκ τἀγαθοῦ τελειότητα διανέμεσθαι κατ' ἀξίαν, ὡς τῶν μὲν ἑτέρων κατ' εἶδος καὶ τὸ εὖ διαφέρειν, τῶν δὲ κατ' οὐσίαν ὁμοειδῶν καὶ τὴν ἀρετὴν ὁμοειδῆ πάντων ὑπάρχειν.

in R.1.237 Πλάτων μὲν οὖν, ὅπερ ἔφην, κἀνταῦθα τῇ τάξει τῶν ὄντων συμβαινούσας ἀφῆκεν φωνάς· τῶν δὲ μετ' αὐτὸν οἳ μὲν ὁμοειδῆ λέγοντες εἶναι τὸ ἄρρεν καὶ θῆλυ καὶ τὸν ἄνθρωπον ἄτομον εἶδος καλοῦντες διασπῶσι τὰς ἀρετάς, ἄλλας μὲν ἀνδρός, ἄλλας δὲ γυναικὸς τιθέμενοι, καθάπερ οἱ ἐκ τοῦ περιπάτου φασίν. οἳ δὲ τὴν μὲν ἀρετὴν κοινὴν ⟦ μὲν ⟧ αὐτῶν ποιοῦσιν (καὶ οὐδέν γε τοῦτο θαυμαστόν, ὅπου καὶ θεοῦ καὶ ἀνθρώπου μίαν εἶναι διατείνονται τὴν ἀρετήν), ἕτερα δὲ κατ' εἶδος τὸ θῆλυ καὶ ἄρρεν εἶναι, καθάπερ ἄνθρωπον καὶ θεόν, ὥσπερ οἱ ἀπὸ τῆς στοᾶς. δεῖ δὲ τοῖς εἰρημένοις κανόσιν ἑπομένους οἷα περὶ τῆς ἑκάστων ὑπάρξεως ταυτότητός τε πέρι καὶ ἑτερότητος, τοιαῦτα καὶ περὶ τῆς τελειότητος ὁμοιότητός τε πέρι καὶ ἀνομοιότητος ὑπειληφέναι. καὶ γὰρ ἐπὶ πάντων ὡς εἰπεῖν ὁρῶμεν ταῖς φύσεσιν τὰς κατὰ φύσιν ἐνεργείας ἀκολουθούσας, ἐπὶ μὲν τῶν ἁπλῶν παντὶ πυρὶ τὴν ἐπὶ τὸ ἄνω φοράν, καὶ πάσῃ γῇ τὴν ἐπὶ τὸ κάτω, καὶ ἐπὶ τῶν μέσων ὡσαύτως· ἐπὶ δὲ τῶν συνθέτων οἷον ζῴων ἕκαστον, ὡς ἔχει μίαν ἰδέαν ἐκ τῆς φύσεως, οὕτω καὶ ἰδιότητα μίαν ἔχον ζωῆς, εἰ καὶ τὰ μὲν μᾶλλον τῶν καθ' ἕκαστα, τὰ δὲ ἧττον ἔχει τὸ κοινόν. λέοντες μὲν γὰρ ἀνδρικοὶ πάντες, σωφρονικοὶ οἱ βόες, ἔμφρονες δὲ αἱ γέρανοι, καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος, εἰ καὶ ὡς εἴπομεν ἔνι καὶ ἐν τούτοις ἐπίτασίς τις καὶ ἄνεσις. καὶ τοῦτο δήπου τεκμήριον αὐτὸ τῆς κατ' εἶδος ὁμοιότητος ἐν ταῖς ἐνεργείαις· ἐν γὰρ τοῖς ὁμοειδέσιν ὑπάρχει τὸ μᾶλλον καὶ ἧττον. οὕτω δὴ οὖν καὶ ἄνθρωποι πάντες ὁμοειδεῖς ὄντες καὶ τὰς τελειότητας ἔξουσι τὰς αὐτὰς καὶ τὰς φυσικὰς ἐνεργείας, ὥσπερ καὶ τὰς φύσεις.

in R.1.238 ταύτας δὲ ὅτι τὰς αὐτὰς κατ' εἶδος ἔχουσιν, δηλοῖ τό τε τίκτειν μετ' ἀλλήλων κατὰ φύσιν, καὶ οὐχ ὡς τὰ κοινογενῆ, καθάπερ ἵππον καὶ ὄνον, καὶ τὸ τὴν διαφορὰν αὐτῶν περὶ τὸ σῶμα εἶναι κατὰ τὰ ὄργανα τῆς παιδογονίας, βίους δὲ τοὺς αὐτοὺς ἀμφοτέρων, σώφρονας ἀκολάστους, δειλοὺς ἀνδρείους, ἔμφρονας ἀνοήτους, καὶ τὸ μεταβολὰς εἶναι κατὰ μόνα τὰ εἰρημένα μόρια τῆς μετασχηματίσεως γενομένης, τοῦ τε ἄρρενος εἰς ἄλληλα καὶ θήλεος, ὡς ἐκ τῆς ἱστορίας γνώριμον ἤδη γέγονεν, τῶν ἀνομοειδῶν εἰς ἄλληλα μὴ μεταβαλλόντων ἄνευ φθορᾶς. Ταῦτα δ' οὖν ὁ Σωκράτης εἰδὼς καὶ τὰς ἀρετὰς εἶναι κοινὰς τῶν τε ἀνδρῶν καὶ τῶν γυναικῶν ἐθέλων ἀποφῆναι, καὶ μὴ μόνον φύλακας εἶναι χρῆναί τινας, ἀλλὰ καὶ τὰς συστοίχους αὐτοῖς φυλακίδας, μηδὲ ἐπικούρους ἄνδρας μόνους, ἀλλὰ καὶ γυναῖκας ὁπλίζειν, δείκνυσιν ἐξ ἀνάγκης, ὅτι δυνατὰ νομοθετεῖ καὶ ὅτι, ἐπειδὰν κρατήσῃ, τοῖς πεισθεῖσιν ὠφέλιμα. δύο γὰρ οὗτοι σκοποὶ πάσης εἰσὶ τῆς πολιτικῆς ἐπιστήμης, ὃ μὲν τὸ δυνατόν, ὃ δὲ τὸ ὠφέλιμον δεικνὺς τῶν προσταττομένων· οὔτε γὰρ εὐχαῖς ὅμοια δεῖ γράφειν τὸν νοῦν ἔχοντα νομοθέτην, οὔτ' εἰ καὶ δυνατὰ λέγοι, πρὸς ἄλλο τι βλέποντα γράφειν ἢ τὸ ὠφέλιμον. καὶ ταῦτα εἰκότως· καὶ γὰρ ἡ νομοθετικὴ νοῦς τίς ἐστι μερικός, διὸ καὶ αὐτὸς τὸν νόμον ὡρίσατο νοῦ διανομήν [leg. IV 714a]. εἰ δὲ νοῦς ἐστιν, τρίτην μὲν ἔχει τάξιν ἀπὸ τοῦ ἀγαθοῦ, δευτέραν δὲ ἀπὸ τῆς δυνάμεως. καὶ γὰρ πᾶς νοῦς δυνάμεως δεῖται, ἵνα τὸ οἰκεῖον ἐκπληροῖ πάντως· οὐχ ὅπου δὲ δύναμις, ἐκεῖ καὶ νοῦς· ὥστ' ἐπέκεινα τοῦ νοῦ κατὰ φύσιν ἡ δύναμις. καὶ εἰς ταῦτα ἄρα βλέπων καὶ ὁ Σωκράτης πάσας ἐπιστήμας καὶ πάσας τέχνας δυνάμεις τινὰς εἶναι διορίζεται, ἀλλ' οὐκ ἀνάπαλιν· δυνάμεως γάρ φησιν οὔτε χρόαν οὔτε σχῆμα ὁρᾶν, ἀλλ' ἀφ' ὧν ἐργάζονται ἢ ἐφ' οἷς τετάχαται τὰς διαφορὰς αὐτῶν ἐξευρίσκειν [p.

in R.1.239 477c], ἀφ' ὧν μὲν ἐργάζονται, τὰς ποιητικάς, ἐφ' οἷς δὲ τετάχαται, τὰς γνωστικάς. πᾶσα δ' οὖν γνῶσις ἀπὸ δυνάμεως, οὐ πᾶσα δὲ δύναμις γνωστικὴ πάντως (εἰσὶ γοῦν καὶ ὀρεκτικαὶ δυνάμεις καὶ ἄλλαι φυσικαὶ ζῴων ἢ φυτῶν ἢ ἀψύχων), ὥστε ὑπὲρ νοῦν ἡ δύναμις. πάλιν δὲ αὖ τῆς δυνάμεως ἐπέκεινα τὸ ἀγαθόν· ἅπασα γὰρ δύναμις αὐτὴ καθ' αὐτὴν ἀγαθόν. εἰ δέ τις εἴη βλαβερὰ λεγομένη δὲ ὅμως δύναμις, ἀδυναμία μειζόνως οὖσα φαντάζεταί τισιν εἶναι δύναμις· τί γὰρ ἄλλο δυνάμεως ἴδιον ἢ τὸ σώζειν τὸ ἔχον αὐτήν; εἰ δὲ βλαβερὰ τίς ἐστιν δύναμις, οὐδ' ἂν δύναμις εἴη, τοὐναντίον δρῶσα τῇ τῆς δυνάμεως χρείᾳ. πᾶσα μὲν οὖν δύναμις ἀγαθόν, οὐ πᾶν δὲ τὸ ἀγαθὸν δύναμις, εἴπερ καὶ ἄλλα ἀγαθά ἐστιν οὐκ ὄντα δυνάμεις, ὅπου καὶ ἕξεις ἀγαθάς

τινας λέγομεν, καὶ ἐνεργείας πρὸ ἕξεων, καὶ αὐτὸ τὸ εἶναι πρὸ δυνάμεως ὂν ἀγαθόν. εἰ δὲ ταῦτα ὀρθῶς εἴπομεν καὶ τὸ προρρηθὲν ἀληθές, τὸ τὴν νομοθετικὴν ἐπιστήμην νοῦν τινα μερικὸν εἶναι, διότι καὶ ὁ νόμος ὡς εἴρηται νοῦ διανομὴ κατ' αὐτόν ἐστιν, ἐν τῇ τρίτῃ σειρᾷ τῶν πάντων οὖσα, βλέπειν εἰς τὰς πρὸ αὐτῆς ὀφείλει, τήν τε τῆς δυνάμεως λέγω καὶ τὴν τοῦ ἀγαθοῦ. σειραὶ γάρ εἰσιν καὶ τούτων, καὶ ἄλλαι ἀπ' ἄλλων δυνάμεις προΐασιν καὶ ἀγαθότητες ὡσαύτως. εἰ δὲ εἰς ἐκείνας βλέπει, τό τε δυνατὸν ὀφείλει πανταχοῦ σκοπεῖν εἰς αἵρεσιν καὶ τὸ ὠφέλιμον εἰς τεῦξιν· αἱροῦνται γὰρ ἕκαστοι τὰ δυνατά, τυγχάνειν δ' ἐφίενται τῶν ὠφελιμωτάτων. Τούτων οὖν ὄντων δύο σκοπῶν, τὸ δυνατὸν πρότερον ὁ Σωκράτης ἡμῖν ἐπιδεικνὺς τοῦ γυναικείου δόγματος ἀπὸ τῶν κυνῶν ὑπομιμνήσκει τὴν εἰς τὸ φυλάττειν τὴν πόλιν ὁμοιότητα πρὸς τοὺς ἄνδρας τῶν γυναικῶν [p.

in R.1.240 451d]. τοῦτο γὰρ δὴ τὸ ζῷον εἰκόνα φύσεως ἐποιήσατο φυλακτικῆς, ταύτην ἔχον τὴν δύναμιν κατὰ φύσιν, ὡς ἄλλα τῶν ζῴων ἄλλην, τὰ μὲν τοῦ μέλλοντος προορατικήν, τὰ δὲ τὴν οἰκονομικήν, τὰ δὲ τὴν ἀμυντικήν. τῆς δὲ δυνάμεως ταύτης ἴδιον πρᾶον μὲν εἶναι τοῖς οἰκείοις, χαλεπὸν δὲ τοῖς ἀλλοτρίοις, ὃ δὴ διαφερόντως ὑπάρχει τοῖς κυσίν, ὥσπερ δὴ καὶ τὸ ἀγρυπνητικόν (καθεύδοντα γὰρ ἄλλου φύλακος ἀνάγκη δεῖσθαί τινος) καὶ τὸ ὀξὺ καὶ τὸ εὐαίσθητον· ὁ γὰρ τούτοις ἐλλείπων οὐ προσιόντας γνώσεται τοὺς ἀλλοτρίους, οὐ χαιρήσει καὶ ἀποσκευάσεται πρὸ τοῦ παθεῖν, τὸ μὲν διὰ δυσαισθησίαν, τὸ δὲ δι' ἀργίαν. καὶ ἐοίκασιν ἄρα διὰ ταῦτα καὶ οἱ τὰ θεῖα σοφοὶ ταύτην κατιδόντες τῶν κυνῶν τὴν ἰδιότητα τὴν φυλακτικὴν τοῖς φρουρητικοῖς αὐτοὺς οἰκείους θεοῖς ὑπολαβεῖν καὶ κυνοπροσώπους αὐτοὺς ἐν τοῖς εἴδεσι ποιεῖν, ὡς τὸν Ἄνουβιν Αἰγύπτιοι τὸν τοῦ Ὀσίριδος φρουρόν. τὸν δ' οὖν κύνα τοῖς φύλαξιν ἀνθρώποις καὶ αὐτὸς ** διὰ τὴν κατὰ φύσιν πρὸς τὸ φυλακικὸν δαιμόνιον γένος συγγένειαν [II 376a]. ἐντεῦθεν ὁρμηθεὶς ἀποδείκνυσιν οὐ τῷ ἄρρενι μόνον τῶν ἀνθρώπων, ἀλλὰ καὶ τῷ θήλει τὴν φυλακὴν τῆς πόλεως οἰκείαν· καὶ γὰρ τοὺς κύνας οὐ μεῖον τοὺς θήλεις ἢ τοὺς ἄρρενας εἶναι τῶν ἀγελῶν φυλακικούς, οὐκ ἐκ παραδείγματος ἐπιβαλλόμενος (ἀσθενὴς γὰρ ὁ τοιόσδε τῆς ἐπιβολῆς τρόπος καὶ οὐ διαλεκτικός) οὐδὲ ὡς ἐπαγωγῇ χρώμενος (ἐκ γὰρ ἑνὸς ἐπαγωγὴν ποιεῖν ἀδύνατον), ἀλλ' ὡς ἐκ τοῦ ἥττονος ἐπιχειρῶν· ὥστ' εἶναι τὸν λόγον τοιοῦτον. εἰ τοῖς ἧττον ἀνθρώπων ὀφείλουσιν τὴν κατὰ φύσιν ὁμοιότητα κεκτῆσθαι διὰ τὴν ὕφεσιν τῆς ζωῆς ὑπάρχει τὸ ὅμοιον ἐν τῇ φύσει, πολλῷ μᾶλλον ἀνθρώποις κρείττονα καὶ τρανεστέραν ἔχουσι ζωήν.

in R.1.241 ἐν γὰρ τοῖς κατ' οὐσίαν ὑπερέχουσιν, συστοίχοις δὲ ἀλλήλοις μᾶλλον ἡ κοινωνία τῆς φύσεώς ἐστιν ἢ ἐν τοῖς καταδεεστέροις. ὅσῳ γοῦν ἕκαστα τῇ φύσει λείπεται τῶν πρὸ αὐτῶν, τοσούτῳ μᾶλλον καὶ τῆς ὁμοιότητος ἀποδεῖ τῆς πρὸς ἄλληλα, τῆς δὲ ἀνομοιότητος μετέχει πλείονος. ἀλλὰ μὴν τὸ ἡγούμενον· οἱ γοῦν κύνες ἐγγυτάτω μὲν ὄντες ἀνθρώπων καὶ συζῶντες αὐτοῖς, ὑφειμένοι δὲ διὰ τὴν τοῦ λόγου στέρησιν, οὐ μόνον οἱ ἄρρενες ἀλλὰ καὶ οἱ θήλεις, τὴν ἰδιότητα ταύτην εἰλήχασιν, ἣν κυνῶν ἰδίαν φαμέν. πολλῷ ἄρα μᾶλλον οἱ ἄνθρωποι, ὧν διὰ τὴν λογικὴν φύσιν κοινὴν οὖσαν τὸ προνοητικὸν τῶν ἀνθρώπων ἴδιον καὶ τὸ σωστικόν, ἕξουσιν ταύτην φύσιν πάντες τὴν τὸ συγγενὲς σώζειν ὀφείλουσαν, εἰ καὶ οἳ μὲν μᾶλλον, οἳ δὲ ἧττον. καὶ γὰρ τοῦτο προσέθηκεν δαιμονίως εἰς πίστιν τῆς ὁμοειδοῦς οὐσίας τῶν ἀνθρώπων· τὸ γὰρ μᾶλλον καὶ ἧττον ἐν τοῖς ὁμοειδέσιν καὶ Ἀριστοτέλης εἶναί φησιν, ἐν λευκοῖς ἐν μέλασιν ἐν θερμοῖς ἐν ψυχροῖς. τὸ δὲ μηδ' ὅλως ταὐτοῦ μέτοχον εἴδους οὐ λέγεται μᾶλλον ἢ ἧττον μετέχειν, ἀλλ' ὃ ἂν ᾖ ταὐτὸν μετ' ἐπιτάσεως ἢ ἀνέσεως. εἰ δ' οὖν καὶ οἳ μὲν μᾶλλον, οἳ δὲ ἧττον τῆς ἀνθρώπῳ προσηκούσης τελειότητος μετέχουσιν, ἀλλ' ἡ φύσις κοινὴ καὶ τῶν ἀρρένων ἐστὶ καὶ τῶν θηλειῶν, καὶ κοινὰ πάντα ἀμφοτέροις τὰ ἐπιτηδεύματα, τὸ ἄρχειν τὸ ἐπικουρεῖν τὸ τεχνικῶς ζῆν. ὥστε σκοπητέον, τίνες καὶ ἐν γυναιξὶ φυλακικαὶ φύσεις εἰσίν, καὶ παιδευτέον καὶ ταύτας ὡς τοὺς ἄνδρας. ἡ γὰρ φυσικὴ ἐπιτηδειότης ἀτελής, ἡ δὲ παιδεία πρὸς τὸ τέλειον

ἄγει τὴν φύσιν. κἂν ἀσθενέστερον ᾖ τὸ θῆλυ πρὸς ταῦτα μᾶλλον ἢ τὸ ἄρρεν, ὡς ὅλον εἰπεῖν, οὐ διοισόμεθα· δεῖ γὰρ οὐκ εἰς τὰ ὄργανα βλέπειν, ἀλλ᾽ εἰς τὰ εἴδη τῆς ζωῆς. καίτοι καὶ τὴν ἐν τοῖς ὀργάνοις τοῦ θήλεος δύναμιν ἔδειξεν ὅλα γυναικῶν ἔθνη παμπόλλην οὖσαν, Ἀμαζόνας λέγω τὰς διὰ τὴν ῥώμην καὶ Ἄρεως εἶναι ῥηθείσας ὀπαδοὺς καὶ τιμηθείσας μετὰ τὴν ἥτταν Ἀθήνῃσιν ὡς Ἀρεϊκάς· Σαυρομάτιδας οὐ μεῖον τῶν ἀνδρῶν πολεμικὰς καὶ τολμώσας ἐν τοῖς δεινοῖς· Λυσιτανῶν δὲ ἀκήκοα τὴν πολιτείαν ἱστουργίαν μὲν ἀποδιδόναι καὶ ταλασίαν τοῖς ἀνδράσιν, πολέμους δὲ καὶ ἀγῶνας ταῖς γυναιξίν.

in R.1.242 οὕτως ὁμαλὴ γέγονεν ἡ τῶν ἀνθρώπων φύσις πρὸς ἀρετὴν ἐκ τῆς δημιουργίας. Ὁ μὲν δὴ λόγος τοιοῦτός ἐστιν, δι᾽ οὗ τὴν φύσιν κοινὴν οὖσαν ἐν πᾶσι τοῖς ἐπιτηδεύμασιν ἐπιδείκνυσιν ἀνδρῶν καὶ γυναικῶν· δύο δὲ πρὸς τὴν δόξαν ταύτην κινήσας ἀπαντήσεις ἀμφοτέρας μεταχειρίζεται τὸν ἐπιστημονικὸν τρόπον. ἔστι δὲ ἡ μὲν τῶν ἀπαντήσεων ἀπὸ τοῦ ἔθους εἰς ἄδοξόν τι περιάγουσα τὴν θέσιν, εἰωθὸς τοῦτο τοῖς περὶ τὰς ἀντιλογίας διατρίβουσι καὶ τὸ ἔνδοξον θηρῶσιν ἐν τοῖς λόγοις, ἡ δὲ ἀπὸ τῶν ἡμετέρων ὁμολογημάτων ὁρμωμένη δοκοῦσα μείζω τὴν ἰσχὺν ἔχειν καὶ περιτρεπτικὴ τῶν λόγων αὐτῶν πρὸς αὐτούς. ἡ μὲν ἀπὸ τοῦ ἔθους εἰς τὸ ἄδοξον ἄγουσα ἀπάντησίς ἐστιν τοιάδε τις. εἰ δεῖ τὰς γυναῖκας φυλακικὰς γίνεσθαι, δεῖ γυμνάζεσθαι καὶ μὴ μουσικεύεσθαι μόνον. εἰ δὲ γυμνάζεσθαι, δεῖ καὶ ἀποδύεσθαι ἐν τοῖς γυμνασίοις ὡς τοὺς ἄνδρας καὶ τἆλλα πάντα ὑπομένειν, ὅσα καὶ ἐκείνους, οἷον πηδᾶν ἱππάζεσθαι τρέχειν· ταῦτα δὲ αἰσχρὰ πάντα γυναιξὶν τὸ ἔθος εἶναί φησιν, ὃ δὴ κρατεῖ νῦν ἐν ταῖς πόλεσιν. τὸ δὲ αἰσχρὸν καὶ ἄσχημον ἄδοξον· οὐκ ἄρα γυμναστέον τὰς γυναῖκας· οὐκ ἄρα φυλακίδας πόλεως τακτέον. ἡ δὲ λοιπὴ τοιαύτη· κεῖται διὰ τῶν ἔμπροσθεν λόγων, ἕκαστον ἕν τι χρῆναι ἐπιτηδεύειν, ὃ κατὰ φύσιν ἐστὶν ἑκάστοις· εἰ δὲ τοῦτο ὀρθόν, ἀνάγκη τὰς διαφερούσας φύσεις διάφορα ἐπιτηδεύειν.

in R.1.243 εἰ οὖν αἱ ἀνδρὸς καὶ γυναικὸς φύσεις διαφέρουσιν ἀλλήλων, αἱ δὲ διαφέρουσαι φύσεις διαφέροντα ἐπιτηδεύουσιν, ἡ ἄρα ἀνδρὸς καὶ ἡ γυναικὸς φύσις διαφέροντα ἐπιτηδεύσουσιν. εἰ ἄρα ἡ ἀνδρὸς φύσις φυλακική, ἡ γυναικὸς οὐ φυλακική· ἄμφω γὰρ λέγειν ἅμα ἀδύνατον, καὶ τὰς φύσεις εἶναι διαφόρους καὶ τὰς ἐπιτηδεύσεις τὰς αὐτάς. ὥστ᾽ ἢ τὰ πρότερα ψευδῶς διωρίζομεν ἢ τὰ νῦν ψευδῶς δείκνυμεν. Αἱ μὲν οὖν ἀπαντήσεις τοιόνδε παρ᾽ αὐτῷ τρόπον προήχθησαν· λύει δὲ ἀμφοτέρας, τὴν μὲν προτέραν συλλογιζομένην οὕτως· τὸ γυμνάζεσθαι τὰς γυναῖκας, ἢ παραποδυομένας τοῖς ἀνδράσιν ἢ ἱππαζομένας ἢ ἄλλο τι τοιοῦτο μελετώσας, παρὰ τὸ κοινὸν ἔθος ἐστί· πᾶν τὸ παρὰ 〈τὸ〉 κοινὸν ἔθος ἄσχημον καὶ αἰσχρόν, καὶ τὸ συμβαῖνον δῆλον—ταύτην δ᾽ οὖν οὐτωσὶ λύει, τὴν μείζω πρότασιν σαλεύσας. τὸ γὰρ ἔθος διττόν, ἢ οὗ λόγος πατήρ, ἢ οὗ πάθος αἴτιον· καὶ τὸ αἰσχρὸν διττόν, ἢ τὸ τοῖς νοῦν ἔχουσιν τοιοῦτον φανταζόμενον, ἢ τὸ τοῖς ἀνοήτοις· καὶ τὸ ἄδοξον ὡσαύτως καὶ ἑπομένως τούτοις διττόν, ἢ τὸ τοῖς πολλοῖς, ἢ τὸ τοῖς περιττοῖς. εἰ μὲν οὖν τοῦ ἔθους ἡγεμὼν εἴη λόγος, κἂν ἄσχημον εἶναι δοκῇ τοῖς ἀνοήτοις κἂν ἄδοξον παρὰ τοῖς πολλοῖς, εἰσακτέον αὐτὸ πάντως εἰς τὰς πόλεις· ἔσται γὰρ καὶ τοῦτο χρόνῳ πᾶσιν ἀρέσκον. εἰ δὲ πάθος αἴτιον, κἂν καλὸν εἶναι φαίνηται τοῖς νοῦν οὐκ ἔχουσι κἂν ἔνδοξον ᾖ διὰ χρόνον γεγονὸς παρὰ τοῖς πολλοῖς, ἐκβλητέον αὐτὸ τῶν πόλεων. ἡ γὰρ νομοθετικὴ οὐ τῶν πολλῶν στοχάζεται τῆς κρίσεως, ἀλλὰ τῶν ὀλίγων, οὐδὲ εἰς δόξας ὁρᾷ τῶν ἀνοήτων, ἀλλ᾽ εἰς τὰς τῶν νοῦν ἐχόντων. καὶ τὰ ἄδοξα οὖν παρὰ τοῖς πολλοῖς νομοθετήσει πρὸς τὰ ἔνδοξα βλέπουσα παρὰ τοῖς ὀλίγοις.

in R.1.244 εἰ γὰρ ἔδει τοῖς πονηροῖς ἔθεσι δουλεύειν, οὐδέποτ᾽ ἂν ἐγένετο μεταβολή, τῶν χειρόνων τῶν προτέρων ἀεὶ κρατούντων. συλλογιστέον οὖν οὕτως· τινὰ ἔθη οὐ συνᾴδει ἀλλήλοις· τὰ κατὰ λόγον συνᾴδει ἀλλήλοις· οὐ πάντα ἄρα τὰ ἔθη κατὰ λόγον. ἐπεὶ οὖν οὐ πάντα κατὰ λόγον, ἐκεῖνα ἐκλεκτέον, οὐχ ὅσα κατὰ φαντασίαν ἐστὶν καλά, ἀλλ᾽ ὅσα διὰ τὴν τοῦ λόγου κρίσιν. τὴν μὲν οὖν προτέραν οὕτως ἔλυσεν ἀπάντησιν, καὶ ἀπὸ τῆς ἱστορίας ὑπομνήσας, ὅτι πολλὰ τῶν

ἐθῶν αἰσχρὰ πρότερον νομιζόμενα προϊόντος τοῦ χρόνου οὐκέτ' ἔδοξαν εἶναι τοιαῦτα, καθάπερ ἐν Λακεδαίμονι τὸ ἄνευ διαζώματος θεῖν. Τὴν δὲ δευτέραν συλλογιζομένην οὕτως· ἀνδρὸς φύσεις καὶ γυναικὸς διάφοροί εἰσιν· αἱ διάφοροι φύσεις διάφορα ἐπιτηδεύειν ὀφείλουσιν, λύει τὸ διάφορον διελὼν ὁσαχῶς λέγεται, καὶ ὡς τὸ μὲν πῇ τὸ δὲ ἁπλῶς, καὶ ὡς οὐ καθ' ὃ διαφέρουσιν, κατὰ τοῦτο τὰ αὐτὰ ἐπιτηδεύειν αὐταῖς προσάπτομεν, ἀλλὰ καθ' ὃ μὴ διαφέρουσιν. ἔστιν μὲν γάρ τις αὐτῶν διαφορὰ κατὰ τὴν τῶν ὀργάνων τῶν παιδοποιῶν θέσιν καὶ διάπλασιν, καὶ κατ' αὐτὴν ἄλλα μὲν ἀνδράσιν ἄλλα δὲ γυναιξὶν ἐπιτηδευτέον, τοῖς μὲν ὅπως ἂν εὔρωστα σπείρωσιν καὶ μὴ ἀδρανῆ καὶ ἐξίτηλα διά τε τροφῆς τοιᾶσδε καὶ κινήσεως (καὶ γὰρ τῶν σπερμάτων τὰ μέν ἐστιν ἄγονα, ὅσα ὑδατώδη, τὰ δὲ γόνιμα, ὅσα εὐπαγῆ καὶ χαλαζώδη, φησὶν Ἀριστοτέλης [hist. an. VII 1. 582a 19]), *** καὶ τῶν κυουσῶν γυναικῶν ἐστιν ἴδια ἐπιτηδεύματα, οἷα προσέταξεν ἐν Νόμοις Πλάτων, γυμνασίαν καὶ δίαιταν ἄνοινον καὶ εἴ τι τούτοις ὅμοιον. ταύτῃ μὲν οὖν διαφέρουσιν· ταῖς δὲ τῶν ψυχῶν δυνάμεσιν οὐ διαφέρουσιν, καθ' ἃς δεῖ τὰ αὐτὰ αὐτοὺς ἐπιτηδεύειν, εἰ καὶ ἀσθενέστερον ἐπιτηδεύσουσιν ὡς τὸ ὅλον αἱ γυναῖκες· ἐπεὶ ὅτι πολλαὶ καὶ τούτων εἰς ἅπασαν παιδείαν ἀνδρῶν εἰσί τινων ἐρρωμενέστεραι, δῆλον.

in R.1.245 οὐχ ᾗ δ' οὖν διαφέρουσι, ταύτῃ κοινὰ τὰ ἐπιτηδεύματα αὐταῖς ἀφορίζομεν, ἀλλ' ᾗ κοινὴν ἔχουσι φύσιν· καὶ σαφῆ τὸν παραλογισμὸν ἐποίησε τῷ πῇ καὶ ἁπλῶς χρησάμενος ὡς μηδενὶ διαφέρουσιν, τὸν φαλακρὸν καὶ τὸν κομήτην παραλαβὼν ὡς φύσιν ἔχοντας διάφορον καὶ οὐκ ὀφείλοντας τὰ αὐτὰ ἐπιτηδεύειν. ἔστι γάρ τι καὶ ἐν τούτοις διάφορον, ἀλλ' οὐκ ἐκεῖνο τὸ ποιοῦν τὰς ἐπιτηδεύσεις διαφερούσας. ὅλως δὲ ἐν τοῖς συνθέτοις πᾶσιν ἔνεστίν τι πάντως καὶ ταὐτὸν καὶ ἕτερον, καὶ οὐ δεῖ τὸ πῇ ἕτερον ἁπλῶς ἕτερον λέγειν, οὐδὲ τὸ πῇ ταὐτὸν ἁπλῶς ταὐτόν. Αἱ μὲν οὖν ἀπαντήσεις οὕτως ὑπ' αὐτοῦ διελύθησαν· ὧν λυθεισῶν συνάγει δεῖν μὲν τῶν τε ἀνδρῶν εἶναι καὶ τῶν γυναικῶν τὰ αὐτὰ ἐπιτηδεύματα, δεῖν δὲ ταῖς γυναιξὶν ὡς ἀσθενεστέραις διδόναι μὲν ὄργανα τὰ κουφότερα, προστάττειν δὲ ἔργα, ὅσα μὴ παντάπασιν ἐπίπονα, διὰ τὴν τῆς φύσεως ὕφεσιν ἐν ἅπασιν, οἷς γυνὴ καὶ ἀνὴρ ἐπιτηδεύετον. καὶ γὰρ ἐν τοῖς ὁμολογουμένοις εἶναι γυναικείοις ἔργοις ἐρρωμενέστερον ἀνὴρ ἐνεργεῖ γυναικός, ὡς ἐν τῷ ὑφαίνειν, ὡς ἐν τῷ ταλασιουργεῖν, ὡς ἐν τῷ ποπανοποιεῖν· ἔνθα καὶ τὸ ἔθος ἡμᾶς ἐδίδαξε τὸ Ἀττικόν, ὡς ἄρα γυναῖκες ἦσαν οὐχ αἱ ἀλετρίδες μόνον, ἀλλὰ καὶ αἱ ποπανοποιοί, μιμούμεναι τὰς φύσεις τὰς πλαττούσας ὅσα τοῖς θεοῖς ἀνιᾶσιν ζῷα καὶ φυτά. διὰ πάντων δ' οὖν τούτων τῶν γυναικείων ἔργων οἱ ἄνδρες εἰς τὸ τὰ αὐτὰ ποιεῖν εἰσιν μᾶλλον ἐρρωμένοι τῶν γυναικῶν· ὥστ' οὐδὲν θαυμαστόν, εἰ καὶ ἐν τῷ ὁπλιτεύειν καὶ ἐν τῷ τρέχειν ἢ ἐν τῷ ἀγρυπνεῖν. ἀλλὰ προστακτέον αὐταῖς κοινωνεῖν καὶ τούτων τῶν ἐπιτηδευμάτων, τὴν ὕφεσιν τῆς φύσεως σοφιζομένους τοῖς ἐλαφροτέροις τῶν ἔργων.

in R.1.246 καὶ ἔοικεν καὶ τοῦτο τῷ θήλει ὑπάρχειν κατὰ τὴν πρὸς τὰ θεῖα ἀναλογίαν ⟦ ὑπάρχειν ⟧ , τὰς ἑαυτῶν φύσεις ἀνατείνοντα καὶ μέχρι τῶν ἐσχάτων, ἐν οἷς τῶν συστοίχων τὰ θήλεα τῶν ἀρρένων ἐστὶν ὑφειμένα ταῖς δυνάμεσιν, διότι δὲ συντέτακται ἀλλήλοις (διὸ καὶ λέγεται σύστοιχα), κοινὰς ἔχει τὰς ἀναγωγοὺς ἐπὶ τὰ σφῶν αὐτῶν αἴτια δυνάμεις. ὃ δὴ καὶ ἐνταῦθα ὂν εἰκονικῶς κοινὰς ἀπέφηνε τὰς ἀρετάς· ὥσπερ ἐκεῖ τῷ γεννᾶν διαφέρουσιν, τὸ μὲν ἄρρεν ἄλλως τὴν ἕνωσιν διδὸν τοῖς ἀπογεννωμένοις, τὸ δὲ θῆλυ τρόπον ἕτερον μερίζον καὶ πληθύον τὰ κοινὰ αὐτῶν ἀποτελέσματα, κατὰ τὸν αὐτὸν καὶ ἐνταῦθα λόγον ἡ διαφορότης ὑπάρχει τῷ θήλει πρὸς τὸ ἄρρεν ἐν ταῖς γονίμοις τῶν ὁμοίων ἐνεργείαις· εἰ καὶ ἐπιπονώτερον καὶ τοῦτο ἐργάζεται τὸ θῆλυ, τὸ δ' ἄρρεν οὐ μόνον μετὰ ἀπονίας, ἀλλὰ καὶ μεθ' ἡδονῆς, εἰκόνες καὶ ταῦτα τῶν θείων, ἐν οἷς τὸ μὲν διὰ περιουσίαν δυνάμεως μετὰ πλείονος ἐνεργεῖ ῥᾳστώνης, ἀπόλυτον ὂν καὶ ἄφετον τῆς προόδου τῶν δευτέρων, τὸ δὲ μετὰ ἐλάσσονος μὲν τῆς ἐξῃρημένης ὑπεροχῆς, πλείονος δὲ τῆς πρὸς τὰ γεννώμενα συμπαθείας. Ἀλλὰ τούτων μὲν ἄδην. τὸ δὲ

δεύτερον, ὅτι καὶ βέλτιστον πρὸς τῷ δυνατῷ τὸ γυναικεῖον δρᾶμα, κατεσκεύασεν συνδρομώτερον, καὶ ἔστιν ὁ λόγος δυνάμει τοιοῦτος. εἰ τὸ πλείους ἀγαθοὺς εἶναι πολιτείᾳ λυσιτελέστερον ἢ τὸ ἐλάσσους, καὶ τὸ παιδεύεσθαι μὴ ἄνδρας μόνον ἀλλὰ καὶ γυναῖκας λυσιτελέστερον. ἀλλὰ μὴν ἐκεῖνο πᾶς ἂν ὁμολογήσειεν· ὅσῳ γὰρ πλείους οἱ ἀγαθοί, τοσούτῳ κρείσσων ἡ ζωὴ τῆς πόλεως. ὥσπερ γὰρ καὶ τὸ πᾶν εὔδαιμον, διότι τὸ μὲν πλεῖστον αὐτοῦ ζῇ θείως, τὰ δὲ κατὰ τὴν θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον πάνσμικρον ὄντα περιπολεῖ καὶ διὰ τοῦτο κρατεῖται ὑπὸ τῶν ἀμεινόνων, πλειόνων καὶ δυνατωτέρων ὄντων.

in R.1.247 τὸ ἄρα ἑπόμενον ἀληθέστατον, ὅτι τὸ παιδεύεσθαι καὶ τὰς γυναῖκας λυσιτελέστερον ἢ μόνους τοὺς ἄνδρας· ἔσται γὰρ τὸ ἥμισυ τῆς πόλεως ἀπαίδευτον τῶν ἀνδρῶν μόνων εἰς ἀρετὴν ἀγομένων, τῶν δὲ γυναικῶν ἀμελουμένων. ἐπεὶ καὶ ὅσῳ τὸ θῆλυ γένος ἀσθενέστερον ὂν ἐπιρρεπέστερόν ἐστιν εἰς τὸ ἐμπαθές, τοσούτῳ μᾶλλον τῆς περὶ αὐτὸ παιδείας τῷ νομοθέτῃ φροντιστέον, διὰ τῆς ὀρθῆς ἀγωγῆς ἀνέλκοντι πρὸς τὸ ἄριστον καὶ τοῦτο καὶ ἀμυνομένῳ τὴν ἀσθένειαν τῆς φύσεως τῇ δυνάμει τῆς ἀρετῆς. ἔσται γὰρ καὶ ἡ ὅλη πόλις ἑαυτῇ σύμφωνος μᾶλλον ἐξ ἀγαθῶν οὖσα πάντων ἢ ἐξ ἀγαθῶν καὶ μὴ ἀγαθῶν. καὶ γὰρ ὁ τοῦδε τοῦ παντὸς πατήρ, 〈ὃν〉 ὁ νομοθέτης καὶ ἁπλῶς ὁ πολιτικὸς ὄντως ἀνὴρ ἀπεικονίζεται, τὸ πᾶν ὑπέστησεν ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι βουλόμενος κατὰ δύναμιν. διὸ καὶ πάντα κεκόσμηται κατὰ τὴν ἐκείνου βούλησιν, θεοί τε καὶ θεαὶ τῶν ὅλων προεστᾶσιν καὶ δαίμονες καὶ δαιμονίδες. εἰ οὖν, ὡς αὐτός φησιν [IX 592b], οὐράνιόν ἐστιν τὸ τῆς πολιτείας ταύτης εἶδος, μιμείσθω τὰς δύο τῶν κρειττόνων συστοιχίας, διακεκοσμημένων τῶν τε ἀνδρῶν καὶ τῶν γυναικῶν τοῖς καλλίστοις τῆς παιδείας ὅροις. τοῦτο γὰρ ὡς ἀληθῶς ὠφελιμώτατον τοῖς μέρεσιν, μιμεῖσθαι τὸ ὅλον, καὶ ταῖς ἀνθρωπίναις πολιτείαις, ἀπεικάζεσθαι ταῖς θείαις. εἰ δὲ δή τις ἔροιτο, πῶς εἰ κοινὰ τὰ ἐπιτηδεύματα τῶν τε ἀρρένων καὶ τῶν θηλειῶν καὶ οἱ αὐτοὶ τῆς παιδείας ὅροι, τὰς ἐκ τοῦ νοητοῦ ψυχὰς κακυνθείσας ἐν τοῖς πρώτοις βίοις εἰς γυναῖκας ἄγομεν ἐν τοῖς ἑξῆς, ὡς ἂν τῆς ἀρετῆς οὐκ οὔσης κοινῆς, ἀλλὰ τῆς κακίας γυναιξὶ πρεπούσης, ἀποκρινόμεθα πρὸς τὸν ταῦτα διερωτῶντα τὴν τάξιν τῆς προόδου τὸν Πλάτωνα παριστάνοντα τῶν ἀπὸ τοῦ νοητοῦ προϊουσῶν εἰς τὸν τῇδε τόπον ψυχῶν ἐκεῖνα διατάττεσθαι περὶ τῶν βίων, οὐχ ὡς ἀφαιρούμενον τὰς γυναῖκας τῆς κατ' ἀρετὴν ὁμοίας τοῖς ἀνδράσι ζωῆς, ἀλλ' ὡς εἰδότα τὴν ὕφεσιν τοῦ θήλεος γένους πρὸς τὸ ἄρρεν κἀν τοῖς τῆς ἀρετῆς ἐπιτηδεύμασι κοινοῖς ἀμφοτέρων οὖσιν.

in R.1.248 οὐ γὰρ πᾶσα ὕφεσις εἶδος οἶδεν ἐξαλλάττειν, ἀλλ' ἥτις ἂν μηδέποτε ἐν τῷ ἑτέρῳ δεικνύῃ ταὐτὸν εἶδος, 〈ὃ〉 ἦν ἐν τῷ κρείττονι. νῦν δὲ τὸ τῆς ἀρετῆς εἶδος ἔν τισι θήλεσιν γένοιτο ἂν τοιοῦτον οἷον ἐν τοῖς ἄρρεσιν, ὥστ' εἶναί τινων ἀνδρῶν γυναῖκας μειζόνως ζώσας κατ' ἀρετὴν τὴν αὐτῶν τῶν ἀνδρῶν. εἰ δὲ μηδέποτε τὸ θῆλυ τὴν ὁμοίαν ἀρετὴν εἶχεν τῷ ἄρρενι, δῆλον ἂν ἦν ὡς κατ' εἶδος ἐξήλλακτο τὸ τῆς ἀρετῆς εἶδος ἐν τούτοις. οὔκουν τὴν ἀνθρωπίνην ἀρετὴν γενέσθαι ποτὲ κρείττονα τῆς δαιμονίας δυνατὸν διὰ τὴν ἀμφοτέρων ἐξαλλαγὴν κατ' εἶδος, οὐδέ τι τῶν ἀλόγων ζῆσαι τὴν ἀνθρωπίνην ἀρετὴν διὰ τὴν αὐτὴν αἰτίαν. ἡ μὲν οὖν κατ' εἶδος τῆς ἀρετῆς *** ἀνέπεισε τὸν Σωκράτη κοινὴν ποιῆσαι τὴν παιδείαν· ταύτην δὲ εὗρεν λαβὼν ἀπὸ τῶν πραγμάτων, ὅτι τινὲς γυναῖκες ζῶσι τὴν ἀνδρῶν ἀρετήν. καὶ τοῦτο Τιμαίῳ γνώριμον καὶ εὐπαράδεκτον, εἰδότι τοὺς βίους τῶν Πυθαγορείων γυναικῶν, τῆς Θεανοῦς, τῆς Τιμύχας, τῆς Διοτίμας αὐτῆς. ἡ δὲ ὕφεσις τῆς ἐν ταῖς γυναιξὶν ἐπιτηδειότητος πρὸς πᾶσαν ἐπιτήδευσιν ἀνέπεισεν καὶ αὐτὸν καὶ τὸν Τίμαιον ἐν δευτέροις βίοις ἄγειν εἰς γυναικὸς φύσιν τὴν ψυχήν [p. 42b]. οὐ γὰρ διὰ δύναμιν ἡ κάθοδος, ἀλλὰ διὰ ἀδυναμίαν· ἡ ⟦ οὖν ⟧ γὰρ μᾶλλον ἀδυναμία ποιεῖ τὸ μᾶλλον ἀσθενές.

in R.1.249 ὅτι δὲ εἰς τὴν ἑκάστων ἐπιτηδειότητα δεῖ βλέποντα τὸν νομοθέτην ἢ μεταδιδόναι τισὶ παιδείας ἢ μή, δηλοῖ καὶ τῶν θητῶν τοὺς δι' εὐφυΐαν ὑποχρύσους ἀνάγων εἰς τὴν ἄνω πόλιν, καὶ τῶν

ἄνω τοὺς δι’ ἀφυΐαν ὑποχάλκους καταπέμπων [III 415c]. οὐ γὰρ γένος ἐστὶ θητῶν καὶ φυλάκων ὡς ἵππων καὶ ἀνθρώπων διωρισμένον, 〈ὧν〉 αἱ φύσεις οὐκ ἂν ὑπομείναιεν ἐπάλλαξιν, ἀλλ’ ἑκάστων ἐπιτηδειότης ἢ τοῖσδε τὴν ψυχὴν ἢ τοῖσδε συντάττει τοῖς γένεσιν. οὕτως οὖν καὶ γυναῖκές εἰσιν τῆς ἀνδρῶν ἄξιαι παιδείας καὶ ἀρετῆς, ἐξαναστᾶσαί τινα τρόπον ἀπὸ τῆς θηλυπρεποῦς ἀδυναμίας, καὶ ἄνδρες εἰς τὴν ἐκείνων ἀδυναμίαν ἐκπεσόντες. καὶ δεῖ μὴ τὸ γένος βλέπειν, ἀλλὰ τὴν ἑκατέρου τοῖν γενοῖν δύναμιν ἢ ἀδυναμίαν καὶ ταύτῃ τὴν παιδείαν ὁρίζειν. εἰ δὲ καὶ αἱ αὐταὶ ψυχαὶ γίγνονται καὶ ἀνδρῶν καὶ γυναικῶν ἀλλάττουσαι τοὺς βίους, αἱ δὲ ἀρεταὶ ψυχῶν εἰσιν οὐ σωμάτων, τίς μηχανὴ διὰ τὰ σώματα ποιεῖν αὐτῶν τὰς τελειότητας διαφερούσας, ἀλλὰ μὴ διὰ τὰς ψυχὰς τὰς αὐτάς; ὡς αὐτό γε τοῦτο τεκμήριον ἱκανὸν τοῦ κοινὰς εἶναι τὰς ἀρετάς, τὸ κοινὰς εἶναι πολλῷ πρότερον ἀμφοτέρων τὰς ψυχάς. μὴ τοίνυν μηδὲ ἐκεῖνον ἀποδεχώμεθα τὸν λόγον, ὃς ἂν λέγῃ ταῖς ποιαῖς τῶν σωμάτων κράσεσιν ἕπεσθαι τὰς δυνάμεις τῶν ψυχῶν, ταύταις δὲ τὰς ἀρετάς, καὶ διὰ τοῦτο τὴν γυναικὸς ἄλλην ἀρετὴν εἶναι καὶ τὴν ἀνδρὸς ἄλλην. πρῶτον μὲν γάρ, εἰ ταῦτα κρατοίη, καὶ τὴν ὑγείαν ἄλλην τῷ εἴδει ποιήσομεν ἀνδρὸς καὶ γυναικὸς καίτοι μίαν οὖσαν, ὡς δηλοῖ καὶ μία τέχνη ταύτης τε οὖσα καὶ ἐκείνης ἀποτελεστική, καίτοι τῆς ἵππων θεραπευτικῆς καὶ τῆς ἀνθρώπων ἄλλης οὔσης. ἔπειτα καὶ αὐτῶν τῶν ἀνδρῶν τὰς ἀρετὰς κατ’ εἶδος διαφέρειν ἐροῦμεν τῶν κράσεων διαφερουσῶν· εἰ δὲ αὖται τῷ καθέκαστα διαφέρουσιν διὰ τὰς κράσεις, ὁ αὐτὸς καὶ ἐπ’ ἐκείνων λόγος ἔσται.

in R.1.250 πρὸς δὲ τούτοις οὐδὲ τὸ ἐξ ἀρχῆς ὁμολογήσομεν εἶναι ἀληθές. οὐ γὰρ ταῖς σωματικαῖς ποιότησιν ἀκολουθεῖν τὰς τῶν ψυχῶν διαφόρους ζωάς, ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν ἀπαιδεύτων τὸ ἦθος μόνον κρατεῖν κατά τινας ὀρέξεις ἐνύλους, εἶναι δέ τινας καὶ αὐτῆς τῆς ἀλόγου ψυχῆς δυνάμεις οὐχ ἑπομένας κράσεσιν οὐδὲ ποιαῖς ἡλικίαις, ὥσπερ τὴν φιλότιμον καὶ φιλοχρήματον. εἰ δὲ μὴ αὖται, σχολῇ ἂν αἱ προαιρετικαὶ δυνάμεις ἀκολουθοῖεν κράσεσι σωμάτων καὶ αἱ τούτων κρείττους. ΠΕΡΙ ΤΩΝ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΑΣΙΝΑΙΟΥ ΛΟΓΩΝ ΤΩΝ ΚΑΤΑΣΚΕΥΑΖΟΝΤΩΝ ΤΗΝ ΑΥΤΗΝ ΑΡΕΤΗΝ ΑΝΔΡΟΣ ΕΙΝΑΙ ΚΑΙ ΓΥΝΑΙΚΟΣ, ΚΑΙ ΩΝ Ο ΣΩΚΡΑΤΗΣ ΕΙΠΕΝ ΕΞΕΤΑΣΙΣ.

in R.1.251 (1t) Ὁ μὲν Σωκράτης δυσὶν ἐχρήσατο λόγοις, δι’ ὧν τὸ τὴν αὐτὴν εἶναι παιδείαν καὶ ἀρετὴν ἀνδρὸς καὶ γυναικὸς οἴεται σαλεύεσθαι, τῷ μὲν εἰς ἄδοξόν τι περιάγοντι τὸ δόγμα (καὶ γὰρ αἱ ἀπὸ τῶν ἀδόξων ἐπιχειρήσεις ἀνατρεπτικὴν ἔχουσι δύναμιν, ὡς αἱ ἀπὸ τῶν ἐνδόξων πιθαναὶ πρὸς τὰς θέσεις εἰσὶ τῶν ζητουμένων), τῷ δὲ ἀπὸ ὁμολογήματος, δι’ οὗ καὶ τὴν δικαιοσύνην ἥτις ἐστὶν ἐπέδειξεν καὶ πᾶσαν διεκόσμησεν τὴν πολιτείαν. ὁ μὲν οὖν πρότερος λόγος ἐστίν· εἰ αἱ αὐταὶ ἀρεταὶ καὶ γυναικῶν αἵπερ ἀνδρῶν, καὶ παιδείαν ἀνάγκη τὴν αὐτὴν εἶναι, πρόδρομον οὖσαν τῶν ἀρετῶν. εἰ δὲ παιδείαν τὴν αὐτήν, καὶ μουσικεύσονται καὶ γυμνάσονται ἡμῖν αἱ γυναῖκες· εἰ δὲ ταῦτα, γυμνώσονται, καθάπερ οἱ ἄνδρες, ἐν τοῖς γυμνασίοις. τοῦτο δὲ ἄδοξον· οὐκ ἄρα γυμνάσονται οὐκ ἄρα τὴν αὐτὴν παιδεύσονται παιδείαν· οὐκ ἄρα τὴν αὐτὴν ἕξουσιν τοῖς ἀνδράσιν ἀρετήν. τοῦτον δὲ ἐπιρραπίζει τὸν λόγον πολιτικῶς. ἀξιοῖ γὰρ μὴ εἰς τὸ ἄδοξον εἶναι δοκοῦν βλέπειν τὸν ἔχοντα νοῦν, ἀλλὰ εἰς τὸ ἀγαθόν, κἂν ᾖ παρὰ τοῖς πολλοῖς μὴ εὐδοκιμοῦν. γευσάμενοι γὰρ οἱ ἄνθρωποι τῆς ὠφελείας μεταβάλλουσι τὰς δόξας, καὶ φανήσεται αὐτοῖς ἔνδοξον τὸ πρὸ τοῦ φαινόμενον ἄδοξον.

in R.1.252 ὁ δὲ ἀπὸ τοῦ ὁμολογήματος λόγος· εἰ τὰς διαφόρους φύσεις δεῖ διάφορα ἐπιτηδεύειν (τοῦτο γὰρ ἦν, ὃ μάλιστα διεκόσμει τὴν πόλιν καὶ ὁδὸν παρεῖχεν εἰς τὴν τῆς δικαιοσύνης εὕρεσιν), διαφέρουσι δὲ αἱ φύσεις τῶν ἀρρένων καὶ θηλειῶν, διαφέροι ἂν αὐτῶν καὶ τὰ ἐπιτηδεύματα. εἰ δὲ τοῦτο, παιδεία δ’ ἦν διὰ μουσικῆς καὶ γυμναστικῆς τῶν ἀνδρῶν, ταῖς ἄρα γυναιξὶ τούτων οὐ μεταδοτέον ἄν. εἰ δὲ μὴ δεῖ παιδεύεσθαι τὰς γυναῖκας, οὐδὲ ἀρετῶν αὐταῖς μεταδοτέον ὧν τοῖς ἀνδράσιν. τοῦτον δ’ αὖ πάλιν ἤλεγξε τὸν λόγον ἀπὸ τῆς ὁμωνυμίας. τὸ γὰρ ταὐτὸν καὶ τὸ ἕτερον ἢ πῇ ἢ ἁπλῶς λέγεται· τοῖς μὲν οὖν ἁπλῶς ἑτέροις οὐδὲν ἀποδιδόναι προσήκει ταὐτόν,

τοῖς δὲ πῇ ταὐτ' ἔχουσιν, καθ' ὃ μὲν ταὐτά, ταὐτὸν ἔργον ὁριστέον, καθ' ὃ δ' ἕτερα, ὁμοίως ἕτερον. ἀνὴρ οὖν καὶ γυνή, καθ' ὃ μὲν ἕτερα, διοίσει τοῖς ἔργοις, τὸ μὲν ἐν ἄλλῳ γεννῶν, τὸ δὲ ἐν ἑαυτῷ (κατὰ γὰρ ταῦτα διαφέρετον), καθ' ὃ δὲ ἔχετον ζωὴν λογικὴν καὶ ἄλογον, ὧν τὸ μὲν ἄρχειν πέφυκεν, τὸ δὲ ἄρχεσθαι, καὶ ἔργον ἂν ταὐτὸν ἔχοιεν, τῷ μὲν ἄρχειν, τῷ δὲ ἄρχεσθαι· ταῦτα δὲ ἦν ἴδια τῶν ἀρετῶν. εἰ οὖν ταῦτα κοινὰ αὐτοῖς, καὶ αἱ ἀρεταὶ δήπου κοιναὶ ἂν εἶεν αὐτοῖς. ταῦτα μὲν ὁ Σωκράτης. καὶ ἐπιστατέον, ὅτι κἀνταῦθα μόνος ἑαυτῷ σύμφωνος, τῶν μὲν ἀπὸ τῆς στοᾶς κατ' εἶδος διαφέρειν οἰομένων τὸ θῆλυ καὶ τὸ ἄρρεν, ἀμφοῖν δὲ ὅμως εἶναι τὴν αὐτὴν ἀρετήν, τῶν δὲ ἐκ τοῦ περιπάτου κατ' εἶδος μὲν εἶναι τὰ αὐτά, τὰς δὲ ἀρετὰς αὐτῶν εἶναι μὴ τὰς αὐτάς· αὐτὸς λέγων καὶ κατ' εἶδος ταὐτὰ εἶναι καὶ τὴν ἀρετὴν αὐτῶν τὴν αὐτήν, δι' ἐκεῖνο τὸ ἀξίωμα τὸ ταῖς οὐσίαις τὰς τελειότητας εἶναι συστοίχους, ταῖς αὐταῖς τὰς αὐτάς, ταῖς ἑτέραις τὰς ἑτέρας. νοῦς γὰρ ὁ καὶ τὰς οὐσίας διδοὺς τοῖς εἴδεσιν καὶ τὰς τελειότητας· οἵαν οὖν δίδωσιν οὐσίαν, τοιαύτην καὶ τελειότητα τῇ οὐσίᾳ συζυγοῦσαν. Τούτων δὲ εὖ κειμένων δεῖ μεμνῆσθαι καὶ ὧν ὁ μέγας Θεόδωρος συνεξηυπόρησεν, πρῶτον μὲν ἐρωτῶν, εἰ μηδεμίαν ὅλως ἀρετὴν ἀποδώσομεν ταῖς θηλείαις ἢ τινὰ ἀποδώσομεν, καὶ εἰ τοῦτο, εἰ τὴν αὐτὴν ἣν καὶ τοῖς ἄρρεσιν ἢ ἑτέραν, ὡς λέγουσιν, τοῖς μὲν τὴν ἀνδρείαν, ταῖς δὲ τὴν σωφροσύνην.

in R.1.253 εἰ μὲν γὰρ μηδεμίαν, κολοβὸν ποιήσομεν τὴν πόλιν ἐξ ἴσων σπουδαίων καὶ ἀσπούδων αὐτὴν ποιοῦντες καὶ τὰ γεννώμενα ἐκ τούτων ὁμοίως εὐφυῆ καὶ ἀφυῆ πρὸς παιδείαν. εἰ δὲ τινά, πάλιν ἑκάτερον ἔσται κολοβὸν τὸ γένος καὶ ἡμιτελές, οὐκ ἔχον οὐδ' ἣν ἔχει ἀρετὴν τελείαν. εἰ γὰρ ἦν τελεία, καὶ αἱ ἄλλαι ἂν ἀντηκολούθουν, ὥσπερ καὶ αὐτοί φασιν οἱ ἐκ τοῦ περιπάτου τὰς τελείας ἀντακολουθεῖν ἀλλήλαις. εἰ δὲ πάσας ἑκατέροις δοτέον, ἔχομεν τὸ ζητούμενον. δεύτερον δὲ καὶ ἀπ' αὐτῶν ἐπιχειρῶν τῶν πραγμάτων. δῆλον γὰρ τὰ διάφορα γένη τῶν ἀνθρώπων κατὰ τὰς διαφόρους πολιτείας, ὅτι τὸ ἄρρεν καὶ τὸ θῆλυ ταὐτὰ ἀποδίδωσιν. καὶ γὰρ Ἀμαζόνες ἀνδρικαὶ καὶ Σαυρομάτιδες ὡς Θρᾷκες, παρὰ δὲ Λυσιτανοῖς, ὥς φασι, στρατηγοῦσι μὲν αἱ γυναῖκες καὶ πολιτεύονται καὶ πάντα πράττουσιν, ὅσα παρ' Ἕλλησιν οἱ ἄνδρες, καὶ ἱστοποιοῦσιν καὶ ταλασιουργοῦσιν οἱ ἄνδρες καὶ πάντα πράττουσιν, ὅσα παρ' Ἕλλησιν αἱ γυναῖκες. εἰ οὖν ταῦτα διωμολόγηται, μηδὲν οἰώμεθα διαφέρειν πρὸς ἀρετῆς κτῆσιν τοῦ θήλεος τὸ ἄρρεν, μηδὲ τοῖς ἔθεσιν ταῦτα διορίζωμεν, ἀλλὰ ταῖς φύσεσιν, ἃς τὰς αὐτὰς οὔσας δείκνυσιν ἡ τῶν αὐτῶν ἔργων ἐπιτήδευσις, εἰ καὶ ἐν ἄλλοις καὶ ἄλλοις τόποις. τρίτον τοίνυν καὶ τὸν θεολογικὸν τρόπον ἀξιῶν ἐκεῖνος ὁρᾶν, ὅτι καὶ ἡ τῶν τὰ θεῖα σοφῶν φήμη τὴν αὐτὴν θεὸν ἱστουργόν τε εἶναί φησιν καὶ ἐργάνην ὑμνεῖ διαφερόντως ἐν μέσοις τοῖς ἱεροῖς καὶ ἐνόπλιον παραδίδωσιν καὶ στρατηγικήν, καὶ ἀπὸ ταύτης ἀναβὰς ἐπὶ πᾶν τὸ θεῖον γένος ἐρωτᾷ, πότερον καὶ ἐν ἐκείνῳ τὴν αὐτὴν ἀρετὴν οὐ δοτέον τῷ ἄρρενι καὶ θήλει τῶν θεῶν.

in R.1.254 ἢ τοῦτό γε συγχωρητέον· εἰ γὰρ ἄτοπον θεόν τινα λέγειν ἀρετῆς καὶ ἡστινοσοῦν ἄμοιρον, ἀνάγκη πάντας καὶ πάσας ἀρετὴν ἅπασαν ἔχειν· τὸ γὰρ καθ' ἡντιναοῦν ἐλλεῖπον οὐκ εὔδαιμον, θεὸς δὲ πᾶς εὐδαίμων. εἰ οὖν ἐκεῖ τὸ ἄρρεν καὶ θῆλυ πάσης ἑκάτερον ἀρετῆς μέτοχον, δῆλον δήπουθεν ὅτι κατὰ τὸ ἀνάλογον καὶ παρ' ἡμῖν τὰ γένη ταῦτα τὴν αὐτὴν ἕξει τοῖς ἐκεῖ γένεσιν ἀρετήν. τέταρτον τοίνυν φυσικῶς ἐπιχειρῶν ἀξιοῖ σκοπεῖν, εἰ τὰ ὄργανα, ἐξ ὧν τὸ ἄρρεν καὶ θῆλυ συμπέπηγεν, πρὸς τὸ αὐτὸ ἔργον ἑκατέρῳ πέπηγεν, οἷον ὀφθαλμοὶ πρὸς τὸ ὁρᾶν καὶ ὦτα πρὸς τὸ ἀκούειν καὶ ἐγκέφαλος πρὸς τὸ αἰσθάνεσθαι καὶ σκέλη πρὸς τὸ βαδίζειν καὶ τῶν ἄλλων ἕκαστα τῶν κοινῶν. εἰ δὲ ἐν τῷ σώματι πάντα τὰ κοινὰ τῶν αὐτῶν ἕνεκα γέγονεν ἐπ' ἀμφοῖν, τίς μηχανὴ μὴ καὶ τὰ τῆς ψυχῆς μέρη κοινὰ ὄντα τῶν αὐτῶν ἔργων ἕνεκα ἐν αὐτοῖς ὑποστῆναι; εἰ δὲ καὶ ταῦτα τῶν αὐτῶν ἕνεκα, καὶ αἱ τελειότητες αὐτῶν αἱ αὐταὶ δήπουθέν εἰσιν, αἳ καὶ τὰ ἔργα τέλεια ποιοῦσιν. καὶ γὰρ ἐπὶ τῶν σωματικῶν, ἐπειδὴ τὸ ὁρᾶν κοινόν, καὶ ἡ ὀξυωπία κοινή, καὶ ἐπειδὴ τὸ ἀκούειν, καὶ ἡ ὀξυηκοΐα. ὥστ' ἐπειδὴ καὶ ὁ λόγος κοινός, καὶ τὸ κατὰ λόγον ζῆν κοινόν, ὥστε καὶ τὸ φρονεῖν κοινόν· καὶ ἐπειδὴ τὸ ἐπιθυμητικὸν κοινόν, καὶ τὸ

τεταγμένως ἐπιθυμεῖν, ὥστε καὶ τὸ σωφρονεῖν κοινόν· καὶ ἐπειδὴ τὸ θυμοῦσθαι κοινόν, καὶ τὸ ἀνδρίζεσθαι. οὐ γὰρ δὴ θυμὸν μὲν δέδωκεν, ἀεὶ δὲ ἀλόγως ζῶντα ταῖς θηλείαις· μάτην γὰρ ἂν αὐτὸν ὑπὸ τῷ λόγῳ ζῶντα ἐποίησεν. πέμπτον δὴ οὖν ἄλλον λόγον προστίθησιν, Αἰγυπτίων τινὸς προφήτου τόνδε τὸν λόγον ἀκοῦσαι λέγων, ὡς ἄρα καὶ τῶν εἰς ἄνθρωπον ἰουσῶν ψυχῶν ἔρχονταί τινες καὶ εἰς τὸ θῆλυ φῦλον ἔνθεοι.

in R.1.255 καὶ δὴ καὶ τὴν Ἑλένην ⟦ εἶναι ⟧ τοιαύτην εἶναι, οὐ μεῖον τῶν ἀδελφῶν αὐτῆς τῶν Διοσκούρων θείαν, καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα τῶν Ἀφροδίτης ὡρῶν ἔμπλεων· καὶ ἵνα, φάναι τὸν προφήτην, μὴ μακρολογῶ, καὶ ταύτην Ἀφροδίτην γενέσθαι τινά, καὶ ἥκουσαν ἐξ οὐρανοῦ τὸν μὲν βάρβαρον ἐξαπατῆσαι ὡς ἔχοντα ἣν οὐκ εἶχεν, ἐλθοῦσαν δ' εἰς Αἴγυπτον τῶν πρώτων ἱερῶν μετασχεῖν. καὶ ταῦτα ἀπομνημονεύεσθαι παρ' αὐτοῖς· τοὺς δὲ παρ' Ἕλλησιν θεατρικοὺς ἄνδρας ἄλλους ἄλλα δυσφημεῖν εἰς αὐτήν, οὐδὲν εἰδότας τῶν ἀληθῶν. ταῦτα μὲν ὁ Αἰγύπτιος καὶ ὁ Θεόδωρος ἐκεῖνον ὑποκρινόμενος. εἰ δέ ἐστιν ἀληθὲς τὸ καὶ εἰς θηλείας ἰέναι ψυχὰς θεοειδεῖς, τίς μηχανὴ μὴ καὶ τὰς ἀρετὰς αὐταῖς εἶναι κοινάς; ἢ μαντικὰς μὲν γενέσθαι γυναῖκας ὡς καὶ ἄνδρας κατόχους τοῖς μαντῴοις θεοῖς ὡς τὰς προφήτιδας δώσομεν, καὶ τελεστικὰς ἄλλας, ὡς τὴν Διοτίμαν τὴν Πλάτωνος, ὡς τὴν Θεοξέναν τῶν βαρβάρων, ὡς τὴν Βερενίκην, ἄλλην ταύτην μαγείας διδάσκαλον, σωφροσύνην δὲ καὶ ἀνδρείαν καὶ φρόνησιν αὐτῶν ἀφαιρήσομεν; καὶ πῶς ἐτύγχανον θείων μὲν ὄψεων, θείων δὲ ἐπιπνοιῶν; ἄνευ γὰρ ἀρετῆς θεὸς ἀνθρώποις οὐκ ἄν ποτε παραγένοιτο· τὸ γοῦν ὅμοιον πανταχοῦ τῷ ὁμοίῳ συνεῖναι φιλεῖν ἅπαντες ἂν φαῖμεν· ὥστε καὶ τὸ πάσης ἀρετῆς μετέχον τῷ ζῶντι κατ' ἀρετήν. Τοσαῦτα καὶ ἀφ' ὧν ὁ μέγας Θεόδωρος γέγραφεν συνεισφέρειν δεῖ τοῖς Σωκράτους λόγοις ὑπὲρ τῆς τῶν γυναικῶν ὁμοίας ἀνδράσι παιδείας, δι' ἧς ἡ πρὸς τὴν τελείαν ἐστὶν ἀρετὴν καὶ ἀνδράσι καὶ γυναιξὶν ὁδός. δύο δὲ ὄντων ἄλλων ἐν τούτοις ἀπόρων Πλατωνικῶν, ἑνὸς μὲν πῶς, εἰ τῆς ὁμοίας ἀρετῆς τὸ θῆλυ δεκτικόν, οὐδεμίαν ψυχὴν ἀπὸ τοῦ νοητοῦ κατιοῦσαν ἄγει εἰς τὸ θῆλυ γένος, ἑτέρου δέ, πῶς οὐχὶ καὶ ἐν Νόμοις ἐπιτρέπει καὶ γυναιξὶ τὴν νομοφυλακικὴν ἀρχὴν ὡς ἐνταῦθα τὴν φυλακικήν, πρὸς μὲν τὸ πρότερον λεκτέον, ὅτι τὴν ὕφεσιν ἐθέλων σημῆναι τοῦ γένους παρὰ τὸ γένος τὴν νεοτελῆ ψυχὴν εἰς ἀνδρῶν ἄγει γενέσεις, εἶτ' εἰς γυναικῶν.

in R.1.256 οὐ γὰρ ἐπειδὴ τῆς ὁμοίας εἰσὶν ἀρετῆς μετέχειν δυνάμεναι, διὰ τοῦτο καὶ ὡσαύτως μετέχουσιν, ἀλλὰ ἐρρωμενέστερον οἱ ἄνδρες, ὥσπερ καὶ τῶν ἐπιτηδευμάτων ἀντιλαμβάνονται καὶ ὅσα δοκεῖ γυναικῶν εἶναι μᾶλλον ἢ ἀνδρῶν, καθάπερ λέγει καὶ αὐτός [p. 455c]. φύσει οὖν 〈αἱ〉 ἀρρενωποὶ ψυχαὶ τῶν θηλυπρεπῶν δυνατώτεραι· διὸ τῇ ἄνω ζωῇ τῶν ψυχῶν αὗται προσεχεῖς. αἱ δὲ κάθοδοι διὰ τῶν προσεχῶν εἰς τὰ πορρώτερον γίνεσθαι φιλοῦσιν, ὥστ' εἰκότως εἰς ταύτας πρότερον τὰς ἀρρενουμένας ἐκείνων τῶν θηλυνομένων. πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐν Νόμοις ἤδη λαμβάνει βεβιωκότας ἀνθρώπους ἐν ἄλλαις πολιτείαις, εἰ καὶ ἀδιαστρόφους μείναντας, καὶ οὐ τὰς ἀκροτάτας φύσεις ἔχοντας, ὥσπερ ἐνταῦθα, φύντας εὐθὺς ἐκ τοῦ παντὸς ὑποδέχεται καὶ παιδεύει. διὸ τινὰς μὲν ἀρχὰς ἐπιτρέπει κἀκεῖ ταῖς γυναιξίν, οὐ μέντοι τὴν ἀκροτάτην τῶν ἀρχῶν, ἀλλὰ μόνοις ἀνδράσιν, ὡς ἔχουσιν αὐτὸ τοῦτο ὅπερ ἔφαμεν, τὸ τῇ φύσει καὶ ἐρρωμενέστερον καὶ ὑψηλοφρονέστερον. καὶ γὰρ ἡ ἄλλη διάθεσις τῆς πολιτείας οὐχ ὁμοία τῆς τε ἐν Νόμοις καὶ τῆς ὑπὸ τοῦ Σωκράτους διακοσμουμένης, οὐδὲ ἡ διὰ πάντων κοινωνία χώραν ἔχειν ἔδοξεν καὶ ἐπ' ἐκείνης, ἣν ὁ Σωκράτης ἐπὶ ταύτης ἐνέκρινεν, οὐδὲ τὸ εἶδος τῆς ζωῆς ταὐτὸν τῶν ἐν ταύτῃ κἀκείνῃ ζώντων· ὥστ' εἰκότως ἀγαπᾷ τὴν μεγίστην ἀρχὴν ἀνδράσιν ἐπιτρέπων μόνοις διακοσμεῖν ἐκείνην, ταύτης τοσοῦτον ὑφειμένην, ὅσον τῆς διὰ πάντων κοινωνίας ἀπολείπεται τὸ μεριστὸν εἶδος τῆς πολιτείας.

in R.1.257 καὶ γὰρ συμπαθέστερον φύσει τὸ θῆλυ περὶ τὸ ἴδιον τοῦ ἄρρενος· οὐκ ἦν οὖν ἀσφαλὲς μερισμὸν εἰσαγαγόντα καὶ χρημάτων καὶ παίδων καὶ εἰς γυναῖκας ἄγειν τὴν τῶν ὅλων ἀρχήν, ὑπ' αὐτῆς τῆς φύσεως ἠναγκασμένας τοῖς ἰδίοις συμπάσχειν ἀντὶ τῶν κοινῶν καὶ τοῖς μέρεσιν ἀντὶ τῶν

ὅλων. ΠΕΡΙ ΤΟΥ ΕΝ ΤΩΙ ΠΕΜΠΤΩΙ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΛΟΓΟΥ ΔΕΙΚΝΥΝΤΟΣ ΤΙΣ Η ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΦΙΛΟΜΑΘΙΑ ΚΑΙ ΤΙΣ Η ΤΩΝ ΠΟΛΛΩΝ.

in R.1.258 (1t) Τὴν διαφορὰν τῶν φιλοσόφων ἐν τῷ πέμπτῳ τῆς Πολιτείας πρὸς τοὺς φιλοδόξους λαβεῖν ἐθέλων τελευτᾷ μὲν εἰς τὸ δεῖξαι τοὺς φιλοσόφους τῶν καθόλου τὴν γνῶσιν ἀσπαζομένους, τοὺς δὲ φιλοδόξους τῶν μερικῶν· τοὺς μὲν γὰρ τὰ πολλὰ καλὰ μόνως ἐφίεσθαι μανθάνειν, τοὺς δὲ τὸ ἁπλῶς καλόν. ἵνα δὲ ταῦτα δείξῃ, προλαμβάνει τίς ἡ διαφορὰ τοῦ ἁπλῶς καλοῦ καὶ τῶν πολλῶν καλῶν· καὶ δείκνυσιν, ὅτι τὸ μέν ἐστιν ἕν, τὰ δὲ αὐτὸ τοῦτο πολλά. καὶ πάλιν ὅτι τὸ αὐτοκαλὸν ἕν, δείκνυσιν ἀπὸ τῶν ἐναντίων. εἰ γὰρ δύο τὰ ἐναντία, καλὸν αἰσχρόν, ἕν ἐστιν ἑκάτερον· τὰ γὰρ δύο ἑνῶν ἐστι σύνοδος. ἔδειξε δὲ ἀπὸ τῶν ἐναντίων, ἐπείπερ οὐ δυνατὸν τὰ ἐναντία μὴ οὐχὶ δύο λέγειν, τὰ δὲ δύο οὐ δυνατὸν μὴ οὐχὶ ἐξ ἑνῶν λέγειν. ἓν οὖν τὸ καλὸν καὶ ἓν τὸ αἰσχρόν, τὰ δὲ πολλὰ καλὰ καὶ πολλὰ αἰσχρὰ αὐτὸ τοῦτο πολλά ἐστιν. οὐκ ἄρα ταὐτὸν τὸ καλὸν τοῖς καλοῖς ἢ τὸ αἰσχρὸν τοῖς αἰσχροῖς. ὅτι δέ ἐστιν πολλὰ καλὰ καὶ πολλὰ αἰσχρά, ἔλαβεν ἀπὸ τῆς ἐναργείας· κοινωνήσαντα γὰρ ταῦτα σώμασιν, ὥς φησι [p. 476a], καὶ πράξεσι πολλὰ ἐγενέσθην· ἔστι γὰρ ἑκάτερον καὶ ἐν ταῖς τῶν ψυχῶν ἐνεργείαις καὶ ἐν ταῖς τῶν σωμάτων συστάσεσιν. εἰ δὲ κοινωνήσαντα ταῦτα ἀλλήλοις πολλὰ ποιεῖ, δῆλον ἐκ τούτων, ὅτι οὐκ ἔστιν χωριστὰ τῶν πολλῶν, εἴπερ κοινωνεῖ πως αὐτοῖς· ἐπεὶ καὶ σαφῶς μετέχοντα μὲν καλεῖ τὰ πολλά, μετεχόμενα δὲ τὰ εἴδη.

in R.1.259 εἰ δὲ τοῦτο ἀληθές, ἔοικεν τὰ ἐν τοῖς καθ’ ἕκαστα λαμβάνειν· περὶ γάρ τοι ταῦτα καὶ διέτριβεν ὁ Σωκράτης τὰ ὁριστὰ εἴδη, καὶ ὅ γε Ἀριστοτέλης φησὶν αὐτὸν ἀπὸ τῆς περὶ τοὺς ὁρισμοὺς διατριβῆς εἰς ἔννοιαν τῶν εἰδῶν ἀναδραμεῖν [met. M 4]. ἀλλὰ μὴν προϊὼν καθ’ αὑτὰ αὐτά φησιν εἶναι, καὶ κατὰ τὰ αὐτὰ ἔχοντα καὶ ὅμοια τὰ πολλὰ τοῖς εἴδεσιν· εἰ οὖν δεῖ καὶ ταῦτα καὶ τὰ πρότερα συμβαίνειν ἀλλήλοις, πᾶν τὸ καθόλου λαμβάνειν αὐτὸν ῥητέον, τό τε μετεχόμενον καὶ τὸ μεθεκτόν, καὶ ἀντιδιαιρεῖν εἰκότως τοῖς πολλοῖς καὶ μερικοῖς, καὶ ἄρχεσθαι μὲν ἀπὸ τῶν μετεχομένων εἰδῶν (διὸ καὶ ἐκ τῶν ἐναντίων ἐπιχειρεῖ· ἔστι γὰρ ἐν τοῖς μετέχουσιν οὐ καλὸν μόνον, ἀλλὰ καὶ αἰσχρὸν διὰ τὴν τῶν μετεχόντων ἀνωμαλίαν), τελευτᾶν δὲ εἰς τὰ ἀμέθεκτα τῶν εἰδῶν, ἃ δή ἐστι παντελῶς ὄντα καὶ ὡσαύτως ἔχοντα. διὸ καὶ οὐκέτι μεμνῆσθαι τοῦ αἰσχροῦ καὶ ὅλως τῶν στερήσεων· οὐ γάρ εἰσιν ἐν τοῖς ἀμεθέκτοις εἴδεσιν αἱ στερήσεις τῶν εἰδῶν οὐδὲ αἱ τῶν κακῶν ὑποστάσεις· εἰ μή τις λέγοι τὸν νοῦν τῷ γιγνώσκειν τὸ καλὸν γιγνώσκειν καὶ τὸ αἰσχρόν, οὐχ ὥς τι ὂν αὐτὸ τῶν τῇδε αἰσχρῶν, ἀλλ’ ὡς ὅρον ἐπάγον τοῦ καλοῦ τῇ στερήσει. οὐ γὰρ πᾶσα ἔκβασις ταὐτὸν ἔξεισιν, ἀλλὰ ἄλλη μὲν ψυχῆς, ἄλλη δὲ σώματος ἔκβασις τοῦ καλοῦ· καὶ ἡ μὲν μέχρι φθορᾶς, ἡ δὲ μέχρις ποιᾶς ζωῆς. εἰ οὖν ταῦτα κρατοίη καὶ εἴη τὸ αἰσχρὸν ἐν τοῖς μετέχουσιν, τὰ ἐναντία ληπτέον, τὸ καλὸν λέγω καὶ αἰσχρόν, καὶ τὰ ἐν τοῖς ὑποκειμένοις ὄντα καὶ μαχόμενα ἀλλήλοις περὶ ταὐτὸν ὑποκείμενον.

in R.1.260 καὶ ἔοικεν ὁ λόγος ἀπὸ τῶν προσεχῶν τοῖς πολλοῖς εἰδῶν ἀναβαίνοντι ἐπὶ τὰ πορρώτερον, ἕως ἂν ἐπὶ τὰ ἀκρότατα ἀνέλθῃ. πλὴν κοινὰ τὰ λεγόμενα ἁπάντων, καὶ τῶν μετεχομένων καὶ τῶν ἀμεθέκτων. ἐπεὶ καὶ τὰ ἀμέθεκτα φαίης ἂν μετέχεσθαί πως, ἀλλ’ ὡς μεταδιδόντα ἑαυτῶν, καὶ τὰ μετεχόμενα ὄντα καὶ ὡσαύτως ἔχοντα, οὐχ ὡς τὰ ἀμέθεκτα, ἀλλ’ ὡς ἄϊδια καὶ αὐτά. κοινὸν οὖν πάντων εἰδῶν, καὶ τῶν χωριστῶν καὶ τῶν ἐν τοῖς πολλοῖς, πρὸς ἀντιδιαστολὴν τῶν πολλῶν τὸ ἓν ἕκαστον εἶναι καὶ μονογενές ⟦ εἶναι ⟧ , καὶ μόνως ὂν τὸ ὡσαύτως ἔχον, ἀλλὰ μὴ ἄλλοτε ἄλλως. τὰ δὲ πολλὰ τούτοις ἀντιθέτως οὐ μονογενῆ, ἀλλὰ καὶ πολλά, οὐκ ὄντα μόνον, ἀλλὰ καὶ μὴ ὄντα, οὐκ ἄϊδια, ἀλλὰ καὶ φθαρτά. εἰ μὲν οὖν δύο ταῦτα ἔλεγεν εἶναι, τὸ μερικὸν καὶ τὴν ἰδέαν, ἠναγκάζετο καὶ τὸ αἰσχρὸν ἕν τι παρὰ τὰ πολλὰ τιθεὶς ἰδέαν αἰσχροῦ λέγειν· εἰ δὲ πᾶν εἶδος ἀντιδιαιρεῖ πρὸς τὸ μερικόν, οὐδὲν ἂν λέγοι ἄλλο ἢ ὅτι ἐστὶν καὶ αἰσχρὸν εἶδός τι ἕν· τοῦτο δὲ οὐ πάντως ἰδέαν εἶναι ἀναγκάζει, ἀλλ’ ἐν τοῖς καθ’ ἕκαστα κατὰ ἀπόπτωσιν ὑποστὰν τῆς ἰδέας, καὶ εἶδος ⟦ ἂν ⟧ λεγόμενον ὡς πολλοῖς κοινόν, ἢ ἐν ταῖς ψυχαῖς ὡς νόημα

ὑστερογενές, οὐκ ἄνωθεν αὐταῖς ἐγγενόμενον, ἀλλὰ κάτωθεν. ἐξ ὧν δῆλον, ὅτι τὰ μὲν κατὰ φύσιν τριχῶς ἐστιν, πρὸ τῶν πολλῶν, ἐν τοῖς πολλοῖς, ἐπὶ τοῖς πολλοῖς, τὰ δὲ παρὰ φύσιν διχῶς, ἐν τοῖς πολλοῖς καὶ ἐπὶ τοῖς πολλοῖς. ὅτι δὲ οὐχὶ τὴν ἰδέαν ἀντιδιεῖλεν τοῖς πολλοῖς, δῆλον· ἀτελὴς γὰρ ἂν ἦν ἡ διαίρεσις, ὄντων καὶ ἄλλων παρὰ ταῦτα τῶν ἐν τοῖς καθ' ἕκαστα καὶ τῶν ὑστερογενῶν. Τούτων δὲ διῃρημένων δείκνυται τὸ μὲν εἶδος πάντῃ γνωστόν, τὰ δὲ πολλὰ γνωστὰ καὶ ἄγνωστα, μέσα ὄντα τοῦ ὄντος καὶ μὴ ὄντος (γιγνόμενα γάρ), ἡ δὲ γένεσις μέση τούτων· τὰ δὲ εἴδη ἀγένητα· ἀΐδια γάρ.

in R.1.261 εἰ οὖν τὰ τρία διέστηκεν, ὃν γένεσις μὴ ὄν, καὶ τὰ μὲν ἄκρα ἀσύναπτα, τὸ δὲ μέσον ἀμφοῖν μετέχον, ὄντος καὶ μὴ ὄντος, ἔπεται ἰδεῖν, ἐπειδὴ τὸ ὂν γνωστὸν καὶ τὸ μὴ ὂν ἄγνωστον (ταῦτα γὰρ κατεσκεύασεν), τὸ μέσον πῶς ἔχει· καὶ δείκνυσιν, ὅτι καὶ τοῦτο γνωστὸν ἅμα καὶ ἄγνωστον. εἶτα δείξας τὴν ὡς ἀληθῶς γνῶσιν οὐ μετέχουσαν τοῦ ἐναντίου (οὐδὲ γὰρ ἄλλο τι τοῦ ἐναντίου ἀναπίμπλαται τῶν εἰλικρινῶς ὄντων, οἷον μέλανος τὸ λευκόν, ἢ τοῦ ψυχροῦ τὸ θερμόν, ἢ ταῦτα ἐκείνων) δείκνυσι τὴν δόξαν ἑτέραν τῆς ὡς ἀληθῶς γνώσεως. ἁμαρτάνει γάρ, ἡ δὲ ἀναμάρτητος, εἴπερ ἀγνοίας καθαρεύει· γνωστικῆς γὰρ δυνάμεως ἁμαρτὰς ἡ ἄγνοια. εἰ δὲ δόξα τῆς ὄντως γνώσεως ἑτέρα, γνῶσις δέ τις ὅμως (τοῦτο δὲ ἔλαβεν, διότι πᾶς ὁ δοξάζων γιγνώσκει τι), εἴη ἂν ἑτέρα καὶ ἀγνοίας. ἢ οὖν πρὸ ἀμφοῖν ἐστιν ἢ μετὰ ἄμφω, ἑτέρα οὖσα αὐτῶν, ἢ μέση. ἀλλὰ μὴν οὐ πρὸ ἀμφοῖν (οὐ γὰρ ἂν μετεῖχεν ἀγνοίας, ἧς ἡ γνῶσις ἄδεκτος) οὐδὲ μετὰ ἄμφω (οὐ γὰρ ἄν πῃ μετεῖχεν γνώσεως, ἧς ἡ ἄγνοια ἄδεκτος), ἐν μέσῳ ἄρα ἀμφοῖν. εἰ οὖν ἡ γνῶσις τῶν εἰδῶν ἐστιν ἃ δὴ ὄντα ἐστίν, ἡ δὲ ἄγνοια τοῦ μὴ ὄντος, ἡ δόξα τῶν γενητῶν ἐστιν. λεγέσθω τοίνυν οὕτως. τὰ πολλὰ καλὰ γενητά· τὰ γενητὰ μεταξὺ ὄντος καὶ μὴ ὄντος· τὰ μεταξὺ ὄντος καὶ μὴ ὄντος δοξαστά· τὰ ἄρα πολλὰ καλὰ δοξαστά. καὶ πάλιν· τὰ εἴδη μόνως ἐστὶν ὄντα· τὰ μόνως ὄντα μόνως γνωστά· τὰ εἴδη ἄρα μόνως γνωστά. τὸ μηδαμῶς ὂν οὐδαμῶς ἔν ἐστιν· πᾶν τὸ γνωστὸν ἕν γέ τί ἐστιν, εἴπερ ὁ γινώσκων ἕν γέ τι γιγνώσκει· τὸ ἄρα μηδαμῶς ὂν οὐκ ἔστι γιγνώσκειν. Τούτων δεδειγμένων δείκνυται τὰ προκείμενα οὕτως. οἱ φιλόσοφοι τὰ εἴδη γιγνώσκειν ἐφίενται· οἱ τὰ εἴδη γιγνώσκειν ἐφιέμενοι γνώσεώς εἰσιν φίλοι· δῆλον τὸ συναγόμενον.

in R.1.262 πάλιν· οἱ πολλοὶ τὰ καθ' ἕκαστα μανθάνειν ἐθέλουσιν· οἱ τὰ καθ' ἕκαστα μανθάνειν ἐθέλοντες τὰ δοξαστὰ μανθάνειν ἐθέλουσιν· οἱ τὰ δοξαστὰ μανθάνειν ἐθέλοντες φιλόδοξοι· οἱ ἄρα πολλοὶ φιλόδοξοι. καὶ τρίτον· οἱ πολλοὶ φιλόδοξοι· οἱ φιλόσοφοι οὐ φιλόδοξοι· οἱ ἄρα πολλοὶ οὐ φιλόσοφοι. τοῦτο δ' ἦν τὸ ζητούμενον. Ἐν δὴ τούτοις τοσοῦτον μόνον ἐπιστάσεως ἄξιον, ὅτι τοὺς πολλοὺς καταλέγων ἐν τούτοις ἔθετο καὶ τοὺς τεχνικοὺς καὶ τοὺς πρακτικούς, οὗτοι δέ που καὶ εἰδῶν ἔχουσιν γνῶσιν, ἀφ' ὧν τεχνιτεύουσιν ἢ πράττουσιν. δεῖ δὲ συννοεῖν, ὅτι καὶ οὗτοι τὴν τῶν εἰδῶν ἐπίσκεψιν διὰ τὰ καθ' ἕκαστα προβέβληνται, καὶ σκοπὸς αὐτοῖς οὐχ ἡ τῶν εἰδῶν αὐτῶν γνῶσις, ἀλλ' ἡ τῶν τεχνητῶν καὶ τῶν πρακτῶν, δι' ἃ τὰ εἴδη καὶ ὁπωσοῦν προεννοοῦσιν. πολλοῦ δὴ οὖν δέουσιν καὶ οὗτοι φιλοσοφεῖν, οὐκ ἀναχωροῦντες ἀπὸ τῶν μερικῶν, ἀλλὰ κυπτάζοντες περὶ αὐτὰ καὶ οὐ διὰ τὰ εἴδη τὰ εἴδη σκοποῦντες. ὥστε εἰκότως ὁ Σωκράτης καὶ τούτων διώρισε τοὺς φιλοσόφους, οἳ καὶ ἀναβαίνουσιν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ εἴδη καὶ οὐδὲ ἐν τούτοις ἵστανται μόνοις, ἀλλ' ἐπ' αὐτὰς χωροῦσι τὰς νοητὰς αἰτίας καὶ χωριστὰς τῶν εἰδῶν. ταῦτα μὲν δὴ περὶ τούτων ἄν τις ἐπιστήσας διορίσαιτο δεόντως. Ἐπειδὴ δὲ δόξαν καὶ γνῶσιν ἀπ' ἀλλήλων αὐτὸς διώρισεν, ἄξιον ἰδεῖν, τίνα ἑκατέραν ἐν τῷ λόγῳ τῷδε παραλαμβάνει. λέγεται μὲν οὖν δόξα παρ' αὐτῷ καὶ τὸ συμπέρασμα τῆς διανοητικῆς ἐνεργείας, ὡς ἐν Σοφιστῇ [p. 263e sqq.] φησιν, ὅταν λέγῃ διάλογον μὲν αὐτῆς πρὸς ἑαυτὴν τῆς ψυχῆς εἶναι τὴν διάνοιαν, διανοίας δὲ ἀποτελεύτησιν τὴν δόξαν, μίαν κρίσιν οὖσαν ὧν ἐκείνη συλλελόγισται. λέγεται δὲ καὶ ἡ ἄνευ αἰτίας γνῶσις τῆς ψυχῆς εἶναι παρ' αὐτῷ δόξα, καθάπερ ἐν τῷ Μένωνι διώρισεν [p.

in R.1.263 98a], ἐπιστήμην μὲν εἶναι γνῶσιν δεθεῖσαν αἰτίας λογισμῷ, δόξαν δὲ τὴν ἄνευ αἰτίας τῶν αὐτῶν γνῶσιν. λέγεται δὲ καὶ ἡ τῶν αἰσθητῶν γνῶσις παρ' αὐτῷ δόξα τῆς ἐπιστήμης τῶν νοητῶν οὔσης, ὡς ἐν Τιμαίῳ [p. 37b] παραδέδοται, ὅταν μὲν ᾖ περὶ τὰ ὄντα ἡ γνῶσις, νοῦν 〈καὶ〉 ἐπιστήμην ἀποτελεῖσθαι ἐξ ἀνάγκης, ὅταν δὲ περὶ τὰ αἰσθητά, δόξας καὶ πίστεις. Τούτων δὲ οὕτως ἐν ἄλλοις αὐτῷ περὶ δόξης καὶ ἐπιστήμης διωρισμένων ἐνταῦθα τὰ πάντα διελὼν εἰς τὰ εἴδη καὶ τὰ καθ' ἕκαστα τοῖς μὲν εἴδεσιν ἀποδίδωσι τὴν ἐπιστήμην καὶ καλεῖ γνῶσιν αὐτὴν ὡς ἀκίβδηλον οὖσαν καὶ τοῦ ἐναντίου ἄδεκτον (καὶ γὰρ ἐπὶ τῶν ἄλλων ἕκαστον καθαρὸν τὸ μὴ ἀναπεπλησμένον τοῦ ἐναντίου· λευκὸν γοῦν ὄντως εἶναι τοιοῦτόν φαμεν, ᾧ μὴ μέτεστι μέλανος), τοῖς δὲ πολλοῖς καὶ καθ' ἕκαστα, περὶ ἃ πλανῶνται οἱ μὴ φιλόσοφοι, τὴν δόξαν· ταῦτα γὰρ εἰ καὶ ὡς αἰσθητὰ γιγνώσκεται διὰ τῶν αἰσθήσεων, ἀλλ' ἡ λογικὴ γνῶσις αὐτῶν γίγνεται διὰ δόξης, καὶ ἔστι δοξαστὰ κυρίως, ὥσπερ τὰ καθόλου ἐπιστητά· τούτων γάρ εἰσιν αἱ ἐπιστῆμαι, τῶν δὲ καθ' ἕκαστα λαβεῖν ἐπιστήμην ἀδύνατον. οὕτω δὲ καὶ ὁ Ἀριστοτέλης ἐν τοῖς ἀποδεικτικοῖς [anal. post. I 33. 88b 30] τῶν μὲν ἀναγκαίων εἶπεν εἶναι τὴν ἐπιστήμην, τῶν δὲ ἐνδεχομένων καὶ ἄλλως ἔχειν τὴν δόξαν· οὐδὲν ἄλλο λέγων ἢ ὅ φησιν ἐν τούτοις ὁ Σωκράτης, πλανητὰ μὲν τὰ δοξαστὰ καλῶν, κατὰ τὰ αὐτὰ δὲ ἔχοντα τὰ καθόλου καὶ ἐπιστητά. τὰ μὲν οὖν ὑπὸ σελήνην, ἐν οἷς τὸ εἶδος ἐν πολλοῖς ἐστιν, ἐναργῶς τὰ πολλὰ δείκνυσιν ἐνδεχομένως ὄντα, τὰ δὲ οὐράνια μοναδικὰ ὄντα δόξειεν ἂν μηδὲ τὸ εἶδος ἔχειν τὸ μετεχόμενον διάφορον τοῦ μερικοῦ καὶ μετέχοντος. πλὴν καὶ ἐν ἐκείνοις ὁ τῆς ἐπιστήμης λόγος εὑρίσκει τὴν ἑκατέρου διαφοράν· τὸ μὲν γὰρ εἶδος τῆς ἐν αὐτοῖς ὑπάρξεως ἑστώσης αἴτιόν ἐστιν, τὸ δὲ μερικὸν ἰδίωμα τῆς μεταβολῆς.

in R.1.264 τὸ γὰρ κινεῖσθαι καὶ ἄλλοτε ἄλλως ἔχειν ὑπάρχει κἀκείνοις ὡς μερικοῖς. διὸ καὶ ὁ Τίμαιος ἔλεγεν πᾶν τὸ γενητὸν εἶναι δοξαστόν· ᾗ γὰρ γενητόν, τοιοῦτόν ἐστιν, εἴτε κατ' οὐσίαν ἔχοι τὸ γενητὸν εἴτε κατ' ἐνέργειαν. ὥστε κἂν ᾗ τι τῶν οὐρανίων ὡς μερικὸν εἶναι ὡσαύτως ἔχον, διὰ τὴν πρὸς τὸ εἶδος σύμβασιν τοῦτο πέπονθεν, οὐδὲν διαφέρειν τοῦ εἴδους δοκοῦν, ἵνα καὶ ἐνταῦθα τὰ πρῶτα τῶν πρὸ αὐτῶν ἔχοι μορφήν. λέγω δὲ τῶν μερικῶν πρῶτα ὄντα τὰ ἐν οὐρανῷ τῶν εἰδῶν ἔχειν τὸν τύπον ἀεὶ ὡσαύτως ὄντα, φέροντα δὲ ὅμως καὶ τῆς τῶν μερικῶν ἰδιότητος γνώρισμα τὴν κατὰ τόπον μεταβολήν. οὐ γὰρ τὸ εἶδός ἐστιν ἐν τόπῳ (πᾶν γὰρ εἶδος ἀσώματον), ἀλλὰ τὸ μερικὸν σωματικὸν ὂν καὶ τοῦ εἴδους σωματικῶς μετέχον. μὴ γὰρ οὐδὲ ἄλλο τι ᾖ τοιοῦτον μερικὸν ἢ τὸ σῶμα μεριστὸν ὄν, καὶ πᾶν εἶδος γίνηται μερικὸν σωματικὸν γενόμενον· ἐν ὅσῳ δὲ ἔξω σώματός ἐστιν ἀσώματον ὂν μόνως, εἶδός ἐστιν μόνως· διὸ καὶ πάντα τὰ χωριστὰ σωμάτων εἴδει διέστηκεν ἀλλήλων. Τὴν μὲν οὖν δόξαν καὶ τὴν ἐπιστήμην τοιαύτην ἑκατέραν δεῖ θεωρεῖν. ἐπειδὴ δὲ ἀρχόμενος τοῦ περὶ αὐτῶν σκέμματος δύο πεποίηται ἐρωτήσεις, ἄξιόν τι καὶ περὶ τούτων φάναι. τὴν μὲν οὖν προτέραν τοιαύτην πεποίηται, εἰ πᾶς ὁ γιγνώσκων τὶ γιγνώσκει ἢ οὐδέν· ἀντίφασις γὰρ τὸ τὶς καὶ τὸ οὐδείς, ὡς τὸ πᾶς καὶ τὸ οὐ πᾶς. λαβὼν δὲ ὅτι γιγνώσκει τὶ πᾶς ὁ γιγνώσκων, ἠρώτησεν πάλιν δευτέραν ἐρώτησιν, εἰ ὁ τὶ γιγνώσκων ὂν γιγνώσκει ἢ καὶ μὴ ὄν, ὡς διαφέρουσαν ταύτην τῆς πρὸ αὐτῆς ποιησάμενος τὴν ἐρώτησιν. οὐ γὰρ ἂν εἰ τὸ τὶ καὶ τὸ ὂν ταὐτὸν ἦν, καὶ τὸ οὐδὲν καὶ τὸ μὴ ὄν, εἶχεν λόγον ἐρωτᾶν, εἰ ὁ τὶ γιγνώσκων ἢ ὂν ἢ μὴ ὂν γιγνώσκει.

in R.1.265 ταὐτὸν γὰρ ἦν ταῦτα ἐρωτᾶν καὶ εἰ ὁ τὶ γιγνώσκων γιγνώσκει τὶ ἢ οὐδέν. ἃ δὴ πάντως ἄτοπα. τούτων δὲ διαφερόντων ἄλλο τὸ μὴ ὂν καὶ τὸ οὐδέν· καὶ δῆλον ὅτι τὸ οὐδὲν πάντως καὶ μὴ ὄν, οὐ μέντοι ἔμπαλιν· εἴη γὰρ ἂν πάλιν τὸ οὐδὲν καὶ μὴ ὂν ταὐτόν, εἰ ἀντιστρέφοιεν ἀλλήλοις. εἰλήφθω τοίνυν τοῦτο, ὅπερ ἀποφάσκει τὸ οὐδέν, λέγω δὴ τὸ ἕν· τοῦτο οὖν οὐδὲν μὲν εἰπεῖν ἀδύνατον, ἐπειδὴ τὸ οὐδὲν ἀποφάσκει καὶ αὐτὸ τὸ ἕν. ἐπειδὴ δὲ ἀντίκειται τὸ ἓν καὶ τὸ οὐδὲν καὶ τὸ ὂν πρὸς τὸ μὴ ὄν, ἐπὶ πλέον δὲ τὸ μὴ ὂν τοῦ οὐδενός, ἀνάπαλιν δήπου τὸ ἓν ἐπὶ πλέον τοῦ ὄντος. δέδεικται γὰρ τοῦτο ἐν τοῖς προτέροις ἀναλυτικοῖ ς . εἴ τι ἄρα ὄν ἐστιν, μετέχει ἑνός,

οὐ μέντοι εἴ τι ἔν, μετέχει ὄντος· ηὕρηται γοῦν τοῦτο ἕν, ὃ μὴ ἔστιν ὄν. ἀλλὰ τοῦτο μὲν ἡμεῖς ἐπιέσαμεν· ὁ δὲ Γλαύκων εἶπεν [p. 477a] πάντα τὸν γιγνώσκοντα ὂν γιγνώσκειν, οὐκ ὢν ἱκανὸς συνορᾶν ὅτι ἐστίν τι ἓν μὴ ὂν μέν, ἔσχατον δὲ μάθημα τῶν τὰ ὄντα γιγνωσκόντων, οἷον εἶναι τὸ ἀγαθόν φησιν ὁ Σωκράτης. ὅθεν καὶ ἐν τοῖς ἑπομένοις λόγοις εἰπόντος τοῦ Σωκράτους τἀγαθὸν πρὸ οὐσίας ὑφεστάναι καὶ αὐτὸ παράγειν τὸ ὄν, Ἄπολλο ν , ἔφη ὁ Γλαύκων, δαιμονίας ὑπερβολῆς [VI 509c], εἰς τὸ ὑπερούσιον ἐνατενίσαι μὴ δυνηθείς· καὶ κατέγνω τοῦ θαύματος ὁ Σωκράτης μάλα γελοίως τοῦτο εἰπὼν ἀπορρῖψαι τὸν Γλαύκωνα, καὶ πολλά φησιν τῶν δοκούντων αὐτῷ περὶ ἐκείνου σιωπήσεσθαι. λαβὼν δ' οὖν, ὅτι πᾶς ὁ γιγνώσκων ὂν γιγνώσκει (τὸ γὰρ μὴ ὂν ὡς τὸ μηδαμῶς ὂν οὐκ εἶναι γιγνώσκειν) ἐκ τῆς ἀποκρίσεως τοῦ Γλαύκωνος μὴ δυνηθέντος τὸ μὴ ὂν διελεῖν ὁσαχῶς λέγεται, μόνον δὲ μὴ ὂν οἰηθέντος εἶναι τὸ μηδαμῶς ὄν, δείκνυσι τῷ μὲν ὄντι τὴν γνῶσιν, τῷ δὲ μὴ ὄντι συνεζευγμένην τὴν ἄγνοιαν.

in R.1.266 τούτων δὲ πάντῃ διεστώτων δείξας καὶ τὸ μέσον τοῦ ὄντος καὶ μὴ ὄντος ὑφεστὸς γνωστὸν ἅμα φησὶν αὐτὸ καὶ ἄγνωστον, καὶ δύναμιν ἐπ' αὐτῷ γνωστικὴν εἶναι τὴν δοξαστικήν, ἑτέραν οὖσαν τῆς ἐπιστημονικῆς. ἐπειδὴ δὲ ἀναγκαῖον ἦν αὐτὸν εἰπεῖν, τῷ διορίζει τὰς ἑκατέρας δυνάμεις καὶ πῶς αὗται δυνάμεις εἰσίν, τοῦτο μὲν ὡς ὁμολογούμενον προείληφεν, ἐκεῖνο δὲ κανονίζει μόνον. ὅτι μὲν οὖν τὴν δόξαν καὶ τὴν ἐπιστήμην χρὴ τιθέναι ὡς δυνάμεις, μάθοιμεν ἂν διελόντες τὰ πάντα εἰς οὐσίας εἰς δυνάμεις εἰς κινήσεις, καὶ τὰς μὲν οὐσίας εἰς ἀσωμάτους ἢ σωματικάς, τὰς δὲ δυνάμεις εἰς ποιητικὰς ἢ παθητικάς, τὰς δὲ κινήσεις εἰς χρονικὰς ἢ αἰωνίας. τούτων γὰρ διῃρημένων οὔτε οὐσίας δυνατὸν φάναι τὰς γνώσεις καὶ δόξας (ἐν ἄλλῳ γάρ εἰσιν) οὔτε ἐνεργείας (ἀπ' αὐτῶν γὰρ αἱ ἐνέργειαι, λέγω δὴ τὸ γνῶναι καὶ δοξάσαι), δυνάμεις ἄρα εἰσίν. εἰ δὲ ὀρθῶς αὐτὸς εἶπεν δυνάμεις εἶναι γένος τι τῶν ὄντων [p. 477c], οὐ πᾶν τὸ ὂν δύναμις· καὶ ἔχοις ἂν διὰ τούτου τὸν ἐν τῷ Σοφιστῇ [p. 247c] γεγραμμένον ὅρον τοῦ ὄντος ἐλέγχειν, ὅς φησιν τὸ ὂν τὴν δύναμιν ὁρίζειν, ὡς οὐκ ὄντα Πλατωνικόν, ὥσπερ καὶ ἐκεῖ διέσυρεν αὐτὸν προϊὼν ὁ Ἐλεάτης ξένος. δεῖ δὲ καὶ τῷ εἴδει προσέχειν τῆς ἑρμηνείας, ὅπως εἶπεν ἀδιορίστως δυνάμεις εἶναι γένος τι τῶν ὄντων ἀλλ' οὐχὶ τὰς δυνάμεις οὐδὲ δὴ πάσας δυνάμεις· ὥστ' εἴ τινές εἰσιν ὑπερούσιοι δυνάμεις, οὐδὲν πρὸς ταύτας ὁ παρὼν λόγος, οὐδὲ εἰ τὴν ὕλην δυνάμεις ἔχειν λέγοι πρὸς τὸ ὂν αὐτὴν καὶ τὴν γένεσιν ἀντιτιθείς· τριχῶς γὰρ ἡ δύναμις, προούσιος οὐσιώδης ἀνούσιος. ὅτι δὲ χρὴ διορίζειν τὰς δυνάμεις οὕτως, ὡς αὐτὸς διώρισεν, ἐφ' ᾧ τέτακται ἑκάστη καὶ ὃ ἀπεργάζεται λαμβάνοντας δῆλον. ἀπὸ γὰρ τῶν ἐνεργημάτων διαφόρων φαινομένων καὶ ἀπὸ τῶν ὑποκειμένων, περὶ ἃ τὰ ἐνεργήματα, διεσταλμένων κἀκείνας διαιρούμεθα καὶ ἑτέρας λέγομεν.

in R.1.267 δηλοῖ δὲ τὸ μὲν ἐ φ ' ᾧ τέτακται πρὸς ὃ ὡς ὑποκείμενον τέτακται, τὸ δὲ ὃ ἀπεργάζεται τὴν ἐνέργειαν τὴν εἰς ἐκεῖνο τὸ ὑποκείμενον. οἷον ἡ ἐπιστήμη δύναμίς ἐστιν ἐπὶ τῷ ὄντι τεταγμένη, καὶ ἡ δόξα ἐπὶ τῷ πῇ μὲν ὄντι, πῇ δὲ μὴ ὄντι· ἀπεργάζεται δὲ ἡ μὲν γνωστικοὺς ἡμᾶς τοῦ ὄντος, ἡ δὲ δοξαστικοὺς τοῦ πῇ μὲν ὄντος, πῇ δὲ μὴ ὄντος· οὐ γὰρ δηλοῖ τὸ ἐ φ ' ᾧ τέτακται τὸ αὐτῇ ὑποκείμενον, ἀλλὰ τὸ τῇ ἐνεργείᾳ αὐτῆς ὑποβεβλημένον. δῆλον δὲ αὖ καὶ ὅτι εἰ τέτακται ἡ δύναμις, οὐκ ἂν εἴη πρῶτον, ἀλλὰ πρὸ αὐτῆς τὸ τάττον αὐτήν ἐστιν· καὶ εἰ ἀπεργάζεταί τι, οὐκ ἂν εἴη ἔσχατον, ἀλλὰ μετ' αὐτὴν ὃ ἀπεργάζεται· τῶν μέσων ἄρα ἡ δύναμις. εἰ δὲ τοῦτο, δῆλον ὅτι πᾶσα δύναμις ἑνὸς αἰτία καὶ ἓν ἀποτελεῖ κατὰ τοῦτον τὸν λόγον· εἰ γὰρ πλείω ἑνός, οὐκέτι δυνατὸν ἐκ τῶν ἐνεργουμένων διαφερόντων ἢ τῶν αὐτῶν ὄντων ἑτέρας τὰς δυνάμεις λέγειν ἢ τὰς αὐτὰς τὰς τούτων αἰτίας. ὥστε μία δύναμις ἑνός ἐστιν ἔργου ὃ ἀπεργάζεται· κἂν ἡ αὐτὴ πλείω δοκῇ ποιεῖν, ἢ ἐκεῖνα ἔστιν ὅπῃ ἕν, ἢ ἡ δύναμις ἔστιν ὅπῃ μία οὖσα οὐ μία ἐστίν. εἰ δὲ πᾶσα δύναμις ἀχρώματός ἐστι καὶ ἀσχημάτιστος (δυνάμεως γάρ φησιν [p. 477c] μήτε σχῆμα μήτε χρῶμα ὁρᾶν), δῆλον ὅτι πᾶσα δύναμις ἀσώματός ἐστιν κατ' αὐτόν· πᾶν γὰρ σῶμα πεπερασμένον σχήματος μετέχει πάντως. καὶ διὰ τοῦτο ἀληθὲς καὶ ὅπερ ὁ

Πλωτῖνός φησιν [IV 7, 8], τὸ καὶ ἐν μεγάλοις σώμασιν εἶναι δυνάμεις οὐ μεγάλας καὶ ἐν σμικροῖς οὐ σμικράς, τῶν ὄγκων οὐ προστιθέντων ταῖς δυνάμεσιν ἢ ἐλαττούντων αὐτάς. τοῦτό τε οὖν λάβωμεν περὶ δυνάμεως καὶ ὅπερ ἐν Νόμοις φησίν, ὅτι αἱ μὲν γνωστικαὶ δυνάμεις ἐπὶ τῶν αἰσθητῶν αἱ τὰ ἐλάσσονα γιγνώσκουσαι καὶ τὰ μείζονα γιγνώσκουσιν, ὡς ἐπὶ τῶν νοητῶν αἱ τὰ μείζονα καὶ τὰ ἐλάσσονα, αἱ δὲ κινητικαὶ αἱ τὰ μείζω κινοῦσαι καὶ τὰ ἐλάσσονα κινοῦσιν, οὐκ ἀνάπαλιν, ὥσπερ αἱ παθητικαὶ αἱ ὑπὸ τῶν ἐλασσόνων κινούμεναι καὶ ὑπὸ τῶν μειζόνων κινοῦνται, ἀλλ᾽ οὐκ ἔμπαλιν.

in R.1.268 τούτων δὲ φανερῶν ὄντων δῆλον, ὅτῳ δόξαν καὶ γνῶσιν χρὴ διακρίνειν· ἐφ᾽ ἑτέροις γὰρ τετάχαται, εἴπερ τὸ γνωστὸν καὶ τὸ δοξαστὸν ἕτερα ἀλλήλων. ΠΕΡΙ ΤΟΥ ΕΝ ΠΟΛΙΤΕΙΑΙ ΛΟΓΟΥ ΤΟΥ ΔΕΙΚΝΥΝΤΟΣ ΤΙ ΠΟΤΕ ΕΣΤΙΝ ΤΑΓΑΘΟΝ.

in R.1.269 (1) Τοὺς γνησίως φιλομαθεῖς καὶ φιλοσόφους οὐ πλαστῶς ὁ Σωκράτης ἄρχοντας τῆς ἀρίστης πολιτείας καθιστὰς καὶ ἀξιῶν θεωροὺς εἶναι τῶν ὅλων, οἷς καὶ τὰ διοικούμενα ὑπ᾽ αὐτῶν ἀφομοιοῖ, καὶ τὸ πάντων ἔσχατον αὐτοὺς μάθημα γιγνώσκειν μάλιστα πάντων τιθέμενος, ὅτι ποτέ ἐστιν τοῦτο, τῶν κοινωνούντων αὐτῷ τοῦ λόγου ζητησάντων, τί ποτε λέγει τοῦτο καὶ αἰνίσσεται τῶν μαθημάτων ἁπάντων τὸ ἔσχατον, πολλάκις μὲν αὐτοὺς ἤδη καὶ πρότερον ἀκηκοέναι φησίν, ὡς ἄρα τοῦτό ἐστιν τὸ ἀγαθόν, οὗ πάντα ἐφίεται. καὶ γὰρ οὐδὲ ὅποι τις τρέψῃ τὴν ἑαυτοῦ διάνοιαν ⟦ ἔχει ⟧ τούτου τοῦ ἀξιώματος ἀμελήσας, ἔστιν φάναι. τί δὲ ἄρα ἐστὶν τἀγαθόν, ἐπαγγέλλεται δηλώσειν, καὶ ἐπαγγειλάμενος τότε μὲν ὡς περὶ τοῦ ἐν ἡμῖν ἀγαθοῦ ποιεῖσθαι φαίνεται τὸν λόγον, ὁπόταν ζητῇ, πότερον αὐτὸ δεῖ λέγειν ἡδονὴν ἢ φρόνησιν ἢ μηδέτερον τούτων (ὃ δὴ καὶ ὁ ἐν τῷ Φιλήβῳ [p. 20e sqq.] Σωκράτης ἐζήτησέν τε καὶ διήρθρωσεν, ἀποδείξας ὡς οὔτε ἡδονὴ τὸ ἀγαθὸν ἡμῶν ἐστιν οὔτε νοῦς, ἢ μὲν ἄνους οὖσα καὶ ληφθεῖσα παντελῶς, ὃ δὲ ἀνήδονος καὶ οὗτος παντελῶς), τότε δὲ ὡς περὶ τοῦ εἴδους τῶν ἀγαθῶν πάντων, ὅπερ εἴωθεν ἐπονομάζειν αὐτοαγαθὸν καὶ σύστοιχον λέγειν τῷ αὐτοδικαίῳ καὶ τῷ αὐτοκαλῷ (καθάπερ καὶ ἐν τῷ Φαίδωνι [p.

in R.1.270 65d] τὰ τρία συνάπτων ἠρώτησεν, εἴ φησιν ὁ Σιμμίας εἶναί τι δικαίου εἶδος καὶ καλοῦ καὶ ἀγαθοῦ· καὶ ἐν Παρμενίδῃ [p. 130b] τὸν αὐτὸν τρόπον, εἰ οἴεται τούτων ἕκαστον ὁ Σωκράτης εἶδος εἶναι καθ᾽ αὐτὸ τῶν πολλῶν ἕτερον, ἠρώτηται παρὰ τοῦ καθηγεμόνος καὶ ὡμολόγησεν), τότε δὲ ὡς περὶ ἄλλου τινός, οὔτε ἐν ἡμῖν ὄντος οὔτε εἰδητικὴν ἔχοντος οὐσίαν οὐδ᾽ ὅλως οὐσίαν, ἀλλ᾽ ἐπέκεινα, καθάπερ φησίν, τοῦ εἶναι καὶ οὐσίας ὑπάρχοντος· τοῦτο γὰρ οὔτε τῷ ἐν ἡμῖν ἐστιν ταὐτόν, ἐν τῷ νοητῷ τόπῳ βασιλεύειν λεγόμενον, οὐ τοῦ ἐν ἡμῖν ἀγαθοῦ μόνον, ἀλλὰ καὶ ἡμῶν ὑπὸ τὸ νοητὸν τεταγμένων, οὔτε τῷ εἴδει τῶν ἀγαθῶν, ὅ ἐστι τῷ δικαίῳ καὶ τῷ καλῷ σύστοιχον. διττῶν γὰρ ὄντων τῶν εἰδῶν, καὶ μόνως τῶν μὲν τὰς ὑπάρξεις τῶν εἰδοποιουμένων ἀφοριζόντων, τῶν δὲ τὰς τελειώσεις, τὸ μὲν τῆς οὐσίας γένος καὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ζῴου δὲ καὶ ἵππου καὶ ἀνθρώπου καὶ πᾶν ὅτι τοιοῦτον εἶδος ὑπάρξεών ἐστιν ἀφοριστικὰ καὶ ὑποκειμένων, τὸ δὲ τοῦ ἀγαθοῦ καὶ τοῦ καλοῦ καὶ τοῦ δικαίου καὶ εἴ τι ἀρετῆς εἶδος, ὁμοίως δὲ καὶ τὸ τῆς ὑγείας καὶ ἰσχύος καὶ πᾶν ὅτι τοιοῦτον, τελειωτικὰ τῶν ὑποστάσεών ἐστιν. καὶ τῶν μὲν ἡ οὐσία πάντων ἡγεῖται, τῶν δὲ τὸ ἀγαθόν· πᾶν γὰρ τὸ ὂν οὐσίας ἀνάγκη μετέχειν, ὡς αὐτός φησιν, καὶ πᾶν τὸ σωστικόν τινος καὶ τέλειον ποιοῦν ἢ φυλάσσον ἀγαθὸν ὑπάρχει, ὡς καὶ τοῦτο δοκεῖ τῷ Σωκράτει [X 608e]. δύο δὲ τούτων ἡγουμένων, τῆς μὲν τῶν ὑπαρκτικῶν εἰδῶν, τοῦ δὲ τῶν τελειωτικῶν, ἀνάγκη θάτερον ὑπὸ θάτερον εἶναι, λέγω δὴ τὸ ἀγαθὸν τὸ τῶν τελειοτήτων τὴν συστοιχίαν εἰληχὸς ὑπὸ τὴν οὐσίαν τὴν τῶν ὑπαρκτικῶν αἰτίαν, εἴπερ ὄν ἐστιν τὸ ἀγαθὸν καὶ τὶ ὄν. ἢ γὰρ τῇ οὐσίᾳ ταὐτόν ἐστιν ἢ ἕτερον παρὰ τὴν οὐσίαν, ἣν γένος ἐδείκνυ τοῦ ὄντος ὁ Ἐλεάτης ξένος. καὶ εἰ μὲν τῇ οὐσίᾳ ταὐτόν, ἄτοπον· οὐ γὰρ ταὐτὸν τὸ εἶναι καὶ τὸ εὖ εἶναι· εἰ δὲ ἕτερόν τι τῆς οὐσίας, ἀνάγκη μετέχειν αὐτὸ τῆς οὐσίας· ἐκείνη γὰρ πάντων γένος τῶν εἰδῶν.

in R.1.271 εἰ δὲ τὰ γένη πρεσβύτερα τῶν εἰδῶν, οὐκ ἂν εἴη τοῦτο τὸ ἀγαθὸν βασιλεῦον τῶν νοητῶν, ἀλλὰ ἐκεῖνο, ὑφ' ὃ καὶ τοῦτο τέτακται καὶ εἶδος ἅπαν, τὸ ὄν, ὅπερ ἐστίν, καὶ τῶν ἄλλων γενῶν τοῦ ὄντος ἡγεμονοῦν. ὅταν ἄρα τὸ ἀγαθὸν βασιλεύειν λέγῃ τῶν νοητῶν ἐκ τῆς περὶ τὸν ἥλιον ἀναλογίας ὁρμώμενος, οὔτε τὸ ἐν ἡμῖν ἔοικεν ἀγαθὸν λέγειν, ὅ γέ ἐστιν ἐν ἡμῖν, ἀλλ' οὐκ ἐν ἐκείνοις, οὔτε τὸ τῷ καλῷ καὶ τῷ δικαίῳ σύστοιχον, ὅ γέ ἐστιν ἄλλου μετειληχὸς καὶ τὶ ὄν, ἀλλ' οὐχ ἁπλῶς ὄν. καίτοι γε, ὥσπερ ἔφαμεν, ἤρξατο μὲν ὡς τὸ ἐν ἡμῖν ἀγαθὸν ζητῶν (καὶ γὰρ τοῦτο ἦν τὸ πράγματα παρέχον τοῖς ζητοῦσιν, εἴτε ἡδονὴν αὐτὸ λεκτέον ἐστὶν εἴτε νοῦν ἢ φρόνησιν), προϊὼν δὲ ἐκεῖνο τὸ ὡς εἶδος ἀγαθὸν χωρὶς ὂν ὡς τὸ δίκαιον μνήμης ἠξίωσεν, καὶ μέχρι γέ τινος ὡς πέρα τῶν εἰωθότων οὐδὲν ἀπομαντευόμενος ἐχρῆτο τῷ λόγῳ· τέλος δὲ εἰπὼν αὐτὸ τῆς οὐσίας εἶναι τοῖς γιγνωσκομένοις αἴτιον, ἐπέκεινα ὂν οὐσίας αὐτὸ καὶ τοῦ εἶναι παντελῶς, ὑπερθέων ἐγένετο δῆλος καὶ τὸ ὡς εἶδος ἀγαθόν. δοκεῖ τοίνυν μοι τρόπον τινὰ τοῖς ἐπαναβασμοῖς χρήσασθαι τῶν περὶ τοῦ ἀγαθοῦ λόγων δαιμόνιον, τριττὰ λαβὼν ἀγαθά, ὧν οὐδ' ἂν γένοιτο πλείω, τὸ μὲν ἀμέθεκτον καὶ ὑπερούσιον, τὸ δὲ οὐσιῶδες ἀμέθεκτον, τὸ δὲ μεθεκτόν (τοιοῦτο γὰρ τὸ ἐν ἡμῖν, οὐσιῶδες δὲ τὸ εἰδητικόν, ὑπερούσιον δὲ τὸ οὐσίας ἐπέκεινα ῥηθέν)· εἰ δὲ βούλει, τὸ μὲν ὡς ἕξιν λαβὼν ἐν ὑποκειμένῳ οὖσαν, τὸ δὲ ὡς οὐσίαν καὶ ὡς μέρος οὐσίας, οἷον εἶδος, τὸ 〈δὲ〉 μήθ' ὡς ἕξιν μήθ' ὡς μέρος. καίτοι γε δόξειεν ἂν ἑκάτερον ἐπάγειν τῷ πρωτίστῳ τῶν ἀγαθῶν, τὴν μέν, ὅταν λέγῃ τὴν τἀγαθοῦ ἕξιν [p.

in R.1.272 509a], τὸ δέ, ὅταν ἕν τι ποιῇ καὶ αὐτὸ τῶν νοητῶν, ἰδέαν τοῦ ἀγαθοῦ λέγων καὶ ἔτι νοητὸν λέγων καὶ γνωστὸν καὶ ἐκεῖνο, καθάπερ καὶ τὸν ἥλιον ἕν τι τῶν ὁρατῶν καὶ τοῦδε τοῦ κόσμου μέρος. ἀλλὰ ταῦτα μὲν ὅπως λέγεται μικρὸν ὕστερον ἔσται καταφανές, ἡνίκα ἂν ἐξεργαζώμεθα τὴν περὶ τὸ ἀγαθὸν ἐκεῖνο καὶ τὸν ἥλιον ἀναλογίαν. Νυνὶ δὲ ἀναλάβωμεν τὰς ῥήσεις πρῶτον, ἐν αἷς τό τε ἐν ἡμῖν ἀγαθὸν ἤρξατο σκοπεῖσθαι καὶ ἐπὶ τούτῳ τὸ ἐν τοῖς εἴδεσιν, ἔπειτα προσέθηκεν ἐκ τρίτων, ὅσα ἐπ' ἄλλο τι πρὸ τούτου μετέστησεν τὴν θεωρίαν. εἰπὼν γὰρ ὅτι ἡ τοῦ ἀγαθοῦ ἰδέα μάθημα τὸ μέγιστόν ἐστιν, ᾗ καὶ τὰ δίκαια καὶ τἆλλα προσχρησάμενα χρήσιμα καὶ ὠφέλιμα ἀποτελεῖται, καὶ ὅτι αὐτὴν οὐχ ἱκανῶς ἴσμε ν , καὶ τούτων ῥηθέντων κοινῶν καὶ τῷ ἐν ἡμῖν ἀγαθῷ καὶ τῷ ἐν τοῖς εἴδεσιν καὶ τῷ ὑπονοουμένῳ πρὸ πάντων εἶναι τῶν νοητῶν (ἰδέα γὰρ τοῦ ἀγαθοῦ καὶ τὸ μετεχόμενόν ἐστιν εἶδος καὶ τὸ νοητόν, ὅ ἐστι χωριστόν, καὶ τὸ πρὸ τῶν νοητῶν, εἴπερ τὸ τῆς ἰδέας ὄνομα δηλοῖ ⟦ ηἳ ⟧ τὸ πρὸ πάντων ἱδρυμένον ἐφετόν)— τούτων δ' οὖν ῥηθέντων ἐπήγαγεν, ὅτι τὸ ἀγαθὸν οἳ μὲν φρόνησιν οἱ κομψότεροι λέγουσιν, οἳ δὲ ἡδονήν. οἷς καὶ ὁ ἀκροατὴς ὡς γνωρίμοις συνεχώρησεν καὶ ἠξίωσεν γνῶναι τὴν τοῦ Σωκράτους περὶ τούτων κρίσιν· ὁ δὲ ὅτι μὲν οὐκ ἔστιν τὸ ἀγαθὸν φρόνησις οὐδ' αὖ ἡδονή, συντεμὼν ἔδειξεν. ἐρωτώμενοι γάρ, φησίν, οἱ ταῦτα διορίζοντες, εἰ πᾶσα φρόνησις τὸ ἀγαθόν, οἷον καὶ ἡ τῶν ξυλίνων σκευαστῶν καὶ ἡ τῶν ἄλλων, οὐκ ἀξιοῦσιν, ἀλλὰ προστιθέασιν τὴν τοῦ ἀγαθοῦ φρόνησιν ἀγαθὸν εἶναι, γελοῖόν τι πάσχοντες, ἐν τῷ ὅρῳ τοῦ ζητουμένου τὸ ζητούμενον αὐτὸ παραλαμβάνοντες. καὶ αὖθις τὴν ἡδονὴν ἀγαθὸν τιθέντες ἀναγκαζόμενοι ὁμολογεῖν ἡδονὰς εἶναί τινας κακὰς περιάγονται εἰς τὸ λέγειν εἶναί τινα κακὰ τῶν ἀγαθῶν· τοῦτο δὲ ἀδύνατον, τί ποτε δέ ἐστιν, οὐκέτ' εἶπεν αὐτός· ἔδει γὰρ πάντας ἀνακινῆσαι τοὺς ἐν τῷ Φιλήβῳ λόγους, ἐξ ὧν ἔδειξεν ἐν τῷ μικτῷ τὸ ἀγαθὸν ἐν ἐκείνοις.

in R.1.273 ταῦτα δ' οὖν ὅτι περὶ τοῦ ἐν ἡμῖν ἀγαθοῦ τὴν ζήτησιν ποιεῖται, παντὶ γνώριμον· καὶ δὴ καὶ αὐτὸς ἐδίδαξεν ἐπαγαγών, ὅτι δίκαια μὲν καὶ καλὰ πολλοὶ ἂν ἕλοιντο καὶ τὰ δοκοῦντα κεκτῆσθαι, ἀγαθὰ δὲ οὐδενὶ ἀρκεῖ τὰ δοκοῦντα κτᾶσθαι, ἀλλὰ τὰ ὄντα ζητοῦσιν. ἐκ γὰρ τούτων δῆλον, ὅτι τὸ ἀγαθὸν τὸ κτητὸν ζητεῖ, καὶ οὐ τὸ χωριστὸν ὂν ἡμῶν· οὐ γὰρ ἐκεῖνο ἐκτώμεθα, ἀλλὰ τὸ ἐν ἡμῖν, ὃ καὶ ἀπομαντευομένην πᾶσαν ψυχὴν φησιν πράττειν ἅπαντα τῆς κτήσεως αὐτοῦ χάριν [p. 505e]. καὶ μέχρι τούτου προῆλθεν ὁ περὶ τοῦ ἐν ἡμῖν ἀγαθοῦ λόγος, κτητὸν αὐτὸ καὶ ἑκτὸν καλέσας. μετὰ δὲ τοῦτο τὸ ἀγαθόν, διορισάμενος τὸν περὶ αὐτοῦ λόγον ὡς

μείζονα ὄντα τῶν προκειμένων, τοῦ Γλαύκωνος κινήσαντος ὅπως ἂν ἐνδείξηται τί τὸ τῷ ὄντι ἀγαθόν, ὥρμησεν μέν, ὡς καὶ αὐτός φησιν [p. 506e], οὐχ ὅτι ἐστὶν εἰπεῖν τὸ ἁπλῶς ἀγαθόν, ἀφ' οὗ καὶ τὸ ἐν ἡμῖν, ἀλλὰ τί τὸ ἐοικὸς αὐτῷ. καὶ γὰρ οὐ τὸ ἐν ἡμῖν διὰ τῆς εἰκόνος ὁρμήσας ποιῆσαι σαφές, ἀλλὰ τὸ ἁπλῶς, δεδήλωκεν εἰπών· ἀλ λ' , ὦ μακάρι ε , αὐτὸ μὲν τί ποτέ ἐστι τὸ ἀγαθὸν ἐάσωμεν τὸ νῦν εἶναι · πλέον γάρ μοι φαίνεται ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν ἐφικέσθαι τοῦ γε δοκοῦντος ἐμοὶ νῦ ν . ἀφ' οὗ κἀκεῖνο συλλογίσαιτ' ἄν τις, ὅτι κἂν ἐξ εἰκόνος τι δοκῇ λέγειν περὶ τοῦ ἀγαθοῦ κἂν παραγυμνοῦν τι τῶν ἀπορρήτων, ἀλλ' οὐ παντάπασιν ὅλην ἐκφαίνει τὴν περὶ αὐτοῦ ἀλήθειαν.

in R.1.274 καὶ ἴσως τοῦτό γε διὰ τοὺς Θρασυμάχους καὶ τοὺς Κλειτοφῶντας, οὐκ ἀξιῶν ἐν σοφισταῖς τὰ μυστικώτατα ἐκφαίνειν. διὸ καὶ ἐξῆς εἰπὼν ὑπερούσιον εἶναι τὸ ἀγαθόν, τοῦ Γλαύκωνος δαιμονίαν εἶναι φάντος τὴν ὑπερβολὴν ἐπέπληξε, γελοίως αὐτὸν εἰπεῖν ἀποφηνάμενος. εἶθ' ὡς κενεμβατοῦντος πρὸς τὴν θέαν τοῦ πάντων ἐπέκεινα πάλιν πολλά φησιν παραλείψειν ἑκὼν εἶναι τῶν ἑαυτῷ δοκούντων καὶ μόνην τὴν περὶ τὸν ἥλιον ἀναλογίαν γυμνώσειν· εἰ δ' ἦσαν οἱ ἀκροαταὶ τοῖς τοιοῖσδε λόγοις προσφερεῖς, πολλῶν ἂν καὶ ὄντως θεολογικῶν ἡμᾶς ἐπλήρωσεν περὶ αὐτοῦ λόγων. ἀλλ' οὖν, ὅπερ ἐλέγομεν, ἀπὸ τοῦ ἐν ἡμῖν ἀγαθοῦ, περὶ οὗ καὶ ἐζήτουν οἱ φρόνησιν αὐτὸ λέγοντες ἢ ἡδονήν, εἰς αὐτὸ τὸ ἀγαθὸν μεθιστὰς τὴν ζήτησιν (οὐδὲ γὰρ τὸ τὶ ἀγαθὸν ἄνευ τοῦ ἁπλῶς ἀγαθοῦ γνῶναι δυνατόν) καὶ τῆς εἰκόνος ἀρχόμενος τῆς κατὰ τὸν ἥλιον πρῶτον μὲν παρακελεύεται τοῖς ἀκροαταῖς παραφυλάττειν, μὴ κίβδηλον ἀποδῷ τὸν λόγον τοῦ τόκου [p. 507a], τὸν μὲν ἥλιον τόκον ἀποκαλῶν, τὴν δὲ κιβδηλίαν ἀπὸ τῶν ἐν νομίσμασι τόκων μεταγαγών, ἐνδεικνύμενος δὲ τοῖς οὐδὲ τούτων παρέργως ἀκούουσι τῶν ἐν παιδιᾶς μοίρᾳ λεγομένων, ὡς ἄρα ἐπισφαλής ἐστι τρόπος διδασκαλίας ὁ διὰ τῆς ἀναλογίας. δέος γὰρ μὴ κατ' ἄλλο τι τὰ πράγματα μεταθέοντες καὶ οὐ καθ' ὅσον ἡ ἀναλογία παρείληπται, σοφισώμεθα τὴν ἀπόδειξιν. οἷον καὶ ἐν τούτοις, εἰ λέγοντος αὐτοῦ τῷ ἀγαθῷ τὸν ἥλιον ἀναλογεῖν, ᾗ φωτός ἐστιν αἴτιος, ὡς ἐκεῖνο τῆς ἀληθείας, λαμβάνοι τις τὸν ἥλιον οὐκέτι μόνον αἴτιον φωτός, ἀλλὰ ᾗ κινούμενόν ἐστιν, καὶ ζητοῖ καὶ ἐπὶ τοῦ ἀγαθοῦ τὸ ὅμοιον. οὐ γὰρ ἔτι φυλάττει τὸν τοῦ ἡλίου λόγον ὁ τοῦτο δρῶν· οὐ γὰρ ᾗ αἰτιατὸν ὁ ἥλιος, εἴληπται κατὰ τὴν ἀναλογίαν, ἀλλ' ᾗ αἴτιον μόνον.

in R.1.275 ἐπεὶ καὶ ἀδύνατον ἦν τῷ ἀγαθῷ τι λαβεῖν κατὰ πάντα ὅμοιον· πᾶν γὰρ τὸ μετ' ἐκεῖνο προσλαβόν τι χεῖρον ἐκείνου γέγονεν, τὸ μὲν νόησιν, ὡς νοῦς, τὸ δὲ κίνησιν, ὡς ψυχή, τὸ δὲ γένεσιν, ὡς σῶμα. κἂν ἐν νοῖς οὖν λαμβάνῃς τὸν πρῶτον νοῦν, ὡς τῷ ἀγαθῷ ἀνάλογον, ἰδὲ μόνον ἐκεῖνο καθ' ὃ τῷ ἀγαθῷ ἔοικεν, μὴ καθ' ὃ ἐκείνου κεχώρισται, κἂν ἐν ψυχαῖς κἂν ἐν σώμασι. δεῖ γὰρ εἶναι τὸ ἀναλογοῦν τῷ ἀγαθῷ, μετὰ τῆς ὁμοιότητος μέντοι καὶ τὴν ἀνομοιότητα ἔχον· αἱ δὲ ἀναλογίαι καὶ οἱ λόγοι οὐχὶ κατὰ τὸ ἀνόμοιον λαμβάνονται πάντων, ἀλλ' αὐτὸ τοὐναντίον κατὰ τὸ ὅμοιον. ταύτην δ' οὖν τὴν εὐλάβειαν ἀξιώσας εὐλαβηθῆναι τοὺς κοινωνοὺς τῶν περὶ τοῦ ἀγαθοῦ λόγων, καὶ ἤδη μέντοι τῶν λόγων ἀρχόμενος καὶ διορίσασθαι ἐθέλων, ὡς ἄλλα μὲν τὰ νοητά ἐστιν εἴδη, ἄλλα δὲ τὰ αἰσθητά, ⟦ ἃ ⟧ διαμνημονεύει τοῦ τε αὐτοκαλοῦ καὶ τοῦ αὐτοαγαθοῦ, ταῦτα μὲν ὡς εἴδη τῶν πολλῶν καλῶν θέμενος καὶ ἀγαθῶν, διορίζων δὲ οὑτωσί· καὶ τὰ μὲν ὁρᾶσθαί φαμε ν , νοεῖσθαι δὲ ο ὔ , τὰς δὲ ἰδέας νοεῖσθαι μέ ν , ὁρᾶσθαι δὲ οὔ [p. 507b]. καὶ μέχρι τούτων δῆλός ἐστιν εἰς τὰς ἰδέας ἡμᾶς ἀναπέμπων καὶ τὰ καθόλου τὰ πρὸ τῶν πολλῶν, ἐν οἷς εἰώθει τὴν πραγματείαν ἔχειν ὁ Σωκράτης, αὐτὸ τὸ καλὸν καὶ αὐτὸ τὸ ἀγαθὸν ὁριζόμενος καὶ τῶν πολλῶν ἀγαθῶν ἢ καλῶν ἀναχωρῶν. καὶ εἰ μηδὲν ἄλλο προσέθηκεν, οὐκ ἂν ἔγωγε συνεβούλευσα τοῖς Πλάτωνος φίλοις ἄλλο τι νοεῖν τὸ ἀγαθὸν ἢ τοῦτο δὴ τὸ τῶν εἰδῶν αἴτιον καὶ πρώτιστον ἐν τοῖς τελειωτικοῖς τῶν ὄντων εἴδεσιν, ὑφ' ὃ καὶ τὸ καλὸν καὶ πᾶν εἶδος ἀρετῆς, ὥς που καὶ μικρῷ πρότερον εἴπομεν. ἐπειδὴ δὲ τῆς ἀναλογίας ἀψάμενος τῆς περὶ τὸν ἥλιον καὶ τὴν ὄψιν καὶ τὸ φῶς θαυμαστῶς ὅπως τὰς μὲν

ἰδέας πάσας νοητὰς οὔσας, τὸ αὐτοκαλὸν τὸ αὐτοαγαθὸν τὸ αὐτοδίκαιον, καὶ οὐ ταύτας μόνας, ἀλλὰ καὶ τὰς τῶν πράξεων καταλάμπεσθαί φησιν ὑπὸ τοῦ ἀγαθοῦ, τοῦτο δὲ τὴν τελειότητα καὶ τὴν ὕπαρξιν ἐνδοῦναι τοῖς νοητοῖς πᾶσιν, ὡς καὶ τῶν οὐσιῶν καὶ τῶν τελειοτήτων αἴτιον καὶ αὐτὸ τούτων ἐπέκεινα ὄν, σκοπεῖν ἀξιῶ, μήποτε τὸ μὲν εἰδητικὸν ἀγαθὸν ὁμοῦ τῷ καλῷ μνήμης ἠξίωσεν, ὡς εἶδος ἔν τι τελεσιουργόν, ἵνα λάβῃ τὰ εἴδη πάντα πρὸ τῶν πολλῶν εἶναι τὰ νοητὰ πρὸ τῶν ὁρατῶν, ἀναβαίνει δὲ ἐπ᾽ αὐτὸ τὸ πρώτιστον τῶν ὅλων αἴτιον ἐντεῦθεν, ὃ δὴ κρείττονι μὲν ὀνόματι τοῦ ἀγαθοῦ προσειπεῖν οὐκ εἶχεν (πάντων γὰρ τἀγαθὸν σεμνότατον καὶ πάντα τοῦ ἀγαθοῦ ἐφίεσθαι πεπίστευται· οὗ δὲ πάντα ἐφίεται, τοῦτο πάντων αἴτιον), εὐλαβηθεὶς δὲ μή πῃ ἄρα τοιόνδε τι τὸ πρῶτον ὑπολάβωμεν, οἷον τὸ ἐν ταῖς ἰδέαις ἀγαθὸν τῆς τελειότητος μόνης αἴτιον ἑκάστοις, τὴν μὲν ἀρχὴν ἔδειξεν αὐτὸ καὶ ἐπιστήμης καὶ ἀληθείας ἐπέκεινα, καθάπερ ὄψεως καὶ φωτὸς τὸν ἥλιον, εἰς δὲ τὸ πρόσω προϊὼν καὶ τῶν νοουμένων πρωτουργὸν αἴτιον καὶ ὑπερούσιον, ὡς τὸν ἥλιον ὑπὲρ γένεσιν· καὶ οὕτω δὴ τοῦ ἐν τοῖς εἴδεσιν ἀγαθοῦ καὶ τοῦ καλοῦ μέντοι καὶ τῶν νοητῶν ὅλων οὐσιῶν τἀγαθὸν αἰτίαν τὴν πρώτην ἀπέφηνεν.

in R.1.276 Ἵνα δὲ μὴ παραδράμωμεν τὴν διὰ τῆς ἀναλογίας διδασκαλίαν, σκόπει πῶς φησιν τῷ μὲν ἀγαθῷ τὸν ἥλιον ἀναλογεῖν· κατ᾽ ἄλλο μὲν οὐδέν (λέγω δὲ οὐ καθόσον σῶμα ἔχει καὶ τόπον σωματικόν, οὐ καθόσον κινητόν), καθ᾽ ἓν δὲ μόνον τὸ αἴτιον εἶναι φωτός, δι᾽ οὗ τὰ ὁρώμενα πάντα ὁρατά· καὶ αὖ τῇ ἀληθείᾳ τὸ τοιοῦτον φῶς, οὐχὶ καθόσον διαστατὸν ἢ ἀνακλάσεις ἔχει παντοίας, ἀλλὰ μόνον καθόσον αἰτίαν παρέχεται τοῖς ὁρατοῖς τοῦ ὁρᾶσθαι καὶ τοῦ ὁρᾶν τοῖς ὁρῶσιν, ὡς ἡ ἀλήθεια τοῖς μὲν νοητοῖς τοῦ νοεῖσθαι, τοῖς δὲ νοοῦσι τοῦ νοεῖν· τὰ δὲ ὁρώμενα τοῖς νοουμένοις, οὐχὶ ὡς ἐν τόπῳ ὄντα καὶ κινούμενα, ἀλλ᾽ ὡς ὁρώμενα μόνον.

in R.1.277 δεῖ γὰρ ὡς εἴπομεν ἐν ταῖς ἀναλογίαις ᾗ ὅμοια βλέπειν ἕκαστα τῶν λαμβανομένων ἐν τοῖς αὐτοῖς λόγοις, ἀλλ᾽ οὐχ ᾗ ἀνόμοια καὶ τῶν αὐτῶν ἐστι λόγων τῶν εἰλημμένων ἐκτός. Τούτων δὲ οὕτως ληφθέντων δείκνυται δηλονότι τἀγαθὸν ἐπέκεινα νοῦ καὶ ἐπιστήμης, ὡς ὁ ἥλιος τῶν αἰσθητῶν καὶ τούτων μάλιστα τῆς ὄψεως. καὶ διὰ ταύτης ἄρα τῆς λήψεως φαίνεται οὐδ᾽ ἐν ἡμῖν τὸ ἀγαθὸν τῇ ἐπιστήμῃ καὶ τῇ φρονήσει ταὐτόν, εἴπερ μηδὲ ἐν τοῖς ἄλλοις τὸ ἁπλῶς ἀγαθὸν τῇ ἐπιστήμῃ. δείκνυται δὲ καὶ τῆς ἀληθείας ἐπέκεινα ὄν, ὡς ὁ ἥλιος τοῦ φωτός· τούτῳ δὲ ἔπεται τἀγαθὸν ἄδεκτον ἀληθείας εἶναι. τὸ γὰρ ὑπὲρ ἀλήθειαν οὔτ᾽ εἶναι ἀληθῶς οὔτ᾽ ἄλλο τι τῶν πάντων ὑπάρχειν ἀληθῶς δυνατόν, ὥστ᾽ εἴπερ ἔστιν, μὴ ἔστιν δὲ ἀληθῶς, εἴη ἂν οὐκ ἀληθῶς ὄν. τοῦτο δὲ ἀδύνατον· τὸ γὰρ οὐκ ὄντως ὂν μετὰ τὸ ὄντως ὂν εἶναί φησιν Πλάτων. οὐκ ἔστιν δὲ ἀληθῶς ὂν τὸ ἀγαθόν, ἐπειδὴ γεννᾷ τὴν ἀλήθειαν, οὗ δὲ γεννᾷ, τούτου παντελῶς ἄδεκτόν ἐστιν· πᾶν δὲ ἀληθῶς ὂν μετέχειν ἀληθείας ἀναγκαῖον. δείκνυται δὲ καὶ τοῦ ὄντος ἐπέκεινα ὄν. εἰ γὰρ τὸ μὲν ὂν ἀληθῶς ὄν ἐστιν, τὸ δὲ ἀγαθὸν τὴν ἀλήθειαν ὑπέστησεν τοῦ ὄντος οὖσαν κρείσσονα, καθάπερ τοῦ ὁρατοῦ διὰ τὸ φῶς αὐτὸ σεμνότερον τὸ φῶς, κρεῖσσον τὸ ἀγαθὸν τοῦ ὄντος. ὅτι δὲ τῷ ὁρωμένῳ διὰ τὸ φῶς ἀνάλογον ἔλαβεν τὸ ὄν, δηλοῖ σαφῶς· εἰπὼν γάρ· ὀφθαλμο ί , ἦν δὲ ἐγ ώ , ὅταν τις αὐτοὺς μὴ ἐ π ᾽ ἐκεῖνα τρέπ ῃ , ὧν τὰς χρόας ἡμερινὸν φῶς ἐπέχε ι , ἀμβλυώττουσι ν , ὅταν δὲ ὧν ὁ ἥλιος καταλάμπε ι , σαφῶς ὁρῶσιν [p.

in R.1.278 508cd]—ταῦτ᾽ οὖν ἐπὶ τῶν ὁρατῶν διελόμενος, χρόας φῶς ὀφθαλμοὺς ἥλιον, ἐπήνεγκεν τὰ ἀνάλογον καὶ ἐπὶ νοουμένων λέγων· οὕτω καὶ τὸ ὅμμα τῆς ψυχῆ ς , ᾧ δὴ νοε ῖ , ὅταν μὲν τρέπῃ τις οὗ τὸ ὂν καὶ ἡ ἀλήθεια λάμπε ι , νοεῖ καὶ γιγνώσκε ι , ὅταν δὲ εἰς τὸ τῷ σκότῳ κεκραμένο ν , τὸ γιγνόμενον καὶ ἀπολλύμενο ν , δοξάζει τε καὶ ἀμβλυώττε ι . τῇ οὖν χρόᾳ τὸ ὂν ἀνάλογον ἔλαβεν, τῷ δὲ φωτὶ τὴν ἀλήθειαν, τῷ δὲ ἡλίῳ τὸ ἀγαθόν, ὡς τῷ ὄμματι τὸν νοῦν· ἐξ ὧν δῆλον, ὅτι τὸ ὂν μετὰ τὸ ἀγαθὸν καὶ τὴν ἀλήθειαν, ὡς ἡ χρόα μετὰ τὸ φῶς καὶ τὸν ἥλιον· ἐπέκεινα ἄρα τοῦ ὄντος τὸ ἀγαθόν. οὐ γὰρ τὶ τῶν ὄντων, ἀλλὰ τὸ ὂν αὐτὸ λάμπειν εἶπεν τῇ ἀληθείᾳ, καθάπερ τῷ φωτὶ τὴν χρόαν. εἰ οὖν ὑπὲρ τὸ ὂν τἀγαθὸν ἐξ ἀνάγκης, καὶ ὑπὲρ οὐσίαν ἂν εἴη.

Τούτων δὲ αὐτῷ διὰ τῆς ἀναλογίας ἠνυσμένων ἔτι μεῖζον προστίθησιν, ὅτι τῶν νοητῶν αἴτιον τὸ ἀγαθόν, οὐ τοῦ νοεῖσθαι μόνον αἴτιον αὐτοῖς ὄν, ἀλλὰ καὶ τῆς οὐσίας, ὡς ὁ ἥλιος τοῖς ὁρωμένοις οὐ τοῦ ὁρᾶσθαι μόνον, ἀλλὰ καὶ τῆς γενέσεως καὶ τροφῆς καὶ αὔξης· καὶ ὡς αὐτὸς οὐ γένεσις, οὕτως τὸ ἀγαθὸν οὐκ οὐσία. ταῦτα γὰρ ἐναργῶς ἔδειξεν ἑπόμενος τῇ ἀναλογίᾳ, καὶ ὡς ὑπερούσιον τὸ ἀγαθόν· ἀφ' ὧν ἐκεῖνο λοιπὸν δῆλον, ὡς οὐκ ἔστιν τοῦτο τὸ ἀγαθὸν τῷ ἐν τοῖς εἴδεσι ταὐτόν. τοῦτο μὲν γὰρ ὑπερούσιον, ἐκεῖνο δὲ ἕν τι τῶν εἰδῶν ὃν πάντως ὑπὸ οὐσίαν ἀνάγεται· γένος γὰρ ἡ οὐσία πάντων τῶν εἰδῶν· καὶ τοῦτο μὲν οὐσιοποιόν ἐστι τῶν ὄντων, ἐκεῖνο δὲ τελειωτικὸν μόνον τῶν αὐτῶν.

in R.1.279 καὶ γὰρ ἐπίστησον, τίνα καλεῖται γιγνωσκόμενα, οἷς φησιν οὐ τοῦ γιγνώσκεσθαι μόνον, ἀλλὰ καὶ τῆς οὐσίας αἴτιον εἶναι τἀγαθόν [p. 509b]. εἰ μὲν δὴ τὰ μετὰ τὸ νοητὸν αὐτὸν λέγοιμεν λαμβάνειν, οἷον τὰ διανοητά, γελοῖον. τούτων γὰρ οὐ τὸ ἀγαθὸν μόνον ἐπέκεινά ἐστιν, ἀλλὰ καὶ πάντα τὰ νοητά, καθάπερ τὰ αἰσθητὰ τῶν εἰκαστῶν· ὁ γὰρ αὐτὸς τῶν νοητῶν πρὸς τὰ διανοητὰ λόγος καὶ πρὸς τὰ εἰκαστὰ τῶν αἰσθητῶν. τίνα οὖν ἔτι φήσεις τῷ ἀγαθῷ προτίμησιν ἀπονέμειν, εἰ καὶ πᾶσιν ὑπάρχει τοῖς νοητοῖς αἰτίοις εἶναι τῆς τῶν διανοητῶν οὐσίας; εἰ δὴ μὴ τὰ διανοητὰ λέγοιμεν εἶναι τὰ γιγνωσκόμενα καὶ παρὰ τοῦ ἀγαθοῦ δεξάμενα τὴν οὐσίαν, ὑπόλοιπον αὐτὰ τὰ νοητὰ τὰ ὄντως ὄντα λέγειν. οὐ γάρ που τὰ αἰσθητά· ταῦτα γὰρ οὔτε γνωστὰ φίλον αὐτῷ καλεῖν, ἀλλὰ δοξαστά· καὶ οὐδὲν διαφέρει τῶν ὁρωμένων, οἷς ὁ ἥλιος τῆς γενέσεως αἴτιος· καὶ ὅλως ἀναίνεται τὸ εἶναι ταῦτα καὶ τὴν οὐσίαν. εἰ οὖν τῶν γιγνωσκομένων προυπάρχει τἀγαθόν, καὶ οὐ τινῶν γε τούτων, ἀλλὰ πάντων (τοῦτο γὰρ δηλοῖ λέγων καθόλου [p. 509b]· καὶ τοῖς γιγνωσκομένοις τοίνυν τὸ ἀγαθὸν μὴ μόνον τὸ γιγνώσκεσθαι παρέχει ν , ἀλλὰ καὶ τὴν οὐσία ν) , πρόδηλον ὡς ἄρα καὶ τῆς νοητῆς οὐσίας αἴτιον ὂν τἀγαθὸν ὑπερούσιον ἂν εἴη διαφερόντως. καὶ οὐκ ἐκεῖνο μόνον, ἀλλὰ καὶ ἡ ἀλήθεια· καὶ γὰρ ταύτην καταλάμπειν εἶπεν τὰ γιγνωσκόμενα πάντα, καθάπερ τὰ ὁρώμενα τὸ τοῦ ἡλίου φῶς· καὶ ἔοικεν ἔλλαμψις εἶναι τῆς ὑπερουσίου τῶν ὅλων ἀρχῆς, δι' ἣν καὶ τοῖς νοητοῖς ὑπάρχει μετουσία τις ἐκείνης καὶ τοῖς νοοῦσιν, ἑνοποιὸς οὖσα τούτων αὐτῶν τε καθ' ἑαυτὰ καὶ πρὸς ἄλληλα. διὸ καὶ λέγεται προξενεῖν τοῖς μὲν τὸ νοεῖσθαι, τοῖς δὲ τὸ νοεῖν· ἄνευ γὰρ δόσεως καὶ κοινοῦ τινος δεσμοῦ συναφθῆναι ταῦτα ἀδύνατον, ὡς τὸ μὲν νοητὸν ὅλως γενέσθαι, τὸ δὲ νοητικόν.

in R.1.280 ᾗπερ οὖν τὸ φῶς καὶ τὰ ὁρατὰ ποιεῖ λάμπειν καὶ τὰ ὁρατικά, συνάπτει δὲ ἄμφω δι' ὁμοιότητος, ἑκατέροις προσθὲν τοῦ ἐνόντος μεῖζον φῶς, κατὰ ταὐτὰ δὴ καὶ τὸ νοοῦν ὑπὸ τῆς ἀληθείας ἐνιζόμενον καὶ τὸ νοούμενον ἀλλήλοις συμφύεται· καὶ τὸ μὲν νοεῖται, τὸ δὲ νοεῖ, γενόμενον ἑκάτερον ἀγαθοειδές, καὶ ἐφαρμόζει θατέρῳ θάτερον. ἵν' οὖν μὴ μακρολογῶμεν, φανερὸν ἐκ τούτων, ὅτι κατὰ Πλάτωνα τἀγαθόν ἐστιν ὑπὲρ τὴν τῶν νοητῶν οὐσίαν καὶ ὄντως ὑπερούσιον. σαφῶς γὰρ εἶπεν [p. 509b]· οὐκ οὐσίας ὄντος ἐκείνο υ , ἀλ λ ' ἐπέκεινα οὐσίας καὶ τοῦ εἶναι καὶ τιμιωτέρου τούτων ὄντο ς , καίτοι καὶ γνωστὸν εἶναί φησιν αὐτό, πᾶσι τοῖς γιγνωσκομένοις τοῦ γιγνώσκεσθαι αἴτιον ὂν καὶ μάθημα ἔσχατον. καὶ γὰρ τοῦτο λέγει σαφῶς καὶ ἐπ' αὐτὸ τὴν διαλεκτικὴν ἀνάγειν· καὶ ὥσπερ τὸν ἥλιον ὁρᾶσθαί φησιν, τοῖς ὁρωμένοις αἴτιον ὄντα τοῦ ὁρᾶσθαι καὶ τοῖς ὁρῶσι τοῦ ὁρᾶν, οὕτω καὶ περὶ τῆς τἀγαθοῦ ἰδέας ἀξιοῖ τὸν ἀκροατὴν ὡς γιγνωσκομένης διανοεῖσθαι, κρείσσονος δὲ ἀληθείας καὶ ἐπιστήμης. καὶ γὰρ ὅτι μὲν δοξαστὸν οὐκ ἔστιν, συνιδεῖν ῥᾴδιον· δοξαστὸν γὰρ αὐτὸς ἔθετο πᾶν τὸ πῇ μὲν ὄν, πῇ δὲ μὴ ὄν. ὅτι δὲ οὐδὲ ἐπιστητόν, καὶ τοῦτο δῆλον· εἰ γὰρ ἀπ' αἰτίας γνωστὸν τὸ ἐπιστητόν, οὗ μὴ ἔστιν αἰτία, τοῦτο οὐκ ἐπιστητόν. εἰ δὲ καὶ ὑπὲρ ἀλήθειάν ἐστιν, οὐκ ἂν εἴη γνωστὸν οὕτως ὡς τὰ νοητὰ τὰ διὰ τῆς ἀληθείας γνωστὰ τοῖς νοοῦσι. μόνῃ ἄρα γνωστὸν τῇ ἐνθέῳ προσβολῇ τῇ τοῦ νοῦ κρείττονι, ἣν αὐτὸς αὐγὴν καλεῖ τῆς ψυχῆ ς , ἣν ἀνακλίναντ α , φησίν [VII 540a], ἐκείνῳ δεῖ προσβάλλειν διὰ τῆς ἀφαιρέσεως τῶν μετ' αὐτὸ πάντων. καὶ γὰρ τοῦτο σαφῶς εἶπεν αὐτός, ὅτι

ἀφελεῖν δεῖ τὴν τἀγαθοῦ ἰδέαν ἀπὸ πάντων, καὶ οὕτως ἐπ᾽ αὐτὸ ἀνακλῖναι τὴν τῆς ψυχῆς αὐγήν, εἴπερ μέλλοι τις ὄψεσθαι αὐτὴν καθ᾽ αὑτήν.

in R.1.281 ὥστε δῆλον ἐκ τούτων, καὶ ποίαις γνώσεσιν γνωστὸν οὐκ ἔστιν τἀγαθόν, καὶ πῶς γνωστὸν καὶ μάθημα ἔσχατον, καὶ τίς ἡ ἐσχάτη μάθησις, καὶ τί συντελεῖ πρὸς τὴν ἐκείνου θέαν ἡ τῆς διαλεκτικῆς ὁδὸς ἐπ᾽ αὐτὸ διὰ τῶν ἀφαιρέσεων ἀνάγουσα τὸν ψυχικὸν νοῦν. Ἀλλ᾽ ἐπειδὴ τοῦ ἡλίου πεποιήμεθα μνήμην ὡς ὁρατοῦ, καλῶς ἂν ἔχοι περὶ τούτου πρῶτον εἰπεῖν, πῶς οὐκ ἔστι γένεσις, εἴπερ πᾶν τὸ ὁρατὸν γενητόν. εἰ γὰρ οὗτος ὀφθήσεται καὶ γένεσις ὢν καὶ ὑπὲρ γένεσιν, τί κωλύει, φασίν, καὶ τἀγαθὸν οὐσίαν τ᾽ εἶναι καὶ ὑπερούσιον; μήποτε οὖν ἐνταῦθα τῶν περὶ τῆς ἀναλογίας ἡμῖν προδιῃρημένων μνημονεύειν καιρός, ἐν οἷς ἐλέγομεν δεῖν μὴ μεταβαίνειν ἐπ᾽ ἄλλας ἰδιότητας τῶν τοὺς λόγους ἐχόντων, ἀλλ᾽ ἐμμένειν χρῆναι ταῖς ἐξ ἀρχῆς, καθ᾽ ἃς ἡ ἀναλογία θεωρεῖται. καὶ γὰρ ἐν τούτοις, ὅταν τὸν ἥλιον ὑπὲρ γένεσιν θέμενοι τὴν τῶν φωτιζομένων αὐτὸν γένεσιν λέγωμεν, οὐκέθ᾽ ἡγούμενον αὐτὸν οὐδὲ αἴτιον, ἀλλ᾽ ἑπόμενον ποιοῦμεν. ἐπισκοποῦντες δὲ τὴν γένεσιν τὴν τῶν ὑπ᾽ αὐτοῦ φωτιζομένων ἀγένητον αὐτὸν παντελῶς εὑρήσομεν. μόνος γὰρ οὗτος τῶν ἐν τῷ κόσμῳ πάντων ὄντως ἐστὶν ἀγένητον σῶμα, προσλαμβάνων οὐδὲν οὐδὲ γιγνόμενος οὐδ᾽ ἀποβάλλων τι ἀφ᾽ αὑτοῦ. πάντα δὲ τὰ ἄλλα, ὅσα φωτίζει, δεχόμενα παρὰ μέρος φῶς ἄλλοτε ἄλλο παρ᾽ αὐτοῦ διὰ τὴν περὶ τὸ κέντρον τὸ οἰκεῖον κίνησιν τῆς ἡλιακῆς σφαίρας, ἄλλοτε ἄλλας ἀκτῖνας κατὰ κύκλον εἴς τε τὰ ἐν οὐρανῷ διαπεμπούσης καὶ εἰς τὰ ὑπὸ σελήνην, γένεσίν τε ἴσχει, καθόσον φωτίζεται, καὶ φθοράν· καθάπερ καὶ ἡ σελήνη φθίσεις τε δέχεται καὶ αὐξήσεις τοῦ φωτός. κατ᾽ αὐτὸ ἄρα τὸ φωτίζειν ἀγένητός ἐστιν παντελῶς ὁ ἥλιος· κατὰ δὲ τοῦτο ἀπείκασται πρὸς τἀγαθόν, οὐ καθ᾽ ὅσον σῶμά ἐστιν· κατὰ γὰρ τοῦτο ἀνόμοιος πρὸς ἐκεῖνο τῆς ἀναλογίας δι᾽ ὁμοιότητα λόγων συνισταμένης.

in R.1.282 λάβωμεν οὖν ἀπὸ τούτων, ὅτι θείως συνεῖδεν ὁ Πλάτων, ὡς ἄρα ἔνεστι καὶ ἐν τοῖς γενητοῖς ἀγένητον εἶναι καθάπερ τοῖς μεριστοῖς ἀμερές, καὶ κατὰ τοῦτο δὴ τὸ ἀγένητον ὁ ἥλιος βασιλεύει τῶν ὁρατῶν. ἐπεὶ καθόσον σῶμα καὶ καθόσον κινητόν, τῶν βασιλευομένων ἐστίν, οὐ τῶν βασιλευόντων· ἄγεται γὰρ ὑπὸ τῆς ταὐτοῦ περιόδου, καὶ ἡ περίοδος αὐτοῦ δευτέραν ἔχει τάξιν τῆς φρονιμωτάτης κυκλήσεως. εἶτα κἂν τοῦτο συγχωρήσωμεν, κατ᾽ ἄλλην τινὰ γένεσιν τὸν ἥλιον γενητόν, οὐκέτ᾽ ἀληθὲς τὸ καὶ τἀγαθὸν κατ᾽ ἄλλο σημαινόμενον οὐσίας ὑπάρχειν οὐσίαν. τῆς μὲν γὰρ γενέσεως ὑπελείπετό τι καὶ ἕτερον σημαινόμενον, σώματι παντὶ προσῆκον, τῆς δὲ καὶ τοῦ ὄντος οὐδέν· ἓν γὰρ ἦν μόνον τὸ τοῖς νοητοῖς πᾶσιν ὑπάρχον, ὃ καὶ εἶναι καὶ ὄντως εἶναί φαμεν. τούτων δὲ ὑπεριδρυμένον τἀγαθὸν ποίαν ἂν ἔχοι λοιπὸν οὐσίαν, καθ᾽ ἣν οὐσία ἐστὶν καὶ οὐχ ὑπερούσιον μόνον; πᾶσα γὰρ οὐσία ὅν ἐστιν ἐξ ἀνάγκης, τἀγαθὸν δὲ οὐχὶ μόνης τῆς οὐσίας εἶπεν ὁ Σωκράτης ἐπέκεινα, ἀλλὰ καὶ τοῦ εἶναι. οὐκ ἄρα δεῖ φάναι τὸ ἀγαθὸν εἶναι, ὅπερ ἐπέκεινα τοῦ εἶναί ἐστιν, καὶ διὰ τοῦτο 〈οὐδὲ〉 μὴ εἶναι χρὴ λέγειν αὐτό· πάλιν γὰρ τὸ μὴ εἶναι κοινόν ἐστιν πρὸς ἄλλα, οἷς τὸ μὴ ὂν οἰκεῖον. ἄμφω τοίνυν λεκτέον, ὡς οὔτε ὄν ἐστιν οὔτε μὴ ὄν. ὃ καὶ ἄλλους ἀνέπεισεν ἄγνωστον αὐτὸ λέγειν καὶ ἄρρητον παντὸς ἢ ὄντος ἢ μὴ ὄντος, οὐδὲ τοῦ Πλάτωνος, ὁπόταν αὐτὸ γνωστὸν προσαγορεύῃ καὶ μάθημα τελευταῖον καὶ πᾶν ὅτι τοιοῦτον, ἀφέντος ἡμᾶς ἀορισταίνειν καὶ οὕτω γνωστὸν ὑπολαμβάνειν, ὡς τὰ ὄντα καὶ ὧν ἐστι τῆς οὐσίας αἴτιον.

in R.1.283 ταῦτα μὲν 〈γὰρ〉 γνωστὰ καὶ ἐπιστητὰ κατὰ τὸν τῆς ἐπιστήμης τρόπον ὃν αὐτὸς διώρισεν τὸν ἀκριβέστατον, καθ᾽ ὃν τὰς ἐξ ὑποθέσεως ἐπιστήμας ἠτίμασεν καὶ μίαν ἔφατο τὴν ὄντως οὖσαν ἐπιστήμην ὑπάρχειν. λέγει δὲ οὑτωσὶ περὶ τούτων, ἣν ἔχει διάνοιαν ἐκδιδάσκων, ὡς αἱ μὲν ἄλλαι ἐπιστῆμαι δοκοῦσαι εἶναι ποιοῦνται τὰς ἀρχὰς ὑποθέσεις, μόνη δὲ διαλεκτικὴ ἐπ᾽ αὐτὴν ὁρμωμένη τὴν ἀρχὴν ἀναιρεῖ τὰς ὑποθέσεις, ἕως ἂν εὕρῃ τὴν μὴ οὕτως οὖσαν ἀρχὴν ὡς ὑπόθεσιν, ἀλλ᾽ ὄντως ἀνυπόθετον. τοιαύτη δὲ ἀρχὴ τὸ ἕν, εἰς ὃ πᾶσαν τὴν τῶν γνωστῶν ὑπόστασιν τελευτᾶν. οὐκοῦν ἀπὸ τούτων δῆλον, ὡς ἄρα τὴν διαλεκτικὴν θριγκὸν τῶν

ἐπιστημῶν εἶναι δοκουσῶν ἀποκαλῶν καὶ ὄντως ἐπιστήμην ὁριζόμενος ἐξ ἀνυποθέτου φησὶν ἀρχῆς ὁρμωμένην πάντα σκοπεῖν, ὡς ἔχει φύσεως, ὅτι ποτέ ἐστιν ἕκαστον. εἰ μὲν οὖν καὶ τὸ ἀγαθὸν θεωμένη, τίνα ἰδιότητα ἔχει καὶ πῇ διέστηκεν τῶν ἄλλων, ἐξ ἀρχῆς ἀνυποθέτου σκοπεῖ, καὶ τοῦτο τάχ' ἂν εἴη τις ἐπιστήμη καὶ τοῦ ἀγαθοῦ, τί ποτέ ἐστιν ὄντως ἢ οὐκ ἔστιν. εἰ δὲ ἀρχὴ τοῦτο πάντων, ἀρχῆς δὲ οὐκ ἔστι λαβεῖν ἀρχήν, τίς μηχανὴ καὶ τούτου λέγειν εἶναί τινα ἐπιστήμην; παντὸς μὲν ἐπιστητοῦ ἀπὸ ἀρχῆς ἀνυποθέτου καταληπτοῦ ὄντος, ὅπερ ἐστὶ κυρίως ἐπιστητόν, τοῦ δὲ ἀγαθοῦ μὴ ὄντος ἐξ ἀρχῆς ἀνυποθέτου καταληπτοῦ, τῷ μήδ' ἥντιν' οὖν ἔχειν ὅλως ἀρχήν· ὥστ' εἰ οὗτός ἐστι τῆς ἐπιστήμης ὅρος, οὐδαμῶς ἐπιστητὸν τὸ ἀγαθόν. ἔπεται δὲ τούτῳ μηδὲ ὂν αὐτὸ παντελῶς πάλιν εἶναι, σαφέστατα τοῦ Πλάτωνος ἐπιστήμην μὲν ἐπὶ τῷ ὄντι τάττοντος, πίστιν δὲ ἐπὶ τῷ δοκοῦντί πως εἶναι καὶ αἰσθητῷ, διάνοιαν δὲ ἐπὶ τοῖς διανοητοῖς, καὶ εἰκασίαν ἐπὶ τοῖς εἰκαστοῖς· καὶ νόησιν μὲν ἐπὶ τοῖς νοητοῖς καὶ διανοητοῖς ⟦ καὶ εἰκαστοῖσ ⟧ , δόξαν δὲ ἐπὶ τοῖς αἰσθητοῖς καὶ εἰκαστοῖς.

in R.1.284 καὶ οὐκ ἐν τούτοις μόνον, ἀλλὰ καὶ ἐν Τιμαίῳ [p. 37b] λέγοντος, ὅτι ὅπερ οὐσία πρὸς γένεσιν, τοῦτο πρὸς πίστιν ἀλήθεια, καὶ λόγους μὲν τοὺς ἀνελέγκτους τοῖς οὖσιν, λόγους δὲ εἰκοτολογικοὺς τοῖς γενητοῖς ἀποδιδόντος, ὡς ἂν τῆς ἐπιστήμης τὰ ὄντως ὄντα καταθεωμένης. εἰ οὖν τὸ ὂν ἐπιστητόν, τὸ δὲ ἀγαθὸν οὐκ ἐπιστητόν, τὸ ἄρα ἀγαθὸν οὐκ ἔστιν ὄν· ὅπερ καὶ αὐτὸς ἔλεγεν, οὐσίας αὐτὸ λέγων ἐπέκεινα καὶ τοῦ εἶναι. μή σοι δοκεῖ καὶ διὰ τούτων ἀφανῶς ὑπερούσιον αὐτὸ λέγειν, ἀλλ' οὐχὶ καὶ οἷς διορίζεται περὶ τῆς ἀληθοῦς ἐπιστήμης τὸ αὐτὸ συμβαίνειν, οἷς ἐκ τῆς πρὸς τὸν ἥλιον ἀναλογίας συνήγαγεν, ὡς ὑπὲρ γένεσιν ἐκεῖνον, ὑπὲρ οὐσίαν τὸ ἀγαθὸν ἀποφαίνων; τῶν δύο τοίνυν θάτερον, τὴν ἐπιστήμην ἐροῦμεν εἶναι τὴν ἐκ τῆς ἀνυποθέτου δεικνῦσαν ἀρχῆς (καὶ οὐκ ἔσται τοῦ ἀγαθοῦ ἐπιστήμη) 〈ἢ〉 καὶ αὐτῆς τῆς ἀρχῆς οὖσαν μηκέτ' ἀπ' ἀρχῆς εἶναι γνῶσιν, καὶ οὕτως εἶναι καὶ πρὸ τῆς διαλεκτικῆς ἄλλην ἐπιστήμην ζητήσομεν. εἰ δὲ αὐτὴν τὴν διαλεκτικὴν οὐ μόνον εἰδέναι τἆλλα φήσομεν ἀπὸ τῆς ἀνυποθέτου μόνην ἀρχῆς, ἀλλὰ καὶ αὐτὴν τὴν ἀρχήν, δῆλον μέν, ὡς οὐκ ἂν ἀπὸ ἀρχῆς γιγνώσκοι καὶ ταύτην, ὥσπερ τὰ ἀπ' αὐτῆς. λείπεται δὲ ἀπὸ τῶν μετ' αὐτὴν ἂν ὑπάρχειν αὐτῇ τὴν γνῶσιν, καὶ δῆλον ὡς δεικνῦσαν ἐκείνην μηδὲν οὖσαν τῶν μετὰ ταύτην, ἢ ὡς ἐκ τεκμηρίων τούτων συλλογιζομένην περὶ ἐκείνης. ἀλλ' εἰ μὲν οὕτως, χειρόνως γνώσεται τὴν ἀρχὴν τῶν ὄντων ἢ τὰ ὄντα· ταῦτα μὲν γὰρ ἀπ' αἰτίας, ἐκείνην δὲ ἐκ τῶν ἀπ' αὐτῆς. τοῦτο δὲ οὐκ ἐπιστημονικόν· καὶ γὰρ αὐτῷ δοκεῖ τὴν ἐπιστήμην εἶναι γνῶσιν τῷ τῆς αἰτίας λογισμῷ δεθεῖσαν, ὡς ἐν Μένωνι διώρισεν [p.

in R.1.285 98a]. ὥστε καὶ κατὰ τοῦτον τὸν ὅρον οὐκ ἐπιστητὸν τἀγαθόν, ὃ μὴ δυνατὸν ἀπ' αἰτίας γνῶναι. κἂν ὡς ἐκ τεκμηρίων δὲ γιγνώσκηται, πάλιν οὐκ ἐπιστητόν· οὐ γὰρ αἰτία ταὐτὸν καὶ τεκμήριον. εἰ δὲ κατὰ ἀφαίρεσιν ἡ γνῶσις τοῦ ἀγαθοῦ, μόνως ἂν οὕτως τῷ Σωκράτει συμφωνοῖμεν, ἀξιοῦντι καθάπερ ἐν μάχῃ διεξιόντα περὶ τοῦ ἀγαθοῦ διελέγχειν ὡς ἄρα οὐκ ἔστιν ἕν τι τῶν ἄλλων [VII 534c]· οὐ γὰρ ἄλλο τι δηλοῖ ταῦτα πλὴν τῶν ἀφαιρέσεων. τοῦτο δὲ αὖ πάλιν δείκνυσιν αὐτὸ μὴ ὂν ἐπιστητόν. τὸ γὰρ ἐπιστητὸν οὐ τί οὐκ ἔστιν, ἀλλὰ τί ἔστι, γνωστὸν ὑπάρχει διὰ τῆς ἐπιστήμης. οὐ μόνον ἄρα ἐστὶν τῆς ἐπιστήμης καὶ τῆς ἀληθείας τὸ ἀγαθὸν ἐπέκεινα, ἀλλὰ καὶ τῶν ἐπιστητῶν, καὶ οὔτε ἐπιστήμη οὔτε ἐπιστητὸν οὔτε ἡ ταῦτα ἀλλήλοις συνάπτουσα ἀλήθεια. γνωστὸν δὲ ὅμως τρόπον ἕτερον διὰ τῆς ἀφαιρέσεως τῶν ἄλλων ἀπ' αὐτοῦ καὶ τῶν ἐλέγχων, οἳ δεικνύουσιν αὐτὸ μηδὲν ὑπάρχον ἐκείνων, ὥσπερ αὐτὸς ὑπέμνησεν διὰ τῆς ἀναλογίας, ὡς οὐκ ἔστιν ἐπιστήμη οὐκ ἔστιν ἀλήθεια οὐκ ἔστιν οὐσία καὶ ὄν. Καὶ εἰ βούλει τούτοις ὡς ἀρχαῖς χρησάμενος τὰ ἑπόμενα σκοπεῖν, εὕροις ἂν μήτε ταὐτὸν ἐκεῖνο μήτε ἕτερον, εἰ μὴ ἔστιν ὄν, μὴ κινούμενον μὴ ἑστός, μὴ σχῆμα ἔχον μὴ ἀριθμόν, μὴ ὅμοιον μὴ ἀνόμοιον, μὴ ἴσον μὴ ἄνισον, μὴ χρόνου μετέχον. ἃ δὴ πάντα καὶ ὁ Παρμενίδης ἐν τῇ πρώτῃ συνήγαγεν τῶν ὑποθέσεων, καὶ συναγαγὼν ἐπήνεγκεν [p. 142a], ὡς ἄρα οὐκ ἔστιν ἐπιστήμη

τοῦ ἑνὸς οὐδὲ δόξα· καὶ γὰρ γενέσεως ἐπέκεινα καὶ οὐσίας· ὅλως δὲ ταύτης σεσαλευμένης ἕπεται τὰ λοιπὰ τοῖς μὴ κενολογεῖν ἐθέλουσιν. οὐκ ἄρα τοῦτο μόνον ἔχομεν ἀπὸ τῶν Σωκρατικῶν λόγων, ὅτι οὐκ ἐπιστητὸν τὸ ἀγαθόν, ἀλλὰ καὶ ὅπως ἄλλως γνωστὸν ἀπτῶτι λόγῳ διὰ τῶν ἐλέγχων καὶ τῶν ἀφαιρέσεων. καὶ εἴπερ μὴ κατέγνω τοῦ Γλαύκωνος ὡς γελοίως ἀποκριναμένου πρὸς τὴν τοῦ ὑπερουσίου διὰ τῆς ἀναλογίας ὑπόμνησιν, ἤκουσας ἂν αὐτοῦ περὶ ἐκείνου κατατείνοντος τοιαῦτα, οἷα ὁ Παρμενίδης εἰς τὸ ἓν ἀνέπεμψεν.

in R.1.286 ἀλλὰ γὰρ ἰδὼν τὸν ἀκροατὴν ἐκτείνειν οὔπω πρὸς ταῦτα τὸν νοῦν ἱκανόν, πολλὰ τῶν αὐτῷ δοκούντων ἔφατο παρήσειν [p. 509c] καὶ παρῆκεν· ἦν δὲ ταῦτα μετὰ τὴν ἀφαίρεσιν τῆς οὐσίας καὶ τὰ λοιπὰ συναφελεῖν. ὥστε καὶ εἴ τι προστίθησιν ἕλκων ἀπὸ τῶν μετὰ τὸ ἀγαθὸν ἐκεῖνο, τὰ ὀνόματα μὴ θαυμάσῃς· τὰ γὰρ συνήθη τοῖς ἀκροαταῖς ἠνάγκασται φέρειν ἐπ' αὐτὸ τῶν ἀήθων ἀδέκτοις οὖσιν. Οὔτ' οὖν μέρος οὐσίας ἐκεῖνο δεῖ λέγειν πρὸ οὐσίας ὄν, οὔτ' εἶδος ἕν τι τῶν εἰδῶν· τὸ μὲν γὰρ ὡς εἶδος ἀγαθὸν οὕτως ἔχει πρὸς τὴν νοητὴν οὐσίαν, ὡς τὸ ἐν ἡμῖν πρὸς τὴν ἡμετέραν· ὑφίστησιν γὰρ ἡ μὲν οὐσία τὴν οὐσίαν, ἡ νοητὴ τὴν ἡμετέραν, τὸ δὲ ἀγαθὸν ἐκεῖνο τὸ ἐν ἡμῖν. ὥστε τῆς νοητῆς οὐσίας ἐκεῖνο καταδεέστερον, ὡς τὸ ἐν ἡμῖν τῆς ἡμετέρας, καὶ οὐσιῶδες ἀγαθὸν τὸ ὡς εἶδος καὶ οὐσία μέν τις, ἀγαθὸν δὲ ἁπλῶς τὸ πάντων αἴτιον τῶν οὐσιωδῶν ἀγαθῶν τῶν τελειωτικῶν τῆς οὐσίας. ὥστ' εἴπερ τἀγαθόν, ὅπερ ὁ Σωκράτης ἐξύμνησεν νῦν, οὐσίας ἐστὶν καὶ τοῦ εἶναι κρεῖσσον, ἕτερόν ἐστι παντός τε εἴδους ἄλλου καὶ τοῦ τῆς οὐσίας ἀγαθοῦ. τὸ δὲ δὴ μέρος τῆς οὐσίας πᾶν ἀτελέστερον ὂν τῆς οὐσίας, ἧς ἐστι μέρος, οὐκ ἂν εἴη τὸ ὡς ἀληθῶς ἀγαθόν· τοῦτο γάρ ἐστιν, οὗ ἕνεκα πάντα· πᾶν δὲ μέρος οὐχὶ οὗ ἕνεκά ἐστιν, ἀλλ' ἕνεκά του. τοῦ γὰρ ὅλου ἕνεκα τὸ μέρος, ὡς καὶ αὐτός πού φησιν Πλάτων· μέρος μὴν ὅλου ἕνεκα καὶ οὐχὶ ὅλον μέρους [legg. X 903c]. εἰ οὖν τἀγαθὸν οὐκ ἔστιν ἕνεκά του, πᾶν δὲ μέρος ἕνεκά του, τἀγαθὸν οὐδενὸς ἂν εἴη μέρος, ὥστ' οὔτε τοῦ νοητοῦ κόσμου μέρος οὔτ' ἄλλου τινός. καὶ πάλιν ἐκ τούτου δῆλον, ὅπως αἱ κοιναὶ ἔννοιαι τὸ οὗ ἕνεκα λέγουσαι πάντα τὸ ἀγαθὸν εἶναι καὶ τὸ οὗ πάντα ἐφίεται τὸ ὑπὲρ οὐσίαν ἀπομαντεύονται.

in R.1.287 τὸ γὰρ οὐσιῶδες ἀγαθὸν ἕνεκα τῆς οὐσίας ἐστίν, ἐκείνης ἕνεκα καὶ ὑποστὰν καὶ ζητούμενον, ὡς εἰς τὴν ἐκείνης τελείωσιν συντελοῦν, ἵνα ἔχῃ κατὰ φύσιν καὶ τὸ εἶναι αὐτῆς μὴ εἴη ἀτελές. μόνον οὖν ἐκεῖνο τἀγαθόν, εἰς ὃ καὶ ὑπόστασις ἀνήρτηται πᾶσα καὶ τελειότης, οὗ ἕνεκα πάντα ἐστίν, ἕνεκα δὲ οὐδενὸς αὐτό, οὔτε τινὸς ὂν ὡς τὸ εἰδητικὸν ἀγαθόν, οὔτε ἄλλου ἐφιέμενον, ὡς ἡ οὐσία παντὸς ὄντος ἐφίεται τοῦ ἀγαθοῦ, καὶ ἵνα ᾖ καὶ ἵνα τελέως ᾖ. καὶ τοῦτό ἐστιν ἄρα τὸ πάντων βασιλεῦον καὶ νοητῶν καὶ αἰσθητῶν, εἰς ὃ καὶ ὁ Πλάτων ἡμᾶς ἐν ἐπιστολαῖς [II 312e] ἀνήγαγεν εἰπών· περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶν καὶ ἐκείνου ἕνεκα πάντ α , καὶ ἐκεῖνο αἴτιον πάντων 〈τῶν〉 καλῶ ν . ἃ γὰρ ἐκεῖ συντόμως, ταῦτα ἐν τούτοις διὰ πλειόνων ἐδίδαξεν· ἀλλὰ μὴν ἐκεῖ περὶ τοῦ πρώτου θεοῦ ταῦτα ἔφθεγκται· τὸ ἄρα ἀγαθόν ἐστιν ὁ πρῶτος κατὰ Πλάτωνα θεός. ΠΕΡΙ ΤΟΥ ΕΝ ΤΩΙ ΕΒΔΟΜΩΙ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΣΠΗΛΑΙΟΥ. Εἴ τι δεῖ καὶ ἡμᾶς φάναι περὶ τοῦ σπηλαίου καὶ τῶν ἔξω τοῦ σπηλαίου πάντων καὶ τῆς πρὸς τὰ πράγματα αὐτῶν ὁμοιότητος, λεγέσθω πρῶτον, ὅπως διεῖλεν αὐτὸς ἐν τῇ κατατομῇ τῆς γραμμῆς τὰ πάντα. καὶ γὰρ 〈ἐν〉 ἐκείνοις ἀπεικάζει τὰ μὲν εἴσω τοῦ σπηλαίου τοῖς δοξαστοῖς, τὰ δὲ ἔξω τοῖς γνωστοῖς. διὸ καὶ ἐπὶ τῇ διαιρέσει συμπληρώσας αὐτὴν ἐν τῷ ἕκτῳ τὴν εἰκόνα ταύτην ἔπλασεν εὐθὺς ἀρχόμενος τοῦ ἑβδόμου, καὶ ἐπὶ τῇ εἰκόνι πάλιν ἔλαβεν τὴν προρρηθεῖσαν διαίρεσιν, τὰς γνώσεις συνδιαιρούμενος καὶ ἐφ' οἷς εἰσιν αἱ γνώσεις, ὡς αὐτὸς εἶπεν· καὶ μεταξύ που τούτων ἀπεικάζειν ἑπομένως ταῦτα παρακελεύεται τοῖς ἔμπροσθεν εἰρημένοις, ἅπερ ἦν τὰ τέτταρα τμήματα τῶν πάντων.

in R.1.288 ἀναλάβωμεν οὖν ἐκεῖνα διὰ βραχέων, οἷς ὁμολογουμένην ἀποδείξομεν τὴν εἰκόνα πᾶσαν. Τὴν μὲν οὖν ἀφ' ἑνὸς πρόοδον τῶν ὄντων συνεχῆ καὶ ἡνωμένην οὖσαν ἐνδείξασθαι βουλόμενος γραμμῇ μιᾷ τὴν συνέχειαν ταύτην ἀπείκασεν, δι' ὁμοιότητος καὶ ἀλληλουχίας τῶν δευτέρων

ἀπὸ τῶν πρώτων ἀεὶ προϊόντων, κενοῦ δὲ οὐδενὸς τὰ ὄντα διείργοντος. οὐδὲ γὰρ ἦν τοῦτο θεμιτόν, τἀγαθοῦ πάντα παράγοντος καὶ εἰς ἑαυτὸ πάλιν ἐπιστρέφοντος. δεῖ γοῦν ὁμοιοῦσθαι τῷ γεννῶντι τὴν γένεσιν· ἑνὸς οὖν ἐκείνου ὄντος συνεχῆ τὴν γένεσιν ἀναγκαῖον εἶναι· συγγενὲς γὰρ τῷ ἑνὶ τὸ συνεχές. τούτου δὲ αἴτιον τοῦ συνεχοῦς ἡ ὁμοιότης τῶν ἑπομένων τμημάτων πρὸς τὰ ἡγούμενα· ταύτην δὲ εἶναι πρὸς τοῦ ἑνὸς ὁμολογοῦμεν ἅπαντες· ἡ γὰρ ὁμοιότης ἑνότης τίς ἐστιν. μίαν μὲν οὖν γραμμὴν διὰ ταῦτα λαμβάνει, τέμνει δὲ δίχα ταύτην, οὐκ εἰς ἴσα μέρη τέμνων, ἀλλ' εἰς ἄνισα, δύο δὲ ὅμως. καὶ γὰρ ἐν Φιλήβῳ [p. 16cd] τοῖς τὰ ὄντα σκοποῦσιν παρεκελεύσατο μετὰ τὸ ἓν σκοπεῖν τὰ δύο, εἴ πως ἐστίν, εἰ δὲ μή, τὸν σύνεγγυς τῆς δυάδος ἀριθμόν. ἡ δ' οὖν εἰς ἄνισα τομὴ τῶν πάντων αὐτῷ τὴν ἀξίαν ἐνδείκνυται τῶν τετμημένων, τὴν κατὰ τὸ συνεχὲς ἀνισότητα τῆς κατὰ τὴν ὕπαρξιν ἀνισότητος εἰκόνα τιθεμένῳ. τούτων δὲ τῶν ἀνίσων δύο τμημάτων ἑκάτερον ἀνάλογον τέμνει τῇ ἐξ ἀρχῆς γραμμῇ, τῆς ἀναλογίας πάλιν ταύτης ἐναργῶς δηλούσης τὴν διὰ ταυτότητος τῶν δευτέρων ἀπὸ τῶν πρότερον ὕφεσιν. λόγου γάρ ἐστιν ἡ ἀναλογία ταυτότης καὶ δεσμῶν ὁ κάλλιστος, ὡς ἐν Τιμαίῳ [p.

in R.1.289 31c] μεμαθήκαμεν, καὶ Διὸς κρίσις, ὡς ἐν Νόμοις [VI 757b] ἠκούσαμεν. ὡς οὖν ὁ κόσμος οὗτος δεδημιούργηται 〈κατὰ〉 τὴν ἀναλογίαν, πάντων φιλίαν ἄλυτον πρὸς ἄλληλα λαβόντων, οὕτω καὶ τὰ πάντα προῆλθεν συνδεθέντα διὰ ταύτης καὶ ὁμολογήσαντα ἀλλήλοις. τεττάρων δὲ τῆς μιᾶς γραμμῆς ἀναφανέντων αὐτῷ τμημάτων τὰ μὲν δύο τὰ τὸ μεῖζον αὐτῆς τμῆμα συμπληροῦντα τοῦ νοουμένου γένους εἶναι τίθεται, τὰ δὲ δύο τὰ τὸ ἔλασσον τοῦ ὁρωμένου γένους. δεῖ γὰρ τῷ νοουμένῳ τὸ μεῖζον ἀποδιδόναι, κρείττονί τε ὄντι καὶ περιέχοντι θάτερον, τῷ δὲ ὁρωμένῳ τὸ ἔλασσον· περιέχεται γὰρ ἐν ἐκείνῳ κατ' αἰτίαν. ἔλασσον δὲ τοῦ περιέχοντος πανταχοῦ τὸ περιεχόμενον, εἴτε κατ' οὐσίαν εἴτε κατὰ δύναμιν εἴτε κατ' ἐνέργειαν λαμβάνοις τὴν περιοχήν, ὥσπερ καὶ ἐπὶ τῶν συνεχῶν καὶ ἐπὶ τῶν διῃρημένων ὁρᾶται πάντων. τὰ μὲν οὖν ἐξ ἀρχῆς ἄνισα δύο τμήματα τῆς γραμμῆς νοούμενόν ἐστι γένος τὸ μεῖζον, ὁρώμενον δὲ θάτερον τὸ ἔλασσον. τούτου δὲ ἑξῆς φησιν ἀπὸ τῶν πρὸς ἡμᾶς πρώτων ὡς γνωριμωτέρων ἀρξάμενος τοῦ ὁρωμένου γένους· τὸ μὲν γὰρ ἕτερον τοῖν τμημάτοιν εἰκόνε ς , τὸ δὲ λοιπὸν πᾶν ἀφ' ὧν αἱ εἰκόνες. τῶν δὲ αὖ εἰκόνων δηλοῦν δυναμένων καὶ ἀγάλματα καὶ ζῳγραφήματα καὶ πᾶν ὅτι τοιοῦτον, αὐτὸς διοριζόμενος, τίνας εἶναι βούλεται τὰς εἰκόνας, καὶ ὡς τὰς ἀπὸ τῶν φωτιζόντων ἀποτελουμένας ἐν φωτιζομένοις, τάς τε σκιάς φησιν εἰκόνας καλεῖν καὶ τὰς ἐμφάσεις τάς τε ἐν ὕδασιν καὶ τὰς ἐν τοῖς ἄλλοις ἐνόπτροις. καὶ δὴ καὶ διορίζων, τίνα ποτὲ δεῖ τούτοις ὑπάρχειν τοῖς ἐνόπτροις, πυκνότητά φησι καὶ λειότητα καὶ φανότητα· τῆς μὲν γὰρ πυκνότητος δεῖν, ἵνα μὴ τοῖς πόροις ἐμπίπτουσα ἡ ἔμφασις ἀπολέσῃ τὸ ἓν ἐκ πολλῶν γενέσθαι τῶν ἀπορροιῶν εἴδωλον· τῆς δὲ λειότητος, ἵνα μὴ ταῖς ἐξοχαῖς καὶ εἰσοχαῖς ἡ τραχύτης ἀνωμαλίας αἰτία γίνηται τῷ συστησομένῳ· τῆς δὲ φανότητος, ἵνα τὸ εἴδωλον ἀμυδρὰν ἔχον τὴν ἰδέαν ὅμως ὀφθῇ· καὶ γὰρ τὰ ἐν τῷ ἀέρι φαινόμενα διὰ τῶν θυρίδων καταλαμπόμενα ξύσματα χωρὶς φωτὸς ἀόρατά ἐστιν, ἀμαυρὰν ἔχοντα τὴν ἑαυτῶν σύστασιν.

in R.1.290 ἐκ δὴ τούτων συλλογιστέον ἡμῖν, καὶ ὅτι κατὰ Πλάτωνα αἱ ἐμφάσεις ὑποστάσεις εἰσὶν εἰδώλων τινῶν δαιμονίᾳ μηχανῇ δημιουργούμεναι, καθάπερ αὐτὸς ἐν τῷ Σοφιστῇ [p. 266b] διδάσκει. καὶ γὰρ αἱ σκιαί, αἷς τὰ εἴδωλα συζυγεῖν φησιν, τοιαύτην ἔχουσι φύσιν· καὶ γὰρ αὗται σωμάτων εἰσὶ καὶ σχημάτων εἰκόνες, καὶ παμπόλλην ἔχουσιν πρὸς τὰ ἀφ' ὧν ἐκπίπτουσιν συμπάθειαν, ὡς δηλοῖ καὶ ὅσα μάγων τέχναι πρός τε τὰ εἴδωλα δρᾶν ἐπαγγέλλονται καὶ τὰς σκιάς. καὶ τί λέγω τὰς ἐκείνων δυνάμεις; ἃ καὶ τοῖς ἀλόγοις ἤδη ζῴοις ὑπάρχει πρὸ λόγου παντὸς ἐνεργεῖν. ἡ γὰρ ὕαινα, φασί, τὴν τοῦ κυνὸς ἐν ὕψει καθημένου πατήσασα σκιὰν καταβάλλει καὶ θοίνην ποιεῖται τὸν κύνα· καὶ γυναικὸς καθαιρομένης, φησὶν Ἀριστοτέλης [π. ἐνυπν. 2. 459b 27], εἰς ἔνοπτρον ἰδούσης αἱματοῦται τό τε ἔνοπτρον καὶ τὸ ἐμφαινόμενον εἴδωλον. ὅτι δὲ ὑποστάσεις

εἰσὶ καὶ τὰ εἴδωλα κατὰ Πλάτωνα, καὶ ἐκ τῆς ἀναλογίας οἶμαι δῆλον· οὕτω γὰρ ἔχειν τὰ εἰκαστὰ πρὸς τὰ ὁρατά φησιν, ὡς τὰ διανοητὰ πρὸς τὰ νοητά· ταῦτα δὲ εἰκότως καὶ εἴδη τινὰ καὶ ὄντα· καὶ τὰ εἰκαστὰ ἄρα τῶν ὁρατῶν εἴδωλα ὄντα φύσιν ἔχει τινὰ καὶ οὐσίαν ἀμωσγέπως ἐν οἷς ἐστιν. Ἀλλὰ τοῦτο μὲν καὶ διὰ πλειόνων γνῶναι τοῖς Πλάτωνος φίλοις δυνατόν. τοιούτων δὲ ἄρα τῶν εἰκαστῶν ὄντων τὸ ἕτερον γένος οἷον ὁρίζεται τῶν ὁρωμένων ἄκουσον.

in R.1.291 ἐκεῖνο γὰρ εἶναι πᾶν, ᾧ τοῦτο ἔοικε ν , τά τε περὶ ἡμᾶς ζῷα καὶ τὸ φυτευτὸν καὶ τὸ σκευαστὸν ὅλον γένο ς . ὥστε δῆλον ἐκ τούτων εἶναι τοῖς ἐπιβλέπειν δυναμένοις, ὅτι καὶ ἐν τῷ σπηλαίῳ τοῖς ὁρατοῖς ἀνάλογον ἔσται πᾶν, ὅσον τε περὶ τοὺς δεσμώτας ζῷον καὶ τὰ σκεύη πάντα ὅσα φέρουσιν πάντες οἱ παριόντες, καὶ ὅσον περὶ αὐτοὺς ἐκείνους φυτευτόν, σῶμα ὂν καὶ διὰ τοῦτο τοῦ ὁρατοῦ γένους. διεῖλεν γὰρ οἶμαι πᾶν εἴς τε τὸ σκευαστὸν καὶ τὸ φυσικόν, ὃ δὴ φυτευτὸν εἶπεν. τὰς δὲ ἀπὸ τούτων σκιὰς καὶ τὰ εἴδωλα τὰ ἐν τοῖς ἐνόπτροις φανταζόμενα κοινῶς εἰκόνας προσαγορεύσας εἰς τὴν τοῦ τετάρτου τμήματος ἔταξεν μοῖραν. μεταβὰς δὲ ἐπὶ τὸ μεῖζον τμῆμα τῆς γραμμῆς, ὃ δὴ τοῦ νοουμένου γένους ἔθετο, τὸ μὲν ὁρίζεται κἀν τούτῳ δεύτερον, τὸ δὲ φύσει πρότερον, διανοητὸν μὲν τὸ δεύτερον (ὃ δὴ τοῖς τότε μιμηθεῖσι ν , τοῖς ὁρατοῖς δήπουθεν, ὧν ἦν τὰ εἰκαστὰ μιμητὰ καὶ εἰκόνες, αὐτὰ δὲ ὑπ' ἐκείνων μιμηθέντα—τούτοις οὖν τοῖς ἐν τῇ τοῦ ἐλάσσονος τμήματος διαιρέσει μιμηθεῖσιν εἰκόσιν χρώμενον ἐξ ὑποθέσεών τινων ὡρμημένον, καὶ ταύταις ὡς ἀρχαῖς ὁμολογουμέναις τὰ ἑπόμενα ζητοῦσα ἀναγκάζεται σκοπεῖν ἡ ψυχ ή . τῶν γὰρ διανοημάτων τὰ ὁρατὰ μιμητά, κύκλος μὲν ὁ γραφόμενος δηλαδὴ τοῦ ἐν γεωμετρίᾳ καὶ τρίγωνον, ἀριθμοὶ δὲ οἱ ἐν τοῖς ὁρατοῖς τῶν ὑπὸ τοῦ ἀριθμητικοῦ θεωρουμένων, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὁ αὐτὸς τρόπος. ταῦτα δὴ τὰ ὁρατὰ μιμηθέντα πρότερον ὑπὸ τῶν μετὰ ταῦτα, τῶν εἰκαστῶν λέγω, μιμητὰ δὲ αὐτὰ τῶν διανοητῶν ὄντα. διανοητὸν μὲν οὖν τοῦτό ἐστιν ὡς ἔφην), νοητὸν δὲ εἰλικρινῶς τὸ πρότερον, ὃ δὴ τῶν διανοητῶν ὑπέρτερον 〈ὂν〉 νοῦς ἐπισκοπεῖ καὶ οὗτος οὐκ ἐπὶ τελευτὴν πορευόμενος, οἷον ἐξ ὑποθέσεών τινων ἐπὶ συμπεράσματα, τῶν ὑποθέσεων ἀναποδείκτων κειμένων, ἀλλ' ἀπὸ τῶν ἀρχῶν ἐπ' ἄλλας ἀνωτέρω κειμένας ἀρχάς, ἕως ἂν ἐπὶ τὴν ἀναπόδεικτον ἀναδράμῃ καὶ ἀνυπόθετον ἀρχήν, οὐ καθ' ὑπόθεσιν ταύτην οὖσαν, ἀλλὰ κατ' ἀλήθειαν τῶν πάντων ἀρχήν, ἧς οὐδὲν ἐπέκεινα νοεῖν θέμις, μηδενὶ μὲν ὑποκειμένης, αὐτῇ δὲ τῶν ἄλλων ὑποκειμένων.

in R.1.292 τὸ μὲν γὰρ σημεῖον, εἰ καὶ ἀρχὴ τῶν ἐν γεωμετρίᾳ πάντων ἐστίν, ἀλλὰ καὶ ἐκ τῆς κοινῆς ἀνῆπται πάντων ἀρχῆς καὶ ὑπόκειται ἐκείνῃ. τινῶν οὖν ἀρχὴ καὶ μονὰς καὶ οὐ πάντων ὡσαύτως, ἀριθμῶν μὲν ἀρχὴ καὶ τῶν ἐν ἀριθμητικῇ πάντων, ὑπόκειται δὲ τῇ πάντων ἀρχῇ. καὶ ἐπαναβασμοῖς τούτοις χρῆσθαι δυνατὸν τοῖς ἐπ' ἐκείνην ἀνιοῦσιν τὴν τοῦ παντὸς ἀρχήν. ποίου δὴ λέγων τοῦ παντὸς ἢ τοῦ νοουμένου παντός; τοῦτο γὰρ ἦν θάτερον τμῆμα τοῦ ὁπωσοῦν ὄντος, ὥσπερ θάτερον τὸ ὁρώμενον γένος. καὶ τούτου μὲν ἐπὶ τὸν ἥλιον ἡ ἄνοδος τὸν βασιλέα τῶν ὁρωμένων, ἐκείνου δὲ ἐπὶ τἀγαθὸν τῶν νοουμένων πάντων βασιλεῦον, οἷς τὴν οὐσίαν εἴρηται πρότερον αὐτῷ παρέχειν, αὐτὸ καὶ οὐσίας ὂν ἐπέκεινα καὶ ὄντος. Ταῦτα μὲν τοίνυν ὑπεμνήσθω τῶν ζητουμένων ἕνεκα τῆς ὁμοιότητος, ἣν ἡ κατὰ τὸ σπήλαιον εἰκὼν ἐνδείξασθαι πειράσεται. ταύτης δὲ ἀρχόμενος ἐν προοιμίοις τοῦ ἑβδόμου σκόπει τί φησιν· ἀπείκασον τὴν ἡμετέραν φύσι ν , αὐτὴν δήπου τὴν ἀνθρωπίνην ζωήν, οὐ καθ' ὅσον ἐστὶν οὐσία καὶ δύναμιν ἔλαχεν τοιὰν ἢ τοιάν, ἀλλὰ παιδείας τε πέρι καὶ ἀπαιδευσία ς . τὴν μὲν γὰρ οὐσίαν ἡμῶν ἐν τῷ ἐνάτῳ [p. 588d] Πλάτων ἀπεικάζει ζῴῳ συμμιγῆ λαχόντι φύσιν ἔκ τε ἀνθρώπου καὶ λέοντος καὶ θηρίου πολυκεφάλου τινός, καὶ τοῦ ἔξωθεν οἷον ἐλύτρου περικειμένου πᾶσιν.

in R.1.293 τὴν δὲ παροῦσαν εἰκόνα πλάττει τρόπον ἕτερον, δεικνὺς ἀπαίδευτον ζωήν, ὁποία δή τις ἂν εἴη, καὶ πεπαιδευμένην τοῖς εἰρημένοις τμήμασιν καὶ ταῖς γνώσεσιν αὐτῶν ἑπομένην. καὶ τὸ μὲν σπήλαιον ἀπεικάζει παντὶ τῷ ὁρωμένῳ γένει, τὰ πάντα δίχα τέμνων, ὥσπερ τὴν γραμμήν, κἀνταῦθα μεῖζον τιθείς, ὅσον ἀφομοιοῖ τῷ νοουμένῳ, πάντα τὸν ἔξω τόπον, ἔλασσον δέ, ὅσον

τῷ ὁρωμένῳ, πάντα τὸν ἔνδον τοῦ σπηλαίου τόπον· αὐτοῦ δὲ τοῦ σπηλαίου τὸ μὲν κατάγειον ὑπογράφων (οὕτω γάρ που καὶ εἶπεν· ἰδὲ γὰρ ἀνθρώπους ἐν καταγείῳ σπηλαιώδει οἰκήσε ι), τὸ δὲ ἀνωτέρω τεταγμένον, καὶ ἐπ' αὐτό τινα μεμηχανημένην ἄνοδον· μεταξὺ γοῦν φησιν τῶν τε δεσμωτῶν δεῖν νοεῖν ἡμᾶς καὶ τοῦ πυρὸς ἐπάνω ὁδό ν , καὶ αὐτὸ τὸ πῦρ ἄνωθεν φωτίζειν τούς τε σκευοφόρους καὶ τοὺς δεσμώτας, ὅπως καὶ τῶν δεσμωτῶν ἐκπίπτοιεν αἱ σκιαὶ κάτω καὶ ὧν φέρουσιν οἱ παριόντες σκευῶν. ὥστ' εἶναι καὶ ἐν τῷ σπηλαίῳ τινὰ ἄνοδον ἀπὸ τῆς χαμαιζηλοτέρας ζωῆς ἐπὶ τὴν ὑψηλοτέραν, καὶ τὰς σκιὰς ἢ τῶν δεσμωτῶν ἢ τῶν σκευῶν, ἃ δὴ καὶ τὴν ἀρχὴν ὄντα νομίζουσιν οἱ δεσμῶται δι' ἀπαιδευσίαν, τὴν πρώτην εἶναι μοῖραν τῆς γραμμῆς **** πρὸς τὰ ὁρατά, καὶ τὰ διανοητὰ πρὸς τὰ νοητά. τούτων δὲ πρώτων ἁπάντων ἡμῖν ἀνιοῦσιν φανεισῶν, προσέθηκεν μεταξὺ τούτων τε καὶ τῶν ὄντως νοητῶν παρεμβαλὼν ἄλλο τι λεληθότως, καὶ ὕστερον αὐτά, τί δὴ διὰ τούτου τοῖς μὴ παρέργως ἀκούουσιν ἐνδεικνύμενος ἢ τοῦτο ἐκεῖνο, τὸ τῶν διανοητῶν, ὧν ἡ γεωμετρία σκοπεῖται καὶ ὧν ἡ ἀριθμητική, τοὺς λόγους ἔχειν τὴν ψυχήν, ὡς εἰκόνας εἶναι τὰ ὑπὸ τούτων θεωρούμενα καὶ χρῆναι τὴν διάνοιαν ἐν τούτοις γυμναζομένην καὶ ἑαυτὴν καθαίρουσαν αὐτοὺς προβάλλειν τοὺς ἐν αὐτῇ τούτων λόγους, καὶ οὐκ ἐν ταῖς εἰκόσιν, ἀλλ' ἐν ἑαυτῇ ταῦτα θεάσασθαι συνεπτυγμένως ὄντα καὶ ἀμερῶς· ἃ δὴ καὶ ἀνελίσσουσα τοσοῦτον ἐγεννήσατο πλῆθος θεωρημάτων.

in R.1.294 μετὰ δὲ ταῦτά φησιν αὐτὸν ἰδεῖν ἤδη τὸν ὅλον οὐρανὸν ἐν νυκτὶ καὶ τὰ ἄστρα τῶν νοητῶν ὄντα ὁμοιώματα καὶ τὰ ἐν αὐτοῖς φῶτα, καθ' ὃ ἡλιοειδῆ πάντα ἐστίν, ὅπως ἂν καὶ τὴν οἰκείαν οὐσίαν αὐτῶν νοήσωμεν καὶ τὰς θεότητας αὐτῶν. ὡς γὰρ ταῦτα ἡλιοειδῆ διὰ τὸ ἀφ' ἡλίου φῶς, οὕτως ἐκεῖνα θεῖα πάντα διὰ τὸ ἐκ τἀγαθοῦ φῶς. εἰ δὲ ὡς τὸν ὅλον οὐρανὸν δεῖ πρὸ τῆς τοῦ ἡλίου θέας καὶ τὰ ἐν τῷ οὐρανῷ πάντα ἰδεῖν προσήκει καὶ τὰ ἄστρα, τὸν αὐτὸν τρόπον καὶ πρὸ τοῦ ἀγαθοῦ τὸν νοητὸν σύμπαντα διάκοσμον καὶ τὰ ἐν αὐτῷ πάντα, συλλογιστέον ἐστὶν ἐκ τούτων ἡμῖν, ὡς ἄρα δεῖ καὶ ἐν τοῖς νοητοῖς τὰ μὲν εἶναι ταῖς ὅλαις σφαίραις ἀνάλογον, τὰ δὲ τοῖς ἄστροις, οἷς αἱ σφαῖραι περιέχουσιν, τὰ δὲ τοῖς ἐν αὐτοῖς κύκλοις· καὶ ταῦτα κατιδόντας τὰς τῶν νοητῶν τάξεις τῶν ὑπὲρ ψυχὴν καταδήσασθαι, τὰς μὲν ὁλότητας τῶν σφαιρῶν εἰκόνας ὑπολαβόντας εἶναι τῶν ὡς ἀληθῶς ὑμνουμένων ὁλικῶν θεῶν, τοὺς δὲ κύκλους τῶν ὁλικῶν ἅμα καλουμένων καὶ μερικῶν, τὰ δὲ ἄστρα τῶν μερικῶν ἰδίως προσαγορευομένων, καὶ ταῦτα πάλιν ὑποδιαιρεῖν ἀπὸ τῶν εἰκόνων ἀναγομένους. καὶ γὰρ καὶ Πλάτων οἶδεν ταύτας τὰς τάξεις, ὡς ἐν ἄλλοις ἐδείξαμεν, καὶ πλήρεις τούτων αἱ τῶν θεολόγων εἰσὶν ὑφηγήσεις. Μετὰ δὴ τὴν τούτων θεωρίαν καὶ τὸν πρὸς τὸ φῶς διὰ τούτων συνεθισμὸν τελευταῖόν φησι δεῖν ἐν τῷ ὁρατῷ τὸν ἥλιον ὁρᾶν οὕτως 〈ὡσ〉 ἐν τῷ γνωστῷ τὴν τἀγαθοῦ ἰδέαν. καὶ ὅτι μὲν γνωστὸν καλεῖν εἴωθεν τὸ νοητόν, καὶ διὰ ταύτης ἐστὶ τῆς ῥήσεως γνώριμον, ὥστε καὶ ἡνίκα τοῖς γιγνωσκομένοις ἔλεγεν τὴν οὐσίαν παρέχειν τἀγαθόν [VI 509b], οὐ τοῖς μετὰ τὴν πρωτίστην οὐσίαν ἔλεγεν, ἀλλ' αὐτοῖς τοῖς ἀκροτάτοις τῶν ὄντων.

in R.1.295 εἰ δὲ τοῦτο, καὶ οὐσίας ὑμνούμενον ἐπέκεινα καὶ τοῦ ὄντος αὐτῶν ἐστιν ἐκβεβηκὸς τῶν θειοτάτων οὐσιῶν καὶ οὕτως ὑπερούσιον, ὡς πρὸ τῆς νοητῆς ὂν οὐσίας. ὅτι δὲ καὶ πάνυ δαιμονίως εἴρηται τελευταίαν ἐν τῷ γνωστῷ τὴν τἀγαθοῦ ἰδέαν ὁρᾶσθαι καὶ μόγις (καὶ γὰρ τοῦτο προσέθηκεν), δῆλον ἂν γένοιτο νοήσασιν, διότι τοῖς εἰς τὸ νοητὸν ἀναβᾶσιν ἀπ' ἐκείνου μόνου καὶ δι' ἐκείνου συναφθῆναι πρὸς αὐτὴν δυνατόν. ἐν τῷ γνωστῷ οὖν ὁρᾶται τἀγαθὸν ἐν προθύροις αὐτοῦ κειμένῳ· τὸ γὰρ πρώτως αὐτοῦ μετέχον ἐστὶ τὸ νοητόν, ὃ δὴ τοῖς ἰδεῖν αὐτὸ δυνηθεῖσιν ἀφ' ἑαυτοῦ δείκνυσιν, εἰ θέμις εἰπεῖν, οἷον ἄρα ἐστὶν τὸ ὑπὲρ τὸ νοητὸν τοῦ ἐν αὐτῷ φωτὸς αἴτιον. καὶ γὰρ θειότερόν ἐστιν τὸ ἐν αὐτῷ φῶς ἢ τὸ ἐν τοῖς νοοῦσιν, τὸ νοητόν, ὥσπερ καὶ τὸ ἐν ἄστροις ἢ 〈τὸ ἐν〉 τοῖς ὄμμασιν τοῖς τὰ ἄστρα θεωμένοις. οὕτω δὲ καὶ ὁ ἐν Φιλήβῳ [p. 65a] Σωκράτης δύσληπτον ὂν τὸ ἀγαθὸν καὶ μόγις, ὡς κἂν τούτοις εἶπεν, ὁρατὸν ἔφατο σὺν τρισὶν χρῆναι μονάσιν εὑρεῖν ταῖς ἐν προθύροις αὐτοῦ τεταγμέναις καὶ οὔσαις νοηταῖς, τῇ

ἀληθείᾳ, τῇ καλλονῇ, τῇ συμμετρίᾳ· διαβιβάζουσιν γὰρ ἡμᾶς ἐπ' αὐτὸ διὰ τὴν πρὸς αὐτὸ συγγένειαν. καὶ εἴπομεν ἡμεῖς ἐν τῷ περὶ τῶν τριῶν τούτων μονάδων βιβλί ῳ , πῶ[ς ἑ]κάστη τἀγαθὸν ἐκφαίνει καὶ τίνα παρέχ[εται χ]ρείαν τοῖς νοητοῖς καὶ πῶς· τὸ γὰρ ὂν ταύτας τε παρήγαγεν καὶ διὰ τούτων ἅπαν τὸ νοητὸν πλάτος κατέλαμψεν. ὧν διὰ πλειόνων εἰρημένων ἐν ἄλλοις οὐ σχολὴ διαμνημονεύειν ἐν τοῖς προκειμένοις λόγοις, ἀλλὰ τοῖς φιλοθεάμοσι τῶν ὄντων ἀπ' ἐκείνου ληπτέον τὰς περὶ τούτων ἡμῶν ὑπονοίας.

in R.1.296 τὸν αὐτὸν δ' οὖν τρόπον καὶ διὰ τούτων ἀξιοῖ τῶν ῥημάτων τελευταῖον ὁρᾶν τὴν τἀγαθοῦ ἰδέαν ἐν τῷ γνωστῷ, διότι τὸ γνωστόν, ὃ δὴ τὸ νοητόν ἐστιν, ὑποβάθρα τῆς ἐκείνου θέας ἐστίν. ἐν τούτῳ οὖν ὁρᾶται, καίτοι γε ἐπέκεινα τοῦ νοητοῦ παντὸς ὄν, ὡς ἐν πρώτως μετέχοντι καὶ δεικνύντι τῶν πάντων ἐναργέστατα, τί ποτέ ἐστιν, οὗ μετασχόν ἐστιν μόνως γνωστόν. ἐφ' ἅπασιν δὴ τὸν ἰδόντα τἀγαθὸν χρῆναι συλλογίζεσθαι παρακελεύεται, πάντων αὐτὸ καλῶν τε καὶ ὀρθῶν αἴτιον ὑπάρχειν, ἐν μὲν τῷ ὁρατῷ γεννῆσαν τὸ φῶς καὶ τὸ τούτου κύριον, ἐν δὲ τῷ νοητῷ μόνως ἂν κύριον πάντων ἀλήθειαν παρασχὸν καὶ νοῦν. καὶ γὰρ εἰ τὸν ἥλιον ἐγέννησεν, καὶ οἷς ὁ ἥλιος τῆς γενέσεώς ἐστιν αἴτιος, κἀκεῖνο πολλῷ πρότερον αἴτιον, καὶ εἰ τῆς οὐσίας ἐστὶν τοῖς νοητοῖς αἴτιον, καὶ ὧν ταῦτα αἴτια, μειζόνως αἴτιον ἂν ὑμνοῖτο. 〈ΠΡΟΚΛΟΥ ΛΥΚΙΟΥ ΠΛΑΤΩΝΙΚΟΥ ΔΙΑΔΟΧΟΥ〉 μέλισσα εἰς τὸν ἐν Πολιτείᾳ λόγον τῶν Μουσῶν.

in R.2.1.(1) Τὴν μέλισσαν ἱερὰν μέν φασι τῶν Μουσῶν εἶναι, βασιλείας δὲ καὶ πολιτικῆς ζωῆς ἀνθρώποις διδάσκαλον. τὴν τοίνυν κεφαλαιώδη τῶν εἰς τὸν λόγον τῶν Μουσῶν τὸν παρὰ Πλάτωνι τοῖς παλαιοῖς δοξάντων καὶ ἡμῖν προσεξηυπορημένων ἔκθεσιν εἴ σοι φίλον μέλισσαν ἐπονομάζειν, οὔτε αἱ Μοῦσαι τῷ ὀνόματι μέμψονται οὔτε Πλάτων, ὁ προφήτης ὡς οἶμαι τῶν Μουσῶν, περὶ τῆς τῶν πολιτειῶν μεταβολῆς ἐν ἐκείνῳ τῷ λόγῳ πραγματευόμενος, ὃν ταῖς Μούσαις ἀνέθηκε. τὴν τῶν πολιτειῶν ἀπὸ τῶν ἀνωτέρω μεταβολὴν εἰς τὰς προσεχεῖς οὐχ ὡς ἐξ ἀνάγκης οὕτω γιγνομένην δοκεῖ μοι παραδοῦναι τοῖς τῆς πολιτικῆς ἐπιστήμης ἀντιποιουμένοις (γένοιτο γὰρ ἂν καὶ ἀπὸ τῆς ἀριστοκρατίας εἰς τυραννίδα μετάπτωσις, οὐκ εἰς τὰς ἄλλας μόνον, τοῦ κρατοῦντος βιασθέντος ὑπὸ δή τινος ἔξωθεν τυραννικῆς ζωῆς ἐπαναστάσης τῷ ἄρχοντι καὶ μεταβαλούσης τὸ σχῆμα τῆς πολιτείας εἰς τὸ ἑαυτῇ συζυγοῦν εἶδος τῆς παρανομίας· ἐν αὐτῇ μὲν γὰρ ἀδύνατον τῇ τοιαύτῃ πόλει γενέσθαι τοιαύτην ἐπανάστασιν, τῶν ἀρχόντων οὕτω θείων ὄντων καὶ τῶν ἐπικούρων παιδευθέντων τὴν αὐτῶν παιδείαν, ἔξωθεν δὲ γένοιτ' ἄν τις βίαιος ἐπανάστασις), ἀλλ' ὡς τὴν εὔτακτον ὕφεσιν μάλιστα δηλοῦν τῆς ἀνθρωπίνης ζωῆς δυναμένην, διὰ τῶν μέσων ἀεὶ καὶ ὁμοίων γιγνομένην.

in R.2.2 αἱ γὰρ ὁμοιότητες κατὰ βραχὺ προϊοῦσαι τὴν μετάβασιν μετὰ ῥᾳστώνης ποιοῦσι· καὶ γὰρ ὥσπερ ἐν ταῖς ἀνόδοις αἱ προσθέσεις κατὰ μέτρα τεταγμένα γινόμεναι προξενοῦσι τοῖς ἀναγομένοις τὴν ἀπαράλειπτον διὰ τῶν μέσων μετ' εὐπετείας εἰς τὰ πρῶτα περιαγωγὴν ἀπὸ τῶν τελευταίων, οὕτω καὶ ἐν ταῖς καθόδοις αἱ ἀφαιρέσεις διὰ τῶν μετ' αὐτὰς τῶν τε ἀκροτάτων καὶ τῶν ἐσχάτων κατὰ τὸ συνεχὲς ἐπιτελούμεναι πολλὴν εὐμάρειαν παρέχονται τῆς μεταβάσεως. ἔχει μὲν οὖν ἡ τοιαύτη τῆς μεταβολῆς εὕρεσις καὶ τὸ κατὰ φύσιν (πᾶν γὰρ τὸ φθειρόμενον ὑπὸ τῆς ἑαυτοῦ φθείρεται κακίας, ὡς αὐτός φησι [X 609c sqq.]· καὶ γὰρ ἔξωθεν φθορὰ μὲν γένοιτ' ἂν ὅλης τῆς πόλεως, μεταβολὴ δὲ ἀπὸ τῆς τοιαύτης ζωῆς μενόντων τῶν πολιτῶν οὐκ ἂν γίνοιτο, πάντων αἱρουμένων ἀπολέσθαι τελείως ἢ μεταπεσεῖν εἰς αἰσχρὰν ζωήν), ἔχει δὲ ὡς ἔφην καὶ τὸ εὔτακτον ἐν τῇ ὑφέσει. τοῦτο δὲ πανταχοῦ τῷ ἐπιστήμονι διωκτέον ὡς ὁμοιούμενον πρὸς τὴν φύσιν, ἐπεὶ καὶ ἐν ταῖς φυσικαῖς μεταβολαῖς τῶν στοιχείων ἢ τῶν ἐκ τούτων αἱ μὲν διὰ τῶν οἰκείων μεσοτήτων ἑκασταχοῦ καὶ πρὸς εὐκολίαν καὶ πρὸς συνέχειαν ἀσφαλεῖς, αἱ δὲ ὑπερπηδῶσαι τὰ μέσα τὸ βίαιον ἔχουσι καὶ πρὸς τὴν φύσιν αὐτῶν πολλάκις ἐναντίον, οἵας εἶναι τὰς 〈μὴ〉 καθ' εἱμαρμένην κινήσεις ἔφη που λέγων Ἀριστοτέλης ὀρθῶς·

οὐ γὰρ θέλει πηδᾶν ἄτακτα τὸ κατὰ λόγους τεταγμένους ποιοῦν, ἀλλὰ βιασθὲν σαθρὰν ἀποφαίνει τὴν ἐποικοδομουμένην τῶν ἑαυτοῦ ἔργων τελείωσιν.

in R.2.3 Τὴν δὲ τῆς ἀρίστης πολιτείας μεταβολὴν αἰτίαν ἔξειν φησὶ τὴν τῶν ἀρχόντων στάσιν, οὐ γάρ που τῶν φαύλων ἐν αὐτῇ· καὶ γὰρ δὴ γίνεται εἰκὼν τοῦ παντός, καὶ οἱ μὲν ἄρχοντες ὁμοιοῦνται τοῖς πάντων αἰτίοις θεοῖς, οἱ δὲ ἐπίκουροι τοῖς τῶν θεῶν ὀπαδοῖς δαίμοσιν, οἳ καὶ φρουροῦσιν ἀσάλευτον τὴν τοῦ κόσμου τάξιν καὶ ἀναστέλλουσι τὴν ἀπὸ τῶν χειρόνων ταραχὴν **** τοῦ παντός. ὥστε καὶ τῆς ἀρίστης πολιτείας ἐν τοῖς ἄρχουσι στάσις ἐγγινομένη φθείρειεν ἂν αὐτήν, ἀλλ' οὐκ ἐν τοῖς θησίν, οὓς οἱ ἐπίκουροι στεῖλαι δύνανται, καθάπερ οἱ ἐν τῷ παντὶ δαίμονες τὰς μερικὰς ζωὰς θορυβῶδες φθεγγομένας· τὰς γὰρ τῶν ψυχῶν ἀπορίας, ἃς ἴσχουσιν ἐν γενέσει γενόμεναι, τὴν εὐπορίαν οὐκ ἀλλαχόθεν φαμὲν ἢ ἀπὸ τῶν θεῶν λαμβάνειν, παρ' ὧν ὁ ἀληθής ἐστι πόρος. παρὰ μὲν οὖν τῶν δημιουργικῶν θεῶν λύεται τὰ τῶν φυσικῶν ἄπορα διὰ τὴν ὑλικὴν ἐξανιστάμενα πενίαν, παρὰ δὲ τῶν δημιουργίας ἐφόρων τὰ τοῖς ἱερατικοῖς εἰωθότα συμπίπτειν ἐν αὐτοῖς τοῖς ἱεροῖς ἄθλοις, παρὰ δὲ τῶν παιωνίων τοῖς τῆς θείας ἰατρικῆς ὑπηρέταις, παρὰ δὲ τῶν Μουσῶν εἰκότως τοῖς τῆς πολιτικῆς συμφωνίας τε καὶ ὁμονοίας προστάταις. ἐπειδὴ τοίνυν στάσιν τῶν ἀρχόντων αἰτιᾶται τοῦ λυθῆναι τὴν πολιτείαν τὴν ἁπασῶν ἀρίστην, ἄπορον δὲ ἦν, πῶς οἱ ἄριστοι στασιάζουσιν οἱ μάλιστα ζωὴν ἀστασίαστον ἔχοντες, οἱ διὰ πάσης ἥκοντες παιδείας, οἱ πάντα κοινὰ κεκτημένοι καὶ μέχρι τῶν τελευταίων ἀπὸ τῶν πρώτων (καὶ γὰρ τὰ ἐπιτηδεύματα αὐτοῖς κοινὰ καὶ τὰ χρήματα καὶ τὰ μέσα τούτων), εἰκότως ἐπὶ τὰς Μούσας καταφεύγει ζητῶν, ὅπως δὴ πρῶτον στάσις ἔμπεσεν [p.

in R.2.4 545d], Ὁμηρικῶς ἐπικαλεσάμενος τὰς θεάς, πλὴν ὅτι τὴν στάσιν ἀντὶ τοῦ πυρὸς παρέλαβεν, οἰκειώσας τῷ πυρὶ τὴν στάσιν. διακριτικὸν γάρ ἐστι τὸ πῦρ παντὸς ὀργάνου τεχνητοῦ μᾶλλον, ὃ δὴ καὶ μέχρι τῶν πρώτων ἀναλύει τὰ διαιρούμενα στοιχείων. Τί δὲ δή ποτε μὴ τὸν Μουσηγέτην ᾔτησεν αὐτῷ τὴν αἰτίαν χρησμῳδῆσαι τῆς τῶν ἀρχόντων ἐν τῇ ἀρίστῃ πολιτείᾳ στάσεως, ἀλλὰ τὰς Μούσας; καίτοι καὶ πρὸς τὸ τὰ μέλλοντα ἐκφαίνειν ἐκεῖνος ὁ θεὸς οἰκειότερος ἦν. ἢ ὁ μὲν Μουσηγέτης τὸν ὅλον ὡς ἕνα κόσμον πληροῖ τῆς θείας ἁρμονίας ἐκ τριῶν ὅρων συναρμόσας, νοῦ μὲν ὡς ὑπάτης, ψυχῆς δὲ ὡς μέσης, σώματος δὲ ὡς νήτης, καὶ μίαν ὡς ἀληθῶς λύραν δημιουργικὴν ἀποτελέσας ἐκ τούτων τὸ πᾶν εἶς ἔχει τὸ κράτος· αἱ δὲ Μοῦσαι πλῆθος οὖσαι τοῦ Μουσηγέτου, προελθὸν ἀπὸ τῆς ἐκείνου μονάδος εἰς τὸν ὅλον ἀριθμὸν καὶ ἓν νέον ἐφιέμενον εἶναι .... ******* ** σεως τῶν πρώτων, καὶ τοῦ καιροῦ τὴν .....φη... εἰσάγονται μὲν ἀπὸ τῶν τοιούτων συνέρξε[ων π]αίδων γενέσεις οὐκ εὐφυῶν οὐδ' εὐτυχῶν. ᾧ καὶ δῆλον ὅτι ὁ Πλάτων ἔπεσθαι βούλεται τῆς σπορ[ᾶς] τῇ τοιᾷδε καταρχῇ καὶ τὴν τοιάνδε γένεσιν, ἀλλ' οὐκ εἶναι τὴν μὲν τῆς κυήσεως μόνον ἀρχήν, τὴν δὲ τῆς τοῦ τεχθέντος ζωῆς, ἀλλὰ καὶ ταύτην εἰς ἐκείνην ἀνηρτῆσθαι καὶ συνέχειαν πρὸς αὐτὴν ἔχειν.

in R.2.5 τεχθέντας δ' οὖν οὕτω τοὺς δευτέρους ἐσομένους ἄρχοντας οὐκ εὐφυεῖς οὐδ' εὐτυχεῖς διὰ τὴν παρὰ καιρὸν σποράν αὐτῶν πρῶτον ἀμελήσειν τῶν Μουσῶν καὶ τὴν παιδείαν οὐκέθ' ὁλόκληρον μεταδιώξειν· ἀλλ' εἰ καὶ αὐτοὶ τῶν πρώτων ἀρχόντων ἐπιστατούντων καὶ διὰ μουσικῆς ἤχθησαν, ἅτε ἀμελῶς αὐτῆς ἐφαψαμένους οὐκέτι καὶ τοὺς μεθ' ἑαυτοὺς παιδεύσειν ὁμοίως, ἀλλὰ διὰ μόνης γυμναστικῆς· ταύτης γὰρ οἱ μέσοι οἰήσονται δεῖν ἐπιμελεῖσθαι τοῦ σώζεσθαι χάριν. ἀμελήσειν οὖν μουσικῆς διὰ ψυχῶν ἀφυΐαν ἐν τῇ παιδείᾳ τῶν τρίτων ἐσομένων ἀρχόντων τοὺς δευτέρους οὐκ εὐφυεῖς ὄντας οὐδὲ εὐτυχεῖς διὰ τὴν παρὰ καιρὸν σποράν· οὐκ εὐφυεῖς μέν, ὅτι μὴ πρὸς ὅλην τὴν παιδείαν ἔχουσιν ἐπιτηδείως, οὐκ εὐτυχεῖς δέ, διότι περιόδῳ τοιαύτῃ συνετάχθησαν, ἀρχὴν ἐπαγούσῃ τῇ ἀρίστῃ πολιτείᾳ λύσεως. ἡ γὰρ τύχη τῶν ἐκ τοῦ παντός ἐστιν ἡμῖν ἀπονεμομένων ἀποπληρωτική, συντάττουσα τὰ ἡμέτερα ταῖς τοῦ παντὸς τοιαῖσδε περιόδοις κατ' ἀξίαν, ἀμείνοσιν οὔσαις ἢ χείροσιν. παιδεύσουσιν δ' οὖν οἱ δεύτεροι τοὺς ἀφ' ἑαυτῶν, οὐκέτι δὲ διὰ πάσης ὡς εἴρηται τῆς παιδείας, ἀλλὰ διὰ μόνης

γυμναστικῆς, καὶ ταύτης ὡς ἀναγκαίας πρὸς τὸ εἶναι. τοὺς δὲ δὴ τρίτους ἀνάγκη τοὺς ἀμούσους ὄντας λοιπὸν ἀπαιδεύτως ἔχειν πρὸς τὸ δια[κρίν]ειν τὰ διαφέροντα εἴδη τῆς ζωῆς τὰ φυλακικὰ καὶ μὴ φυλακικά, καὶ συνάψειν τὰ ἀνόμοια ἀλλήλοις. συγχεθέντων δὲ τῶν πολιτικῶν γενῶν ἔσεσθαι τοὺς τετάρτους ἀπὸ τῶν πρώτων στασιαστικούς, διὰ τὴν σύγχυσιν ἑκάστων ἀντεχομένων τοῦ πρωτεύειν· ἐν γὰρ τοῖς συγκεχυμένοις ἕκαστον ἐθέλει τὴν ἑαυτοῦ τάξιν ὑπερβαίνειν, μήτε τοῦ φύσει χείρονος ἔτι ὅμοια φρονοῦντος διὰ τὴν ἐν τῇ γενέσει μῖξιν, μήτε τοῦ δοκοῦντος ἀμείνονος ἄμεινον ἑαυτὸ μόνως δεικνύναι δυναμένου διὰ τὴν ἐν τῇ φύσει παραδοχὴν τοῦ χείρονος.

in R.2.6 Τέταρτοι δὴ οὖν ἀπὸ τῶν πρώτων εἰσὶν ἄρχοντες οἱ στασιάσοντες, ἀλλ' οὐχ οἱ πρῶτοι. καὶ λέλυται τὸ ἀποροθέν, πῶς καὶ τοῦ κρατοῦντος στασιάσαντος ἡ πολιτεία λυθήσεται καὶ τὸ ἀναμάρτητον ὑπάρξει τοῖς σοφοῖς ἄρχουσιν· οὐ γὰρ ἐν ἐκείνοις ἡ στάσις, ἀλλ' ἐν τοῖς πολλοστοῖς ἀπ' ἐκείνων, οἳ τῆς αὐτῆς ἔτι πολιτείας ἄρχοντες οὐ τῆς αὐτῆς μετέσχον παιδείας ἐκείνοις τοῖς ὡς ἀληθῶς ἄρχουσιν. τῆς δὲ ἐν τοῖς τελευταίοις τούτοις ἄρχουσι στάσεως αἰτία τῶν τρίτων ἡ ἀμουσία, γεννησαμένη παῖδας οὐκέτι φυλακικοὺς διὰ τὴν τῶν ἀνομοίων ἀδιάκριτον σύγχυσιν· τῆς δὲ τῶν τρίτων ἀμουσίας ἡ τῶν δευτέρων ῥᾳθυμία περὶ τὰς Μούσας, δι' ἀφυΐαν οὐκέτι κατὰ τὴν ὅλην καὶ τελείαν παιδείαν, καθ' ἣν ἐτράφησαν, δυνηθέντων ἐκθρέψαι τοὺς παῖδας· τῆς δὲ τῶν δευτέρων ἀφυΐας ἡ τῶν πρώτων περὶ τὴν τοῦ καιροῦ [θ]ήραν τῆς τῶν γάμων εὐκαιρίας ἁμαρτάς· ἣν ἀπὸ τῆς αἰσθήσεως ἐφελκυσάμενοι, πραγματείας πολλῆς δεομένης καὶ ἀγαθῆς τύχης εἰς τὸ μὴ πολλὰ τοιαῦτα πταίειν καὶ μόλις δ ι ' ἀμυδρῶν ὀργάνων τἀληθὲς ἑλεῖν ἰσχυούσης, τὸν μὲν λογισμὸν ἐξάντη τῆς ἐπικλωσθησομένης ἕξουσι τῇ πολιτείᾳ λύσεως, τὴν δὲ αἴσθησιν ταῖς ἑαυτῆς παροράσεσιν αἰτίαν τῶν ἐν τοῖς λογισμοῖς παρὰ τοῖς μετ' αὐτοὺς ἄρχουσιν ἁμαρτημάτων ἀποφαίνουσιν. τριῶν οὖν τούτων ὀφειλόντων μάλιστα σπουδάζεσθαι παρὰ τοῖς ἐφεστῶσι τοῖς γάμοις τῶν φυλάκων, τῆς ἐκλογῆς τοῦ σπορίμου καιροῦ, τῆς συζεύξεως τῶν ὁμοίων, πρὸς ἣν δέονται τῆς τῶν κλήρων κομψείας, τῆς ἐνθέσμου συνέρξεως μετὰ θυσιῶν γινομένης, τὸ περὶ τὴν ἐκλογὴν σφάλμα τοῦ καιροῦ γενήσεται ῥίζα τῶν ἑπομένων κακῶν, καὶ τῆς λύσεως τῆς πολιτείας καὶ τῆς στάσεως, ἀφ' ἧς ἡ λύσις, ἐν τοῖς τετάρτοις ἀπὸ τῶν πρώτων ἁμαρτόντων συμπεσούσης.

in R.2.7 I . Ὁ μὲν σκοπός ἐστιν τοῦ λόγου τῶν Μουσῶν ἐκφῆναι τὰς αἰτίας, δι' ἃς λύσις ἔσται τῆς ἀρίστης ἐν ἀνθρώποις πολιτείας, οὔσας διττάς· τὴν μὲν ἐν ταῖς ὅλαις τοῦ κόσμου περιόδοις, φορὰς καὶ ἀφορίας ὡς φυτῶν, ὡς ζῴων, ὡς σωμάτων, οὕτω καὶ ψυχῶν ἐπάγουσαν ἄλλοις καὶ ἄλλοις μέρεσιν τῆς γῆς· τὴν δὲ ἐν τοῖς μερικοῖς, ἐν αὐτοῖς τοῖς ἄρχουσιν ὁρωμένην τοῖς μιμουμένοις τοὺς ἐν τῷ κόσμῳ κρατοῦντας· τούτων γὰρ ἁμαρτόντων λυθήσεσθαι τὴν πολιτείαν. εἰσὶ γὰρ οἱ μὲν φύλακες τοῖς ἐν τῷ παντὶ θεοῖς ἐοικότες, οἱ δὲ ἐπίκουροι τοῖς δαίμοσιν, οἱ δὲ θῆτες ταῖς μερικαῖς ψυχαῖς· ταῦτα δέ ἐστι τὰ ἀσώματα γένη ... τῶν ἐν τῷ κόσμῳ διοικούντων τὴν σωματικὴν φύσιν. ὡς οὖν οὐ τὰ ἁμαρτήματα τῶν ψυχῶν ἀνατρέπει τὸ πᾶν, οὕτως οὐδὲ τὰ τῶν θητῶν ἐκείνην, ἀλλ', ὃ μηδὲ θέμις εἰπεῖν, εἰ 〈οἱ〉 δαίμονες ἢ οἱ θεοί τι παρεώρων, οὕτως τὰ τῶν ἀρχόντων παροράματα λύσει τὴν παρ' ἡμῖν πολιτείαν. Ὁ δὲ χαρακτὴρ τοῦ λόγου λίαν ἐστὶν ὑψηλός, πρέπων καὶ ταῖς Μούσαις ταῖς χρησμῳδούσαις τὴν λύσιν καὶ τοῖς ὑποκειμένοις πράγμασι κοσμικοῖς οὖσιν· διὸ καὐτὸς σαφῶς εἶπεν ὑψηλολογούμενος ἐρεῖν [p. 545e], ἐνδεικνύμενος ὅτι μέτεισιν ἀπὸ τοῦ μέσου τύπου τοῦ πρέποντος ἠθικοῖς λόγοις ἐπὶ τὸν ἁδρὸν οἰκεῖον ὄντα τοῖς ῥηθησομένοις.

in R.2.8 ἡ δ' ἰδέα τοῦ παντὸς λόγου σεμνότης ἐστὶν προσήκουσα καὶ τοῖς πράγμασι (σεμνὰ γὰρ καὶ τὰ περὶ τοῦ παντὸς καὶ τὰ περὶ τῶν ψυχῶν) καὶ ταῖς θεαῖς. καὶ τὸ ἀπόκρυφον γοῦν καὶ αἰνιγματῶδες τῆς σεμνότητος ἴδιον· οὐ γὰρ ἐθέλει τὸ σεμνὸν πρόχειρον εἶναι τοῖς πολλοῖς. ὥστε τῶν μὲν τριῶν χαρακτήρων ὁ ἁδρός, τῶν δὲ ἑπτὰ ἰδεῶν τὸ μέγεθος ἥρμοσεν τῷ λόγῳ· τὸ

γὰρ σεμνὸν ὑπὸ τὸ μέγεθός ἐστιν. Ὁ δὲ τρόπος τῆς διδασκαλίας μικτός ἐστιν, ἀποφαντικὸς μὲν ὢν διὰ τὰς λεγούσας (πρέπει γὰρ θεῶν λόγοις, διὸ καὶ τοῖς ἐνθουσιάζουσιν καὶ τοῖς χρησμῳδοῖς), εἰκονικὸς δὲ διὰ τὰ πράγματα· τὸ γὰρ ἀπὸ ἀριθμῶν ἐνδείκνυσθαι τὴν ἀλήθειαν ἀπ' εἰκόνων ἐστὶ διδάσκειν· οἰκεῖον δὲ ψυχαῖς καὶ τοῖς κοσμικοῖς πᾶσιν τὸ εἰκο[νικόν]. IA . Τῶν τριῶν πολιτειῶν εἰς τὰς τρεῖς δημιουργίας ἀναφερομένων, εἰς τὴν Δίιον, εἰς τὴν Διονυσιακήν, εἰς τὴν Ἀδωνιακήν (πᾶς γὰρ πολιτικὸς ἀπεικονίζεσθαι βούλεταί τινα δημιουργόν, ὁ μὲν πάντα κοινὰ ποιῶν τὸν τὰ ὅλα ποιοῦντα, ὁ δὲ νέμων καὶ διαιρῶν τὸν διελόντα ἀπὸ τῶν ὅλων τὰ μέρη, ὁ δὲ ἐπανορθῶν τὸ διάστροφον εἶδος τὸν τὰ γιγνόμενα καὶ φθειρόμενα ἀνυφαίνοντα), νῦν ὁ Πλάτων περὶ τῆς πρώτης διδάσκων πολιτείας μιμεῖται τὸν ὅλον δημιουργόν. ὡς οὖν δὴ ἐκεῖνος ἄλυτον εἶπεν εἶναι τὸν κόσμον διὰ τὴν αὐτοῦ βούλησιν μέγιστον οὖσαν δεσμόν [Tim. p. 41b], οὕτω ταύτην τὴν πολιτείαν οὐκ ἄλυτον μέν, ἀνθρωπίνην οὖσαν, δύσλυτον δὲ εἶναί φησιν διὰ τὴν τῶν ἀρχόντων ἀρετήν. τοῦ γὰρ χαλεπὸν εἶναι κινηθῆναι τὴν οὕτω συστᾶσαν [p. 546a] ἐπὶ τὸν πολιτικὸν ἀναφέρει τὴν αἰτίαν, ὡς τοῦ παντὸς ἐπὶ τὸν δημιουργόν.

in R.2.9

καὶ ἡ σύστασις οἰκεία τῇ δημιουργίᾳ· συνιστάνειν γὰρ κἀκείνην εἶπεν τὸ πᾶν καὶ συστατὸν τὸν κόσμον ἐκάλεσεν. καὶ γὰρ ὡς ὁ κόσμος ἐκ πολλῶν ἐστιν δεσμῶν, οἷον τῶν στοιχείων, τῆς ἀναλογίας, τῶν ψυχικῶν μεσοτήτων, τῆς ἐμψυχίας, καὶ πρὸ τούτων τῆς δημιουργικῆς βουλήσεως, οὕτω καὶ ἥδε ἡ πολιτεία παντοίους ἔσχεν δεσμούς· κοινὰ τὰ ἐπιτηδεύματα, κοινοὶ οἱ παῖδες, κοιναὶ αἱ κτήσεις. δύσλυτος οὖν καὶ αὕτη, καθάπερ ἐκεῖνος ἄλυτος· εἰ δὲ λυτή πώς ἐστιν διὰ τὴν γένεσιν, δῆλον ὡς ὁ κόσμος μηδ' ὅλως λύσιν ἐπιδεχόμενος ἀγένητός ἐστιν. τὴν δὲ αἰτίαν τῆς λύσεως αὐτὴν εἰς ἁμαρτίαν μὲν αἰσθήσεως ἀνάγων, περιόδου δὲ συμπλήρωσιν, ἵνα ἔχῃς καὶ τὸ μερικὸν αἴτιον καὶ τὴν ἀπὸ τῶν ὅλων ἀνάγκην, διδάσκει σαφῶς, ὡς ἄρα τὰ συμπίπτοντα τοῖς ἐπιστήμοσιν ἐὰν ᾖ δυσχερῆ, διὰ τὴν κοινὴν φύσιν εἴωθεν μόνην σχεδὸν συμπίπτειν· οἷον νοσεῖν οὐ παρὰ τὴν αὐτῶν ζωήν, ἀλλὰ παρὰ τὴν κοσμικὴν τάξιν, καὶ ἄλλο τι πάσχειν· τῶν μὴ ἐπιστημόνων καὶ δι' ἑαυτοὺς πολλὰ πασχόντων. τὴν οὖν περίοδον ἐπάγειν ὡς γενητῷ πράγματι τῇ πολιτείᾳ ταύτῃ λύσιν, ἀποχρωμένην τῇ παροράσει τῶν φυλάκων τῇ διὰ τῆς αἰσθήσεως, ἣν ἀνάγκη σπανίαν εἶναι, καθάπερ καὶ πάντων ἐπιστημόνων τὴν ἀποτυχίαν τῶν αἰσθήσει προσχρωμένων, οἷον ἰατρῶν, κυβερνητῶν· ἀποτυγχάνουσι γὰρ σπανίως, κατορθοῦσι δὲ πολλάκις. διὸ καὶ ἡ τῆς πολιτείας λύσις τῆς τοιαύτης διὰ μακρῶν γίνεται περιόδων. IB . Ταῦτα τὰ ἀξιώματα τὰ ἐν τῇ Περὶ οὐρανοῦ Πλατωνικὰ ἀναφαίνεται, τὸ μὲν ‘ πᾶν γενητὸν φθαρτόν‘ ἐνταῦθα [p. 546a], τὸ δὲ ‘ πᾶν ἀγένητον ἄφθαρτον‘ ἐν Φαίδρῳ [p.

in R.2.10

245d], ὅπου φησίν· ἐπειδὴ δὲ ἀγένητόν ἐστι ν , καὶ ἀδιάφθορον αὐτὸ ἀνάγκη εἶνα ι . ὁ γὰρ τρόπος πρόσκειται δηλῶν ὅτι ἀναγκαῖον τὸ ἀξίωμα. τούτων δὲ οὕτως ἐχόντων δῆλον ὅτι γενητὸς κατ' αὐτὸν ὁ κόσμος ἄλλως, καὶ οὐ κατὰ χρόνον ἐστὶ γενητός· ἦν γὰρ ἂν καὶ φθαρτός. εἰ δὲ λέγοιέν τινες φθαρτὸν αὐτὸν ὄντα τῇ φύσει γεγονέναι ἄφθαρτον διὰ τὴν τοῦ θεοῦ βούλησιν, εἰ τὸ ἄφθαρτον ἀγένητον (ἀντιστρέψει γάρ, ἀναγκαίων ὄντων τῶν δύο ἐκείνων), καὶ τὸ γενητὸν αὐτοῦ δώσουσιν ἀγένητον πεποιηκέναι τὸν θεόν. ὁ γὰρ ἄφθαρτον αὐτὸν ποιήσας καὶ ἀγένητον εὐθὺς ἐποίησεν διὰ τὴν ἀνάγκην τῆς ἀκολουθίας· ἀλλ' ὁ αὐτός φησιν Πλάτων [legg. XI 934a], ὅτι τὸ γεγονὸς ἀγένητον ποιῆσαι καὶ θεῷ ἀδύνατον· ὥστε καὶ τὸ φθαρτὸν ⟦ καὶ ⟧ ἄφθαρτον, ἵνα μὴ τὰ προκείμενα ἀξιώματα ἀφανίσῃς. Πόθεν οὖν δῆλον, ὅτι πᾶν τὸ γενόμενον φθαρτόν; ἢ ὅτι πᾶν τὸ γινόμενον ὑπ' αἰτίου γίνεταί τινος, καὶ τούτου κινουμένου· τὸ γὰρ ὑπ' ἀκινήτου γενόμενον ἀγένητόν ἐστιν, ἀίδιον ὄν, ἅμα τῷ εἶναι ἐκείνου συνυποστάν· ὃ εἴπερ ἀκίνητόν ἐστιν, πάντως εἴη ἂν καὶ ἀγένητον. πᾶσα γὰρ γένεσις ἢ κίνησίς ἐστιν ἢ μετά τινος κινήσεως· εἰ οὖν καὶ ὑπό τινος γίνεται, καὶ ὑπὸ κινουμένου γε τούτου. τὸ δὲ κινούμενον ἐν ταὐτῷ μένειν ἀδυνατοῦν, ἐν μέρει γενόμενον τῆς κινήσεως, ὑπ' ἄλλου μέρους αὐτῆς φθαρήσεται· τοῦ γὰρ αἰτίου μὴ ὄντος εἶναι τὸ αἰτιατὸν ἀδύνατον· λυθείσης οὖν τῆς

ὑποστησάσης αὐτὸ κινήσεως φθαρήσεται. ὅτι γὰρ οὐ πάσης ἦν ἀποτέλεσμα τῆς κινήσεως, δηλοῖ τὸ καὶ πρότερον κινεῖσθαι τὸ αἴτιον τῆς τούτου συστάσεως. εἰ δὲ ἐκ μέρους ἐστὶ τῆς κινήσεως, ἐκείνου καταλήξαντος οὐκ ἔσται. Πόθεν δέ, ὅτι τὸ φθαρτὸν γενητόν; εἰ γὰρ φθαρτόν ἐστιν, ἔχει τι ἐναντίον, ἐκεῖνο δήπου τὸ φθαρτικὸν ἑαυτοῦ· φθείρεται γὰρ ὑπὸ ἐναντίου πᾶν τὸ φθειρόμενον.

in R.2.11 εἰ δὲ ἔχοι ἐναντίον, ἢ καὶ ἐξ ἐκείνου ὁδός ἐστιν εἰς αὐτό, καὶ εἴη ἂν γενητόν· ἢ φθαρέντος αὐτοῦ μόνως ἔσται τὸ ἐναντίον, γεγονὸς καὶ ἄφθαρτον, μηκέτι εἰς ἐκεῖνο μεταβάλλον· δέδεικται δὲ ὅτι πᾶν γενητὸν φθαρτόν· φθαρήσεται ἄρα. φθορὰ δὲ τοῦ ἐναντίου τὸ ἐναντίον· ὥστε ἐκεῖνο ἐκ τούτου γενήσεται· οὐκ ἄρα ἀγένητον ἦν. Πόθεν δέ, ὅτι πᾶν τὸ ἀγένητον ἄφθαρτον; εἰ γὰρ φθαρτόν, δεδείχαμεν δὲ ὅτι πᾶν τὸ φθαρτὸν γενητόν, ἔσται τὸ ἀγένητον γενητόν· ὥστε τὸ ἀγένητον ἄφθαρτον. Ὁμοίως δὲ καὶ τὸ ἄφθαρτον ἀγένητον· εἰ γὰρ γενητόν, ἔσται φθαρτὸν τὸ ἄφθαρτον· δέδεικται γὰρ ὅτι πᾶν τὸ γενητὸν φθαρτόν. Τὰ ἄρα τέτταρα ἀξιώματα ἀληθῆ, ἠρτημένα δυεῖν ἀξιωμάτων, ὧν τὸ μὲν λέγει τὸ ἀπὸ ἀκινήτου πᾶν ὑποστὰν ἀμετάβλητον εἶναι κατ' οὐσίαν, τὸ δὲ τὸ ἀπὸ κινουμένου πᾶν ὑποστὰν μεταβλητὸν εἶναι κατ' οὐσίαν. ΙΓ . Τίνα λέγει τὸν πάντα χρόνον, ὅταν λέγῃ, ὡς οὐ δ ' ἡ τοιαύτη σύστασις τὸν πάντα μενεῖ χρόνον [p. 546a]; ἢ εἰ ὁ πᾶς χρόνος αἰῶνός ἐστι τοῦ παντὸς εἰκών (λέγεται γὰρ καὶ ὁ αἰὼν πᾶς· τὸ μὲν οὖν παράδειγμα τὸν ἅπαντα αἰῶνά ἐστιν [Tim. 38c]), μέτρον δὲ ὁ πᾶς αἰών, μέτρον ἄρα καὶ ὁ πᾶς χρόνος. ἀλλ' ὃ μὲν τῆς τοῦ νοητοῦ ζῴου ζωῆς μέτρον, ὃ δὲ τῆς τοῦδε τοῦ κόσμου ζωῆς, ὁ χρόνος. καὶ εἴη ἂν τῆς τῶν ἐν αὐτῷ πάντων ἀσωμάτων κινήσεων καὶ σωματικῶν πασῶν κοινῆς συναποκαταστάσεως μέτρον παντελές· ὃ δὴ πολλάκις ἀνελισσόμενον ποιεῖ τὸν ἄπειρον χρόνον, διὰ τὴν ἐν τῷ αἰῶνι δύναμιν ἄπειρον λαμβάνοντα τὴν κατὰ γένεσιν ἀπειρίαν, τῷ πάλιν καὶ πάλιν γιγνομένην ἄπειρον, ἐκείνης οὔσης ἀπείρου καὶ οὐ γιγνομένης.

in R.2.12 ὡς οὖν πᾶς ὢν χρόνος τὸν πάντα βίον ἔχει τῆς τοῦ παντὸς ἀποκαταστάσεως, ἐν ᾧ τὸ μὴ φθαρὲν ἄφθαρτόν ἐστιν. οὐδὲν οὖν φθαρτὸν μένει τὸν ἅπαντα χρόνον· οὐδὲν γὰρ τῷ κόσμῳ συζῆσαν κατὰ πᾶσαν αὐτοῦ τὴν περιοδικὴν ζωὴν φθαρτόν ἐστιν, ἵνα μηδὲν ἔξω ᾖ τῆς κοσμικῆς ὅλης ζωῆς, ἀλλὰ πᾶσαι πάντων γενέσεις, πᾶσαι πάντων μεταβολαὶ ψυχικαὶ καὶ σωματικαὶ περιλαμβάνωνται ὑπὸ τοῦδε τοῦ παντός. διὸ καὶ πᾶς κέκληται παρὰ τῶν Μουσῶν, ὡς παντελῆ τὸν ἀριθμὸν προστησάμενος τὸν πασῶν μεταβολῶν ἀφοριστικόν, ὃς ἀνακυκλούμενος ἄπειρος γίνεται. διὸ καὶ ἐπὶ τούτου τὸ ἄπειρον οὐχ οἷον ἅμα ἐστίν, ὡς ἐπὶ τοῦ αἰῶνος. ΙΔ . Τὰ μὲν φυτὰ διέστησε τῶν ζῴων οὐχὶ τῷ αἰσθητικῷ Περιπατητικῶς (οἶδεν γὰρ καὶ φυτῶν αἴσθησιν), ἀλλὰ τῷ μονίμῳ καὶ πορευτικῷ. διὸ τὰ μὲν ἔγγεια προσεῖπεν, τὰ δὲ ἐπίγει α , τὰ μὲν φερόμενα ἐπὶ γῆς, τὰ δὲ κατερριζωμένα ἐν γῇ. λέγει δὲ ὅτι οὐ τοῖς φυτοῖς μόνοις τοῖς ἐγγείοις ὡς ἐν τῇ γῇ κατερριζωμένοις, ἀλλὰ καὶ τοῖς ζῴοις τοῖς ἐπὶ γῆς κινουμένοις ⟦ καὶ ⟧ περίοδοί τινες ποιοῦσιν εὐγονίας καὶ δυσγονίας σωμάτων τε καὶ ψυχῶν. οὐ μόνον δὲ φυτοῖς εἶπεν [p. 546a] ἀπὸ τούτων ἀρξάμενος, ἐπειδὴ τὸ κράτος τῶν εἱμαρμένων περιόδων ἐν τοῖς ἥκιστα μετέχουσιν αὐτοκινήτου δείκνυται ζωῆς (καὶ γὰρ ὁ Τίμαιος [p. 77ab] ἐν μόνοις τούτοις ἔφατο μὴ εἶναι τὸ αὐτοκίνητον, ἀλλὰ τρίτον μέρος τῆς ψυχῆς), οἷα δή ἐστιν τὰ φυτά· διὸ καὶ ἀπὸ τῆς φύσεως ὠνόμασται. τὴν γὰρ εἱμαρμένην φυσικὴν ζωὴν εἶναί φα[μεν] .

in R.2.13 .. 15 .... δηλοῖ δὲ καὶ αὐ[τὸς ἐν] Πολιτικῷ [p. 272e] λέγων· τὸν κόσμον ἀν [έστρε φ]εν εἱμαρμένη καὶ σύμφυτος ἐπιθυμί α . [οὔκουν] ἐν τούτοις μόνοις .... τῷ κύκλῳ φησὶν φερόμενα τῆς εὐγονίας καὶ δυσγονίας, [ἃ] δοκεῖ μάλιστα καθ' εἱμαρμένην μόνην [ζῆν] οὐκ ἔχοντα τὸ αὐτοκίνητον, ἀλλὰ καὶ ἐν τοῖς πλείονα τὴν ζωὴν ἔχουσι καὶ ἐλευθερω[τέρ]αν (δοκεῖ γὰρ μάχεσθαι τὸ εἱμαρμένον πρὸς τὸ ἀδέσποτον)· καὶ τῷ ὄντι σώματι συζυγεῖσα ψυχὴ καθ' εἱμαρμένην ζῇ καὶ ἢ καθ' ὕπαρξιν ἢ κατὰ σχέσιν οὖσα σωματοειδής. Τά τε οὖν μέτρα τῶν βίων ἀπὸ τῶν περιόδων πᾶσιν τῶν κυκλικῶν καὶ τὰ εἴδη τὰ διάφορα τῆς ζωῆς. ὡς γοῦν καὶ

Ἀριστοτέλης [de gen. anim. IV 9. 778a 1] φησίν, ἕπονται ταῖς κυριωτέραις περιόδοις αἱ ἀκυρότεραι. κυριώτεραι δὲ αἱ τῶν ἀιδίων, ἀκυρότεραι δὲ αἱ τῶν θνητῶν· πασῶν δὲ εἰς πάντα συντελουσῶν τῶν ἀιδίων εἰς τὰ θνητά, ἄλλα ἄλλοις μᾶλλον αἴτια τῆς περιτροπῆς· οἷον τῷ μὲν σεληναία περίοδος, τῷ δὲ Κρονία, τῷ δὲ ἄλλη τις ἢ ἀφανὴς ἡμῖν ἢ ἐμφανής. πᾶν γὰρ κύκλῳ κινούμενον περίοδον ἔχει καὶ αἴτιόν ἐστι θνητῷ τινι περιτροπῆς, εἴτε θεῖον εἴη ὄχημα εἴτε ἀγγελικὸν εἴτε δαιμόνιον. καὶ διὰ τοῦτο καὶ τὰ μέτρα τῶν τριῶν βίων διάφορα πλήθει χρόνου καὶ τὰ εἴδη τῆς ζωῆς, ὅτι καὶ τὰ αἴτια διάφορα τὰ ἀεὶ κινούμενα. λανθάνει δὲ τί τίνος αἴτιον· καὶ θαυμάζομεν διὰ τί τὸ μὲν ζῇ μίαν ἡμέραν, ὡς τὸ περὶ τὸν Ὕπανιν ποταμόν, γεννώμενον μὲν 〈ἐν〉 ἀνατολῇ, ἀποθνῆσκον δὲ ἐν τῇ δύσει, τὸ δὲ ἐννέα γενεὰς ἀνδρῶν γηρώντων, οὐχ ὁρῶντες πάντα τὰ ἐν τῷ κόσμῳ κυκλοφορητικά, καὶ ποῖα ποίων ἡγεῖται περιτροπῶν· ἐν δὲ τούτοις ὥρισται καὶ τί [τὸ ἀίδι]ον, ὅτι τὸ πᾶσαν κοσμικὴν περίοδον ζῶν· καὶ τί τὸ μακροβιώτατον, ὅτι τὸ τὸν σύνεγγυς χρόνον τῆς περιόδου ταύτης βιοτεῦον· καὶ τί τὸ βραχυβιώτατον, ὅτι τὸ τῷ ἐλαχίστην ἔχοντι τὴν ἀποκαταστατικὴν ζωὴν διεξάγον τὴν ἑαυτοῦ περιτροπήν.

in R.2.14 IE . Θεῖον γενητὸν οὔτε τὸν ὅλον λέγει κόσμον, εἰ καὶ προηγουμένως τοῦτον, οὔτε τὸν οὐρανὸν μόνον οὔτε τὸ ὑπὸ σελήνην· ἀλλὰ πᾶν τὸ ἀεικίνητον καὶ περιφερόμενον εἴτε ἐν οὐρανῷ εἴθ' ὑπὸ σελήνην, ὡς μὲν σωματικὸν γενητὸν καλούμενον (οὐδὲν γὰρ σῶμα αὐθυπόστατον), ὡς δὲ ἀεικίνητον θεῖον· μιμεῖται γὰρ τὰ θειότατα τῶν ὄντων ἄγρυπνον ἔχοντα ζωήν. καὶ γὰρ οὐδὲ εἶπεν τοῦ θείου γενητοῦ τὸν τέλειον ἀριθμὸν τὴν περίοδον περιλαμβάνειν, ἀλλ' ἄνευ τοῦ ἄρθρου θείου γενητοῦ · δι' οὗ δηλοῖ πάντως ἢ τινὸς ἢ παντὸς θείου γενητοῦ. τὸ δὲ τινὸς οὐκ ἐπιστημονικόν· ἀόριστον γὰρ πολλῶν ὄντων θείων γενητῶν καὶ οὐχ ἑνός, οὐδ' ἂν πρὸς ἕν τι μόνον ἀντιδιῃρεῖτο τῶν θείων γενητῶν τὸ ἀνθρώπειον γενητόν· οὐδὲ γὰρ ὁ ἄνθρωπος ἑνὸς τῶν θείων ἕτερος, ἀλλὰ πάντων, καὶ περίοδον ἔχει διττήν, ἀμεινόνων καὶ χειρόνων γενέσεων, ἣν μηδὲν ἔχει θεῖον γενητόν, ἀλλ' οὐχὶ ἕν τι μόνον. παντὸς ἄρα λέγει θείου γενητοῦ καὶ οὐχὶ τινός, ὅταν λέγῃ· θείῳ μὲν οὖν γενητῷ περίοδός ἐστι ν , ἣν ἀριθμὸς περιλαμβάνει τέλειος [p. 546b]. τῶν δὲ ἄλλων τὴν περίοδον οὐχὶ ἀριθμὸς περιλαμβάνει τέλειος. ἐπεὶ καὶ εἰ [φήσ]ειέν τις τὸν κόσμον μόνον λέγεσθαι θεῖον γενητὸν καὶ διὰ τοῦτο τὸν ἀριθμὸν αὐτοῦ τὸν περιοδικὸν τέλειον, γελοῖον ἀντιβα[λ]εῖν τῷ κόσμῳ τὸν ἄνθρωπον καὶ τὴν τούτου περίοδον πρὸς τὴν κοσμικήν· οὐ γὰρ εὔτακτος ἡ μετάβασις, καὶ ταῦτα Μουσῶν λεγουσῶν.

in R.2.15 πᾶν ἄρα λέγει θεῖον γενητόν, μεθ' ὃ τὸ ἀνθρώπειόν ἐστι γενητόν. τῶν οὖν γενητῶν ἀεικινήτων ὄντων ἢ οὐκ ἀεικινήτων πάντα τὰ ἀεικίνητα θεῖα καλέσας τὸ ἀνθρώπειον ἀντιδιεῖλεν ἐκείνοις, οὐκέτι μίαν ἔχον ζωὴν καὶ ἀριθμῷ τὴν αὐτὴν οὐδὲ ἀπαράλλακτον τὴν περίοδον. Διόπερ ἐκείνου μὲν παντὸς τὴν περίοδον ἀριθμὸς περιλαμβάνει τέλειος εἷς ὢν ἐφ' ἑκάστου καὶ ὁ αὐτὸς ἀποκαταστατικός, μήτε προσθήκην μήτε ἀφαίρεσιν ἔχων· καὶ πάντων τελειότατος ὁ τοῦ παντός. μέρη γὰρ οἱ ἄλλοι, καὶ εἰ τέλειοι εἶεν, τοῦ κοσμικοῦ χρόνου, ὡς καὶ αὐτὰ τὰ κινούμενα μέρη τοῦ κόσμου πάντα, καὶ αἱ ζωαὶ αὐτῶν τῆς κοσμικῆς ζωῆς καὶ αἱ περίοδοι τῶν περιόδων. γενητὸν μὲν οὖν καὶ τὸ πᾶν σῶμα καὶ ἕκαστον σῶμα, κἂν ἀίδιον ᾖ καὶ ἀπὸ χρόνου παντελῶς ἀγένητον, ὡς ἀπ' ἄλλης αἰτίας μόνον γεννώμενον, ἀεὶ τοῦ ποιοῦντος αὐτῷ ἀεὶ τῷ εἶναι ποιοῦντος· γενητὰ δὲ κυρίως τὰ ἀπὸ χρόνου γεγονότα, ὧν τὸ ἀνθρώπειον ἐν τοῖς συνεγνωσμένοις πρῶτον. ὅτι γὰρ καὶ ἄλλα ἐστὶν θνητὰ πρὸ ἡμῶν, δῆλον· οὐ γὰρ ἀπὸ τῶν ἀιδίων καὶ λογικῶν εἰς τὸ ἀσθενὲς τοῦτο ζῷον καὶ βραχύβιον ἀμέσως ἡ δημιουργία προῆλθεν, ἀλλ' ἔστι καὶ ἄλλα γένη μακραίωνα ἐγγὺς θεῶν οἰκοῦντα, 〈ἃ〉 εἰς ἐκείνην [τὴν τάξιν τατ]τόμεθά ποτε· γένοιτο δ' ἄν .. 11 .. ἐκείνων εἰς τὸ γένος ἡμῶν μετάβασις, οὐ κατ' οὐσίαν ἀληθῶς ἐκεῖ τεταγμένων, ἀλλὰ .

in R.2.16

. 10 .. ἐσχάτων ἐκεῖ γιγνομένων. Ις . Τὸν τέλειον ἀριθμὸν οὐ μόνον χρὴ νοεῖν ἐπὶ δακτ[ύλων τι]θέντας (οὗτος γ[άρ ἐστιν] ἀριθμητὸν μᾶλλον ἢ ἀριθμὸς καὶ τελειούμενος καὶ οὐδέποτε τέλειος, ἀεὶ γιγνόμενος), ἀλλὰ τὴν αἰτίαν τούτου νοερὰν μὲν οὖσαν, περιέχουσαν δὲ τὸν πεπερασμένον ὅρον τῆς τοῦ κόσμου πάσης περιόδου. ὡς οὖν ὁ Μὴν ἐπὶ σελήνης θεὸς ὢν ὑφίστησι τὸν ἀριθμούμενον μῆνα τῆς περιόδου τῆς σελήνης, καὶ ὡς αἱ Ὧραι τὰ μέτρα τὰ ἐμφανῆ γεννῶσι τῶν ὡρῶν, οὕτω πολλῷ πρότερον ὁ τέλειος ἀριθμός ἐστιν ὁ ἑστὼς πρὸ τοῦ κινουμένου. καὶ καθ’ ἕκαστον τῶν ἀεικινήτων ἔστιν τις νοῦς, ὃς καὶ τὴν ζωὴν τὴν ἐν αὐτῷ συμπεραίνει καὶ τὴν ἀποκατάστασιν τὴν σωματικήν. οὐκ ἄρα δεῖ ζητεῖν, τίς ὁ τέλειος ἀριθμός, εἰς μυριάδας ἀποβλέποντας τόσας καὶ τόσας. οὐδὲ γὰρ δυνατὸν ἐπὶ τοῦ παντὸς εὑρεῖν τοῦτον, ὅτι μηδὲ πάντων τῶν κινουμένων δυνατὸν τὰς περιόδους εὑρεῖν· οὐδὲ γὰρ πάντα τὰ περιιόντα κύκλῳ, πολλαπλασίων ὄντων τῶν μὴ καθεωραμένων θείων καὶ δαιμονίων σωμάτων, καὶ ὧν δὲ ὁρῶμεν, ὡς τῶν ἀπλανῶν, τούτων ἑκάστου τὴν περίοδον εὑρεῖν ἀδυνάτου πᾶσιν ὄντος. κινεῖται μὲν γὰρ ἕκαστος περὶ τὸ ἑαυτοῦ κέντρον· κινούμενος δὲ ἔχει τινὰ χρόνον τῆς περιόδου, καθ’ ὃν εἰς τὸ αὐτὸ σχῆμα τελευτᾷ· τούτου δὲ τὸν ἀριθμὸν δαίμονες μὲν εἰδεῖεν ἄν, ἀνθρώποις δὲ ἀμήχανόν ἐστ[ιν. εἰ δὲ καὶ] τῶνδε ηὕρηντο οἱ χρόνοι τῶν [ἡμῖν ὁρα]τῶν, ποῖος νοῦς πάντων τῶν δαιμονίων κινημάτων ἢ τῶν ἄλλων εὗρεν ἂν τοὺς περιοδικοὺς ἀριθμούς; ἀλλὰ μὴν τὸν ἀποκαταστατικὸν τοῦ παντὸς ἀριθμὸν ἐκ τούτων ἀνάγκη μετρεῖσθαι πάντων· πολλῷ ἄρα μᾶλλον ἐκεῖνον ἀδύνατον εὑρεῖν.

in R.2.17 ὅσοι δὲ τὸν ἐκ τῶν ἑπτὰ κοσμοκρατόρων εὑρεῖν ἐπειράθησαν ἕνα καὶ τέλειον ἀριθμόν, εἰς μέρος τοῦ παντὸς ἰδόντες ᾠήθησαν ἔχειν τὸ πᾶν. οὔτε οὖν τὸν τοιοῦτον ἀριθμὸν ἀποδεκτέον τούτοις ἀδύνατον ὄντα πρὸς εὕρεσιν καὶ οὔποτε τέλειον οὐδὲ περιέχοντα τὴν περίοδον, ἀλλὰ συμπαρατεινόμενον, οὔτε ὅπερ εἶπον ἄλλοι, τὸν αἰῶνα αὐτόν, ὅς ἐστιν τοῦ χρόνου πατήρ. περιέχει μὲν γὰρ καὶ ἐκεῖνος, ἀλλ’ οὐ τὴν τοῦ θείου γενητοῦ περίοδον, ἀλλ’, ὥς φησιν Ἀριστοτέλη ς , αὐτὸν τὸν ἄπειρον χρόνον. καὶ ἔτι οὐδὲ ἀριθμὸς ὁ αἰών, ἀλλὰ πρὸ ἀριθμοῦ παντός, ἐν ἑνὶ μένων, ὥς φησιν ὁ Τίμαιος [p. 37d]. ὁ γὰρ ἀριθμὸς ἐκεῖ, ὅπου ἑτερότης· ὁ δὲ αἰὼν πρὸ ἑτερότητος καὶ πρὸ τοῦ ζῴου τοῦ παντελοῦς. ἀλλ’ ἐπεὶ κατ’ ἀριθμὸν ὁ χρόνος ὁ ἐμφανὴς κυκλεῖται, ὥς φησιν ὁ Τίμαιος [p. 38a], εἴη ἂν πρὸ τούτου ὁ κυκλῶν ἀριθμός, ἀποκαταστατικὸς ὢν τῆς περιόδου πάσης. καὶ εἰ μὲν κἀκεῖνος ἐν γενέσει εἴη, πάλιν ἔσται κατ’ ἀριθμὸν ἄλλον καὶ εἰς ἄπειρον· εἰ δὲ ἀριθμὸς μόνον ἀεὶ ὢν αἴτιος τοῦ κατ’ ἀριθμὸν κυκλουμένου χρόνου, ἀριθμὸς ὢν αὐτὸς νοερὸς καὶ οὕτω χρόνος ὡς χορόνους τις ὤν, τοῦ χορεύειν αἴτιος τῷ κόσμῳ (τῆς κατὰ κύκλον ἀποκαταστάσεως χορείας λεγ[ομένης]) .

in R.2.18 . ἐν τῷ ἑβδόμῳ τῆς Πολιτείας [p. 529d] ..... Σωκράτης ἀληθινὸν ἀριθμὸν π[ροσειπὼ]ν ἐν αὐτῷ φησιν εἶναι τὸ αὐτοτάχος καὶ τὴν αὐτοβραδυτῆτα, καὶ χρῆναι τὸν ὡς ἀληθῶς ἀστρονομικὸν ἐκεῖνον ὁρᾶν ἀντὶ τῶν ἐμφανῶν οὐρανίων χρονικῶν μέτρων, περὶ ἃ διατρίβουσιν οἱ πολλοὶ τῶν τὰ οὐράνια φροντιστῶν. εἰ γὰρ ἐννοήσαιμεν, ὅτι χρόνῳ μὲν ὁρίζεται τὸ ταχὺ καὶ βραδύ, τὸν δὲ ἀριθμὸν ἐκεῖνόν φησι ταῦτα περιέχειν, συναγάγοιμεν ἂν ἐξ ἀνάγκης τὸν ἀριθμὸν ἐκεῖνον χρόνον εἶναι· καὶ εἰ προσεννοήσαιμεν, ὅτι ἢ ὁ μετ’ οὐρανοῦ γεγονώς ἐστι χρόνος ἢ πρὸ ἐκείνου τις, ὁ δὲ μετ’ οὐρανοῦ γεγονὼς γενητός, οὗτος δὲ ἀληθινὸς ἀριθμὸς ὑπ’ αὐτοῦ λέγεται, δῆλον ὡς ἀναγκάσομεν ἐκείνου προεστάναι τοῦ κατ’ ἀριθμὸν ἰόντος τὸν αὐτοαριθμόν, τοῦ γενητοῦ τὸν ἀληθινόν. θεὸς οὖν ἐστιν ὑπερκόσμιος ὁ χρόνος ἐκεῖνος, οὕτως ἀριθμὸς ὡς ἀριθμῶν πάσας περιόδους τῶν ἐν τῷ κόσμῳ ζώντων, καὶ ἀποκαθιστὰς πάντα κατὰ τὰ ἑαυτῷ σύμφυτα μέτρα. καὶ οὗτος μὲν εἷς τέλειος καὶ ἀληθινὸς ἀριθμός· λοιπὸν δὲ ἄλλος καθ’ ἕκαστον θεῖον γενητόν, ὡς μὴν ἐπὶ σελήνης καὶ ἐνιαυτὸς ἐπὶ ἡλίου, καὶ ἐπὶ πάντων ὁμοίως ἢ ἐμφανῶν ἢ ἀφανῶν, θείων ὄντων γενητῶν καὶ ἀεὶ ὡσαύτως ζώντων κατὰ τὰς ἰδίας περιόδους τάς τε ψυχικὰς καὶ τὰς σωματικάς, εἴτε οὐρανίας ἐχόντων τάξεις εἴτε ὑποσελήνους, ἀερίας τινάς,

ἐνυδρίας ἢ χθονίας. ἔστι γὰρ ἐν ἑκάστῃ μοίρᾳ τοῦ παντὸς .... 45 ... δὲ ... 10 ... παντὶ τῷ ἀριθμῷ ... 10 ... ἀποκαταστατικῷ θείου γενητοῦ [τ]ινος ἐκεῖνος ὁ τοῦ ἀνθρωπείου γενητοῦ [ἀριθμ]ός, ἴδιος ὢν τῆς ἀνθρωπίνης ζωῆς [καὶ] μετρητικὸς ταύτης καὶ ἀποκαταστατικός, οὐκέτι τέλειός ἐστιν ἁπλῶς ὡς ἐκείνων ἕκαστος, ἀλλά, καθάπερ αὐτός φησιν [p.

in R.2.19 546c], κύριος ἀμεινόνων καὶ χειρόνων γενέσεω ν . καὶ γὰρ οὗτος πρὸ τῶν ἀνθρωπίνων ἐστὶ περιόδων, εἴπερ κύριος αὐτῶν ἐστιν, περιέχων τὰ διάφορα μέτρα τῆς τοῦ ἀνθρωπείου γενητοῦ ζωῆς καὶ τῆς εὐγονίας αὐτοῦ καὶ δυσγονίας. ἀλλὰ τοῦτον μὲν εἰς ὕστερον εὑρήσομεν ὅστις ἐστίν· νῦν δὲ ὁ παντὸς θείου γενητοῦ τῆς συμπάσης ζωῆς ἀριθμὸς εἷς καὶ πολὺς ὤν, ὡς καὶ τοῦ ὅλου κόσμου κοινὸς καὶ ἑκάστου τῶν θείων γενητῶν ἴδιος, τέλειος μὲν ἅμα λεγέσθω καὶ ἀληθινός, 〈ἀληθινὸσ〉 μὲν ὡς νοερός, τέλειος δὲ ὡς τελεσιουργός· ὃς καὶ δῆλον ὅτι καὶ πρὸ πάσης ψυχῆς ἐστιν, εἴπερ καὶ ψυχὴ πᾶσα κατὰ χρόνον ἐνεργεῖ καί, ὡς ἐν Φαίδρῳ λέγει [p. 247de], διὰ χρόνου θεᾶται πᾶν ὅπερ ἂν θεᾶται. νοῦς ἄρα τίς ἐστιν θεῖος, εἴπερ καὶ τὸ κατ’ αὐτὸν κινούμενον θεῖόν ἐστι γενητόν. IZ . Τὸν μὲν τέλειον ἀριθμὸν τῆς περιόδου τοῦ θείου γενητοῦ παντὸς ὅτι νοερὸν χρὴ νομίζειν, εἴπομεν. τὸν δὲ τῆς ἀνθρωπείας περιόδου ποῖόν τινα ῥητέον; ἢ δῆλον ὅτι πολλοστὸν ἀπ’ ἐκείνου καὶ οὐκέτι τέλειον ἁπλῶς, διττῶν ὄντα κύριον γενέσεων, ὡς αὐτός φησιν, ἀμεινόνων καὶ χειρόνων, ἀλλὰ συμφυᾶ μὲν τῇ οὐσίᾳ ..... συμφ[υᾶ δὲ .... 50 ... ἐ[φ]έστηκεν ταῖς περίοδοις τοῦ ἀνθρωπείου γενητοῦ, κύριος ὢν (ὥς φησιν) διττῶν, ἀμεινόνων καὶ χειρόνων γενέσεων ..... των, ἀληθὲς ὅτι τῶν ἀιδίως περιαγομένων δεῖ τινα προϋπάρχειν τῆς κυκλήσεως αἰτίαν ἀκίνητον. ἐπεὶ οὖν καὶ τὸ ἀνθρώπειον γενητὸν ἔχει περιόδους, εἰ καὶ ἀμείνους ἢ χείρους, ἔστιν τις ὁ καὶ τούτων μετρητικὸς πρὸ τῶν κατ’ ἀριθμὸν μετρουμένων, ὁ μετρῶν αὐτάς, εἴτε τις Προμηθεὺς ὢν εἴτε καὶ ἄλλος τις τῶν τελούντων ὑπὸ τὸν ἕνα τῆς πάσης αἴτιον παλιγγενεσίας θεὸν ἔν τε τοῖς θείοις γενητοῖς οὔσης καὶ τοῖς μὴ θείοις.

in R.2.20 πᾶσα γὰρ ἡ χρονικὴ σειρὰ τοῦ ἑνὸς ἐκείνου θεοῦ ἀνῆπται, μετροῦσα τῷ πάλιν καὶ πάλιν τὴν ἀποκατάστασιν ἑκάστων καθ’ ἕνα καὶ τὸν αὐτὸν ὅρον. δεῖν οὖν λέγω καὶ τὸν κύριον τῶν ἀμεινόνων καὶ χειρόνων τοῦ ἀνθρωπείου γενητοῦ περιόδων ἀριθμὸν ὁρᾶν μὴ μόνον ἐν αὐταῖς ταῖς κατ’ αὐτὸν ἀνακυκλουμέναις ψυχαῖς καὶ συντελούσαις εἰς τὸ ἀνθρώπειον γενητόν, μηδὲ ἐν τῇ εἱμαρμένῃ μόνον, ἀλλὰ πρὸ τούτων αὐτὸν καθ’ αὑτόν, εἶτα καὶ ἐν τῇ εἱμαρμένῃ καὶ ταῖς ψυχαῖς. τὸ γὰρ ἄμεινον καὶ τὸ χεῖρον τῶν γενέσεων ἀπὸ τῆς ποιᾶς ζωῆς τῶν ψυχῶν καὶ ἀπὸ τῶν εἱμαρμένων συμπλέκεται περιόδων. εἰ οὖν ἀμφοτέρων εἱμαρμένη περιέχει τὴν αἰτίαν τῶν τε εὐγονιῶν καὶ τῶν δυσγονιῶν, ὁ δὲ διπλοῦς οὗτος ἀριθμὸς παράδειγμά ἐστιν ἀμφοῖν, εἴη ἂν καὶ ἐν τῇ εἱμαρμένῃ πάντως· καὶ εἰκότως, ἐπειδὴ καὶ πάσης τῆς [γενέσεω]ς τὸν ἀριθμὸν περιείληφεν θείας [τε καὶ ἀνθρωπίνης·] ἢ πῶς ἀποκαθίστησι τὸν κόσμον κατὰ τοὺς οἰκείους ὅρους, πάντων οὖσα κινητικὴ τῶν ἐγκοσμίων, τῶν βραχυπόρων καὶ μακροπόρων; ἀλλ’ αὐτὸν ἀνάγκη καὶ ἐν αὐταῖς εἶναι τοῦτόν γε ταῖς ψυχαῖς ταῖς εἰς τὸ ἀνθρώπειον γένος ἰούσαις ζωτικαῖς· αὐτοκινήτως γὰρ ζῶσιν καὶ οὐ περιάγονται μόνον ὑπὸ τῆς εἱμαρμένης, ὥσπερ τὰ πληγῇ νεμόμενά φασιν, ἀλλὰ καὶ ἑαυτὰς περιάγουσιν. ἔστιν οὖν ἀριθμὸς ζωτικὸς κινούμενος περιοδικῶς, 〈περιόδων〉 ἀμεινόνων ἢ χειρόνων· ἑκάστη δὲ δυοειδὴς οὖσα καὶ κύκλος ταὐτοῦ καὶ θατέρου, κατὰ μὲν τὸν ταὐτοῦ κύκλον ἔχει τὴν ἁρμονίαν τὴν κρείττονα, κατὰ δὲ τὸν θατέρου τὴν χείρονα· μηδέποτε μὲν ἔξω γιγνομένη πάσης ἁρμονίας (ἐκπέσοι γὰρ ἂν καὶ τῆς οὐσίας αὐτῆς ἐν ἁρμονικοῖς ὑφεστώσης λόγοις), κρείττονα δὲ ἁρμονίαν ὅμως δεχομένη καὶ χείρονα καὶ ἀριθμὸν ἄλλον μὲν ἐκείνης, ἄλλον δὲ ταύτης προβάλλουσα.

in R.2.21 καθάπερ οὖν τὸν τῶν θείων περιόδων ἀριθμὸν οὐχὶ πλῆθος ἐννοοῦμεν (ἀπεριήγητον γὰρ ἦν), ἀλλ’ ἀπὸ τῆς ποιότητος τέλειον αὐτὸν ἐλέγομεν ὡς τελεσιουργόν, οὕτω δὴ καὶ τὸν τῆς ἀνθρωπείας κἂν διττὸν ποιῶμεν, μὴ κατὰ τὸ ποσὸν αὐτὸν νοήσωμεν, ἀλλὰ κατὰ τὸ εἶδος τῆς ζωῆς, τέλειον καὶ ἀτελῆ, ταὐτοποιὸν καὶ ἑτεροποιόν, ἐπιστρεπτικὸν καὶ γενεσιουργόν. ἡ μέν γε

μυριάς, ἥτις ἐστὶν ἁρμονία κρειττων, ἐκ τῆς τριωδουμένης γενομένη μονάδος ἐπιστραφείσης εἰς ἑαυτὴν ἀποκαταστατική τίς ἐστιν καὶ τελεσιουργὸς τῆς ψυχῆς, ἐπανάγουσα πεσοῦσαν αὐτὴν εἰς ἐκεῖνο πάλιν ὅθεν ἥκει δεῦρο, καθάπερ εἶπεν ὁ ἐν Φαίδρῳ Σωκράτης [p. 248e]. καὶ γὰρ ἡ μὲν μονὰς Δίιός ἐστι, μονοειδῶς πᾶν περιέχουσα τὸ πᾶν· ἡ δὲ δεκὰς Διονυσιακή (τίκτει γοῦν αὐτὸν δεκάμηνον ὁ πατὴρ πάσης ἀποκαταστάσεως αἴτιον)· ἡ δὲ ἑκατοντὰς αὐταῖς προσήκει ταῖς ψυχαῖς, γεννηθείσαις ἐκ τῆς δεκάδος εἰς ἑαυτὴν εἰσιούσης. εἰ δὲ βούλει, καὶ ἡ μὲν μονὰς ἑνοειδὴς οὖσα τῆς πάντων ἀρχῆς ἐστιν [εἰκών]· ἡ δὲ δεκὰς τῆς νοερᾶς αἰτίας, ἥτις εἰς ἑαυτὴν στραφεῖσα μετὰ τὴν πρόοδόν ἐστιν δεκάς· ἡ δὲ ἑκατοντὰς ψυχικὴ λοιπὸν ὡς τριωδουμένα μονὰς καὶ ἐξ ἀμφοῖν οὖσα· στραφεῖσα οὖν εἰς ἑαυτὴν ὑφίστησιν αὕτη ζωὴν αὐτενεργήτως ἀποκαταστατικὴν εἰς τὴν ἀρχήν, καὶ διὰ τοῦτο ἡ μυριὰς ἀποκαταστατικὴ ψυχῆς ἐστιν.

in R.2.22 ὁ δὲ ἕτερος ἀριθμὸς ὁ ἐκ τῆς ἑκατοντάδος ἐπὶ τὸν πέντε καὶ ἑβδομήκοντα γεγονὼς ἐνέργειά τίς ἐστιν καὶ αὐτὸς ψυχῆς (μένει γὰρ ἡ τριωδουμένη μονάς), ἀλλὰ ἐκπεσούσης εἰς τὸ χεῖρον, εἰς ἑαυτὴν δὲ συννεῦσαι μὴ δυνηθείσης. λείπων γάρ ἐστιν ἐκεῖνος τῷ ἀπὸ τῆς πεντάδος, ἣν ἱερὰν δικαιοσύνης οἱ Πυθαγόρειοί φασιν· ἐλλείπων οὖν τῷ τῆς αὐτοπραγίας εἴδει τῆς εἰς γένεσιν ἐξελθούσης ζωῆς ἐστιν εἰκών· ἣν ὁ θατέρου κύκλος προβάλλων γενεσιουργὸν ἀποτελεῖ τὴν ὅλην ἡμῶν περίοδον ἀντὶ νοερᾶς, καὶ ἀλλοτριοπραγοῦσαν ἀντὶ τῆς ἐπιστρεφούσης εἰς ἑαυτήν. Τοῦ τοίνυν ἀριθμοῦ τῆς ἀνθρωπείας περιόδου δυοειδοῦς ὄντος κατά τε τὴν εἱμαρμένην ποίησιν καὶ κατὰ [τὴν ψυχικὴν ζωή]ν, δεῖ τὸν καιρὸν παραλαβεῖν, [ὃς διττ]ῶν ἐστιν ψυχῶν οἰστικός, τῶν ἀμεινόνων καὶ τῶν χειρόνων, καὶ τὰς συζεύξεις ἐν τοῖς κ[ρείττο]σιν π[οι]εῖσθαι τῶν καιρῶν. ΙΗ . Ὅτι Κρόνιος πρὸς τοὺς διαφθείροντας τὸν κόσμον ἱστάμενος καὶ τοὺς γενητὸν ἀκούοντας ὡς τοῖς φθαρτοῖς οἰκεῖον ‘ἄθλιοι‘ φησίν ‘καὶ τὰς ἐναντίας δυνάμεις τῷ πυρὶ μὴ ἱστορήσαντες ἀξιομάχους οὔσας‘. καὶ ἔτι ὅτι οὐ πάντα φθείρει τὸ πῦρ· οὔκουν τὰ λίνα τὰ ἐκ τῆς λίθου τῆς Καρυστίας. καὶ ὅτι τὸ θεῖον πῦρ τῷ παρ’ ἡμῖν πολέμιον· οὐ καταφέρεται γοῦν κεραυνὸς εἰς οἰκίαν ἐν ᾗ πῦρ ἐστιν οὐδὲ ἔνθα δέρμα ἀνάκειται φώκης· σχολῇ ἄρα τὰ ἄλλα φθείρει τὸ πῦρ, φεῦγον τὴν θάλασσαν ἐν ᾗ αἱ φῶκαι.

in R.2.23 ἀλλ’ οὐδὲ ἐπὶ δάφνην φέρεται κεραυνός· διὸ καὶ ὁ μῦθος τὸν Ἀπόλλω λέγει φεύγειν τὴν Δάφνην. ΙΘ . Ὅτι Κρόνιος τὰς δύο ἁρμονίας [p. 546c] ἀκούει κατὰ μὲν τὸ ἄρρεν τὸν μύρια , κατὰ δὲ τὸ θῆλυ τὸν ͵ΖΦ · καὶ φησίν, ὅτι δεῖ καὶ τὸ ἄρρεν τῷ θήλει συζεύγνυσθαι κατὰ τὸν τούτων λόγον καὶ τὴν ψυχὴν τῷ σώματι· καὶ γὰρ τούτων λόγος 〈ὡσ〉 ἄρρενος πρὸς θῆλυ· καὶ ἡ ἐμμελὴς τούτων κἀκείνων σύνοδος (ἐμμελὴς δὲ ὡς κατὰ λόγον οὖσα μουσικόν) εὐγονίαν ποιεῖ, ἡ δὲ ἐκμελὴς ἀφορίαν καὶ παῖδας ἀμούσους. Κ . Ὅτι Δημήτριος ὁ γεωμέτρης μέν, Πορφυρίου δὲ διδάσκαλος, εἰς τὴν σύζευξιν τῶν ὁμοίων ἀνάγει πάντα καὶ ἐκ τῶν ἀριθμῶν δείκνυσθαί φησιν, ὅτι καὶ ἐν τῇ φύσει κατὰ τὴν μῖξιν τῶν ἀνομοίων κρατεῖ τὸ χεῖρον. καὶ γὰρ τίκτουσι περιττοὺς οἱ περιττοὶ καὶ οἱ χείρους ἐναντίους, οἱ ἄρτιοι· ὁ γὰρ ἐξ ἀρτίου ἄρτιος. οἱ δὲ ἐξ ἀμφοῖν τοῖς χείροσιν ὁμοιοῦνται· ὁ γὰρ ἐξ ἀρτίου καὶ περισσοῦ ἄρτιος. εἶναι οὖν τὸν ἀριθμὸν δηλωτικὸν τῆς ἐν τῇ συζεύξει τῶν ἀγαθῶν καὶ μὴ ἀγαθῶν εἰς τὸ χεῖρον φορᾶς. ΚΑ . Ὅτι Σωσιγένης τὸν τέλειον ἐνιαυτὸν εἶναι συνήγαγεν ἐκ μυριάδων τετάρτων μὲν ΛΔ , τρίτων δὲ ΔΤ.. , δευτέρων δὲ ͵ΖΩΟς , π[ρώ]των δὲ ͵ΓΩΛς , καὶ ἔτι ἐτῶν ... [τοῦτ]ον δὲ συνήγαγεν ἐκ τῶν συναποκαταστάσεων τῶν ἑπτὰ σφαιρῶν. λαβὼν γὰρ ἑνὸς ἀποκατάστασιν ἀκριβῆ καὶ ἄλλου εὗρεν τὸν ὑπὸ τούτων μετρούμενον, καὶ τρίτον προσέθηκεν καὶ ἑξῆς· καὶ οὕτως εὗρεν τὸν ὑπὸ πάντων.

in R.2.24 οὕτω δέ τινες καὶ προρρήσεις ἀνέγραψαν, οὐ μόνον δωδεκαετηρίδας Διός, ἀλλὰ καὶ Κρόνου καὶ Διός, ὡς ἑκάστου καὶ κατὰ τὴν ἑαυτοῦ περίοδον καὶ κατὰ τὴν μετ’ ἄλλου τινὸς ἢ μετ’ ἄλλων διάφορα συναποτελοῦντος. ΚΒ . Ὅτι Δερκυλλίδης τὴν τοῦ θείου σώματος περίοδον, τὸ

αὐτὸ τέλος ποιουμένην καὶ ἀρχήν, τοῦ μηδέποτε συμπεσεῖσθαι τὸ πᾶν αἰτιᾶται. καὶ γὰρ τὴν ῥάβδον τὴν περὶ τῷ δακτύλῳ κινουμένην μὴ πίπτειν, ἕως ἂν περιδινῆται, καὶ τὸν ἐπὶ τῆς γῆς κυλιόμενον τροχόν· στάντα δὲ ταῦτα πίπτειν εὐθύς. εἰ οὖν συναποκαταστάντες εἰς ἓν σημεῖον ἔστησαν οἱ ἀστέρες, ταὐτὸν ἂν ἔπαθον· νῦν δὲ τὸ πέρας αὐτῶν ἀρχὴ ἄλλης γίνεται περιόδου· καὶ ἡ συναποκατάστασις, οὐκ οὖσα στάσις ἀλλ' ἀφετηρία τῆς ἑξῆς περιόδου, τηρεῖ τὴν κοσμικὴν τάξιν. ΚΓ . Ὅτι αἱ ταῖς ἀρρήτοις διαμέτροις παρακείμεναι ῥηταὶ μονάδι μείζους εἰσὶν ἢ ἐλάττους διπλασίου, διὰ τῶν ἀριθμῶν οἱ Πυθαγόρειοι δεικνύουσιν. ἐπεὶ γὰρ ἡ μονὰς πάντα ἐστὶν σπερματικῶς, δῆλον, φασίν, ὅτι καὶ πλευρά ἐστιν καὶ διάμετρος. ἔστων οὖν δύο μονάδες, ἢ μὲν ὡς πλευρὰ [ἢ δ]ὲ ὡς διάμετρος, καὶ προσκείσθω τῇ μὲν ὡς πλευρᾷ μία διάμετρος, τῇ δὲ ὡς διαμέτρῳ πλευραὶ δύο, ἐπείπερ ἡ ὡς διάμετρος μονάδι ἐλάσσων ἢ διπλασία τῆς ὡς πλευρᾶς. ἔσται οὖν οὕτως ἡ μὲν δυεῖν μονάδων, ἡ δὲ τριῶν· καὶ τὰ μὲν ἀπὸ τούτων τῆς μὲν τεσσάρων, τῆς δὲ ἐννέα, ὅπερ ἐστὶν μονάδι μεῖζον ἢ διπλάσιον.

in R.2.25 πάλιν προσκείσθω τῇ μὲν δυεῖν μία διάμετρος ἡ τριῶν, τῇ δὲ τριῶν διαμέτρῳ δὶς ἡ πλευρὰ ταῖν δυεῖν. ἔσται οὖν ἡ μὲν πλευρὰ πέντε τινῶν, ἡ δὲ διάμετρος ἑπτά τινων, καὶ τὰ ἀπ' αὐτῶν τῆς μὲν κε′, τῆς δὲ μθ′, μονάδι ἐλάσσονα ἢ διπλάσιον. ᾗ καὶ ὁ Πλάτων εἶπεν τὸν ὀκτὼ καὶ τετταράκοντα ἀριθμὸν εἶναι ἀπὸ διαμέτρων ῥητῶν μὲν πεμπάδος δεομένων ἑνός, ἀρρήτων δὲ δεομένων δυεῖν, ἐπειδὴ διπλάσιον ἡ διάμετρος δύναται τῆς πλευρᾶς. ἐὰν δὲ λάβωμεν ἁπάσας τὰς ἀπὸ τῶν τοιούτων διαμέτρων, ἔσονται διπλάσιαι ὄντως, ὧν ἑκάστη μονάδι μείζων ἢ ἐλάσσων διπλασίου· οἷον ἡ ἐννέα μετὰ τοῦ μθ′ τῆς τοῦ κε′ καὶ δ′. διὸ καὶ οἱ Πυθαγόρειοι ἐθάρρησαν τῇ μεθόδῳ. ΚΔ . Ὅτι τὸ μὲν τρίγωνον αὐτό φασιν οἱ περὶ τὸν Δερκυλλίδην ἐοικέναι τοῖς πρώτοις φύλαξιν διὰ τὴν τῶν λόγων κοινωνίαν, τῶν μὲν περιεχουσῶν τὸν πρῶτον ἐν συμφωνίᾳ λόγον ἐχουσῶν, τῆς δ' ὑποτεινούσης ἢ δυναμένης ἀμφοῖν· τοὺς δὲ ἀπὸ τούτων τετάρτους ἀριθμοὺς τρὶς αὐξηθέντων ἐοικέναι τοῖς τετάρτοις· ἐν οἷς ὁ μέν ἐστιν ὁμοιότητι φίλος, ὁ ρ , ὁ δὲ ἀνομοιότητι, ὁ οε . καὶ ὁ μὲν [γεννᾷ] τοιοῦτον ἄλλον τὸν μύρια, ὁ δὲ ἀνόμοιον μετ' ἐκείνου τὸν ˛ ΖΦ · ὥνπερ ὁ μέν ἐστιν εὐγονίας αἴτιος τὸ ὅμοιον .. 8 .. συνάγων εἰς ἀπογέννησιν, ὁ δὲ ἀφορ[ίας, ὃς] ἀνόμοια συζεύγνυσιν .. 12 .. παραδείγματά εἰσιν τῆς τῶν [ὁμοίων καὶ ἀνο]μοίων συναφῆς, ἃ παρ[ιδ]όν[τας τοὺς ἄρχον]τας λύειν τὴν πολιτείαν. ΚΕ . Ὅτι καὶ Νικόλαος καὶ Μάγνος ὁ γεωμέτρης τὰ Νικολάου παραφράζων δόξαν τὴν αὐτὴν ἔσχον, λέγοντες παραδείγματι τῷ ἀριθμῷ χρῆσθαι τὸν Πλάτωνα τῆς τῶν πολιτειῶν μεταβολῆς καὶ Μούσαις αὐτὸν ἀναθεῖναι διὰ τὴν περὶ τὰ ἀναθήματα τιμὴν δεικνύντα ὅτι, ὡ[ς ἐ]ν τοῖς ἀριθμοῖς αἱ ποιαὶ συζεύξεις ὁμοίους ἢ ἀνομοίους ἀποτελοῦσιν τοὺς ἐξ αὐτῶν, οὕτω καὶ ἐν τοῖς βίοις· καὶ ὡς χρὴ τοὺς ἄρχοντας εἰς ταῦτα βλέπειν, ἵνα μένωσιν οἱ γεννώμενοι τοῖς πατράσιν ὅμοιοι καὶ μὴ δι' ἀνομοιότητα εἰς ἄλλην μεταστῶσιν πολιτείαν· τὴν δὲ ὁμοιότητα τῆς τοῦ ἀγαθοῦ εἶναι συστοιχ[ίας].

in R.2.26 λαμβάνειν δὲ καὶ περιόδων ἀριθμόν, οὐχ ὡς καθ' εἱμαρμένην τῶν συνόδων γιγνομένων, ἀλλ' ὡς ὀφειλόντων τῶν συζευγνυμένων κατὰ τὴν προσήκουσαν ὥραν συζεύγνυσθαι τῆς ἡλικίας· καὶ εἶναι τοῦτον τὸν καιρὸν ἐν τῇ συμμετρίᾳ τῶν γαμούντων, ἵνα καθ' ἡλικίαν παιδοποιῶσιν. Κς . Ὅτι ἀπὸ τοῦ τριγώνου τούτου δείκνυσιν Πυθαγόρας τὰς τῶν ἑπταμήνων καὶ ἐννεαμήνων εὐγονίας καὶ τὰς τῶν ὀκταμήνων πηρώσεις· εἰσὶν γὰρ αὐτοῦ οἱ ἀριθμοὶ τῶν περὶ τὴν ὀρθὴν γλωχίνων· ἐκάλουν δὲ οὕτω τὰς περὶ τὴν .. 55 . ν, γλωχῖνες .. 20 . ἐστὶν η′ ... θ′ ἡ δ ..... γὰρ . ουμε . ῆς ... ς′, ὁμοῦ λε′ ἐ .. 8 . λειος αὐγ .. 7 .. ἑπταμηνι .. 8 .. καὶ οθ′ τῶν ὀξειῶν αἱ γλωχῖνες .. 10 . ς, ὁ ιβ′ καὶ ὁμοῦ ἡ περὶ τὴν ὀρθήν, ... ζ′ καὶ τὸ ἐμβαδόν, ὅ ἐστιν ς′, μετὰ τῆς τριάδος τοῦ ἀριθμοῦ ..... τῶν πλευρῶν· τρὶς γάρ εἰσιν β′ ... οἳ συντιθέμενοι ποιοῦσιν τὸν με′· ἐφ' ὃν ὁ ς′ ..... ἐννεάμηνον. ΚΖ .

in R.2.27

Ὅτι ἐπειδὴ ἀδύνατον ῥητὴν εἶναι τὴν διάμετρον τῆς πλευρᾶς οὔσης ῥητῆς (οὐ γάρ ἐστιν τετράγωνος ἀριθμὸς τετραγώνου διπλάσιος· ᾧ καὶ δῆλον ὅτι ἀσύμμετρά ἐστιν μεγέθη, καὶ ὅτι Ἐπίκουρος ψευδῶς ποιῶν μέτρον τὴν ἄτομον πάντων σωμάτων καὶ ὁ Ξενοκράτης τὴν ἄτομον γραμμὴν τῶν γραμμῶν), ἐπενόησαν οὕτω λέγειν οἱ Πυθαγόρειοι καὶ Πλάτων, τῆς πλευρᾶς οὔσης ῥητῆς τὴν διάμετρον ῥητὴν οὐχ ἁπλῶς, ἀλλ' ἐν οἷς δύνανται τετραγώνοις, τοῦ διπλασίου λόγου, ὃν δεῖ τὴν διάμετρον ποιεῖν, ἢ μονάδι [δέ]ουσαν ἢ μονάδι πλεονάζουσαν· πλεονάζουσαν μὲν ὡς τοῦ Δ τὸν Θ , δέουσαν δὲ ὡς τοῦ ΚΕ τὸν ΜΘ . Προετίθεσαν δὲ οἱ Πυθαγόρειοι τούτου τοιόνδε θεώρημα γλαφυρὸν περὶ τῶν διαμέτρων καὶ πλευρῶν, ὅτι ἡ μὲν διάμετρος προσλαβοῦσα τὴν πλευράν, ἧς ἐστιν διάμετρος, γίνεται πλευρά, ἡ δὲ πλευρὰ ἑαυτῇ συντεθεῖσα καὶ προσλαβοῦσα τὴν διάμετρον τὴν ἑαυτῆς γίνεται διάμετρος. καὶ τοῦτο δείκνυται διὰ τῶν ἐν τῷ δευτέρῳ στοιχείων γραμμικῶς ἀπ' ἐκείνου. ἐὰν εὐθεῖα τμηθῇ δίχα, προσλάβῃ δὲ εὐθεῖαν, τὸ ἀπὸ τῆς [ὅλης σὺν τῇ προσκειμένῃ] καὶ τὸ ἀπὸ [ταύ]της [μόνης τετράγωνα δι]πλάσια τοῦ τε ἀπὸ τῆς ἡμισεί[ας καὶ τοῦ ἀπὸ] τῆς συγκειμένης ἐκ τῆς ἡμ[ισείας καὶ τῆς] προσληφθείσης. ἔστω γὰρ πλ[ευρὰ ἡ ΑΒ καὶ ἴση] αὐτῇ ἡ [ΒΓ] καὶ διάμετρος τῆς [ΑΒ ἡ ΓΔ διπλά]σιον αὐτῆς δυναμένη, διὰ τὸ θεώρημα ἔσται τὸ ἀπὸ τῆς ΑΔ μετὰ τοῦ ἀπὸ τῆς ΔΓ διπλάσιον τοῦ ἀπὸ τῆς ΑΒ καὶ ἀπὸ τῆς ΒΔ .

in R.2.28 ὧν τὸ ἀπὸ τῆς ΔΓ διπλάσιον τοῦ ἀπὸ τῆς ΑΒ · καὶ λο[ιπὸν] ἄρα τὸ ἀπὸ τῆς ΑΔ τοῦ ἀπὸ τῆς ΒΔ διπλάσιον· ἐὰν γὰρ ᾖ ὡς ὅλον πρὸς ὅλον, οὕτως ἀφα[ιρεθὲν] πρὸς ἀφαιρεθέν, ἔσται καὶ τὸ λοιπὸν [πρὸς τὸ λοι]πὸν ὡς ὅλον πρὸς ὅλον. [ἡ] ἄρα ΓΔ διάμετρος προσλαβοῦσα τὴν ΒΓ πλευράν ἐστι πλευρά· ἡ δὲ ΑΒ ἑαυτὴν προσλαβοῦσα τὴν ΒΓ καὶ τὴν διάμετρον ἑαυτῆς τὴν ΓΔ ἐστὶ διάμετρος· δύν[αται] γὰρ διπλάσιον τῆς πλευρᾶς τῆς ΔΒ . Ταῦτα μὲν οὖν ταύτῃ· δεικνύσθω δὲ ἐπὶ τῶν ῥητῶν διαμέτρων ἀριθμητικῶς, ἃς εἴπομεν μονάδι μείζους εἶναι ἢ ἐλάσσους. ἔστω μονάς, περὶ δὲ αὐτὴν ἔστω μονάς, 〈ἡ〉 καὶ πλευρά ἐστιν ἑαυτῆς, διότι ἅπαξ τὸ ἓν γίνεται ἕν, καὶ διάμετρος ῥητή, μονάδι ποιοῦσα ἔλασσον τοῦ ἀπὸ τῆς πλευρᾶς, τοῦτ' ἔστιν τοῦ ἀφ' ἑαυτῆς· ἂν γὰρ προσλάβῃ μονάδα τὸ ἀπ' αὐτῆς, ὅ ἐστι τὸ ἕν, γίνεται τοῦ ἀπὸ αὐτῆς ὡς πλευρᾶς διπλάσιον. λαβέτω οὖν ἡ διαμετρικὴ μονὰς πλευράν, ὅ ἐστι μονάδα (καὶ γὰρ αὕτη διάμετρος ἦν), γίνεται δυὰς καὶ πλευρὰ τετράδος· ἡ δὲ πλευρικὴ μονὰς ἑαυτῇ συντεθεῖσα λαβέτω διάμετρον ἄλλην μονάδα (ἦν γὰρ καὶ ἡ διαμετρική), γίνεται τριὰς καὶ ποιεῖ τὸν ἐννέα, μονάδι μείζονα τοῦ ἀπὸ δυάδος· καὶ ἑξῆς ἡ δυὰς προσλαβέτω πλευρὰ οὖσα τὴν τριάδα [δι]άμ[ετρ]ον οὖσαν, γίν[εται πεμπ]άς· καὶ ἡ [τρι]ὰς προσ[λαβοῦσα] δὶς τὴν δυάδα γίνεται ἐπ[τάς]. καὶ ἔστι τὸ μὲν ἀπὸ τῆς πεντάδος εἴκοσι πέντε, τὸ δὲ ἀπὸ τῆς ἑ[πτά]δος τεσσαράκοντα θ , [ὅς ἐστι μο]νάδι ἐλάσ[σων τοῦ] ἀπὸ τῆς πεμ[πά]δος. πάλιν ἡ πεμπὰς προσλαβέτω τὴν ἑπτάδα καὶ ἡ ἑπτὰς δὶς τὴν πεμπάδα· γίνεται ὁ μὲν ἀπὸ τοῦ δώδεκα ἑκατὸν τεσσαράκοντα τέσσαρα, ὁ δὲ ἀπὸ τοῦ ἑπτακαίδεκα διακόσια ὀγδοήκοντα ἐννέα, ὅς ἐστι μονάδι μείζων ἢ διπλάσιος τοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρα· καὶ ἀεὶ οὕτως.

in R.2.29 ΚΗ . Ὅτι δαιμονίως ὁ Ἀμέλιος διττὴν εἰπὼν τὴν ἀρετήν, τὴν μὲν ἔνδον ζῶσαν ὡς τὴν θεωρίαν, τὴν δὲ ἐκτὸς ὡς τὴν πρακτικήν, διὰ μὲν τὴν θεωρίαν σοφοὺς λέγει κεκλῆσθαι τοὺς φύλακας, διὰ δὲ τὰς πράξεις λογισμῷ μετ' αἰσθήσεως ἐνεργοῦντας, σφαλεροῦ κριτηρίου, πταίειν· καὶ δι' ἐκείνην μὲν εἱμαρμένῃ μὴ κοινωνεῖν, διὰ δὲ ταύτην μεθ' εἱμαρμένης ζῆν καὶ συμπλέκειν τῇ εἱμαρμένῃ τὸ ἐφ' ἡμῖν. καὶ ὥσπερ ἄνευ εἱμαρμένης τὸ ἐφ' ἡμῖν εἰς τὰ ἔξω μὴ δρᾶν, οὕτως ἐν πολλοῖς μηδὲ τὴν εἱμαρμένην ἄνευ τοῦ ἐφ' ἡμῖν· μέρος γὰρ καὶ τοῦτο τοῦ κόσμου· τὴν δ' εἱμαρμένην εἱρμὸν εἶναι τῶν αἰτίων μερικῶν καὶ ὅλων. συνάγειν οὖν τὸν Πλάτωνα τῇ περιφορᾷ τὴν τοῦ ἐφ' ἡμῖν αἰτίαν· καὶ ἐπειδὴ περὶ σοφῶν ὁ λόγος ἦν, ταῖς πρακτικαῖς αὐτῶν ἐνεργείαις ἀναθεῖναι τὴν ἀτευξίαν· καὶ ταύταις οὐ ταῖς λογιστικαῖς, ἀλλὰ ταῖς αἰσθητικαῖς. ⟦ καὶ ⟧ ἐπεπαίδευτο δὲ ὁ λογισμὸς ἐν αὐτοῖς, οὐχ ἡ αἴσθησις (οὐδὲ γὰρ πέφυκεν), καὶ ταύτῃ

χεῖρον πράττει τοῦ ἀπ[λοῦ διὰ τὸ μὴ ἀκρι]βὲς μηδὲ σαφὲς τῶν αἰσθήσεων· [ἃς πολλάκις] διαβέβληκεν ἀποδεί[ξας] .. 14 .. καὶ ἐν τούτοις εἶπεν [p. 546b]· οὐδὲν μᾶλλον [τεύξο ν]ται τῆς εὐγονίας τοῦ ἀνθρωπείου γένους ἢ δυσγονίας· τοῦτο γάρ φασιν αἱ Μοῦσαι τὸ [ὑ]μέτερον γένος, ἅτε διαλεγόμεναι ἀνθρώποις καὶ χρησμῳδοῦσαι τὴν ἐσομένην λύσιν τῆς ἀρίστης πολιτείας. οὐδὲν οὖν μᾶλλον τεύξονται διὰ τὸ λογισμῷ χρῆσθαι μετ' αἰσθήσεως, ὅπερ ἄν τις ὑπέλαβεν τὴν διπλῆν γνῶσιν διπλασιάζειν τὴν τεῦξιν οὗ βούλονται τυχεῖν· τοὐναντίον γάρ φασιν, οὐ μᾶλλον ἀλλ' ἧττον τεύξονται τοῦ καιροῦ διὰ τὴν αἴσθησιν.

in R.2.30 ἁμαρτήσονται γὰρ δι' αὐτὴν καὶ ταῦτα ὄντες οἱ ἀκρότατοι διὰ τὴν παιδείαν οἱ φύλακες. ΚΘ . Ὅτι παραδόξως ὁ Ἀμέλιος ἐξηγήσατο, θεῖον γενητὸν οὐ τὸν κόσμον οὐδὲ τὸν οὐρανὸν ὡς πάντες, ἀλλὰ θεὸν μὲν εἰπὼν πᾶν τὸ νοητόν, θεῖον δὲ πᾶν τὸ οὐράνιον, θεῖον γενητὸν εἰρῆσθαί φησιν πᾶν τὸ ὑπουράνιον, κυρίως ἀκούσας τὸ γενητόν. τὴν οὖν τούτου περίοδον ἀριθμὸν τέλειον περιλαμβάνειν, τὸν χρόνον, ὅς ἐστι τὰ τῶν ὀκτὼ περιόδων τάχη σχόντα κεφαλήν, περιλαμβάνειν δὲ τῷ κατὰ τὴν κίνησιν ἐκείνων καὶ περίοδον ἀνακυκλεῖσθαι τὰ τῇδε, καὶ ἀποκαθισταμένων σχῆμα ταὐτὸν καὶ τάξιν ἀπολαμβάνειν. καὶ δοκεῖ τὸν τέλειον ἀριθμὸν συμφώνως ἀκούειν 〈τῷ〉 ἐν Τιμαίῳ [p. 39d] ῥηθέντι· καὶ γὰρ ἐκεῖ τέλειον ἀριθμὸν χρόνου προσείρηκεν τὸν ἐκ τῶν περιόδων τῶν ὀκτὼ τῆς συναποκαταστάσεως, ὅταν τούτων πασῶν τὰ τάχη συμπερανθέντα ἔχῃ [κεφαλὴν τῷ τοῦ ὁμ]οίως ἰόντος ἀνα[μετρηθέντα κύκλῳ]. τοῦτον μὲν οὖν δοκεῖ [συμφώνω]ς ἀκοῦσαι κα[θ]άπερ εἴπομεν· [ἐκεῖνο δὲ] ἤδη περιττότερον, τὸ θεῖον [γενητὸν] λαβεῖν τὸ ὑπὸ σελήνην, εἰ καὶ προσε[χὲς τοῦ]το τῷ ἀνθρωπείῳ γενητῷ, περὶ οὗ προηγουμένως ὁ παρὼν λόγος. καὶ πάλιν οὕτως ὁ λόγος κατορθοῖ μᾶλλον ἢ ὁ τὸν οὐρανὸν ἢ τὸν κόσμον ἀκούων· οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστίν, τῷ κόσμῳ ἢ τῷ οὐρανῷ τὸ ἀνθρώπειον γένος· κατορθῶν οὖν, ὅπερ ἔφην, καὶ ταύτῃ, τῷ τὸ προσεχὲς λαμβάνειν τῷ ἀνθρωπείῳ γενητῷ, καὶ τῷ τὸν τέλειον ἀριθμὸν συμφώνως ἀκούειν πρὸς τὸν ἐν Τιμαίῳ ῥηθέντα τέλειον ἐνιαυτόν, οὐκέτι τὴν τοῦ θείου γενητοῦ προσηγορίαν ἐφαρμόζειν δύναται Πλάτωνι σύμφωνα λέγων τῷ ὑπὸ σελήνην, ὃ πολλαχοῦ Πλάτων σπηλαίῳ προσεικάζων καὶ ψυχῶν τόπον δυστυχουσῶν καὶ λήθης χῶρον 〈ἀποκαλῶν〉 οὐκ ἂν προσαγορεύοι θεῖον γενητόν, ἀλλὰ θνητὸν τόπον· ὡς καὶ ἐν Θεαιτήτῳ [p.

in R.2.31 176a] λέγει, τὰ κακὰ ἐνταῦθα φὰς καὶ τόνδε τὸν θνητὸν τόπον περιπολεῖν. ὅτι οὖν ἐστι καὶ ἐν τῷ ὑπὸ σελήνην ἀεὶ κυκλούμενον ἢ θεῶν γένος ἢ δαιμόνων τοῖς οὐρανίοις ἑπόμενον ἀεὶ τὸ αὐτὸ κατ' ἀριθμόν, ζῶν περιοδικῶς, τοῦτο ἔδει καὶ ἐνταῦθα τίθεσθαι θεῖον γενητόν· ὅσον δὲ ἢ ἐν τοῖς ὅλοις ⟦ τοῖσ ⟧ στοιχείοις ἐστὶ μεταβάλλον, μιμούμενον τὸν οὐράνιον κύκλον, ἢ ἐν τοῖς μερικοῖς ζῴοις, ἀπὸ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ κατ' εἶδος μόνον περιαγόμενον, τοῦτο μόνως καλεῖν γενητόν, οὐκ ἔχον τὸ ταὐτὸν ὥσπερ τὸ θεῖον γενητὸν κατ' ἀριθμόν, ἀλλ' ὥσπερ εἴρηται κατ' εἶδος· ὁποῖόν [ἐστιν τὸ] ἀνθρώπειόν [τε] καὶ τὸ τῶν ἄλλων [ἀλόγω]ν ζῴων γένος [καὶ τὸ] τῶν φυτῶν· ἐν οἷς πᾶσίν ἐστιν εὐγονία καὶ δυσγονία κατὰ τὰς περιτροπὰς τῶν κύκλων, ὡς αὐτός φησιν [VIII 546a], τῶν οὐρανίων. Λ . Ὅτι περὶ καθ[όδων] ψυχικῶν εἶναι τὰ [δόγ]ματά φησιν ὁ Ἀμέλιο ς . τὴν γὰρ ψυχὴν ἄνω μένουσαν εἶναι πάντα μοναδικῶς καὶ κυκλικῶς, ὡς μὲν λόγων ἔχουσαν πλῆθος μοναδικῶς, ὡς δὲ συνεχῆ καὶ ἡνωμένην καὶ ὡς ἐπεστραμμένην πρὸς ἑαυτὴν κυκλικῶς· κατιοῦσαν δὲ γεννᾶν ἀριθμὸν καὶ τρίγωνον, καὶ ὡς μὲν ῥυϊσκομένην ὡς ἀπὸ μονάδος ἑαυτῆς τὸν πρῶτον ἀριθμὸν ἀποτελεῖν τὸν τρία (ἐν γὰρ αὐτῇ τῇ ῥύσει ἡ δυάς), ὡς δὲ θέσιν λαμβάνουσαν τὴν κάθετον ποιεῖν, πίπτειν δὲ εἰς τὴν ἀπλανῆ, καὶ ταύτης εἰς λοξὸν τὸν ζῳοφόρον (ἀρχὴ γὰρ γενέσεως)· κάθετον δὲ τριαδικῶς ποιήσασαν διοδεύειν τὸ πλάτος, ἐν ᾧ πέπτωκεν, οἷον πλαγίως κινηθεῖσαν καὶ ποιεῖν τὴν λοιπὴν τῶν περὶ τὴν ὀρθὴν τετραδικῶς· ποθοῦσαν δὲ τὸ ἐντὸς αὐτῆς ὡς ἂν οὐκ ἀποστᾶσαν ἑαυτῆς ἐπιστρέφουσαν πάλιν εἰς τὴν ἀρχὴν τῆς καθέτου ποιεῖν τὴν ὑποτείνουσαν.

in R.2.32 ΛΑ . Ὅτι ὁ Ἀμέλιος οὕτως ὑποστήσας τὸ τρίγωνον ἀξιοῖ σπορᾶς μὲν ἀρχὴν ποιεῖσθαι τὸν αἰγόκερω, τῶν ἀρχόντων ἐφεστώτων· τὰ μὲν γὰρ ἄλλα ζῷα καὶ τὰ φυτὰ τὴν φύσιν κινεῖν εἰς τὸ γεννᾶν, τοὺς δὲ ἀνθρώπους τὸν λόγον χρῆναι τὸν ὁρῶντα τὸν καιρὸν ἄγειν ἐπὶ τὴν δέουσαν σποράν. ὁ δὲ αἰγόκερως ὡς καὶ τοῦ ἡλιακοῦ φωτὸς ἀρχὴ τῆς ἐπανόδου σπόριμος, καὶ ἡ ἀπὸ τούτου τῇ καθέτῳ ἴση τριζῳδία, αἰγόκερως ὑδροχόος ἰχθύες. κυήσεως [δὲ] χ[ρόν]ον ἐπιτηδειότατον τὸν ἀπὸ ἰχθύων ὡς γονίμων ἐν τοῖς ἑπομένοις τέτταρσιν ζῳδίοις, κρι[ῷ ταύ]ρῳ διδύμοις καρκίνῳ (καὶ γὰρ ἡ γῆ ἥκιστα τὸ γόνιμον ἐν τούτοις ἐκφαίνει τὸ ἑαυτῆς)· ἀποκυήσεως δὲ ἐν τοῖς λοιποῖς. ἀλλὰ τὰ μὲν ἑπτάμηνα εἰς λέοντα τελευτᾶν (ἐπιλαμβάνειν γάρ τι καὶ τοῦ ἑξῆς) καὶ εἶναι ⟦ τὰ ⟧ γόνιμα· τὰ δὲ ὀκτάμηνα εἰς παρθένον, καὶ εἶναι ἄγονα διὰ τὴν παρθένον· τὰ δὲ ἐννεάμηνα εἰς ζυγὸν καὶ 〈εἶναι〉 γόνιμα. Ταῦτα δὲ ὁρᾷς ὅπως πλάσμασιν ἔοικεν· εἰ μὲν γὰρ διὰ τὴν παρθένον ἄγονα γίνεται τὰ ἔχοντα τὴν σπορίμην ὥραν 〈ἐν〉 αἰγοκέρωτι ὄντος ἡλίου, πάντα ἔδει τὰ ἐν τῇ παρθένῳ ὄντος αὐτοῦ τὴν ἐκτροπὴν ὑπομένοντα εἶναι ἄγονα· εἰ δὲ διότι ὀκταμηνιαία ἡ ἐκτροπή, κἂν μὴ ἡ παρθένος, ἀλλὰ ἄλλο τι ζῴδιον ᾖ ἐν ᾧ ἡ ἐκτροπὴ 〈ἡ〉 ὀκταμηνιαία, συμβήσεται ταὐτόν, καὶ ὁμοίως ἔν τε λέοντι καὶ ζυγῷ ἄγονα ἔσται· ὥσπερ καὶ ἡ ἱστορία διδάσκει καὶ ἐν τούτοις ἄγονα γίνεσθαι καὶ ἐν τῇ παρθένῳ γόνιμα.

in R.2.33 οὐκ ἄρα δεῖ ταύτην ὑφηγεῖσθαι τοῖς φύλαξιν τὴν μέθοδον τῆς σπορᾶς τῶν ἐσομένων γονίμων ἀπ’ αὐτῆς. ΛΒ . Ὅτι Ἡρόφιλος ὁ ἰατρὸς καὶ ἄλλοι πολλοὶ τῶν ἐλλογίμων ἕνα χρόνον φασὶν εἶναι γενέσεως 〈ὡσ〉 καὶ τοῖς ἄλλοις ζῴοις· τὸν δὲ ἑπτάμηνον ἠπατημένων ὑποληφθῆναι τῶν γυναικῶν, διὰ τὸ καὶ μετὰ σύλληψιν καὶ ἐπὶ δύο μῆνας καθαίρεσθαί τινας καὶ οἴεσθαι διὰ τὴν κάθαρσιν μὴ γεγονέναι σύλληψιν. Οἱ δὲ Πυθαγόρειοι προσίενται, ὡς καὶ Ὀρφεύ ς , καὶ τὰ ἑπτάμηνα, καὶ φασὶν ἐν μὲν λε′ ἡμέραις τὸ καταβληθὲν σπέρμα τύπον καὶ μορφὴν λαμβάνειν ἐπὶ τ[ῶ]ν ἑ .... 125 ... καὶ ... 28 ... [ὅ]τι δὲ ... 25 ... [κυ]ήσεως χρόνον, δῆλον καὶ ἐπὶ τῶν ..... [αἳ μὲν] γὰρ καθ’ ἑκάστην τίκτουσιν, αἳ δὲ διὰ μιᾶς, αἳ δὲ καὶ δὶς ἐν μιᾷ ἡμέρᾳ. πολλὰ δὲ καὶ ἄλλα ἐπ’ ἀνθρώπων εἶναι, ἃ ἐπὶ τῶν ἀλόγων οὐχ ὁρῶμεν, οἷον καὶ τὴν λεγομένην κίσσαν .... νων καὶ τὸ ἐπιθυμεῖν ὀστράκων ἢ ἑλίκων ἢ ὄξους, ἀποστρέφεσθαι δὲ οἶνον καὶ πολύαιμα καὶ τὸν ἄνδρα πολλάκις· τῆς φύσεως τὰ μὲν πολύαιμα φευγούσης, ἵνα μὴ ὑπὸ τοῦ πολλοῦ αἵματος τὸ σπέρμα κατακλυσθῇ, τὸν δὲ ἄνδρα, ἵνα μὴ ἐνοχληθῇ ἡ μήτρα. καὶ γὰρ τοῦτο διάφορον ἴσχουσιν, ὅτι τὰ μὲν ἄλογα ἀπὸ συλλήψεως οὐ προσίεται συνουσίαν, ἄνθρωποι δὲ μέχρις ἀποκυήσεως.

in R.2.34 ΛΓ . Ὅτι καὶ Ζωροάστρης μαρτυρεῖ τῇ γενέσει τῶν ἑπταμήνων, προλέγειν πότε ἑπτάμηνον ἔσται διδάξας. λέγει γὰρ οὕτως· αἱ κατὰ σύνοδον ἡλίου καὶ σελήνης γενόμεναι συλλήψεις ἐν πανσελήνοις ποιοῦνται τὰς ἀποκυήσεις · αἱ δὲ κατὰ πανσέληνον ἐν συνόδοις · καὶ διχομηνίαις δὲ γίγνονται ἀποκυήσει ς , ἀπὸ συνοδικῆς μὲν συλλήψεως αὐξανομένης σελήνης ἐν τῷ αὐτῷ ζῳδί ῳ , πανσεληνιακῆς δὲ μειουμένης (διχομηνίας δὲ λέγει τὰς διχοτόμους). αἱ δὲ ἐν διχομηνίαις συλλήψεις ἄγουσι τὰς ἀποκυήσεις αὐξόμεναι μὲν εἰς πανσέληνο ν , μειούμεναι δὲ εἰς σύνοδον · αἱ δὲ μέσαι τῶν συν [όδων κα ὶ] διχομήνων καὶ πανσελήν [ων .. . 5 5 .. . κ α]ταλαμβάνει τὸν ἥλι [ο ν] τότε μὲν [ἐν τῷ αὐτ ῷ] ζῳδί ῳ , [τ ό]τε δὲ ἐν τῷ ἑξῆ ς , ἐν ..... . κα τ ’ ἀρχὰς τοῦ ζῳδί [ο υ . ὅτ ε] δὲ ἡ γενομένη καταλαμβάνει αὐτὸν ἐν τῷ τέλε ι , χρὴ τοῦτο τηρεῖ ν , πότε ἡ σελήνη δύο ποιεῖται σχηματισμού ς , οἷον δύο συνόδους ἐν ἑνὶ μηνὶ ἐν τῷ αὐτῷ ζῳδίῳ · τότε γὰρ ἑπτάμηνον τὸ γιγνόμενο ν . ἐν ᾧ γὰρ πρώτως ἐφάνη τελειοῖ τὸ βρέφος · ὃ δὲ προσελάμβανεν τῷ δρόμῳ τοῦ ἡλίο υ , τοῦτο ὑπετέμνετο τοῦ ἐν τῇ γαστρὶ χρόνο υ . ΛΔ . Ὅτι καὶ ὁ Ἐμπεδοκλῆς οἶδεν τὸν διπλοῦν τῶν γεννήσεων χρόνον· διὸ καὶ τὰς γυναῖκας καλεῖ διγόνου ς , καὶ τὴν ὑπεροχὴν τοῦ πλήθους τῶν ἡμερῶν αὐτὸς εἶπεν, καὶ ὅτι τὰ ὀκτάμηνα ἄγονα· καὶ εἰκότως. τῶν μὲν γὰρ ἑπταμήνων ὁ πρῶτος ἀριθμὸς ὁ λε′ ἐν ἀριθμοῖς ἐστιν ς′ η′ θ′ ιβ′, ὧν οἱ ἄκροι τὸν διπλάσιον ἔχουσιν λόγον καὶ τὴν διὰ πασῶν· τῶν δὲ ἐννεαμήνων ὁ πρῶτος ἀριθμὸς ἐν ἀριθμοῖς συμφώνοις ς′ θ′ ιβ′ ιη′, ὧν οἱ ἄκροι τριπλάσιον ἔχουσιν λόγον.

in R.2.35 μεταξὺ δὲ τούτων σύμφωνος ἄλλος οὐκ ἔστι λόγος, ὥστ’ εἰκότως συμφωνίας οὐκ οὔσης ἄγονα τὰ ὀκτάμηνα. καὶ γὰρ οὖν οἱ μὲν ἀπὸ δυάδος ἕως ὀγδοάδος συντεθέντες ποιοῦσιν τὸν λε′, οἱ δὲ ἀπὸ μονάδος ἕως ἐννεάδος τὸν με′· προσήκει δὲ ὀγδοάδι ἀρχὴ δυάς (κύβος γὰρ ἀπ’ αὐτῆς), ἐννεάδι δὲ μονάς (ἓν γάρ ἐστι νέον ἡ ἐννεάς), μέσος δὲ τούτων οὐκ ἔστιν. ὥστ’ οὐδείς ἐστιν ἀριθμὸς ὀκτάμηνα ποιῶν, οὔτε ἀριθμητικῶς σκοπούμενος οὔτε] .... 120 ... [ποιεῖ γὰρ ὁ ς′ ἐπὶ τὸν λε′ τὸ]ν ἑπ[τάμηνον καὶ] ἐπὶ τὸν με′ τὸν ἐννεάμηνον χρό[νον, ὁ δὲ] ς′ ἐπὶ τὸν μ′ τὸν ὀκτάμηνον ... 10 ... κάμπτοντας ἐπὶ τοὺς ἐξ ἀρχῆς, [τὸν ἑπτὰ τὸν] ἐννέα τὸν ὀκτώ. τούτων δὲ ὃ μέν [ἐστιν ἐκ τῶν] περὶ τὴν ὀρθὴν τοῦ ῥηθησομένου τριγώνου, αἵ εἰσιν τετρὰς καὶ τριάς, θήλεια καὶ ἄρρην· ὃ δὲ ἐκ τῶν μεγίστων, αἵ εἰσι τετρὰς πεμπάς, θήλεια καὶ ἄρρην· ὃ δὲ ἐκ μεγίστης καὶ ἐλαχίστης, [αἵ] εἰσι πεμπὰς τριάς, ἄρρενες ἄμφω· ὥστ’ εἰκότως ἄγονος. ὁ δὲ ς′ ὀφθήσεται κατὰ τὸ ἐμβαδόν, ὅς ἐστι γάμος· ὥστ’ εἰκότως ἄρρενα μὲν θήλει ζευγνὺς γόνιμός ἐστιν, ἄρρενα δὲ ἀλλήλοις ἄγονος. Ταῦτα μὲν ἀπὸ τῶν ἀριθμῶν. οἱ δὲ ἀνατομικοὶ ἱστόρησαν καὶ τὰς ἐν τοῖς ἀριθμοῖς τούτοις διαφοράς· ὡς ὅταν ἐν ἓξ ἡμέραις τὸ σπέρμα ἀφρωθῇ, περὶ τὰς ἑξῆς η′ εἰς αἷμα μεταβάλλει, περὶ δὲ τὰς ἑξῆς θ′ σαρκοειδὲς γίνεται, περὶ δὲ τὰς λοιπὰς ιβ′ μορφοῦται· καὶ οὕτως ἑξῆς διοργανωθὲν τίκτεται ἑπτάμηνον. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως ἐν ταῖς ς′ καὶ θ′ καὶ ιβ′ καὶ ιη′ τὸν ὅμοιον δέχεται τύπον· ὡς εἶναι τὸν ς′ κοινὴν ἀρχήν, διὸ καὶ οὗτος ποιεῖ ἑκάτερον.

in R.2.36 ΛΕ . Τὸν γεωμετρικὸν ἀριθμὸν ἀριθμητικῶς τε ἅμα δεῖ καὶ γεωμετρικῶς θεωρῆσαι, καὶ πρός γε μουσικῶς, εἰ δυνάμεθα, καὶ ἀστρονομικῶς, ἔπειτα διαλεκτικῶς, εἴς τε τὴν ἀνθρωπείαν ἀναπέμψαι περίοδον καὶ εἰς τὴν τοῦ παντὸς κόσμου θεωρίαν. Ἔστιν δὲ οὗτος .... 60 .... ονα.. ..... [ἐ]ν ᾧ πρώ[τῳ αὐξήσεις] ..... πρ ..... νατους ... 20 ... λόγους εἴτε τησυν ... 18 ... δυνάμεναι ποιοῦσαι τετραγώνους, δυνα[στευ]όμεναι δὲ ἀπ’ ἐκείνων τῶν δυνάμεων ..... τῶν τετραγώνων· τὸ γὰρ δυνάμενον πᾶν πρὸς τὸ δυναστευόμενον ἀποδίδοται. καὶ πρὸς τούτοις ὁμοιούντων τε καὶ ἀνομοιούντων ἀριθμῶν· ὁμοιούντων μὲν τῶν τετραγωνικῶν ἢ κυβικῶν, ἀνομοιούντων δὲ τῶν ἀνίσοις χρωμένων πλευραῖς ἢ ἐπιπέδων ἢ στερεῶν. καὶ ἐπὶ τούτοις καθ’ ὑποδιαίρεσιν τῶν ἀνομοιούντων ἑξῆς φησιν· αὐξόντων τε καὶ φθινόντων · αὐξόντων μὲν τῶν ἰσάκις ἴσων μειζονάκις, ὧν ἐπὶ τὸ μεῖζον ἡ πρόοδος ἀπὸ τῆς ἰσότητος, φθινόντων δὲ τῶν ἰσάκις ἴσων ἐλασσονάκις· ὧν τοῖς μὲν ὄνομα πλινθίδες φασὶ τοῖς φθίνουσιν, τοῖς δὲ δοκίδες τοῖς αὔξουσιν. αὗται δ’ οὖν αἱ αὐξήσεις μέχρι τεττάρων ὅρων προελθοῦσαι τρεῖς ἐχόντων ἀποστάσεις ἀλλήλων (πάντων γὰρ τεττάρων ὅρων συνεχῶν τρεῖς εἰσιν ἀποστάσεις) πάντα ῥητὰ καὶ προσήγορα ποιοῦσιν, καὶ τοὺς δυναμένους καὶ τοὺς δυναστευομένους, καὶ τοὺς ὁμοιοῦντας καὶ τοὺς ἀνομοιοῦντας ἀλλήλοις, καὶ τοὺς αὔξοντας καὶ φθίνοντας. γίνεται γὰρ διάγραμμα κατὰ μὲν τὰ πλάγια τοὺς ὁμοιοῦντας ἔχον καὶ ἀνομοιοῦντας, αὔξοντάς τε καὶ φθίνοντας, καθ’ ἕνα λόγον συνδεομένους τὸν πυθμένα τὸν ἐκτεθησόμενον· κατὰ δὲ τὰ σκέλη τοὺς δυναμένους καὶ δυνα[στευομένους.

in R.2.37 ἐπεὶ] δὲ οὗτός ἐστιν ὁ ἀριθμός, ἐν [ᾧ πάντα ἀλλήλοις] συμβαίνει, καλῶς ποιῶν .... 14 ... ὧν ἐπίτριτος πυθμήν · ... 16 ... τῶν ἀριθμῶν ὧν αἱ αὐξήσεις. [ἔστιν οὖν οὗτος] ὁ ἐπίτριτος πυθμὴν γ′ καὶ δ′· καὶ [τούτων ἑκά]τερος ἐφ’ ἑαυτὸν καὶ ἐπ’ ἀλλήλους [γίγνεται] θ′ ιβ′ ις′ ἐν λόγῳ τῷ αὐτῷ. καὶ αὖθις ὁ μὲν γ′ κυβικῶς τρὶς τρία τρίς, καὶ ὁ δ′ ὡσ[αύ]τως τετράκις τέσσαρα τετράκις· μετ’ ἀλλήλων δὲ τρὶς τρία τετράκις, τετράκις τέσσαρα τρίς· γίγνονται οὖν κυβικοὶ μὲν ἄκροι ὁ κζ′ καὶ ξδ′, δοκὶς δὲ ὁ λς′, δύο πλευρὰς ἔχων τριάδος καὶ μίαν τετράδος, πλινθὶς δὲ ὁ μη′, δύο πλευρὰς ἔχων τετράδος καὶ μίαν τριάδος. τούτων δὴ τῶν τεττάρων ὄντων ἐφεξῆς ἐν τῷ ἐπιτρίτῳ λόγῳ ὅρων, κζ′ λς′ μη′ ξδ′, καὶ τρεῖς ἀποστάσεις ἐχόντων, ὁ μὲν κζ′ μετὰ τοῦ μη′ ποιεῖ τὸν οε′, ὁ δὲ λς′ μετὰ τοῦ ξδ′ τὸν ρ′· οἷν ὁ μὲν ρ′ τετράγωνος ὢν ἐκ δεκάδος καὶ αὐτὸς τετραγωνισθεὶς ποιεῖ τὸν μύρια· ὁ δὲ οε′ γενόμενος ἐπὶ τὸν ρ′ ποιεῖ τὸν ͵ζφ′. καὶ εἰσὶν αὗται αἱ

δύο ἁρμονίαι, ἡ μὲν ἰσάκις ἴση (καὶ ὅπως, δῆλον ἐποίησεν εἰπών· ἑκατὸν τοσαυτάκι ς) , ἡ δὲ ἰσομήκης μὲν ἐκείνῃ διὰ τὸν ρ′, προμήκης δὲ διὰ τὸν οε′ τοῦ μήκους ἠλασσωμένου. εἰκότως οὖν εἶπεν τὸν ἐπίτριτον πυθμένα τρὶς αὐξηθέντα τὰς δύο ποιεῖν ἁρμονίας· μέχρι γὰρ τῶν στερεῶν προελθὼν τῶν τεσσάρων ἐκ τῆς ἐκείνων συνθέσεως παρέχεται τὰς πλευρὰς τῶν δύο ἁρμονιῶν, τὸν ἑκατὸν καὶ τὸν ἑβδομηκονταπέντε. τὴν μὲν οὖν ταυτομήκη μοναχῶς ἐδήλωσεν, ἰσάκις ἴσην ὁρισάμενος καὶ προσθεὶς ἑκατὸν τοσαυτάκις · τὸ γὰρ ἰσάκις ἴσην ἠδύνατο καὶ ἄλλον ποιεῖν] ... 15 ... ἴση [μ]ὴν ἰσάκις εἰκ[ότως ἡ ταυτ]ομήκης· ἴση μὲν διότι ὁ ἑκατὸν [πολ]λάκις λαμβάνεται, ἰσάκις δὲ διότι ἠδύνατο πολλάκις μὲν ληφθῆναι, κατὰ ἄλλον δὲ ἀριθμὸν πολλάκις, οἷον τὸν δέκα ἢ τὸν εἴκ[οσι], δεκάκις καὶ εἰκοσάκις.

in R.2.38 τὴν δὲ προμήκη διὰ ποικιλωτέρων παρέστησεν λήψεων· διελὼν γὰρ τὸν οε′ ἀριθμὸν εἰς τοὺς συντεθέντας, λέγω δὲ τὸν κζ′ καὶ τὸν μη′, τὸν ρ′ ἐπὶ τούτους ποιήσας ἀντὶ τοῦ ὅλου τοῦ οε′ παρίστησι πῶς ἐστι προμήκης. δεῖν γάρ φησιν ἑκατοντάκις ποιῆσαι τὸν κζ′, ἑκατὸν δὲ ἄλλους ἀριθμούς, οἵτινές εἰσιν ἀπὸ διαμέτρου τῆς πεμπάδος ὡς τετραγωνικῆς πλευρᾶς ληφθείσης, ῥητῆς μὲν διαμέτρου μονάδι λειπόμενοι μιᾷ, ἀρρήτου δὲ δύο μονάσι. δι’ ὧν σημαίνει τὸν μη′· ἐὰν γὰρ πλευρὰν τὸν ε′ λάβῃς τετραγώνου τινός, καὶ ἐν τούτῳ διάμετρον ἄρρητον πάντως διὰ τὸ ῥητὴν εἶναι τὴν πλευράν, ἔσται τὸ μὲν ἀπ’ αὐτοῦ κε′, διπλάσιον δὲ τούτου τὸ τῶν ν′ χωρίον, οὗ ἦν ἄρρητος ἡ πλευρά· οὐ γὰρ ἔστιν ἀριθμὸν λαβεῖν τετράγωνον τετραγώνου διπλάσιον. ἐὰν οὖν ῥητὴν ἐθέλωμεν διάμετρον εὑρεῖν, δυναμένην τοῦ ἀπὸ τῆς πεμπάδος διπλάσιον, τὴν σύνεγγυς λαμβάνοντες τὴν δυναμένην οὐκ αὐτό (τοῦτο γὰρ ἀδύνατον), ἀλλὰ τὸ μονάδι ἔλασσον, τὸν ζ′ ληψόμεθα, καὶ ἀπὸ τούτου τὸ τῶν μθ′, μονάδι ὂν ἔλασσον τοῦ ν′, ὃ ἦν τὸ ἀπὸ τῆς ἀρρήτου διαμέτρου. τούτων δὲ ληφθέντων λοιπὸν δῆλον, ὅπως τοῦ ἀπὸ τῆς διαμέτρου τῆς πεμπάδος διττοῦ ὄντος, τοῦ μὲν ἀπὸ ἀρρήτου, τοῦτο δὲ ἦν τὸ τῶν .

in R.2.39 ... 130 ... μη′ ... 36 ... ζ′ ἐ ... 17 ... σομεν τὸν ˛ ζφ′, ὃς ἦν ἐκ τοῦ ρ′ [καὶ τοῦ οε′ συγκεί]μενος τοῦ συντεθέντος ἔκ τε τοῦ κζ′ καὶ τοῦ μη′. Γεγόνασι μὲν οὖν οὕτως αἱ δύο ἁρμονίαι, ἡ ταυτομήκης καὶ ἡ προμήκης· καλοῦνται δὲ ἁρμονίαι, διότι συνεστᾶσιν ἀπὸ λόγων ἁρμονικῶν ἄμφω, ἡ μὲν τριακοσάκις, ἡ δὲ τετρακοσάκις ληφθέντων τῶν πυθμένων γ′ δ′ ς′ ιβ′. καὶ ἔστιν καὶ αὐτῶν τούτων ὁ λόγος τοῦ τριακόσια καὶ τοῦ τετρακόσια ἐξ ἀρχῆς ὁ ἐπίτριτος. τούτων οὖν τῶν ἁρμονιῶν ἡ μὲν προμήκης ἀπὸ τῶν ϡ′, ˛ ας′, ˛ αω′, ˛ γχ′, οἵ εἰσιν τριακοσιάκις ὁ γ′ δ′ δ′ ς′ ιβ′· ἡ δὲ ἰσομήκης ἀπὸ τῶν ˛ ας′ ˛ αχ′ ˛ βυ′ ˛ δω′, οἵ εἰσιν τετρακοσιάκις ὁ γ′ δ′ ς′ ιβ′· ὧν οἱ ἄκροι τὸν αὐτὸν ἔχουσι λόγον, ὃν καὶ αἱ μεσότητες. Καὶ οὕτω μὲν διὰ πλειόνων· συντόμως δὲ λαβόντες τὸν ἐπίτριτον πυθμένα γ′ καὶ δ′, καὶ ε′, ᾧ οὗτος συνεζύγη, ποιήσομεν πεντάκις τέσσαρα πεντάκις, τὸν ρ′· καὶ πεντάκις τρία πεντάκις, τὸν οε′· καὶ τούτους τὸν μὲν ρ′ ἐφ’ ἑαυτόν, ἵνα ὁ μύρια γένηται, τὸν δὲ ρ′ ἐπὶ τὸν οε′, ἵνα ὁ ἑπτακισχίλια πεντακόσια· καὶ οὕτως ὁ ἐπίτριτος πυθμὴν τρὶς αὐξηθεὶς πεμπάδι συζυγεὶς ἔσται ποιῶν τὰς δύο ἁρμονίας, τήν τε ταυτομήκη καὶ τὴν προμήκη. Χρεία δὲ ὅμως καὶ τῆς ἑτέρας ἐφόδου πάντως, ἐπείπερ αὐτὸς τὸν οε′ διεῖλεν εἰς τὸν κζ′ καὶ τὸν μη′, γεννώσης ἐκείνους εὐτάκτως, καὶ τοὺς .. 60 . αὐτῶν πα .. [τρὶς τρία τρὶς] τὸν κζ′, τετράκις τέσσ[αρα τετράκις τὸν] ξδ′, τρὶς [τρία τετράκις τὸν λς′, τετράκις] τέσσαρα τρὶς τὸν μη′. καὶ οὕτως [πάλιν ὁ] ἐπίτριτος πυθμὴν τῇ πεμπάδι συ[ζυγεὶς] παρέχει τὰς δύο ἁρμονίας τρὶς [αὐξηθ]είς, ὅπου μὲν κυβικῶς, ὅπου δὲ δο[κικ]ῶς, ὅπου δὲ πλινθικῶς. Ἀριθμητικῶς μ[ὲν] οὑτωσὶ τὸ προκείμενον ἐξηγητέον· γεωμετρικῶς δὲ τὸν τρόπον τοῦτον.

in R.2.40 ἔστω τρίγωνον τὸ ΑΒΓ · καὶ ἡ μὲν ΑΒ τεσσάρων, ἡ δὲ ΒΓ τριῶν τῶν αὐτῶν, ἡ δὲ ΑΓ πέντε· καὶ τῇ ΑΓ πρὸς ὀρθὰς ἡ ΑΖ , ἐφ’ ἣν ἐκβεβλήσθω ἡ ΒΓ · ἐν ὀρθογωνίῳ γοῦν τῷ ΑΖΓ κάθετος ἡ ΑΒ ⟦ ἡ ΑΒ ⟧ · μέση ἄρα ἀνάλογον τῶν ΖΒ ΒΓ . ἐπίτριτος δὲ ἡ ΑΒ τῆς ΒΓ , ὥστε καὶ ἡ ΒΖ τῆς ΒΑ ἐπίτριτος· ἔστιν ἄρα πέντε καὶ τρίτου. τριπλασιασθήτωσαν, ἵνα ὁλόκληροι γένωνται μονάδες· ἔσται ἄρα ἡ μὲν ΖΒ δέκα καὶ ἕξ, ἡ δὲ ΒΑ δώδεκα τῶν αὐτῶν, ἡ δὲ ΒΓ ἐννέα, καὶ ἡ ΑΓ δεκαπέντε. πρὸς ὀρθὰς

ἤχθω ἡ ΖΚ καὶ ἐπ’ αὐτὴν ἐκβεβλήσθω ἡ ΓΑ καὶ παράλληλος τῇ ΖΓ ἡ ΑΛ · ἐπεὶ οὖν πάλιν ὀρθογώνιον τὸ ΖΑΚ καὶ κάθετος ἡ ΑΛ , μέση ἔσται ἀνάλογον τῶν ΖΛ ΛΚ . ἔσται οὖν, ἐπειδὴ ἡ ΖΛ δώδεκα ἦν, ἡ δὲ ΑΛ δέκα καὶ ἓξ τῶν αὐτῶν (καὶ γὰρ αἱ παράλληλοι αὐτῶν τοσούτων ἦσαν), καὶ ἡ ΚΛ πρὸς τὴν ΑΛ ἐπίτριτος· ὥστε εἴκοσι καὶ ἑνὸς καὶ τρίτου ἡ ΚΛ , οἵων ἡ ΑΛ δέκα καὶ ἕξ. τριπλασιασθήτωσαν οὖν πάλιν πᾶσαι διὰ τὸ τρίτον· γίνεται οὖν ἡ μὲν ΚΛ ἑξήκοντα καὶ τεσσάρων, ἡ δὲ ΛΑ τεσσαράκοντα καὶ ὀκτώ, ἡ δὲ ΛΖ τριάκοντα καὶ ἕξ, λοιπὴ δὲ ἡ ΒΓ εἴκοσι καὶ ἑπτὰ τῶν αὐτῶν. ἦσαν δὲ οὗτοι οἱ τέσ[σαρες, ἐξ ὧν ἐγί]νοντο ὅ τε ἑκατὸν καὶ [ὁ ἑβδομήκοντα πέντε], οἳ τὰς ἁρμονίας ποιοῦσ[ιν τὸν μύρια καὶ] τὸν ἑπτακισχίλια πεντακ[όσια]. Τὸ μὲν οὖν θεώρημα γεωμετρικῶς σκοποῦντι τοιοῦτον· τοσοῦτον δὲ προσθετέον, ὅτι ἡμεῖς μὲν κατὰ πρόσθεσιν ἀπὸ τοῦ ἐξ ἀρχῆς τριγώνου προήλθομεν εἰς τοὺς ζητουμένους ἀριθμούς, ἄλλοι δὲ κατὰ ἀφαίρεσιν. λαβόντες γὰρ τὸ τῶν γ′ δ′ ε′ τρίγωνον ἤγαγον κάθετον ἀπὸ τῆς ὀρθῆς ἐπὶ τὴν τῶν ε′· καὶ ηὑρήκασιν ἐν λόγοις τοῖς αὐτοῖς ἑκάτερον τῶν πρὸς τῇ καθέτῳ τριγώνων, καὶ ἔλαβον τοὺς ἀριθμοὺς ἐν μορίοις τισὶ μονάδων.

in R.2.42 ἔπειτα πάλιν ἤγαγον ἀπὸ τῆς ὀρθῆς κάθετον τῆς ἐν τοῖς τριγώνοις ἢ ἐπὶ τὴν τῶν δ′ ἢ ἐπὶ τὴν τῶν γ′· καὶ τοὺς αὐτοὺς λόγους τοὺς ἐξ ἀρχῆς εὑρόντες, ἐπειδὴ τὰ πρὸς ταῖς καθέτοις ἀεὶ τρίγωνα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις, ἔλαβον καὶ τῶν γενομένων τριγώνων τὰς πλευρὰς ἐν μονάσι καὶ μορίοις. εἶτα πολλαπλασιάσαντες εἴκοσι πεντάκις πάσας τὰς πλευρὰς κατήντησαν εἰς τοὺς ἀριθμούς, οὓς καὶ οἱ κατὰ πρόσθεσιν. Καὶ τοῦτον μὲν εἵλετο τῆς ἐξηγήσεως τὸν τρόπον Πατέριο ς , τὸν δὲ πρότερον ὁ μέγας .. 9 .. Καὶ μέχρι τούτου γεωμετρικῶς [τεθεωρήσθω τὸ] ζητούμενον. ἔστω δὲ τούτων .. 12 . [τὸ] τοιοῦτον τῶν ὑπὸ τοῦ θυηκόου .. 11 . [κ]εκριμένων κατὰ ὑφαί[ρεσιν] ..... καὶ τοὺς μουσικοὺς λόγους, .. 8 .. τῷ ἐξ ἀρχῆς τριγώνῳ τὸν τρόπον τοῦτον. ἐπειδὴ οἱ ἀριθμοὶ τῶν πλευρῶν τριὰς τετρὰς πεντάς, ὁ ἐκ πάντων δυωδεκὰς καὶ τὸ ἐμβαδὸν ἑξάς. οὐκοῦν ἐπίτριτος μὲν λόγος τριάδος καὶ τετράδος, ἡμιόλιος δὲ ἑξάδος καὶ τετράδος, ἐπόγδοος δὲ ἐννεάδος καὶ ὀγδοάδος (τῆς ὑποτεινούσης ἑκατέρᾳ τῶν περὶ τὴν ὀρθὴν συντιθεμένης), διπλάσιος δὲ ἑξάδος καὶ τριάδος, τριπλάσιος δὲ δυωδεκάδος καὶ τετράδος, τετραπλάσιος δὲ δυωδεκάδος καὶ τριάδος. εἰσὶ δὲ καὶ αἱ τρεῖς ἐν τούτῳ μεσότητες, συμπληροῦσαι τὴν ψυχήν· ἡ μὲν ἀριθμητικὴ ἐν ταῖς πλευραῖς, τρία τέσσαρα πέντε· ἡ δὲ ἁρμονικὴ ἐν ταῖς περὶ τὴν ὀρθὴν καὶ τῷ ἐμβαδῷ, τρία τέσσαρα ἕξ· ἡ δὲ γεωμετρικὴ ἐν τῷ ἐκ πασῶν τῶν πλευρῶν δώδεκα καὶ τῷ ἐμβαδῷ τῷ ἓξ καὶ τῇ ἐλαχίστῃ πλευρᾷ τῷ τρία. πᾶσιν ἄρα κατακεκόσμηται τοῖς ἁρμονικοῖς λόγοις καὶ τοῖς τῶν τριῶν μεσοτήτων· οἵτινες ἐν τούτῳ πρώτῳ ὄντες τῷ τριγώνῳ (πρὸ γὰρ τούτου τρίγωνον ὀρθογώνιον ἐκ ῥητῶν ἄλλο πλευρῶν οὐκ ἔστιν) πάντως εἰσὶ καὶ ἐν τοῖς λοιποῖς κατὰ τριπλάσιον λόγον ηὐξημένοις· τὰ γὰρ μέρη τοῖς αὐτῶν πολλαπλασίοις τὸν αὐτὸν λόγον ἔχει.

in R.2.43 καὶ ὁρᾷς ὅπως εἰσὶν μὲν ἁρμονικοὶ λόγοι καὶ ἐν τούτῳ, καθάπερ ἐν τῷ ἡμιτριγώνῳ τῷ ἐν Τιμαίῳ. ἀλλ’ ἐκεῖ μὲν ἔστιν τι καὶ ἄρρητον κατὰ μῆκος ἐν ταῖς πλευραῖς, ἐπειδὴ .. 11 . σπέρμα σωμάτων, ἐνταῦθα [δὲ πάντα τὰ μή]κη ῥητά. καὶ δῆλον ὅτι καὶ .. 13 . [ἥ]δη ζῳογονικόν ἐστι τὸ τρίγωνον κ[αὶ γενέσει] οἰκεῖον, καὶ ὅτι πάντες οἱ ζωογον[ικοὶ λόγοι] διαλάμπουσιν ἐν τῷδε τῷ τριγώ[νῳ, ὁ διπλά]σιος καὶ τριπλάσιος οἱ τοὺς ἑπτὰ ση[μαίνον]τες ὅρους τῆς ψυχογονίας καὶ ἡμιόλιος κ[αὶ] ἐπίτριτος καὶ ὁ ἐπόγδοος, οἷς τὰ διπλάσια καὶ τριπλάσια κατέτεμεν διαστήματα. [καὶ δῆλον] ὅπως καὶ τοῦτο 〈τὸ〉 τρίγωνον ἡμιτρίγωνόν ἐστιν, ἀλλὰ τριγώνου ⟦ ἢ ⟧ πάντως ἰσοσκελοῦς, εἴτε ἡ διπλασία τῆς μείζονος τῶν περὶ τὴν ὀρθὴν γίνοιτο βάσις ἐκείνου εἴτε ἡ διπλασία τῆς ἐλάσσονος, ἐκβληθείσης ἑκατέρας καὶ [ἐφ’] ἑαυτῆς τεθείσης. Λείπεται δὴ οὖν καὶ ὅσον ἐστὶν ἐν αὐτῷ πρὸς τὰ οὐράνια φέρον ἰδεῖν. οὐκοῦν ἡ μὲν πεμπὰς ἔν τε τῇ ἁπλανεῖ τοὺς πέντε κύκλους διεστήσατο, τὸν ἀρκτικὸν καὶ ἀνταρκτικόν, τὸν χειμερινὸν τροπικὸν καὶ θερινόν, τὸν μέσον τούτων 〈τὸν〉 ἰσημερινόν· καὶ ἐν τοῖς πλανωμένοις τοὺς πέντε διεῖλεν

ἀπὸ τῶν δύο φωστήρων, ἐξαιρέτους ἔχοντας τὰς προσθαφαιρέσεις· καὶ ἐν τοῖς σχηματισμοῖς αὐτῶν τὸ ἄριστον ἔλαχε τῶν σχημάτων ἀφορίζειν τὸ τρίγωνον· τὸν δὲ ὅλον κόσμον ἐν πέντε τοῖς στοιχειώδεσι σχήμασι καὶ πέντε κέντροις συνεπλήρωσεν.

in R.2.44 ἡ δὲ τετρὰς σχῆμα μὲν τῶν κινουμένων ἀπεργάζεται τὸ τετράγωνον· τὸν δὲ ζωδιακὸν κύκλον ἀπέφηνεν τετραμερῆ· τῶν δὲ πλανητῶν ἑκάστῳ τὰς κινήσεις ὥρισεν (εἰσὶ γὰρ τέτταρες· ἢ περὶ τὸ οἰκεῖον κέντρον ἢ κατὰ μῆκος ἢ κατὰ πλάτος ἢ κατὰ βάθος)· .. 11 . ἀλλήλων διέστησεν ἑπομένας .. 9 .. περιόδῳ· καὶ τὰς ἀναβάσεις τῆς [σελήνης] καὶ καταβάσεις διεῖλεν ἀπὸ τῶν [τροπι]κῶν σημείων ἐπὶ τὰ βόρεια καὶ νότια πέ[ρατα. ἡ δὲ] τριὰς τρεῖς μὲν μόνους ἀλλήλους [τέμνον]τας κύκλους πρὸς ὀρθὰς ὥρισεν· τῶν δὲ σχημάτων ἔλαχεν τὸ ἑξάγωνον· διεῖλεν δὲ τὸν ζῳδιακὸν τριχῇ, τοῖς τροπικοῖς τοῖς δισώμοις τοῖς στερεοῖς· τὰς δὲ θέσεις τῶν κ[ινο]υμένων ἀπετέλεσεν τριττάς, κέντρων ἐπαναφορῶν ἀποκλιμάτων· τοὺς δὲ τῆς σελήνης ἀναβατικοὺς καὶ καταβατικοὺς τόπους τρεῖς ἑκατέρους ἐποίησεν· τὰ δὲ κινήματα τῆς ἀνωμαλίας ἔστησεν (ἔστι γὰρ ἀπόγεια περίγεια μέσα, καὶ πάλιν ἀφαιρέσεις στηριγμοὶ προσθέσεις)· καὶ τῆς σελήνης τὰς φάσεις ἰδίως τὰς μεταξὺ συνόδων καὶ πανσελήνων τρεῖς ἑκατέρας οὔσας διεστήσατο, μηνοειδεῖς διχοτόμους ἀμφικύρτους, ἰδίοις ἑκάστην σχήμασιν, ἐξαγώνῳ τὰς μηνοειδεῖς, τετραγώνῳ τὰς διχοτόμους, τριγώνῳ τὰς ἀμφικύρτους. ἡ δὲ ἑξὰς τὸν μὲν τῶν ζῳδίων κύκλον διεῖλεν ἄρσεσιν καὶ θήλεσιν, ὡς ἂν καὶ αὐτὴ φύσιν ἀρρενόθηλυν ἔχουσα· τῶν δὲ τριῶν κύκλων τῶν πρὸς ὀρθὰς τεμνόντων ἀλλήλους τὰς κοινὰς τομὰς ἔπηξεν ἀεὶ τὰς αὐτάς· ἐφ' ἑαυτὴν δὲ γενομένη τοὺς δεκανοὺς ὥρισεν ἓξ καὶ τριάκοντα τοὺς πάντας· μετὰ δὲ τῆς τετράδος τοὺς ὡρονόμους, εἴκοσι καὶ τέτταρας ὄντας· μετὰ δὲ τῆς πεμπάδος τὰς μοίρας τῶν ζῳδίων καθ' ἕνα καὶ τὸν αὐτὸν ἀριθμὸν ἐτελεώσατο· μετὰ δὲ τῆς τριάδος ὑπεζωκυῖα γίνεται τὴν κατὰ διάμετρον κίνησιν τῇ τριγωνικῇ πλευρᾷ τῇ ἑξ .

in R.2.45 . 22 . οὖσα τὴν διάμετρον ἑξ ..... [ἡ δὲ δυωδεκὰς] λοιπὴ τὴν μὲν τοῦ δωδεκα[έδρου περί]μετρον συμπληροῖ τοῖς δυόδε[κα πενταγώνοις] καὶ σχηματογραφεῖ πάντα τὸν [οὐρανόν, μᾶλ]λον δὲ διαζῳγραφεῖ, καθάπερ φησὶν ὁ Τίμαιος [p. 55c]. τὸν δὲ τῶν ζῳδίων ἀριθμὸν ἔστησεν ἐν ὅρ[οις] τοσούτοις, ὅσοσπερ αὐτῆς ἐστιν ὁ ἀριθμός· τὴν δὲ ἀποκατάστασιν ὁρίζει τοῦ βασιλέως τῶν ὁρατῶν, ᾗ φησιν Πλάτων [rep. VI 509d], καὶ πάσης καὶ γενέσεως καὶ τροφῆς ὄντος αἰτίου καὶ αὐξήσεως περὶ [τὸν] ζῳοφόρον κύκλον· καὶ διὰ ταῦτα καὶ ἐν τοῖς ἀποτελέσμασι τῶν οὐρανίων μεγίστην κέκτηται δύναμιν, μέτρον οὖσα τῶν ὅλων αἰτίων. Αἱ δὲ τρεῖς πλευραὶ τοῦ τριγώνου τῶν σχημάτων εἰσὶν ἀρχαὶ τῶν κοσμικῶν· ⟦ ᾗ ⟧ ἡ μὲν τετρὰς τοῦ τετραγώνου τοῦ τὸν κύβον συνιστάντος, ὅς ἐστι σπέρμα τῆς γῆς· ἡ δὲ τριὰς τοῦ τριγώνου τοῦ τὰ τρία στοιχεῖα γεννήσαντος· ἡ δὲ πεμπὰς τοῦ τὸ δωδεκάεδρον συμπληρώσαντος πενταγώνου, ᾧ τὸν οὐρανὸν ἐμόρφωσεν ὁ παρὰ τῷ Τιμαίῳ δημιουργός. εἰκότως ἄρα κοσμικὸν τρίγωνον εἰώθασιν τοῦτο καλεῖν οἵ τε ἄλλοι σοφοὶ καὶ οἱ τὰ Αἰγυπτίων ἱστοροῦντες, ὡς πάντων τὰς ἀρχὰς ἔχον καὶ περιέχον ἐν ἑαυτῷ. καὶ γὰρ ἑξῆς οἱ ἐν αὐτῷ ἀριθμοὶ τῶν πρώτων εἰσὶν αἰτίων εἰκόνες· ἡ μὲν τριὰς τοῦ ὄντος, ὃ δὴ πρώτως ἐστὶν μικτὸν ἐκ πέρατος καὶ ἀπείρου· μονὰς γὰρ πέρας, ἀπειρία δὲ ἡ δυάς, αἷς ἴση μόνως ἡ τριὰς ἅτε ἐξ ἀμφοῖν οὖσα καὶ μόνη τοῦτο πεπονθυῖα, τὸ εἶναι ταῖς ἀρχαῖς ἴση· ἡ δὲ τετρὰς τῆς ζωῆς, παρ' ᾗ καὶ ἡ κίνησις ὡς δυαδικὴ καὶ ἡ στάσις ὡς τετραγωνική· ἐν γὰρ ἰσότητι στάσις, ἐν .

in R.2.46 . 17 . πᾶσα κίνησις, ἀπὸ .. 15 . πεμπὰς .... κύκλου .. 13 . τη ἀφ' ἑαυτῆς εἰς ἑαυτὴν .. 13 . πεντάκις πέντε, καὶ τοῦτο [εἰς ἄπειρον]· πᾶς γὰρ νοῦς ἀφ' ἑαυτοῦ πρὸς [ἑαυτὸν ἐ]νεργεῖ. Πρὸ δὲ τούτων αἱ ἀρχαὶ [τῶν π]άντων, μονὰς καὶ δυάς· ἡ μὲν αὐτὸ τὸ [πέρας, ἡ] δὲ αὐτὸ τὸ ἄπειρον οὖσα. καὶ πρὸ [τούτων] τὸ ἓν τὸ τοῦ πέρατος αἴτιον καὶ τοῦ ἀπείρου. καὶ γὰρ ἡ μονὰς ἕν τι καὶ ἡ δυάς, καὶ [πᾶς] ἀριθμὸς εἷς ἕκαστος. νοῦς δὲ ἡ πεμπὰς οὖσα μετὰ μὲν ⟦ τὴν ⟧ τῆς πρωτουργοῦ τριάδος ὀκτάσφαιρον ἐποίησεν τὸν ὅλον οὐρανόν, μετὰ δὲ ⟦ τὴν ⟧ τῆς τετράδος ἐννεάσφαιρον τὸν ὅλον

κόσμον, προσθεῖσα τὸ ὑπὸ σελήνην ὡς λῆμμα τοῦ παντός· μετὰ δὲ ἀμφοῖν δωδεκάσφαιρον. διελοῦσα καὶ τὸ ὑπὸ σελήνην εἰς τὰ ἐν αὐτῷ στοιχεῖα καὶ ἐξάψασα τῶν δώδεκα πάντα θεῶν· οὓς καὶ ὁ ἐν Φαίδρῳ Σωκράτης ἡγεμόνας ἐπέστησε πᾶσι τοῖς ἐγκοσμίοις [p. 246a]. ΛΣ . Ὁ μὲν κύκλος εἰκών ἐστι νοῦ· μένει γὰρ κατὰ τὸ ἐντὸς αὐτοῦ καὶ πρόεισιν κατὰ τὰς γονίμους αὐτοῦ δυνάμεις καὶ ἐπιστρέφει πρὸς ἑαυτὸν κατὰ τὴν πανταχόθεν αὐτὸν περιλαμβάνουσαν ὁμοίως γνῶσιν. καὶ τὸ μὲν κέντρον εἰκὼν τοῦ ἐν αὐτῷ νοητοῦ καὶ ἀμεροῦς καὶ ἐφετοῦ, αἱ δὲ ἐκ τοῦ κέντρου γραμμαὶ ἐοίκασιν ταῖς ἀπείροις αὐτοῦ δυνάμεσιν, δι’ ὧν παράγει πᾶν τὸ ἐν ἑαυτῷ πλῆθος τῶν νοητῶν· ἡ δὲ περιφέρεια, δι’ ἧς συνελίσσεται πάλιν εἰς τὸ κέντρον καὶ περιπτύσσεται πανταχόθεν αὐτό, ταῖς νοήσεσιν ταῖς εἰς τὸ ἓν καὶ τὸ νοητὸν ἐπεστραμμέναις· μετὰ δὲ νοῦν, ὃν καὶ .. 33 . κινεῖσθαι λέγεται ψυχὴ το .. 12 . ἀπὸ νοῦ προϊοῦσα, καὶ .

in R.2.47 . 14 . [θεω]ρεῖται καὶ κατὰ τὴν αὐτο[κινησίαν] τὴν ἑαυτῆς. καὶ ὡς μὲν εἰκόνα [τοῦ νοῦ οὖσαν αὐ]τὴν εἰς κύκλον ἀνάγει Πλάτω ν , μ[ᾶλλον δὲ] εἰς κύκλους, τὸ δυαδικὸν καὶ ἀμφ .. 9 .. πον ὁμοῦ τῷ νοερῷ συνθήματι λαχοῦ[σαν]· ὡς δὲ ψυχὴν αὐτοκίνητον οὖσαν κα[ὶ αὐτο]φυῆ ζωὴν εἰς τρίγωνον· αἱ γὰρ εὐθεῖαι μιμοῦνται τὰς ζωάς (κίνησις γὰρ ζωὴ πᾶσα), καθόσον ζωὴ κίνησις οὖσα πάντως ἔξοδος ψυχῆ[ς] καὶ ῥύσις ἀπὸ τοῦ μένοντος ἐπί τι· καὶ ἡ αὐτὸ ζωὴ πάσης οὖσα ζωῆς μέτρον, εἰ καὶ κ[ίνησίς] ἐστιν, ἀλλ’ ἀπαρέγκλιτος κίνησις, ὥστε εὐθεῖα. Τριπλᾶς οὖν ἔχουσα ζωὰς ἡ ψυχὴ τρισὶν εὐθείαις ὥρισται· τριπλᾶς δὲ ἔχει ζωάς, νοερὰν διανοητικὴν δοξαστικήν· ἃς οὐχ ὡς γνώσεις δεήσει σκοπεῖν, ἀλλ’ ὡς κινήσεις μόνον ζωτικάς. ἡνωμένων δὲ ἀλλήλαις τούτων καὶ πασῶν συμφυομένων τῆς ἑνώσεως εἰκὼν ἡ γωνία γενομένη τὸ τρίγωνον ἀπετέλεσεν εἰκόνα ψυχῆς· καὶ γὰρ τῷ νοερῷ συνῆπται τὸ διανοητικόν, δεχόμενον παρ’ αὐτοῦ τὴν κίνησιν· καὶ παρὰ τούτου τὸ δοξαστικὸν δεχόμενον ὡσαύτως τὴν κίνησιν ἔχει τὴν πρὸς αὐτὸ συναφήν· καὶ δὴ καὶ τὸ δοξαστικὸν ἀπὸ τοῦ νοεροῦ ὅρον ἔχον ἐπέστραπται πρὸς αὐτό, τέλος ἀρχῇ συνάπτον. καὶ οὕτως τὰ πάντα ἀλλήλοις συνημμένα τρίγωνον ἀποτελεῖ τὴν ὅλην ψυχὴν εἰς ἑαυτὴν συννεύουσαν. Εἰ δὲ βούλει καὶ ταύτης τὸ μὲν ὂν σκοπεῖν κατὰ τὸ τριαδικόν, τὴν δὲ ζωὴν κατὰ τὸ τετραδικόν, τὸν δὲ νοῦν κατὰ [τὸ πενταδικόν], καὶ οὕτω τὴν πᾶσαν εἰκόνα .. 14 . δὲ ταῖς προόδοις τρι[γωνίζει ἑαυ]τήν (αἱ γὰρ εὐθεῖαι τῶν προ[όδων εἰκόνε]ς, καθ’ ἃς τὸ τρίγωνον, ὥστ’ εἶναι [τὸν ἀρι]θμὸν τριγωνικόν), ταύτῃ τῶν [πρὸ αὐτῆς] πλεονάσασα. καὶ διὰ ταῦτα ἄρα καὶ τῇ ζωογόνῳ πηγῇ καὶ πάσης ζωῆς α[ἰτίᾳ τὸ] τρίγωνόν ἐστιν οἰκεῖον, ὡς ὁ κύκλος [τῷ] πρὸ αὐτῆς θεῷ τῷ ἀγκυλομήτῃ, φασίν, ἀφ’ ὧν καὶ τὰ ἀποτελέσματα πρόεισιν.

in R.2.48 [Τρισσ]ῶν δὲ ὄντων τῶν τριγώνων τὸ μὲν ἰσόπλευρον, ὡς καὶ Ξενοκράτης ἔλεγεν, ἀνεῖται ταῖς θείαις πάσαις ψυχαῖς ὡς τῷ ἑνὶ κεκρατημέναις· ἡ γὰρ ἰσότης ἑνότης ἐστίν· διὸ καὶ θεῖαι καλοῦνται· τὸ γὰρ ἓν θεότητος ἴδιον. ἐπειδὴ δὲ οὐκ ἦν αὐτὸ ἓν τὸ ἐν ψυχαῖς ἕν, ἀλλὰ μετεχόμενον ὑπὸ τοῦ ἐν αὐταῖς πλήθους, ἰσότης ἡ ἑνότης γενομένη ταῖς πανταχόθεν ἐκτεθεωμέναις ψυχαῖς καὶ κατὰ πάσας τὰς ζωὰς τὸ πανταχόθεν ἴσον ἀποδέδωκεν τρίγωνον· δι’ ὧν καὶ τόδε τὸ πᾶν ἐκθεοῦσιν, τὰς μὲν κινήσεις ταῖς εὐθείαις, τὰς δὲ συνοχὰς τῶν κινήσεων ταῖς γωνίαις. τὸ δὲ ἰσοσκελὲς ταῖς μετὰ τὰς θείας ψυχαῖς δαιμονίαις οὔσαις, ἐν αἷς μέσαις οὔσαις ἰσότης τέ ἐστιν καὶ ἀνισότης, ἕνωσίς τε καὶ ποικιλία δυνάμεων, τῶν βάσεων ἀνομοίων οὐσῶν πρὸς τὰς ἄνωθεν· διότι δὴ καὶ οἱ δαίμονες τοῖς μὲν ἐσχάτοις ἑαυτῶν ἐφάπτονται τῶν χειρόνων, τοῖς δὲ ὑψηλοτέροις τῶν κρεισσόνων, καὶ ἡ ἐπαφὴ τοῖς μὲν ἐξομοιοῖ διὰ τῆς ἰσότητος, τοῖς δὲ συνάπτει διὰ τῆς ἀνισότητος. τὸ δὲ δὴ τρίτον τὸ σκαληνὸν πάντῃ ἀνισούμενον τῶν ψυχῶν ἐστιν ἀνιουσῶν καὶ κατιουσῶν εἰκών, [τοῖς κρείττο]σιν ἀνισουμένων καὶ τοῖς χ[είροσιν]. καὶ γὰρ ἐκείνων ποτὲ μὲν πλέ[ον] .... ται κινούμεναι, ποτὲ δὲ ἔλασσον, [καὶ] τῶν χειρόνων, καὶ τὸ παραδοξότατον, ὅτι καὶ ἑαυτῶν. πάντῃ οὖν αὐταῖς ἀνισουμέναις ἀποδέδοται τὸ πάντῃ ἄνισον. ἀλλ’ ἁπλῶς μὲν ψυχῶν τοιούτων εἰκὼν τὸ σκαληνόν· τῶν δὲ εἰς

γένεσιν καὶ ἀπὸ γενέσεως φερομένων τοῦτο δὴ τὸ ὀρθογώνιον, ὃ περὶ μὲν τὴν ὀρθὴν ἔχει τὸν πυθμένα τὸν ἐπίτριτον, κατὰ δὲ τὴν ὑποτείνουσαν τὸν τῆς πεμπάδος ἀριθμόν.

in R.2.49 ἔδει μὲν γὰρ μὴ τὸ τυχὸν αὐτῶν εἶναι τρίγωνον καὶ ταῦτα πάντῃ ἀνισουμένων, ἀλλὰ τὸ ὀρθογώνιον· ἐπειδὴ κἂν ἐν ταῖς κινήσεσιν ἔχωσι τὸ ἀνισοῦσθαι, τὴν οὐσίαν ἀεὶ τὴν αὐτὴν φρουρουμένην εἰλήχασιν, τοῦ μᾶλλον καὶ ἧττον ἄδεκτον, οἵαν ἔχει καὶ ἡ ὀρθὴ φύσιν· διὸ τῆς οὐσιώδους ἐστὶν εἰκὼν πανταχοῦ συνοχῆς. τοῦτο δὲ αὖ ἔδει τὰς περὶ τὴν ὀρθὴν ἔχειν ἐν λόγῳ τῷ ἐπιτρίτῳ, διότι τὸ ἐπίτριτον μέσον ἐστὶν συμφώνων καὶ ἀσυμφώνων διαστημάτων. εἰ δὲ μὴ προϋπῆρχεν ἐν τῇ οὐσίᾳ τῆς ψυχῆς καὶ τῆς ἀσυμφωνίας ῥίζα, τῆς συμφωνίας ἀκράτου καὶ μόνης οὔσης, οὐδ' ἂν ἐν ταῖς ζωαῖς αὐτῆς ὤφθη καὶ ταῖς δυνάμεσιν διάστασις καὶ ἀναρμοστία· δηλοῖ δὲ καὶ αὐτὸς τὴν οὐσίαν αὐτῆς οὐκ ἐξ ἀκηράτων παντελῶς λέγων ὑποστῆσαι τὸν δημιουργόν, ὥσπερ τὴν θείαν [Tim. 41d]. εἰ δὲ τοῦτο, δαιμονίως ὁ ἐπίτριτος τὴν ἀσύμφωνον ἅμα καὶ σύμφωνον ἐνεικονίσατο σύστασιν. ἀκήρατον γὰρ 〈τὸ〉 διὰ τὴν καλλίστην πρὸς αὐτὸ συμφωνίαν μένον ἐπὶ τῆς οἰκείας ἀδιάφθο[ρον οὐσί]ας· ὥστε τὸ ἐναντίον τὸ δι' ὕφεσιν [τῆς] ἐναρμονίου συστάσεως κινδυνεῦον ἀ[να]πλησθῆναι τῶν διαλυτικῶν κηρῶν, ὃ καὶ αὐτὸ πάλιν ὁ Τίμαιος δηλῶν τὰς ἐν ἡμῖν παντοίας τῶν κύκλων φοράς φησιν μὴ παντελῶς εἶναι λυτάς [p. 43d]. καὶ μήποτε καὶ τῶν συμφωνιῶν ἡ μὲν διὰ πασῶν, εἰ καὶ πᾶσαι ἐν πάσαις, ἀνεῖται ταῖς θείαις ψυχαῖς διαφερόντως, ὄντως τὴν κατακορεστάτην τῶν συμφωνιῶν ἐξαίρετον ἐχούσαις, ἵνα διὰ πασῶν ἐνεργοῦσαι πάντα ῥητὰ καὶ σύμφωνα τὰ ἐν τῷ κόσμῳ διαφυλάττωσιν· ἡ δὲ διὰ πέντε δαίμοσιν, τελεωτέρα μὲν οὖσα τῆς διὰ τεττάρων καὶ περιέχουσα αὐτήν, ὑφειμένη δὲ τῆς διὰ πασῶν καὶ περιεχομένη ὑπ' αὐτῆς· ἡ δὲ διὰ τεσσάρων λοιπὴ ταῖς μερικαῖς ψυχαῖς διὰ τὰς εἰρημένας αἰτίας, ὑπ' ἀμφοτέρων μὲν περιεχομένη, μετ' ἐκείνων δὲ συμπληροῦσα τὴν ὅλην ἁρμονίαν τοῦ παντός· ὥσπερ καὶ τῶν ψυχῶν αἱ ζωαὶ καὶ ταῦτα πολὺ δοκοῦσαι τὸ ἀνάρμοστον ἔχειν ὅμως συντελοῦσιν εἰς τὴν διὰ πάντων ἐν τῷ κόσμῳ σύμφωνον τάξιν.

in R.2.50 ἡ μὲν οὖν διὰ τεσσάρων τοιαύτην ἔχει συγγένειαν πρὸς τὴν οὐσίαν τῆς μερικῆς ψυχῆς· ἡ δὲ ὑποτείνουσα τὴν ὀρθὴν εἰκών ἐστιν τῆς νοερᾶς ἐν αὐτῇ ζωῆς ὅλης· καὶ γὰρ ἡ πεμπὰς πρῶτος κυκλικός ἐστιν ἀριθμὸς καὶ νῷ σύζυγος, δι' ἣν νοῦς ἐστιν δυνάμει καὶ ἐπιστρέφειν δύναται πρὸς ἑαυτήν. ἔχει οὖν τὴν μὲν ὀρθὴν τῆς οὐσίας εἰκόνα· μιᾶς δὲ οὔσης καὶ δυοειδοῦς ἐν αὐτῇ τῆς οὐσίας καὶ μία ἡ ὀρθὴ καθ' αὑτὴν καὶ ἐν δυσὶν ἡ μία, τό τε ἁπλοῦν δεικνῦσα καὶ τὸ οὐχ ἁπλοῦν τῆς οὐσίας, τό τε μόνιμον [καὶ τὸ] .. κλα ... [δι]ὰ τὴν ἄνισον τῶν τῆς ὀρθῆς [καθέ]των διανομήν, τό τε τῆς ταὐτοῦ φύσεως οὐσιῶδες καὶ τὸ τῆς θατέρου, τῇ μὲν τοῦ ἑνὸς πρέποντος, τῇ δὲ τοῦ ἑνὸς ἅμα καὶ οὐχ ἑνός (καὶ γὰρ ὁ θατέρου κύκλος ἐκ τῶν αὐτῶν, ἀλλὰ μετὰ διαιρέσεως). τὰς δὲ περὶ τὴν ὀρθὴν γραμμὰς τῶν δυνάμεων τῶν ζωτικῶν, συμφώνων καὶ ἀσυμφώνων, περὶ τὴν μίαν οὐσίαν αὐτῆς διϊσταμένων· τὴν δὲ ὑποτείνουσαν τὸν ἐν τῇ ζωῇ νοῦν κυκλίζειν αὐτὴν ἐθέλοντα καὶ αὐτὴν εἰς ἑαυτὴν κινεῖν καὶ περὶ ἑαυτήν, ὡς ἴσον δύνασθαι τῇ διπλῇ ζωῇ τὸν ζωτικὸν αὐτῆς τοῦτον κύκλον. πᾶν γὰρ αὐτοκίνητον διπλῆν ἔχει ζωὴν καὶ μίαν, καὶ τὴν μίαν ἴσην τῇ ἐξ ἀμφοῖν· οὔσης δὲ καὶ τῆς οὐσίας μιᾶς 〈καὶ〉 διπλῆς καὶ ἴσης τῇ διπλῇ τῆς μιᾶς καὶ τῆς ζωῆς ὁμοίως, δῆλον ὅπως καὶ κινοῦν ἐστι καὶ κινούμενον καὶ τὸ ἐξ ἀμφοῖν, καὶ οὐσιοῦν καὶ οὐσιούμενον καὶ τὸ ἐξ ἀμφοῖν· καὶ ὅπως συμβαίνει ταῦτα ἀλλήλοις, ἐνεικονιζομένων τῆς μὲν τῇ διπλῇ ζωῇ παρισουμένης ὑποτεινούσης τὴν ἐνίζουσαν τὸ διπλοῦν κατὰ τὴν οὐσίαν· τῶν δὲ διττῶν ζωῶν, ἐξ ὧν ἡ μία, τὰς ἐκ δυεῖν οὐσιῶν εἰς μίαν συμπτυσσομένας.

in R.2.51 Ἐκ μὲν οὖν τούτων ἡ ψυχὴ φαίνεται μία δυοειδὴς κατά τε τὸ εἶναι καὶ τὸ ζῆν· ἐκ δὲ τῶν ἀριθμῶν τῶν ἐκ τούτων ἀναφανέντων ἀριθμὸς δυαδικὸς ἀμείνους καὶ χείρους ἔχων δυνάμεις, τὰς μὲν δυναμένας τὰς δὲ δυναστευομένας, ἁπλουστέρας καὶ συνθετωτέρας (δύνανται μὲν γὰρ οἱ πλευρικοί, δυναστεύονται δὲ οἱ ἐκ τούτων), καὶ τὰς μὲν ὁμοιούσας τὰς δὲ ἀνομοιούσας, τὰς

μὲν ἐπιστρεπτικὰς αὐ[τῆς] εἰς τὸ ταὐτὸν καὶ τὸ ἓν τὰς δὲ εἰς ἑτερότητα καὶ τὸ μὴ ἓν ἀγούσας, καὶ τὰς μὲν αὐξούσας τὰς δὲ φθειρούσας τὸ πτέρωμα αὐτῆς· τῷ μὲν γὰρ ἀγαθῷ καὶ τῷ καλῷ καὶ τῷ σοφῷ τοῦτο αὔξεται, τοῖς δὲ ἐναντίοις φθίνει καὶ διόλλυται. καὶ μὴν καὶ τὸ χωρεῖν εἰς τρεῖς τὴν αὔξησιν τοῦ ἀριθμοῦ τοῦδε τὴν ἀπὸ τῶν νοητῶν καὶ ἀμερῶν ἄχρι τῶν στερεωτάτων αὐτῆς ἔξοδον περιέχει· ἄνω μὲν γὰρ οὖσα καὶ πρὸς νοῦν τεταμένη μετὰ τὴν ἀμέρειαν τὴν νοερὰν τὸ πρῶτόν ἐστι διάστημα καὶ ἔστιν εὐθεῖα μὲν διὰ τὴν πρόοδον, κύκλος δὲ καὶ οὗτος ὡς γραμμὴ κυκλιζομένη διὰ τὴν ἐπιστροφήν· εἰσιοῦσα δὲ εἰς ἑαυτὴν ἐπιπεδοῦται, καὶ μέχρι μὲν διανοίας ἱσταμένη τετραγωνίζει ἑαυτήν, τὸ ταὐτὸν καὶ ὅμοιον ἐν τῇ διανοητικῇ κινήσει τῷ διάνοια εἶναι πρὸς διάνοιαν κινουμένη ἔτι σώζουσα, δόξαν δὲ μετὰ διανοίας συμμίξασα κινεῖται κίνησιν ἐπίπεδον μὲν ὡς ἐκ δυεῖν γενομένην δυνάμεων ἀλλήλαις συμμιγνυμένων, ἀνίσων δὲ οὐσῶν ἐκείνων προμηκίζει αὐτὴν ἀφ' ἑαυτῆς· εἰς δὲ τὰ μετ' αὐτὴν ῥέπουσα βαθύνει τὰ ἐπίπεδα, τὴν μὲν τετραγωνικὴν ζωὴν κυβίζουσα καὶ φαντασίαν γεννῶσα (καὶ γὰρ ἡ φαντασία νοῦς τίς ἐστιν παθητικὸς ἔνδον μὲν ἐνεργεῖν ἐθέλων, ἀσθενῶν δὲ διὰ τὴν εἰς τὸ στερεὸν πτῶσιν), τὴν δὲ προμήκη κατὰ τὴν ἀνάλογον πρόοδον εἰς τοὺς ἀνομοίους ὑφιζάνουσα στερεοὺς καὶ τὴν αἴσθησιν γεννῶσα, γνῶσιν οὖσαν ἐξ ἀνομοίων, σώματος καὶ ἀσωμάτου, καὶ ἑαυτῆς εἶναι μὴ δυναμένην.

in R.2.52 μιγνυμένων δὲ τῶν εἰδῶν τῆς ζωῆς τούτων ἐν τῇ γενέσει καὶ [συμ]πλεκομένων χειρόνων καὶ ἀμεινόνων ἀποτελοῦνται ἁρμονίαι δυοειδεῖς, ἡ μὲν ἀποκαταστατικὴ καὶ τῷ ταὐτοῦ κύκλῳ φίλη, ἡ δὲ τῷ θατέρου συγγενὴς καὶ γενέσει φίλη· ἡ μέν γε ἑκατοντὰς καὶ ἡ μυριὰς ἄμφω τετραγωνικαί, πρὸς τῆς ταυτότητος οὖσαι καὶ εἰς τὸ ὅμοιον ἀνάγουσαι καὶ τὸ θεῖον (δηλοῖ δὲ καὶ αὐτὸς ἐν Φαίδρῳ [p. 248e] διὰ μυρίων ἐτῶν ἀποκαθιστὰς τὴν ψυχὴν ἀπὸ γενέσεως εἰς τὸ νοητόν)· ἡ δὲ πεμπὰς μετὰ τοῦ ἑβδομήκοντα καὶ οἱ τούτοις ἀνάλογον ἐν ἑκατοντάσιν καὶ χιλιάσιν ὁ πεντακόσια καὶ ἑπτακισχίλια, ἐκ πλευρῶν γενόμενοι διαφερουσῶν καὶ ἀνομοίων, τετραγωνικῶν καὶ προμήκων, τὴν ἑτέραν περίοδον καὶ ἐναντίαν ἐνεικονίζονται τὴν γενεσιουργόν. ἔστι γὰρ καὶ ἀπὸ τοῦ νοητοῦ πρὸς τὸ νοητὸν ὁδὸς καὶ ἀπὸ γενέσεως ἐπὶ γένεσιν ταῖς ψυχαῖς, ἡ μὲν τοῖς ἀναγωγοῖς θεοῖς ἀνειμένη, ἡ δὲ τοῖς γενεσιουργοῖς, καὶ ἀγγέλοις ἡ μὲν τοῖς λύουσιν τὴν ὕλην, ἡ δὲ τοῖς τῶν καθόδων ἐφόροις· καὶ οἱ δηλωτικοὶ τούτων ἀριθμοὶ ταῖς τάξεσιν ἀνεῖνται ταύταις, ὥσπερ καὶ τῶν ἐν ταῖς ψυχαῖς κύκλων ἡ μὲν τῷ ταὐτοῦ προσῆκεν, ἡ δὲ τῷ θατέρου.

in R.2.53 Δεῖ δέ, ὥσπερ ἑκατέρας εἰσὶν ἡγεμόνες, οὕτω καὶ τὸν ἕνα προστάτην τῆς συναμφοτέρας νοεῖν ἀνόδου τε καὶ καθόδου καὶ τῆς διπλῆς ἐν τῇ γενέσει ζωῆς εὐγονίας τε καὶ δυσγονίας· ὅν, εἰ δεῖ τῇ ἐμῇ μαντείᾳ προσέχειν, οὐκ ἄλλον ἢ τὸν Προμηθέα δεῖ νομίζειν, ὃν καὶ Πλάτων ἐν Πρωταγόρᾳ τῆς ἀνθρωπίνης ζωῆς ἔφορον, ὥσπερ τ[ὸν] Ἐπιμηθέα τῆς ἀλόγου φησίν [p. 320d], καὶ Ὀρφεὺς καὶ Ἡσίοδος διὰ τῆς κλοπῆς τοῦ πυρὸς καὶ τῆς εἰς ἀνθρώπους δόσεως ἐνδείκνυνται τὴν ψυχὴν ἀπὸ τοῦ νοητοῦ κατάγειν εἰς τὴν γένεσιν, ὡς τῆς ἀνθρωπίνης περιόδου κύριον καὶ τῶν ἀμεινόνων καὶ χειρόνων γενέσεων. διττῆς οὖν οὔσης, ἵνα πάλιν σαφῆ ποιήσωμεν τὸν ὅλον νοῦν, τῆς περιόδου τῶν μερικῶν ψυχῶν, τῆς μὲν ἀπὸ τοῦ νοητοῦ πρὸς τὸ νοητόν, τῆς δὲ ἀπὸ γενέσεως ἐπὶ γένεσιν, ἑκατέραν τούτων ἁρμονίαν ἐκάλεσεν, διότι κατ' ἄμφω τὴν οἰκείαν οὐκ ἀπόλλυσιν οὐσίαν, ἐναρμόνιος γενομένη καὶ πρὸς ἀνόδους καὶ πρὸς καθόδους καὶ τοιαύτην λαχοῦσα σύστασιν. ἀλλὰ τὴν μὲν τετραγωνικὴν εἶπεν τὴν ἀπὸ τοῦ νοητοῦ περίοδον εἰς τὸ νοητόν (τοιαύτη γὰρ ἡ μυριάς), τὴν δὲ προμήκη τὴν ἀπὸ γενέσεως ἐπὶ γένεσιν, καθ' ἣν ἡ μὲν ἑκατοντὰς πάλιν μένει, ἀλλ' οὐκ εἰς ἑαυτὴν εἰσιοῦσα ἐποίει τὴν ἀμείνω καὶ ἀποκαταστατικὴν ἐκείνην περίοδον, ἀλλὰ συνταττομένη πρὸς ἄλλον ἀριθμὸν ἄλλο προτείνοντα ζωῆς εἶδος, λεῖπον τῷ ἀπὸ τῆς πεμπάδος τετραγώνῳ— τοιοῦτον δὲ τὸ ἄλογον, οὐ μόνον ὅτι τῆς κυκλικῆς ἐπιστροφῆς εἰς ἑαυτὸ παρῄρηται (οἷος ὁ ἀπὸ τῆς πεμπάδος κυκλικὸς

ὧν ἀριθμὸς ἀφ' ἑαυτῆς τε ἀρχομένης καὶ εἰς ἑαυτὴν ληγούσης), ἀλλὰ καὶ ὅτι δικαιοσύνης ἱερὰ ἡ πεμπὰς ὡς ἐπανισοῦσα μόνη τοὺς ἀπὸ μονάδος ἄχρις ἐννεάδος, ἧς τὸ ἄλογον αὐτὸ καθ' αὑτὸ ἄμοιρον—ἡ δ' οὖν ἑκατοντὰς τῷ ἐλλείποντι ἀριθμῷ πρὸς αὐτὴν κατὰ τὸν ἀπὸ τῆς πεμπάδος ἀριθμὸν συζυγεῖσα ποιεῖ τ[ὴν] ἀπὸ γενέσεως ἐπὶ γένεσιν περίοδον.

in R.2.54 προσλήψει γὰρ χείρονος ζωῆς ἡ περίοδος αὕτη γίνεται· πρόσεστι δὲ καὶ αὐτῷ τῷ ἀριθμῷ τῷ τῆς τοιαύτης ζωῆς τῆς τῇ γενέσει συμφύλου ⟦ καὶ ⟧ τὸ ἐκ δυεῖν εἶναι, τοῦ μὲν κυβικοῦ, τοῦ δὲ ἐξ ἀνομοίων πλευρῶν· διότι δὴ καὶ τὸ ἄλογον ἔχει κατ' οὐσίαν τὸ μὲν ἄμεινον καὶ ταυτότητι συγγενές, τὸ δὲ χεῖρον καὶ ἑτερότητι φίλον. καίτοι καὶ ἐπὶ τῆς ἑκατοντάδος ἦν τὸ μὲν εἶδος κυβικόν, τὸ δὲ ἐξ ἀνομοίων· ἀλλὰ καὶ τὸ ἐξ ἀνομοίων ἄλλως ἦν τετραγωνικὸν ἀπὸ τῆς πρωτίστης τὸ τέλειον δειξάσης, καὶ ἐξ ἀμφοῖν ἐποίει τὸν ὅλον τετραγωνικόν· διότι καὶ τὸ ἕτερον ἐπὶ τοῦ λογικοῦ πρὸς ταὐτὸ συμφυόμενον εἰς μίαν ὁμοιότητα πρὸς ἑαυτὴν ἐπιστρέφουσαν κατήντα, μὴ ἐκβαίνουσαν τὴν τοῖς ἀσωμάτοις οἰκείαν φύσιν· τὸ δὲ ἐν τῷ ἀλόγῳ ἕτερον καὶ τὸ ταὐτὸν τὸ ἐν αὐτῷ περιήγαγεν εἰς τὴν τοῦ ὅλου πρὸς ἑαυτὸ ἀνομοιότητα, πρέπουσαν ταῖς γενεσιουργοῖς δυνάμεσιν. οἰκεία γὰρ τοῖς μὲν καθαρῶς ἀσωμάτοις ἡ ὁμοιότης, τοῖς δὲ σωμάτων ἀχωρίστοις ἡ ἀνομοιότης. καὶ γὰρ ὅπου μὲν ὁ κύβος ὑπερβάλλει τὸν μὴ κύβον, ὡς τὸ ταὐτὸν ἐν τοῖς ἀσωμάτοις, ὅπου δὲ ὁ μὴ κύβος τὸν κύβον, ὡς τὸ ἕτερον ἐν τοῖς σωματικοῖς. καὶ συνᾴδει πάντα ἀλλήλοις. ΛΖ . Εἰ ἔστιν ὁ ἀριθμὸς οὗτος καὶ ἐν τῷ παντὶ δηλούμενος καὶ ὑπὸ τῶν ἐν αὐτῷ σχηματισμῶν καὶ κινήσεων συναποτελούμενος, τῶν ὅλων προηγουμένων ἀεὶ τῶν μερῶν (εἴρηται δὲ τοῦτο πρότερον, ὅτι καὶ ἐν ταῖς μερικαῖς ἐστι ψυχαῖς συνουσιωμένος—ζῶσι γὰρ κατ' αὐτόν—καὶ ἐν τῷ παντὶ τῷ τὰς περιόδους παράγοντι τῆς εὐγονίας καὶ δυσγονίας· ὥσπερ καὶ τῶν βίων ἕκαστος, οἷον ὁ φιλόσοφος, καὶ ἐν ταῖς ψυχαῖς αὐταῖς καὶ ἐν τῇ τοιᾷδε διασχηματίσει τοῦ ὅλου, καὶ ἕκαστος τῶν ὅλων)· εἰ δ' οὖν ἔστι καὶ ἐν τῷ κόσμῳ τὸν διττὸν ἀριθμὸν ὁρᾶν τὸν κύριον τῶν ἀμεινόνων καὶ χειρόνων γενέσεων, δεῖ τοὺς ἄρχοντας εἰς τὸ πᾶν ὁρῶντας τεκμαίρεσθαι διὰ τῶν φαινομένων ἐν ταῖς τῶν γάμων συνέρξεσιν, τίς τάξις κοσμικὴ τῆς ἀμείνονος οἰστικὴ ζωῆς καὶ τίς τῆς χείρονος, ὧν ἡ εἱμαρμένη περιέχουσα τοὺς ἀριθμοὺς διὰ τῶν ἐμφανῶν κινήσεων δηλοῖ τὰς διαφοράς, εἴτε σημείων ὄντων τούτων τῶν ἐσομένων μόνον εἴτε καὶ συναποτελούντων αὐτὰ ταῖς ψυχαῖς, διότι τὰ μέρη μετὰ τῶν ὅλων ποιεῖ· διαφέρει γὰρ οὐδὲν ταῦτα πρὸς τὸ παρόν· ἀλλὰ τοσοῦτον μόνον ἀναγκαῖον τὸ τοὺς ἄρχοντας διορατικοὺς εἶναι τῶν σπορίμων ὡρῶν, εἰ τοῖς ἀμείνοσιν ἀριθμοῖς ἢ τοῖς χείροσιν πλεονάζουσιν, τοὺς τῶν συνέρξεων κυρίους.

in R.2.55 ἕπεσθαι γὰρ ταῖς μὲν σπορίμαις τοῦ κόσμου διασχηματίσεσι τὰς ἐν ταῖς ἐκτροπαῖς διασχηματίσεις, ταύταις δὲ τὰς βιοτὰς τῶν τικτομένων ἢ ἀμείνους ἢ χείρους γιγνομένας 〈καὶ ἢ ὁμοίασ〉 ταῖς τῶν γεννησαμένων ἢ ἀνομοίας οὕτως, ὥστε καὶ τὴν πολιτείαν μεταβάλλειν. οὐ γὰρ πᾶσα ἀνομοιότης ἐξίστησιν τῆς ἀμείνονος ζωῆς (ἀδύνατον μὲν γὰρ μὴ εἶναί τινα διαφέρουσαν διάθεσιν), ἀλλ' ἥτις ἂν παμπόλλην ἔχῃ τὴν ἐξαλλαγήν. ἐπεὶ καὶ ἓν ἑνὶ φύονται τοῖς πατράσιν ὡς ἐπίπαν οἱ παῖδες ὅμοιοι, μετά τινος καὶ ἀνομοιότητος· ἀλλ' ὅταν πάμπαν ἀνόμοιοι γένωνται, τότε τὴν τοῦ γένους ἐξαλλάττουσιν ἰδιότητα καὶ γίγνονται ἀπὸ φιλοσόφου γένους ἀφιλόσοφοί τινες καὶ ἀπὸ θεοσεβοῦς ἀνίεροι καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

in R.2.56 ὃ καὶ αὐτὸς εἰδὼς ἔλεγεν, ὅτι γίγνονταί τινες ὑπόχαλκοι καὶ ἐν τῷ χρυσῷ γένει [III p. 415b]. τοῦτο δὲ οὐκ ἀρκεῖ τὸ ἕνα τινὰ γενέσθαι τοιοῦτον εἰς τὸ παρασχεῖν αἰτίαν τῇ πολιτείᾳ τῆς λύσεως· ὅταν δὲ πολλοί, καὶ μηδεὶς τῶν τῷ χρυσῷ γένει προσηκόντων καὶ μετὰ πολλῆς τῆς παραλλάξεως παρὰ τὴν τῆς σπορᾶς διαμαρτίαν (ἣν ἁμαρτίαν εἰκὸς ἁμαρτεῖν τοὺς ἄρχοντας ὡς μὴ λογισμῷ μόνον, ἀλλὰ καὶ αἰσθήσει χρωμένους εἰς τὴν τοῦ καιροῦ τῆς εὐγονίας κατάληψιν), τότε ἤδη ἀναγκαῖον τῆς λύσεως προκαταβληθῆναι πάντως ἀρχὴν ἅμα τῷ καὶ τὴν περίοδον τῷ παρορά̣ματι συνεργεῖν. δεῖ τοίνυν τοὺς τῶν γάμων κυρίους τὸν καιρὸν αὐτῶν θηρᾶν κατὰ μὲν

τὴν ἀπλανῆ διά τε τῶν ὡροσκόπων καὶ τῶν τούτοις παρανατελλόντων ἀστέρων τε καὶ δεκανῶν—καὶ γὰρ μοῖραι ὡροσκοποῦσαι τὴν ὅλην ἔχουσι τῆς γενέσεως δύναμιν, ὡς τὰς μὲν ἱερατικὰς ποιεῖν, τὰς δὲ σύνεγγυς αὐτῶν ἐπιρρήτου ζωῆς γεννήσεις (καὶ ταῦτα ἐν ταῖς Χαλδαϊκαῖς σφαίραις ⟦ καὶ αὐτοὶ καὶ Αἰγύπτιοι ⟧ καὶ Αἰγυπτίαις), ἀφ' ὧν καὶ κρίνουσιν οἱ παλαιοί, τίς ὁ βίος ἔσται τῶν εἰς τὴν γένεσιν παριουσῶν ψυχῶν ἐκείνων ὡροσκοπουσῶν, ὥσπερ 〈τὸ〉 τοῦ βίου ποιὸν ἐκ τῶν σχημάτων καὶ τῶν παρανατολῶν καὶ τῆς τῶν ἀστέρων ἰδιότητος τῶν πρὸς τὴν ὡροσκοποῦσαν μοῖραν συσχηματιζομένων· καὶ αἱ τῶν παρανατελλόντων δυνάμεις παμπόλλην παρέχονται δύναμιν εἴς τε εὐγονίαν καὶ δυσγονίαν· εἰσὶ γὰρ δὴ καὶ τούτων αἳ μὲν ἀγαθαὶ καὶ προξενοῦσαι πᾶσαν εὕροιαν ἐν ταῖς γενέσεσιν, αἳ δὲ κακοποιοὶ καὶ τῶν ἐναντίων ἀπορροίας καταπέμπουσαι τοῖς ὑπ' αὐτῶν δυναστευομένοις.

in R.2.57 ἃ δὴ καὶ οἱ ἀστεροσκόποι κατιδόντες διορίζουσιν, τίνα μὲν τῶν ἄστρων ἀστέρας ἔχει πάντας ἀγαθοποιούς, τίνα δὲ κακωτικούς, τίνα δὲ συναμφοτέρους· ὧν τὰς ἀπορροίας χρὴ νομίζειν διαφερόντως μὲν ἐν τῷ παρανατέλλειν, πάντως δὲ καὶ ἐπὶ τῶν ἄλλων κέντρων, οἷον ἐν τῷ συμμεσουρανεῖν ἢ συγκαταδύεσθαι, πλείστην ποιεῖν ἔν τε ταῖς σπορίμοις ὥραις καὶ ταῖς ἀποκυητικαῖς ἐξαλλαγήν—μετὰ δὲ τὰς τῶν ἀπλανῶν κατανοήσεις τὰς τῶν πλανωμένων ἔσται δέον ἐν ταῖς σπορίμαις ὥραις κατανοεῖν κινήσεις, καὶ ὁρᾶν τίνες οἱ δυνάμενοι καὶ τίνες οἱ δυναστευόμενοι κατὰ τοὺς εἰρημένους ἀριθμούς, καὶ τῶν μὲν ἀγαθοποιῶν δυναμένων, δυναστευομένων δὲ τῶν ἐναντίων ποιεῖσθαι τὴν ἐκλογήν, ἀνάπαλιν δὲ ἐχόντων μηδαμῶς. ἔτι δέ, τίνες οἱ ὁμοιοῦντες σχηματισμοὶ καὶ τίνες οἱ ἀνομοιοῦντες· καὶ γὰρ τῶν σχημάτων τὰ μέν ἐστιν σύμφωνα καὶ διὰ τοῦτο ὁμοιοῦντα καλεῖται, τὰ δὲ ἀσύμφωνα καὶ διὰ τοῦτο ἀνομοιοῦντα· τὰ μὲν γὰρ τρίγωνα σύμφωνα, τὰ δὲ τετράγωνα ἀσύμφωνα. δεῖ τοίνυν τὰ ὁμοιοῦντα τῶν ἀγαθοποιῶν ἐκλέγεσθαι πρός τε τὴν σπορίμην ὥραν καὶ πρὸς ἀλλήλους. ἔτι δὲ τὰς αὐξήσεις καὶ μειώσεις παρατηρεῖν κατὰ τοὺς αὔξοντας καὶ φθίνοντας ἀριθμούς· ἐπὶ μὲν σελήνης ὡς αὐξούσης μάλιστα τὰς γεννήσεις ἐν ταῖς αὐξητικαῖς ἡμέραις καὶ τοῖς ἀναβατικοῖς ἀριθμοῖς, ἐπὶ δὲ τῶν πλανωμένων τὰς προσθέσεις καὶ ἀφαιρέσεις σκοποῦντας· ὅσα γὰρ προστιθέντες οἱ ἀγαθοποιοὶ παρέχουσιν, ἐν ταῖς ἀφαιρέσεσιν φθείρουσιν· ἐπὶ δὲ ἡλίου τὰς τοῦ φωτὸς ἐπιδόσεις ἀντὶ τῶν ἐναντίων· ἐπὶ γὰρ τὸ μεσημβρινὸν ἰὼν προστίθησιν τῷ φωτί, καὶ ἀπὸ τοῦ μεσημβρινοῦ πορευόμενος ἐπὶ δύσιν ἐλαττοῖ τὴν τοῦ φωτὸς δύναμιν· κατ' αὐτὸ δὲ τὸ ζῳογόνον κέντρον ἱστάμενος τὸ μεσημβρινὸν τὴν ἀκμὴν ἐπιδείκνυται τῶν φωτισμῶν.

in R.2.58 καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῶν ἡμικυκλίων τοῦ ζῳοφόρου κύκλου δεῖ τὰς διαφορὰς ὁρᾶν καὶ ὡς τὸ μὲν αὐξητικόν ἐστι τῆς γενέσεως, τὸ ἀπὸ αἰγόκερω, τὸ δὲ μειωτικόν, τὸ ἀπὸ καρκίνου· καὶ γὰρ ἐν ἐκείνῳ μὲν ἐπιδίδωσι τὸ φῶς, ἐν τούτῳ δὲ ἐλασσοῦται. καὶ ὁ ὅλος ἐνιαυσιαῖος κύκλος διῄρηται εἰς αὔξησιν καὶ μείωσιν· διὸ καὶ ὁ μηνιαῖος τῆς σελήνης κύκλος ἐνεικονίζεσθαι λέγεται τὸν ἐνιαύσιον τοῦ ἡλίου δρόμον· καὶ ὅ γε Ὀρφεὺς ἐν τῷ μηνὶ τρέπειν αὐτήν φησιν, ὅπερ ἥλιος ἐν ἐνιαυτ ῷ , τὸ ἀνάλογον ἐπ' ἀμφοῖν θεώμενος. Κρατεῖ δὲ καὶ παρ' Αἰγυπτίοις λόγος, ὅτι τῶν πέντε πλανητῶν ἕκαστος ἐν ταῖς σποραῖς κακωθεὶς φθείρει τὰ σπέρματα· καὶ ὁ μὲν Κρόνος ἐν τῷ πρώτῳ μηνὶ τῆς συλλήψεως, ὁ δὲ Ζεὺς ἐν ἑξήκοντα ἡμέραις, ὁ δὲ Ἄρης 〈ἐν〉 ἐνενήκοντα, ἡ δὲ Ἀφροδίτη ἐν εἴκοσι καὶ ἑκατόν, ὁ δὲ Ἑρμῆς ἐν πεντήκοντα καὶ ἑκατόν· οὕτω δὲ καὶ Σελήνη κακωθεῖσα ὁμοίως τῷ Κρόνῳ εἰς τὴν προϋποκειμένην φύσιν ἀναλύει τὰ ἔμβρυα. μόνος δὲ Ἥλιος συγκροτεῖ τὴν σύστασιν αὐτῶν καὶ συνεργοπονεῖ πρὸς τὴν γένεσιν, ὡς ἂν καὶ τὰς πάντων ἔχων δυνάμεις. καὶ γὰρ τῶν μὲν ὑπὲρ αὐτὸν τριῶν αἱ προσθαφαιρέσεις γίνονται κατὰ τὰ πρὸς αὐτὸν τρίγωνα, διότι τὸ μὲν τρίγωνον ἀρχὴ γενέσεώς ἐστιν, ἧς ὁ Ἥλιος δεσπότης, τῶν δὲ τριῶν ὃ μὲν συγκρίσεως αἴτιος, ὃ δὲ διακρίσεως, ὃ δὲ τῆς ἀμφοτέρων συμμετρίας. τῶν δὲ μετ' αὐτὸν οἳ μὲν δορυφοροῦσιν αὐτόν, ἡ δὲ χορεύει περὶ αὐτόν, ἀπ' αὐτοῦ κινουμένη καὶ ἐπ' αὐτόν.

in R.2.59 Οἱ δὲ περὶ Πετόσειριν Αἰγύπτιοι καὶ Ζωροάστρης διατείνονται, καὶ Πτολεμαῖος ἀρέσκεται, τὴν μὲν σπορίμην ὥραν γίνεσθαι σελήνης τόπον ἐν ταῖς ἀποκυήσεσιν, τὴν δὲ σπορίμην σελήνην ὥραν τῆς ἐκτέξεως. εἰ δὲ τοῦτ' ἀληθές, εἰδότας τὴν σπορίμην σελήνην δυνατὸν γιγνώσκειν καὶ τὴν ὥραν τῆς ἀποκυήσεως καὶ ἔμπαλιν· ταῦτα δὲ γιγνώσκοντας χρὴ σκοπεῖν, εἰ ἑπτάμηνον τὸ τεχθησόμενον ἢ ἐννεάμηνον, καὶ ποσαχῶς καὶ πῶς ἑκάτερα τίκτεται, καὶ οὕτως προσεννοεῖν τὰς γενέσεις τῶν σπειρομένων. ἐπὶ μὲν οὖν τῶν ἐννεαμήνων γίγνονται αἱ σποραὶ ἐν τῷ εὐωνύμῳ τετραγώνῳ τοῦ τῆς ἀποκυήσεως ἡλίου (ἐκεῖ γὰρ ὄντος αὐτοῦ γέγονεν ἡ σπορά), ἐπὶ δὲ τῶν ἑπταμήνων ἐν τῷ διαμέτρῳ. καὶ τὰ μὲν ἐννεάμηνα τελειοῦται ἐπὶ μὲν τῆς μεγίστης ἀποκυήσεως ἡμερῶν ΣΠΗ καὶ ὡρῶν Η , ἐπὶ δὲ τῆς μέσης ἡμερῶν ΣΟΓ ὡρῶν Η , ἐπὶ δὲ τῆς ἐλαχίστης ἡμερῶν ΣΝΗ ὡρῶνΗ · τὰ δὲ ἑπτάμηνα τελειοῦται ἐπὶ μὲν τῆς μεγίστης ἡμερῶν ΣΙϛ ὡρῶν Η , ἐπὶ δὲ τῆς μέσης 〈ἡμερῶν〉 ΡΣΑ ὡρῶν Η , ἐπὶ δὲ τῆς ἐλαχίστης ἡμερῶν ΡΟϛ ὡρῶν Η . λαβόντες οὖν τὴν σπορίμην ὥραν ἀπὸ ταύτης εὑρίσκουσιν, ποῖα ἐννεάμηνα καὶ ποῖα ἑπτάμηνα. πάλιν οὕτως· σκοπήσαντες τὴν σπορίμην ἡμέραν καὶ τὴν πρὸ αὐτῆς σύνοδον καὶ τὰς μεταξὺ μοίρας λαβόντες σὺν τῷ τρίτῳ μέρει αὐτῶν ἐκβάλλουσιν ἀπὸ τῆς προγενομένης συνόδου τῆς σπορᾶς· καὶ ἐὰν ὑπερπέσῃ ὁ ἀριθμὸς τὴν ἡμέραν τῆς συνόδου τῆς γιγνομένης μετὰ τὴν σποράν, φασὶν ἑπταμηνιαίαν τὴν γένεσιν, ἐὰν δὲ εὑρεθῇ ἐλάσσων, ἐννεαμηνιαίαν.

in R.2.60 οἷον εἰ μεταξὺ τῆς προγενομένης συνόδου τῆς ὥρας, καθ' ἣν ἡ σπορά, καὶ αὐτῆς τῆς σπορίμης ὥρας εἶεν μοῖραι τριάκοντα, ληπτέον ταύτας καὶ τὸ τρίτον αὐτῶν, ὥστ' εἶναι τετταράκοντα· ταύτας τὰς μοίρας ὡς ἡμέρας ἔκβαλε ἀπὸ τῆς προγενομένης συνόδου· ἐπεὶ οὖν ὑπερβάλλουσι τὴν μετὰ τὴν σποράν σύνοδον, ἑπτάμηνον ἔσται τὸ τεχθησόμενον. εἰ δὲ λάβοις ἐλάττους μοίρας, οἷον δεκαπέντε καὶ τὸ τρίτον, καὶ ἐκβάλοις ὡς ἡμέρας ἀπὸ τῆς ἡμέρας τῆς προγενομένης συνόδου, ἐντὸς πεσεῖται ὁ ἀριθμὸς τῆς μετὰ τὴν σπορίμην ὥραν ἐσομένης συνόδου· δεῖν οὖν οἴεσθαι ἐννεάμηνον τεχθήσεσθαι τὸ σπειρόμενον κατὰ τὴν ὥραν ταύτην. οἱ δὲ λαβόντες τὰς ὥρας, τὴν σπορίμην καὶ τὴν γενέθλιον, λαμβάνουσι τὴν πρὸ τῆς σπορίμης ὥρας σύνοδον καὶ τὴν ὥραν, καθ' ἣν γέγονεν, καὶ ἐναρμόζουσι τοῦτο τὸ ὀρθογώνιον τρίγωνον, τὴν ὀρθὴν ἐπὶ τῆς μοίρας τιθέντες καὶ ἐφ' ἑκάτερα τὴν μὲν τῶν Σ μοιρῶν ἑστῶσαν, τὴν δὲ τῶν ΡΚ μετ' αὐτήν, ... τὴν τῶν ΡΝ . μετὰ δὲ ταῦτα τὴν [πρὸ] τῆς ὡροσκοπούσης μοίρας τῆς γενέσεως ⟦ ἡμέραν ⟧ σύνοδον εὑρόντες σκοποῦσιν εἰς ποίαν ἐμπίπτει τοῦ σπορίμου τριγώνου πλευράν· καὶ ἐὰν μὲν εἰς τὴν ὑποτείνουσαν, ἐννεαμηνιαῖον λέγουσιν· ἐὰν δὲ εἰς τὴν ὑπτίαν, ἑπταμηνιαῖον· ἐὰν δὲ εἰς τὴν ὀρθήν, ἄλογον εἶναι ζῷον ἢ τερατῶδες. σκοποῦσι δὲ καὶ τὰς μοίρας τῶν δύο συνόδων, τῆς τε πρὸ τῆς σπορᾶς καὶ τῆς πρὸ τῆς ἐσομένης γενέσεως· καὶ ἐὰν μὲν εὕρωσι τὴν μίαν ἐπὶ τῆς ὑποτεινούσης, τὴν δὲ μίαν ἐπὶ τῆς ὑπτίας, ἐννεάμηνον τὴν κύησίν φασιν· ἐὰν δὲ τὴν μὲν ἐπὶ τῆς ὑπτίας, τὴν δὲ ἐπὶ τῆς ὀρθῆς, ἑπτάμηνον· ἐὰν δὲ τὴν μὲν ἐπὶ τῆς ὑποτεινούσης, τὴν δὲ ἐπὶ τῆς ὀρθῆς, ἀλόγου τινὸς ἢ ἀλλοκότου γένεσιν εἶναι.

in R.2.61 καὶ σύμφωνα ταῦτα τοῖς περὶ τὸ τρίγωνον ἀριθμοῖς· ἡ μὲν γὰρ ὑποτείνουσα καὶ ἡ ὑπτία Ε καὶ Δ , ἡ δὲ ὑπτία καὶ ὀρθὴ Δ καὶ Γ , ἡ δὲ ὀρθὴ καὶ ὑποτείνουσα Γ καὶΕ · διὸ ἐκεῖναι μὲν κατὰ φύσιν αἱ κυήσεις, ἐξ ἀρτίων οὖσαι καὶ περιττῶν, ἡ δὲ τρίτη παρὰ φύσιν, ἐκ δύο οὖσα περιττῶν. Μετὰ δὲ τὸν οὐρανὸν καὶ τὴν ἀπὸ τῶν οὐρανίων ἐπίσκεψιν τῆς κατὰ τὴν σποράν εὐκαιρίας οἱ φύλακες καὶ εἰς τὴν ὑπὸ σελήνην τάξιν ὁράτωσαν τήν τε ὅλην καὶ τὴν μερικήν· τὴν μὲν ὅλην εἰς τὰς περιτροπὰς τῶν ὡρῶν ἀποβλέποντες, καὶ τίνες εἰς τὴν γονὴν ἐπιτηδειότεραι, καὶ κατὰ τὰς τῶν καθειργνυμένων κράσεις. καὶ γὰρ τῶν ζῴων καὶ τῶν φυτῶν τὰ μὲν θερινῆς δεῖται καταστάσεως εἰς τὸ γόνιμον τῆς οἰκείας φύσεως, τὰ δὲ τῆς ἐναντίας. οἱ δὲ λόγοι τῆς φύσεως οἱ πλεῖστοι προέρχονται τοῦ ἔαρος, τὰ δὲ σπέρματα τῆς μετοπωρινῆς οὔσης ὥρας καταβάλλεται εἰς γῆν. διὸ καί φασι τῶν ὡρῶν τὴν μὲν χειμερινὴν εἶναι Κρονίαν, κρύπτουσαν ὑπὸ γῆς τὰ σπέρματα καθάπερ ἐκεῖνος τὰ ἑαυτοῦ γεννήματα, εἰ βούλει θεολογικῶς λέγειν, καὶ διὰ τὴν

ψύξιν ἣν ἐνδίδωσι τοῖς γιγνομένοις φυσικῶς· τὴν δὲ ἐναντίαν ταύτῃ, τὴν θερινήν, Ἀρεϊκὴν διὰ τὴν θέρμην, ἣν παρέχει τοῖς φυσικοῖς, καὶ διὰ τὴν ἑτερότητα τὴν διακριτικὴν πάντων, ἣν ἡ τῆς θερμότητος ἐνεικονίζεται διάκρισις· τὴν δὲ ἐαρινὴν Δίϊον ὡς γεννητικὴν καὶ ἐκφαντικὴν τῶν κεκρυμμένων λόγων, ὃ καὶ ὁ Ζεὺς εἰς τὸν πατέρα δρᾷ τὰ γεννήματα αὐτοῦ τὰ κεκρυμμένα αὐτὸς εἰς τὸ ἐμφανὲς προάγων· τὴν δὲ μετοπωρινὴν Ἀφροδίτης· ἐν ταύτῃ γὰρ ἡ καταβολὴ γίνεται τῶν σπερμάτων εἰς γῆν, τοῦτο δὲ Ἀφροδίτης ἔργον τὰ γόνιμα μιγνύναι καὶ εἰς κοινωνίαν ἄγειν τὴν τῆς γενέσεως αἰτίαν (καὶ διὰ ταῦτα ἄρα καὶ ὁ μῦθος τὴν Κόρην ἁρπασθῆναί φησιν ἐν τῇ ὥρᾳ ταύτῃ, τῆς ζῳογονίας τῶν μερικῶν πάντων προϊσταμένην, προσθεὶς ὅτι καὶ ἐν τῇ ἱστοποιίᾳ τὸν σκορπίον ὑφαίνουσα, τὸν τὰ μέσα τῆς ὥρας εἰληχότα ταύτης, ὑπομείνειεν τὴν ἁρπαγήν· καὶ γὰρ διὰ τὴν μεσότητα καὶ διὰ τὸ γόνιμον οἰκείως ἔχει πρὸς τὴν ζῳογονίαν ὁ σκορπίος, καί τινες αὐτὸν καὶ ὡς τότε τῶν σπερμάτων σκορπιζομένων ὀνομασθῆναί φασιν).

in R.2.62 λοιπὸς δὲ ὁ Ἑρμῆς κοινὸς πασῶν ἐστι τῶν ὡρῶν, τὸν ἕνα λόγον ἐν πάσαις πρυτανεύων καὶ τὴν μίαν αὐτῶν κατὰ λόγον τάξιν. καὶ μὴν καὶ τῶν ἀνέμων οἳ μέν εἰσιν γονιμωτέραν ἔχοντες δύναμιν, οἳ δὲ αὐχμεῖν ποιοῦσιν τὴν γένεσιν· καὶ οἳ μὲν ἀρρένων εἰσὶ γόνιμοι πνέοντες ἐν τοῖς σπορίμοις καιροῖς, ὡς ὁ βορρᾶς, οἳ δὲ θήλεων, ὡς ὁ νότος (καὶ γὰρ ταῦτα τοῖς πρὸ ἡμῶν ἱστορημένα τυγχάνει), πρὸς οὓς δεῖ καὶ αὐτοὺς βλέπειν· ἐπεὶ καὶ τὰς δυσκρασίας 〈καὶ εὐκρασίασ〉 τῶν ἀέρων ἄγονα παρέχεσθαι τὰ σπέρματα ἢ γόνιμα πεπίστευται, καὶ τελειοῦσθαι τὰ κυισκόμενα ἢ ἀμβλίσκεσθαι, καὶ ζωὰς φρονιμωτέρας ἢ ἀφρονεστέρας ὑποδέχεσθαι· διότι τι καὶ αἱ κράσεις συντελοῦσιν εἰς τὴν τοιάνδε ζωήν, οὐ τῶν ψυχῶν εἰς τὰ τοιάδε σώματα εἰσδυομένων, ἀλλὰ κατὰ τὴν οἰκείαν ἀξίαν περιβαλλομένων τὰ ὀχήματα τῶν μὲν εἰς ἀρετῆς κτῆσιν ἐμποδίζοντα, τῶν δὲ ἀνεμπόδιστον τὴν ἑαυτῶν κρᾶσιν παρεχόμενα πρὸς τὴν ἐκείνης ἐπιτήδευσιν.

in R.2.63 — τὴν δὲ δὴ μερικὴν εἰς τὰς ἰδίας τῶν συζευγνυμένων ἡλικίας ὁρῶντες καὶ τὰς κράσεις θερμοτέρας ἢ ψυχροτέρας οὔσας καὶ τὰς ζωὰς ὁρμητικωτέρας ἢ ἡσυχαστικωτέρας· οὐ γὰρ ἐθελήσουσιν ἐκ τῶν μονοειδῶν ποιεῖσθαι τὴν σύνερξιν, οἷον ἐκ τῶν δύο θερμοτέρων ἢ ἰτητικωτέρων ἢ ἀμφοτέρων ψυχροτέρων ἢ ἡσυχαστικωτέρων, ἀλλ' ἐναρμονίως συζευγνύναι τὰ τὴν μεσότητα παρέξοντα καὶ ἐν ταῖς σωματικαῖς εὐκρασίαις καὶ ἐν ταῖς ψυχικαῖς ζωαῖς. πανταχοῦ γὰρ ἀσφαλέστερον τὸ μέτριον πρὸ τοῦ ἀμέτρου φασίν· ἐπεὶ καὶ τῶν οὐρανίων τοὺς τῆς εὐκρασίας καὶ μετριότητος αἰτίους ἀγαθουργοὺς εἰώθασι καλεῖν ὡς μάλιστα τῆς εὐγονίας αἰτίους, τοὺς δὲ τὰ ἕτερα τῶν ἐναντίων κρατύνοντας ἀσυμμέτρους εἶναι πρὸς τὴν γένεσιν. Οὕτως εἰς πάντα τὸν κόσμον οἱ φύλακες ἀποσκοποῦντες εὑρήσουσι τὴν τῶν γάμων εὐκαιρίαν, καὶ μετὰ τούτων θυσίας τε προσάγοντες τοῖς θεοῖς καὶ προκαλούμενοι τὴν Πρόνοιαν τοῖς ἱεροῖς ἔργοις τὴν ἀπὸ τῶν εἱμαρμένων κινήσεων ποίησιν γνωριοῦσιν ἐπὶ πλέον καὶ δραστικωτέραν ἀποφανοῦσιν τῇ τῆς Προνοίας ἐπιστασίᾳ, καὶ οὕτω δὴ τὸν ἀριθμὸν τοῦτον ἐνεργὸν ἀποδείξουσιν, οὐκ ἐν λόγοις ψιλοῖς, ἀλλ' ἐν ἔργοις αὐτὸν ἔχοντες ὄντα δραστήριον, τοὺς τῆς ἀμείνονος ἁρμονίας ἐπιτηροῦντες ἀριθμοὺς τῶν τοῦ κόσμου κινήσεων πρὸ τῶν τῆς χείρονος, ὧν περιέχει μὲν ἡ εἱμαρμένη τὰς ὅλας αἰτίας, ἄλλων δὲ κατ' ἄλλας περιόδους ἐκφαίνει τὰς δυνάμεις διὰ τῶν ἀπ' αὐτῆς κινουμένων ἀπλανῶν καὶ πλανωμένων, ὡρῶν τε καὶ στοιχείων· ὧν ὁ θεωρὸς ὥσπερ ἐν γράμμασι γραφομένοις ὁρᾷ τὰς τῶν ἀριθμῶν δυνάμεις, καὶ ὧν εἰσιν οἰστικαὶ διὰ τῆς πρὸς τὸ πᾶν αὐτῶν συμφωνίας.

in R.2.64 ΛΗ . Τὸν περὶ τοῦ ὀρθογωνίου τριγώνου λόγον ἀπόρρητον, ὃν Νεστόριος ὁ θεῖος ὄντως, πάππος ὢν Πλουτάρχου τοῦ καθηγεμόνος ἡμῶν τε καὶ τῶν ἡμετέρων διδασκάλων, εἰς φῶς ἐξήγαγεν παρ' αὐτῶν διδαχθεὶς τῶν κρειττόνων, ἐκθήσομαι δεικνύντα θείων καὶ μυστικῶν ὀνομάτων δυνάμεις· οἷς δεῖ χρῆσθαι κατὰ πᾶσαν μὲν ἐνιαυσιαίαν περίοδον, διαφερόντως δὲ κατὰ τὰς τῶν

κυήσεων περιφορὰς εἴτε ἑπταμήνους εἴτε ἐννεαμήνους κατὰ τὴν σπορίμην ὥραν ληφθείσας ἕως ἀποκυήσεως, ἐπικαλούμενον δι' αὐτῶν τοὺς τῶν γονίμων ἀγαθῶν αἰτίους. χρὴ τοίνυν ἐντείναντα τοῦτο τὸ τρίγωνον, ὡς εἴρηται, τῆς ὀρθῆς γωνίας κατὰ τῆς ὡροσκοπούσης μοίρας ἐγκεντρισθείσης, καὶ τῆς μὲν ὑπτίας ἐν τοῖς ἑπομένοις οὔσης, τῆς δὲ ὀρθῆς ἐν τοῖς ἡγουμένοις, τῆς δὲ ὑποτεινούσης μέσης ἀμφοῖν, ὁρᾶν 〈τίνα τὰ〉 τοῖς τε ὑποτεινομένοις ζῳδίοις ὑπὸ τῆς ὑπτίας καὶ τῆς ὑποτεινούσης τὴν ὀρθὴν ἀποδεδομένα στοιχεῖα καὶ τοῖς ὑπὸ τὴν ὀρθὴν καὶ τὴν ὑπτίαν, καὶ ποιεῖν ἔκ τε ἐκείνων τῶν κατὰ τὴν ὑποτείνουσαν καὶ τὴν ὑπτίαν ἐπὶ τῶν ἐννεαμήνων σεσημειωμένων γενέσεων καὶ καταληφθεισῶν ἀπὸ τῆς σπορίμης ὥρας καὶ ἐκ τῶν ἑτέρων 〈τῶν〉 κατὰ τὴν ὀρθὴν καὶ τὴν ὑπτίαν ἐπὶ τῶν ἑπταμήνων ὀνόματα τοῦ τε κυριεύοντος τῆς τῶν ἐννεαμήνων σπορᾶς καὶ τοῦ κυριεύοντος τῆς τῶν ἑπταμήνων, λαμβάνοντα 〈τὰ〉 στοιχεῖα τῶν ζῳδίων ὅπου μὲν τῶν κατὰ τὴν ὑποτείνουσαν καὶ τὴν ὑπτίαν, ὅπου δὲ τῶν κατὰ τὴν ὀρθὴν καὶ τὴν ὑπτίαν, ὡς διανενέμηται ἐν τῇ ἱερατικῇ τέχνῃ.

in R.2.65 ἔσται γὰρ τὸ γιγνόμενον ἐκ τούτων καὶ τῶν οἰκείων τοῖς πλάνησιν, ὡς εἴρηται, 〈τὸ〉 τοῦ κυρίου τῶν γενέσεων τῶν ἐννεαμήνων καὶ ἑπταμήνων· δεῖν γὰρ θεωρεῖν καὶ τῶν ἀστέρων τῶν τῇ ὥρᾳ τῇ σπορίμῃ συσχηματιζομένων ὁπωσοῦν (ἄμεινον δὲ τῶν κατὰ τρίγωνον) καὶ μάλιστα τῶν ἀγαθοποιῶν τὰς ἐποχὰς καὶ συμπαραλαμβάνειν καὶ τὰ ἐκείνων στοιχεῖα καὶ συμπλέκειν ἐναρμονίως τοῖς τῶν ζῳδίων, τὰ τῶν ἀγαθοποιῶν συνείροντα καὶ πλείω ταῦτα παραλαμβάνοντα, σπανίως δὲ τὰ τῶν ἐναντίων. ἀναλογήσει γὰρ σώμασι μὲν τὰ τῶν ζῳδίων, ψυχαῖς δὲ τὰ τῶν ἀστέρων· ταῦτα μὲν γάρ ἐστι φωνήεντα, σύμφωνα δὲ τὰ τῶν ζῳδίων· σῶμα δὲ ἄνευ ψυχῆς ἀδύνατον ζῆν, ψυχὴν δὲ ἄνευ σώματος· ὥσπερ καὶ τὰ μὲν σύμφωνα ἐκφωνεῖσθαι χωρὶς τῶν φωνηέντων οὐ πέφυκεν, τὰ δὲ φωνήεντα τῶν συμφώνων χωρίς. ποῖα δὲ τίσιν οἰκεῖα ἢ τῶν ζῳδίων ἢ τῶν πλανήτων, ἐν ἄλλοις εἴπομεν, καὶ ὅπως συνδιῄρηται τὰ μὲν ἑπτὰ φωνήεντα τοῖς ἑπτὰ πλάνησιν, τὰ δὲ ἑπτακαίδεκα σύμφωνα τοῖς δώδεκα ζῳδίοις. ἐν δ' οὖν ταῖς συμπλοκαῖς ἀρκτέον τε ἀπὸ τῶν φωνηέντων καὶ ἐν μέσοις αὐτὰ τοῖς συμφώνοις θετέον καὶ εἰς αὐτὰ καταληκτέον· τῶν δὲ συμφώνων ὅπου μέν, ὡς ἐπὶ τῶν ἐννεαμήνων, πρῶτα θετέον τὰ τῆς ὑπτίας, εἶτα τὰ τῆς ὑποτεινούσης· ὅπου δέ, ὡς ἐπὶ τῶν ἑπταμήνων, πρῶτα τὰ τῆς ὀρθῆς, εἶτα τὰ τῆς ὑπτίας (ἡγεῖται γὰρ ἐν τῇ περιφορᾷ τῆς μὲν ὑποτεινούσης ἡ ὑπτία, τῆς δὲ ὑπτίας ἡ ὀρθή· αὕτη γὰρ ὑπὲρ γῆν καὶ μετ' αὐτὴν ἀναφέρεται ἡ ὑπτία καὶ μετὰ ταύτην ἡ ὑποτείνουσα ἀμφοτέρας)· καὶ τὰ μὲν τῶν ἀγαθοποιῶν δασυντέον ἐν τῷ ἐκφωνεῖν, τὰ δὲ τῶν ἐναντίων ψιλωτέον.

in R.2.66 Τοιαύτην ὁ θεῖος ἐκεῖνος ἀγωγὴν παραδέδωκεν ἐνιαυτοκράτορος λήψεως ὀνόματος· ἣν ἡμεῖς καὶ ἐπὶ τὰς σπορίμους ὥρας μετηγάγομεν ὡς χρήσιμον τοῖς γεννήσεως ἐπιμεληταῖς ἐσομένοις, ἵνα μὴ μόνον παρατηρῶσιν τὴν εὐκαιρίαν τοῦ παντὸς κατὰ τὰς συνέρξεις καὶ οὕτως ἐνεργὸν ποιῶσι τὸν γεωμετρικὸν ἀριθμόν, ἀλλὰ καὶ τὸν ἱερατικὸν τρόπον παρέχωσι τοῖς καιροῖς, οὓς ἐκλέγονται, τὸ δραστήριον. σύμφωνον δὲ καὶ τοῦτο τοῖς ὑπὸ Πλάτωνος διατεταγμένοις, εἰπόντος μετὰ θυσιῶν χρῆναι καὶ εὐχῶν ποιεῖσθαι τὰς συνέρξεις [V 459e. 461a]. ἐὰν οὖν καὶ ταύτην μετ' ἐκείνων παραλάβῃς τοῦ ὀνόματος τὴν εὕρεσιν, ἔσται σοι τῷ ὄντι τῶν κατὰ Πλάτωνα γάμων ηὑρημένος 〈ὁ〉 ἱερατικὸς τρόπος τῆς ἀγωγῆς, διὰ θυσιῶν, δι' ὀνομάτων θείων, δι' εὐχῶν συμπεπληρωμένος (καὶ τοῦτο τέλος ἂν εἴη τὸ κυριώτατον τῆς τοῦδε τοῦ τριγώνου θεωρίας, μὴ μόνον αὐτὸ μαθηματικῶς θεωρῆσαι καὶ διαλεκτικῶς, ἀλλὰ καὶ ἱερατικῶς· ἐπειδὴ καὶ μάλιστα δεῖται τῆς τῶν θεῶν προνοίας ἡ κατ' αὐτὸ ἐνέργεια)· καὶ ὁρᾷς ὅτι τὰ ὀνόματα περικοσμίων ἐστὶν δυνάμεων, ἀφ' ὧν αἱ γενέσεις κρατύνονται, τοῦ τε ζῳδιακοῦ κύκλου καὶ τῶν δι' αὐτοῦ κινουμένων. ΛΘ . Τίς μὲν ἡ θεωρία τῶν ἀριθμῶν τούτων ἡ εἰς τὴν ἀνθρωπείαν συντελοῦσα περίοδον, καὶ ὡς εἰκόνα φέρει τῶν διττῶν ζωῶν νοερωτέρων καὶ ἀλογωτέρων, ἀποκαταστατικῶν τε καὶ γενεσιουργῶν, εἴρηται πρότερον· ὅτι δὲ καὶ τῶν δύο

ἁρμονιῶν τὴν διανομὴν ὀρθὴν πεποιήμεθα, μάθοιμεν ἂν ἐννοήσαντες, ὅπως καὶ ἐν Φαίδρῳ [p. 248e] τὸν ἀποκαταστατικὸν ἀριθμὸν ὁ Σωκράτης λέγων τοῦτον εἶπεν εἶναι τὸν μύρια . δῆλον οὖν ὅτι διττῆς τῆς ἁρμονίας οὔσης καὶ τῆς ἀμείνονος σαφῶς εἰρημένης εἰς τὴν ἀποκατάστασιν τείνειν τῆς ψυχῆς, ἡ λοιπὴ ἂν εἴη γενέσει φίλη, καὶ οὐκ ἄλλη τις ἢ αὕτη λέγοιτο ἄν, ἣν ὁ ἑκατὸν ἀποτελεῖ μετὰ τοῦ πέντε καὶ ἑβδομήκοντα ἀριθμοῦ, τὴν ἐξ ἀνομοίων συγκεκροτημένην ζωὴν ἱκανῶς δηλοῦσα.

in R.2.67 οὐδὲ γὰρ ἀλογουμένην τὴν ζωὴν ἀποστῆναι λόγου καὶ αὐτοκινησίας δυνατόν, ἀλλὰ συμμιγὲς ἔχειν ἀνάγκη τῷ κρείττονι τὸ χεῖρον. Λεγέσθω δὴ οὖν πάλιν κατ' ἄλλην ἔφοδον ἡ μὲν μονὰς θεοῖς προσήκειν ὡς ἑνιαίως περιέχουσα τὰς πάντων αἰτίας, ἡ δὲ δεκὰς οὖσα δευτερωδουμένη μονὰς τοῖς δαίμοσιν, ἡ δὲ ἑκατοντὰς οὖσα τριωδουμένα μονὰς ταῖς ἀνθρωπείαις ψυχαῖς· τετραγωνιζομένη γὰρ ἡ δεκὰς εἰς ἑκατοντάδα πρόεισιν, καθάπερ δὴ καὶ τὸ δαιμόνιον γένος καὶ εἰς ἑαυτὸ συνελισσόμενον αὐτενεργήτως καὶ ἐν ἑαυτῷ μένον γεννᾷ τὰς ἀνθρωπίνας ψυχὰς μετὰ τῆς πάντων αἰτίας τῆς μοναδικῶς τὰ πάντα παραγούσης. τρίτην οὖν ἀπὸ θεῶν ἔχουσα πρόοδον ἡ τῶν ἀνθρωπίνων ψυχῶν τάξις καὶ πλῆθος λόγων ἔχουσα ποικίλον, ὅταν μὲν ἐπιστρέφηται πρὸς ἑαυτήν, ζῇ νοερῶς, αὐτοκίνητος οὖσα λόγος, καὶ ὑφίστησι ζωὴν ἀφ' ἑαυτῆς ταυτότητι καὶ ὁμοιότητι χαίρουσαν, οἷον ἡ ἑκατοντὰς τὴν μυριάδα, πάντα τὸν θεῖον ἀριθμὸν ἐν ἑαυτῇ γεννῶσα διὰ τῆς πρὸς ἑαυτὴν ἐνεργείας· ὅταν δὲ μετὰ τῆς χείρονος ἐνεργῇ ζωῆς, γεννᾷ τὸν προμήκη καὶ γενεσιουργὸν ἀριθμόν, εἶδος ὑφιστᾶσα ζωῆς λογικὸν ὁμοῦ καὶ ἄλογον, ὡς εἰς γένεσιν ῥέπον. καὶ γὰρ ὥσπερ ὁ ἑκατὸν εἰκών ἐστι τῆς λογικῆς ἡμῶν ψυχῆς δι' ἣν εἴπομεν αἰτίαν, οὕτω καὶ ὁ πέντε καὶ ἑβδομήκοντα τῆς ἀλόγου. καὶ σαφῶς ἐδήλωσεν τὴν εἰκόνα διελὼν αὐτὸν ὁ Πλάτων εἰς τὸν ἑπτὰ καὶ εἴκοσι καὶ τὸν ὀκτὼ καὶ τεσσαράκοντα , τὸν δὲ ἑκατὸν ἀδιαίρετον ἀφείς· ἐνδεικνύμενος, ὡς ὃ μέν ἐστιν πρὸς τοῦ ἑνὸς καὶ τῆς νοερᾶς ταυτότητος, ὃ δὲ πρὸς τῆς δυάδος καὶ τῆς σωματικῆς διαιρέσεως.

in R.2.68 ἑκάτερος μὲν οὖν ἐστιν ἁρμονίας καὶ ὁ ἰσομήκης ἑαυτῷ καὶ ὁ προμήκης, ἀλλ' ἡ ἁρμονία νοείσθω τρόπον ἕτερον ἐπ' ἀμφοῖν· ἣ μὲν γάρ ἐστιν ἁρμονία θεοπρεπὴς καὶ τὰς ψυχὰς σώζουσα καὶ ἐνιδρύουσα τοῖς θεοῖς, ἣ δὲ γενεσιουργὸς καὶ συνάπτουσα αὐτὰς τοῖς ἐνύλοις· καὶ ἣ μὲν ὄντως ἔργον τῶν Μουσῶν τῶν παιδευουσῶν τὰς νοερὰς ἡμῶν δυνάμεις καὶ τελειουσῶν καὶ πρὸς τὴν οὐρανίαν τάξιν ἀφομοιουσῶν, ἣ δὲ Σειρήνων οὖσά τινων ταῖς τὴν γένεσιν αὐξούσαις ἁρμονίαις προσεοικυῖα. ταύτης γοῦν προεστᾶσι καὶ αἱ Σειρῆνες· ἃς ὁ μὲν ἀναγόμενος καὶ σώζων ἑαυτὸν παραπλεύσεται τὴν ἀμείνω διώκων ἁρμονίαν καὶ ὡς ἀληθῶς μουσικήν, ὁ δὲ πολὺς ἀσπάσεται ὑπὸ τῶν Σειρήνων δεσμευθεὶς ἐγκαταμένειν τῇ φύσει καὶ ταῖς τῆς φύσεως γλυκυθυμίαις, γοητευόμενος ὑπ' αὐτῶν. ἔχεις οὖν καὶ ὁποῖα τὰ εἴδη τῶν ἁρμονιῶν καὶ τίσιν ἀνεῖται γένεσιν ἐν τῷ παντί, τὸ μὲν Μούσαις, τὸ δὲ Σειρῆσιν. Εἰ δὲ δεῖ καὶ τῶν ἐξ ἀρχῆς ἀριθμῶν θεωρεῖν τὴν ἰδιότητα, σκοπητέον ὅπως ὁ μὲν ἑκατὸν ἐκ δυεῖν γέγονεν ὁμοιότητι κεκρατημένων· ὧν ὁ μὲν τέτταρα καὶ ἑξήκοντα ⟦ τε ⟧ γέγονεν ἐκ μὲν τετραγώνου κύβος τῆς τετράδος, ἐκ δὲ κύβου τετράγωνος τῆς ὀγδοάδος, ἵνα καὶ προέλθῃ δι' ὁμοιότητος ἄχρι τοῦ βάθους κἀκεῖθεν εἰς τὴν ἀρχὴν ἐπιστρέψῃ τῆς προόδου, καὶ ἀπὸ τετραγώνου κύβος γενόμενος καὶ ἀπὸ κύβου τετράγωνος· ὁ δὲ ἓξ καὶ τριάκοντα , κἂν ᾖ καὶ ἐξ ἀνομοίων τρὶς τρία γενόμενος τετράκις ὡς πρὸς τὴν γένεσιν τῶν ἀπὸ τοῦ ἐπιτρίτου πυθμένος πλασθέντων, ἀλλὰ γέγονεν μὲν δι' ἀνισότητος, ἔχει δὲ εἶδος γενομένη τῇ ἰσότητι μεμορφωμένον ἀπὸ τῆς ψυχικῆς ἑξάδος κύκλον ψυχικὸν ποιούσης. καὶ ἔοικεν ὁ μὲν τέτταρα καὶ ἑξήκοντα προελθὼν ἀπὸ τετράδος εἰς βάθος καὶ λήξας εἰς ἑαυτὸν ποιεῖν τὴν ψυχὴν τῆς κοσμικῆς σφαίρας παράδειγμα (τῇ τετράδι μὲν ὡς ἀρχῇ χρωμένην, ἣν καὶ ὁ Πυθαγόρειος λόγος παγὰν ἀενάου φύσεως κέκληκεν· τετράκις δὲ τῇ τετράδι, διότι τετραχῶς ἐστιν ἐν τῷ παντί, οὐρανίως αἰθερίως ἀερίως χθονίως, τὰ στοιχεῖα τοῦ κόσμου· βαθύνασαν δὲ τὴν πρόοδον, ἐπειδὴ στερεοειδὲς ἔδει συστῆναι τὸ πᾶν ἀλλ'

οὐκ ἐπίπεδον· ἀναστρέψασαν δὲ εἰς ἑαυτήν, ἵνα καὶ κύβος ᾖ καὶ σφαῖρα καὶ τῷ μὲν τὴν γῆν περιλάβῃ τῷ δὲ τὸν οὐρανόν, τὰ ἄκρα τοῦ παντός)· ὁ δὲ ἓξ καὶ τριάκοντα τὴν ψυχὴν εἰκόνα τοῦ νοῦ ποιεῖν· ὡς γὰρ ἐκεῖνος ἄρρην ὢν διὰ πεμπάδος κυκλίζει ἑαυτὸν μένων προϊὼν ἐπιστρέφων καὶ οὐδαμοῦ τῆς πεμπάδος ἐξιστάμενος, οὕτως ἡ ψυχὴ κατὰ τὴν ἑξάδα θῆλυς οὖσα μένει πρόεισιν ἐπιστρέφει ἀφ' ἑαυτῆς καὶ δι' ἑαυτῆς καὶ εἰς ἑαυτήν.

in R.2.69 ὁ δὲ αὖ πέντε καὶ ἑβδομήκοντα διὰ μὲν τὸν ἀπὸ τριάδος κύβον οὐδ' αὐτὸς πάντῃ τὸ ταὐτὸν καὶ ὅμοιον ἀποδρᾶναι δεδύνηται (καὶ πῶς γὰρ ἦν δυνατὸν τὴν ψυχὴν τελέως εἰς τὸν τῆς ἀνομοιότητος πόντον ἐκπεσεῖν, κατ' οὐσίαν ἔχουσαν τὸ νοερόν;), κυκλικῆς δὲ ἰδιότητος οὐκ ἐνορωμένης τῷ ἀριθμῷ τὸ ἀνεπίστροφον ἱκανῶς δηλοῦται τῆς ἐν τούτῳ προόδου· διὰ δὲ τὸν ἐκ τῶν ἀνομοίων ἀριθμὸν ἐκπεσόντα καὶ τῆς ῥητῆς καὶ τῆς ἀρρήτου πλευρᾶς τῆς διαμέτρου τῆς πεμπάδος νοῦ μὲν ἀπόπτωσιν ἐμφαίνει καὶ τοῦ νοεροῦ πέρατος, ὅπερ ἡ πεμπὰς οὖσα ῥητὴ πλευρὰ τοῦ ἀφ' ἑαυτῆς ἐνεικονίζεται (τὸ γὰρ ῥητὸν ἀριθμῷ τε κατέχεται καὶ φανόν ἐστι ταῖς νοεραῖς ἐπιβολαῖς), πρόοδον δὲ εἰς τὸ ἄλογον εἶδος τῆς ζωῆς βαθυνομένην ἀνεπιστρόφως καὶ ἐκτείνουσαν ἑαυτήν. Ὡς δὲ συλλήβδην εἰπεῖν, ἡ μὲν ἑκατοντὰς αὐτῆς ἐστιν εἰκὼν τῆς τῶν ψυχῶν ζωῆς τῆς αὐτοκινήτου, προϊοῦσα μὲν ἀπὸ τῆς δεκάδος τετραγωνικῶς, παράγουσα δὲ ὡσαύτως τὴν μυριάδα, γεννῶσά τε δι' ὁμοιότητος καὶ γεννωμένη, καὶ τὸν ὅρον φυλάττουσα τῆς οἰκείας αἰτίας ἐν ταῖς ἑαυτῆς προόδοις καὶ τετραγωνίζουσα ἑαυτὴν οὖσαν ἐκείνης τετράγωνον· ἡ δὲ ἑβδομηκονταπεντὰς ἔστιν μὲν πρὸς τῆς ἀλόγου ζωῆς καὶ ἀνεπιστρόφου, κοινωνοῦσα δὲ πρὸς τὴν ἀμείνονα τὴν μὲν δι' ὁμοιότητος πρόοδον ἐκφαίνει διὰ τοῦ κυβικοῦ τῶν ἀριθμῶν, τὴν δὲ δι' ἀνομοιότητος διὰ τοῦ λοιποῦ, καθ' ἣν καὶ τὸ ἄλογον αὐτῆς μάλιστα δείκνυται καὶ ἄμοιρον νοερᾶς αὐτοκινησίας.

in R.2.70 διὸ καὶ τῶν ἁρμονιῶν ἡ μέν ἐστιν ψυχῆς εἰς ἑαυτὴν ἐπιστρεψάσης καὶ ἐν ἑαυτῇ σταθερῶς ἱδρυθείσης, ἡ δὲ μιξάσης τῇ κατὰ λόγον ὁμοιότητι τὴν κατὰ τὸ ἄλογον ἀνομοιότητα καὶ τῇ αὐτοκινησίᾳ τὴν εἰς τὸ ἑτεροκίνητον φοράν. λόγος δὲ ὅμως ἐστὶ καὶ τούτων πρὸς ἄλληλα οἷος καὶ τοῦ πυθμένος ἐπίτριτος. δεῖ γὰρ τὸν ἐν ταῖς ζωαῖς λόγον καὶ τοῖς βίοις ἀπὸ τοῦ ἐγκειμένου τῇ οὐσίᾳ τὴν πρόοδον ἔχειν· καὶ γὰρ αἱ ἐνέργειαι καὶ αἱ δυνάμεις ἔκγονοι τῶν οὐσιῶν εἰσιν. Μ . Ὁ μὲν ἀπὸ τοῦ ἐπιτρίτου πυθμένος προελθὼν ἀριθμὸς γεωμετρικὸς εἰς τὰς δύο ψυχικὰς ἁρμονίας κύριός ἐστιν, ὥς φησιν ὁ Σωκράτης, χειρόνων τοιούτου καὶ ἀμεινόνων γενέσεων · λέγων τοιούτου τοῦ ἀνθρωπείου γενητοῦ, τὸ μονοειδὲς καὶ τέλειον τῆς τοῦ θείου γενητοῦ περιόδου μηκέτι φυλάττοντος. ταύτας δέ, φησίν, τὰς χείρους καὶ ἀμείνους γενέσεις τοῦ ἀνθρωπείου γενητοῦ παριδόντες οἱ φύλακες (παρόψονται δὲ χρώμενοι λογισμῷ μετ' αἰσθήσεως, ἧς τὸ μὴ ἀκριβὲς μηδὲ ἀσφαλὲς μεταδώσει καὶ τῷ λογισμῷ τῶν παροραμάτων) γεννήσουσι παῖδας οὐκ εὐφυεῖς οὐδ' εὐτυχεῖς.

in R.2.71 ἔξουσι γὰρ καὶ ἀπὸ τῆς ἑαυτῶν ζωῆς τὸ χεῖρον (διὸ οὐκ εὐφυεῖς) καὶ ἀπὸ τῆς περιόδου τῆς κοσμικῆς· διὸ οὐκ εὐτυχεῖς· συντάττεται γὰρ τὸ προσῆκον τῇ φύσει γένος τῶν ψυχῶν εἰς τὴν προσήκουσαν τοῦ παντὸς τάξιν. ὥσπερ οὖν αἱ θεοειδεῖς ψυχαὶ κλῆρον λαγχάνουσιν ἀπὸ τῶν ὅλων τὸν συμπράττοντα πρὸς τὴν θείαν αὐταῖς ζωήν, οὕτως αἱ μὴ εὐφυεῖς οὐκ εὐτυχῆ τὴν ἐπικλωθομένην ἔχουσιν περιφοράν, ἵνα τῶν ὅλων τοῖς μέρεσι συμπνεόντων ἡ μεταβολὴ γένηται τῆς ἀρίστης πολιτείας, ἀναγκαία μὲν οὖσα, δεομένη δὲ ἀμφοτέρων, καὶ τῶν μερῶν καὶ τῶν ὅλων. τὸ μὲν οὖν μὴ εὐφυὲς τῶν ψυχῶν ἐπιδείκνυσιν ἡ περὶ τὴν παιδείαν ἀρρυθμία· φύσεως γὰρ ἐπιτηδειότης ἕκαστον κινεῖ πρὸς τὸ οἰκεῖον ἀγαθόν· ὅταν οὖν τοῦ μὲν ἐφίηται τῶν τελειούντων, τοῦ δὲ ἀνορέκτως ἔχῃ, δῆλόν ἐστιν οὔτε εὐφυὲς ὂν τελέως οὔτ' ἀφυές, ἀλλ' ὡς αὐτὸς εἶπεν οὐκ εὐφυὲς διὰ τὴν πρὸς τὸ ὅλον ἀγαθὸν τῆς ἐπιτηδειότητος ὕφεσιν. τὸ δὲ μὴ εὐτυχὲς τῆς ἀποκληρώσεως τῆς ἐκ τοῦ κόσμου παρίστησιν τὸ μηδὲ ἄλλους αὐτῶν ἀμείνους γενέσθαι καὶ τελέως εἰς ἀρετὴν ἡγμένους, ἵν' ἐκείνοις ὑποτεταγμένοι γίνωνται καλλίους, ἀλλ'

εἰς ἀρχὰς αὐτοὺς οὕτως ἔχοντας καταστῆναι διὰ τὴν τῶν ἀμεινόνων ἀπορίαν καὶ καταστάντας λῦσαι τὴν παιδείαν· ἧς λυθείσης ἡ συμφωνία λύεται, καὶ ταύτης λυθείσης ἡ τῆς πολιτείας γίνεται λύσις. Ἐκ τούτων ἄρα δῆλον, ὅτι τοῖς οὐκ εὐφυέσιν ἄρχεσθαι μᾶλλον ἢ ἄρχειν εὐτυχέστερον, ὅπως μὴ καὶ ἑαυτοῖς τοῦ μὴ ἐπιδοῦναι καὶ ἄλλοις τοῦ κακυνθῆναι γένωνται πατέρες. καὶ δῆλον καὶ ἐκ τούτων, ὅτι τὸ μὲν εὐφυὲς τῶν ψυχῶν δηλοῖ τὴν ἐπιτηδειότητα τῶν ψυχῶν, ἣν ἔχουσαι μόνην χωροῦσιν εἰς τὴν γένεσιν, τελειοῦσι δὲ αὐτὴν διὰ τοιᾶσδε μετὰ τὴν γένεσιν ἀγωγῆς (διὸ καὶ ἐν Φαίδρῳ [p.

in R.2.72 248d] ἔλεγεν τὴν νεοτελῆ ψυχὴν εἰς γονὴν ἰέναι γενησομένου φιλοσόφου τινὸς ἢ φιλοκάλου, καὶ βασιλικοῦ τινος καὶ πολεμικοῦ· τὸ γὰρ γενησόμενον αὐτῷ τὸ ἐπιτήδειον ἐδήλου πρὸς τὸ γενέσθαι τοιοῦτον οἷόν ἐστιν ἐπειδὰν γένηται γεγονός· ἐπαγγέλλεται γὰρ τὸ γενησόμενον τοῦτο, ὃ ἔχει τὸ γεγονός)· τὸ δὲ οὐκ εὐτυχὲς ἐναργῶς παρίστησιν, ὅτι τῶν ἐκ τοῦ παντὸς ἡμῖν ἀποκληρουμένων ἐπὶ ταῖς αἱρέσεσιν ἡ τύχη προεστήσατο τὴν ἀποπλήρωσιν. διὸ καὶ ἀμείνοσι χρώμεθα τοῖς ἀπὸ τῆς τύχης ποτὲ καὶ χείροσιν, ἐπειδὴ καὶ τῶν ἀποκληρουμένων ἐστὶν τὰ μὲν ἀμείνω, τὰ δὲ χείρω παρὰ τῆς κοσμικῆς τάξεως· οὔσης γὰρ καὶ ἀφ' ἡμῶν μὲν τῆς αἱρέσεως ὁμολογίας τοῦ τοιωσδὶ βιώσεσθαι πρὸς τὸ πᾶν, ἀπὸ δὲ τοῦ παντὸς ὁμολογίας πρὸς ἡμᾶς τῆς ἀποκληρώσεως τοῦ τοιῶσδε ζῶσιν ταδὶ συμπεσεῖσθαι, δύο κἀνταῦθα γίνονται μεσότητες τῶν ὁμολογιῶν, ὁ μὲν δαίμων τῆς ἡμῶν ὁμολογίας πρὸς τὸ πᾶν ἀποπληρωτής, ἡ δὲ τύχη τῆς τοῦ παντὸς πρὸς ἡμᾶς ὁμολογίας ἀποπληρωτική· καὶ τοῦτό ἐστιν ἐπί τινων τὸ οὐκ εὐτυχές, τὸ μὴ εὔμοιρον, οὗ ἀποπληρωτικὴ τοιούτου ὄντος ἡ τύχη· καθάπερ τὸ οὐκ εὐφυὲς τὸ μὴ ἐπιτήδειον πρὸς τὸ εὖ βιῶναι γεννηθέντας, οὗ ἀποπληρωτὴς ὁ δαίμων ἐστίν, τὴν ἐπιτηδειότητα ἡμῶν τὴν πρὸς τὸ τοιονδὶ τῆς ζωῆς εἶδος ἄγων εἰς ἐνέργειαν ἢ ἀμείνονα οὖσαν ἢ χείρονα. ἡ γὰρ ἀμείνων εὐφυὴς ἡ πρὸς πᾶσαν πεφυκυῖα παιδείαν, ἡ δὲ πρὸς μέν τινα ἐπιτηδεία πρὸς δέ τινα οὐκ ἐπιτηδεία οὐκ εὐφυὴς διὰ τὴν τῆς ἐπιτηδειότητος ὕφεσιν, ἡ δὲ πρὸς μηδεμίαν ἀφυής. ΜΑ . Τί δήποτε, τοσαύτην ἐχούσης δύναμιν εἰς τὸ σώζειν ἢ μὴ τὴν ἀρίστην πολιτείαν τῆς τοῦ καιροῦ κατανοήσεως τῶν ἱερῶν γάμων, οὐδαμοῦ προσέταξεν, ὥσπερ μουσικὴν χρῆναι παιδεύεσθαι καὶ γυμναστικὴν τοὺς φύλακας, οὕτω καὶ τὴν ἐπιστήμην ἐκείνην, ἥτις αὐτοὺς ποιήσει τῆς τάξεως τῶν ὅλων καὶ τῆς εὐκαιρίας, ἣν αἱ τοῦ παντὸς περίοδοι προτείνουσιν τοῖς ὁρᾶν δυναμένοις, ἐπιγνώμονας; οὐ γάρ που ταύτης ἄμοιροι παντελῶς ὄντες ἔσονται κριταὶ τῶν τῆς εὐγονίας καιρῶν καὶ δυσγονίας ἱκανοί, κἂν ὦσι τὰ ἄλλα πάντα σοφώτατοι.

in R.2.73 δεῖ γὰρ δήπου καὶ μεθόδων οὐκ ὀλίγων οὐδὲ εὐλήπτων καὶ ὀργάνων νυκτερινῶν τε καὶ ἡμερινῶν πρὸς τὴν θήραν αὐτῶν· ὧν ὁ ἄπειρος οὐκ ἂν γένοιτο περί τε ἐκλογὴν καὶ ἀπεκλογὴν τῶν τοιούτων ἄπταιστος. μήποτε οὖν ῥητέον, ὅτι τὸ μὲν προκείμενον ἦν τῷ συνιστάντι τὴν ὅλην πολιτείαν πολιτείαν τοὺς ἄρχοντας ἀποτελέσαι τὰ ἀρχικὰ σοφοὺς καί, ὡς αὐτὸς εἶπεν ὁ Σωκράτης [VI 503b], φιλοσόφους, καὶ ἀπετελέσθησάν γε τοιοῦτοι διὰ πάσης ἀχθέντες παιδείας καὶ δι' αὐτῆς τῆς τῶν θείων ἐπιστήμης· τοιούτοις δὲ αὐτοῖς γενομένοις ἐπιτρέπει τὸ ἐλλεῖπον ἐκπληροῦν καὶ παραλαμβάνειν ἐπιστήμας τὰς πρὸς τὴν ἀρχὴν αὐτοῖς συντελούσας· σοφοὶ γὰρ ἤδη γεγονότες γνώσονται, τίνων δέονται καὶ ἄλλων μερικωτέρων γνώσεων εἴτε τεχνικῶν εἴτε ἐμπειρικῶν εἰς τὴν πρόνοιαν τῆς πόλεως. πάντως γὰρ ἱεροὺς γάμους ἐπιτελοῦντες καὶ θυσιῶν γε διὰ τούτους δεήσονται καὶ ἱερουργίας· ἀλλ' οὐκ εἴρηται καὶ ὅτι ταύτην αὐτοὺς παιδευτέον, αὐτοῖς ταύτην ἀφέντος ὡς ἂν τοῦ νομοθέτου προσπαραλαμβάνειν. τί δ' οὐχὶ καὶ μαντικῆς δεήσονται πραγμάτων ἀνθρωπίνων ἀσταθμήτων ποιούμενοι πρόνοιαν; ἀλλὰ καὶ ταύτης αὐτοὶ ποιείσθωσαν ζήτησιν. οὕτω τοίνυν καὶ τὴν τῶν καιρῶν ἐπιστήμην εἰ μηδὲν ἄλλο κατηνάγκαζεν, ἀλλ' οἱ παραπίπτοντες καιροὶ τῶν πράξεων καθιστάνειν ἔμελλον αὐτοὺς εἰς τὴν τῆς γνώσεως αὐτῶν ὄρεξιν. ταῦτ' οὖν ὁ νομοθέτης εἰδὼς ὡς μὲν ἀνθρώπους ἀποτετέλεκεν

σοφούς, τὴν δὲ τῶν πρὸς τὰ ἀνθρώπινα ἔργα συμβαλλομένων τεχνῶν ἢ ἐμπειριῶν ἐπιτήδευσιν αὐτοῖς ἀφῆκεν προσεννοῆσαι καὶ προσπεριβάλλεσθαι.

in R.2.74 δεῖ γὰρ ὥσπερ τοὺς θεούς, οὕτω καὶ τοὺς ἄρχοντας τῆς ἀρίστης πόλεως τὰ μὲν ἔχειν παρὰ τοῦ πατρός, τὰ δὲ αὐτοὺς συνεισφέρειν ἑαυτοῖς· καὶ γὰρ οἱ θεοὶ τὰ μὲν ἄνωθεν ἀπὸ τῶν αἰτίων κομίζονται, τὰ δὲ αὐτοὶ ταῖς ἑαυτῶν τάξεσιν συνυφιστᾶσιν, καὶ ἔχουσι τελειότητα διττὴν ἀφ' ἑαυτῶν τε καὶ ἐκείνων. εἴτε οὖν ἱεροσκοπίας εἴτε τῆς τοῦ παντὸς τάξεως κατανοήσεως δέοιντο πρὸς τὰς συνέρξεις εἴτε ἄλλης ἐπιτηδεύσεως πρὸς ἄλλην πολιτικὴν ἐνέργειαν, αὐτοὶ καὶ ὄψονται καὶ ἐπιτηδεύσουσιν, οὔτε δι' ἄγνοιαν τῶν προσηκόντων μαθημάτων μέλλοντες αὐτῶν ἀμελετήτως ἔχειν, ἄλλως τε καὶ τῶν χρειῶν αὐτοὺς εἰς ἐπίστασιν ἀγουσῶν, τίνων δέονται μαθημάτων· οὔτε διὰ ῥᾳθυμίαν, ὄντες σοφοὶ καὶ παιδευθέντες πᾶσαν τὴν ἀνθρωπίνην παιδείαν, ὑφ' ἧς εἰθίσθησαν μηδενὸς τῶν ἀρίστων ἐπιτηδευμάτων ὀλιγωρεῖν· οὔτε δι' ἀδυναμίαν, τὰς φύσεις ἔχοντες ἀκροτάτας καὶ τοιαύτας, οἵας αὐτὸς εἶναι διώρισεν τῶν ἐσομένων φυλάκων τά τε ἄλλα καὶ πρὸς τὸ ὀξεῖς εἶναι καὶ μνήμονας ἀρίστων. ὥστε ἐξ ἁπάντων τούτων ἀσφαλὲς ὑπέλαβεν ὁ νομοθέτης, ἐνδειξάμενος μόνον ὅτι δέονται καὶ τῆς τῶν κοσμικῶν περιόδων θεωρίας, αὐτοῖς ἐπιτρέψαι τὴν τῆς θεωρίας ταύτης εὕρεσίν τε καὶ ἐπιτήδευσιν. MB . Ὁ μὲν θεολόγος Ὀρφεὺς τρία γένη παραδέδωκεν ἀνθρώπων· πρώτιστον τὸ χρυσοῦν, ὅπερ ὑποστῆσαι τὸν Φάνητά φησιν· δεύτερον τὸ ἀργυροῦν, οὗ φησιν ἄρξαι τὸν μέγιστον Κρόνον· τρίτον τὸ Τιτανικόν, ὅ φησιν ἐκ τῶν Τιτανικῶν μελῶν τὸν Δία συστήσασθαι· συννοήσας ὡς ἐν τρισὶν ὅροις τούτοις πᾶν εἶδος περιέχεται τῆς ἀνθρωπίνης ζωῆς.

in R.2.75 ἢ γὰρ νοερόν ἐστιν καὶ θεῖον, αὐτοῖς τοῖς ἀκροτάτοις τῶν ὄντων ἐνιδρυμένον, ἢ πρὸς ἑαυτὸ ἐπέστραπται καὶ νοεῖ ἑαυτὸ καὶ ἀγαπᾷ τὴν τοιαύτην ζωήν, ἢ πρὸς τὰ χείρονα βλέπει καὶ μετ' ἐκείνων ἐθέλει ζῆν ἀλόγων ὄντων. τριττῆς οὖν οὔσης τῆς ἀνθρωπίνης ζωῆς τὸ μὲν πρώτιστον ἀπὸ τοῦ Φάνητός ἐστιν, ὃς πᾶν τὸ νοοῦν συνάπτει τοῖς νοητοῖς, τὸ δὲ δεύτερον ἀπὸ τοῦ Κρόνου τοῦ πρώτου, φησὶν ὁ μῦθος, ἀγκυλομήτου καὶ πάντα πρὸς ἑαυτὰ ποιοῦντος ἐπιστρέφειν, τὸ δὲ τρίτον ἀπὸ Διὸς τοῦ τῶν δευτέρων προνοεῖν καὶ διακοσμεῖν τὰ χείρονα διδάσκοντος· τοῦτο γὰρ ἴδιον δημιουργίας. Ὁ δέ γε Ἡσίοδος [op. 109 sqq.] οὐχὶ τρία τὰ γένη ποιεῖ μόνον, ἀλλὰ πρῶτον τὸ χρυσοῦν, εἶτα ἀργυροῦν, εἶτα χαλκοῦν, εἶτα ἡρωϊκόν τι γένος, εἶτα σιδηροῦν, εἰς πολυειδεστέρας ζωὰς τὴν τομὴν προάγων. τὸ μὲν οὖν χρυσοῦν καὶ τούτῳ δηλοῖ νοεράν τινα ζωὴν ἄυλον καὶ ἄχραντον, ἧς σύμβολον ὁ χρυσὸς ἄδεκτος ὤν, φασίν, ἰοῦ καὶ σήψεως· διὸ καὶ μεθίστησιν τὸ τοιοῦτον γένος εἰς δαιμονίαν τάξιν μετὰ τὴν τῆς γενέσεως περίοδον προνοητικὴν καὶ φρουρητικὴν καὶ ἀλεξίκακον τοῦ ἀνθρώπων γένους, καὶ ἐν τῇ γενέσει ὃν τρέφεσθαί φησιν ἑκατὸν ἔτη καὶ ὑπὸ τῶν πατέρων τελειοῦσθαι· μῦθον, ὡς ἐμοὶ δοκεῖ, μουσικὸν γράφων καὶ ἐνδεικνύμενος, ὅτι κατὰ νοῦν .. 16 . πατέρων καὶ τῶν ἀνθρωπίνων ἐξῄρηται πολυπραγμοσυνῶν ἀποκαταστατικῶς διαζῶν· καὶ ἡ ἑκατοντάς, ὥσπερ καὶ Πλάτωνί που (καθάπερ εἴρηται καὶ ἐν τῳδὶ τῷ λόγῳ τῶν Μουσῶν), καὶ τούτῳ δηλοῖ τὴν ταὐτοῦ καὶ ὁμοίου καὶ νοεροῦ τῆς ζωῆς εἶδους περίοδον. τὸ δὲ ἀργυροῦν μετὰ τοῦτο γένος ἀπὸ τῆς κατὰ νοῦν ἐνεργείας πρόεισιν εἰς τὴν σύμμικτον κατά τε νοῦν καὶ λόγον ἐνέργειαν· σύνθημα δὲ ταύτης ὁ ἄργυρος, τὸ μὲν λαμπρὸν ἔχων τῆς κατὰ λόγον ζωῆς καὶ φανὸν ἴδιον καὶ τὸ ἔστιν ὅτε τοῦ ὑλικοῦ μετίσχειν ἰοῦ καὶ σηπεδόνος, προσειληφὼς δὲ ἄλλο τι πρὸς τούτοις, τὸ καὶ ἐν τῇ παραθέσει περιλάμπεσθαι ὑπὸ τοῦ χρυσοῦ καὶ μὴ τοὐναντίον δρᾶν εἰς τὸν χρυσόν· οὕτω γὰρ δὴ καὶ ὁ ψυχικὸς λόγος, εἰ καὶ ὕλης ποτὲ καὶ ὑλικῆς ἀκαθαρσίας ἀναπίμπλαται, ἀλλὰ καὶ ὑπὸ νοῦ καταλάμπεται καὶ καταλαμφθεὶς μίαν καὶ κοινὴν ποιεῖται πρὸς αὐτὸν ἐνέργειαν, νοήσει μετὰ λόγο υ , φησὶ Πλάτων [Tim.

in R.2.76 28a], τὰ ὄντα θεώμενος [Phaedr. 247e]. τὸ δὲ αὖ χαλκοῦν γένος τρίτον ἐν αὐτῇ μόνῃ τῇ κατὰ λόγον ἐνεργείᾳ τὴν οἰκείαν ἔστησεν ζωήν, ἣν ὁ χαλκὸς δηλοῖ τῷ ποιητῇ συμβολικῶς, πάσας

μὲν 〈τὰς〉 τεχνικὰς ἐνεργείας λέγοντι διὰ χαλκοῦ ποιεῖσθαι τοὺς ἐν τῷδε τῷ γένει ταχθέντας ὑπὸ τοῦ Διός, πάσας δὲ τὰς πολεμικάς (μέλας γάρ φησιν οὐκ ἔσκε σίδηρος [v. 151])· λόγος οὖν ἄυλος καὶ καθαρὸν φῶς ὑπάρχων καὶ τῆς σκοτώδους καθαρεύων ὕλης, ἔχων δέ τινα καὶ καθ' ἑαυτὸν ἀπεικασίαν πρὸς νοῦν διὰ τὴν πρὸς ἑαυτὸν ἐπιστροφήν, καθάπερ καὶ ὁ χαλκὸς πρὸς τὸν χρυσόν, ἀφορίζει τὴν τούτων ζωήν. εἰ δὲ καὶ ἠχητικώτατος ὁ χαλκὸς καὶ μιμεῖται τὸν ῥοῖζον τὸν ζωτικὸν τῆς ψυχῆς, πρέποι ἂν τῷ μέσῳ τῆς ζωῆς εἴδει τῷ κατὰ λόγον. τὸ δὲ δὴ τῶν ἡμιθέων τέταρτον ὂν ἐπιστρέφει τὸν λόγον εἰς τὴν πρακτικὴν ὅλον ζωὴν καί τινα καὶ ἀπὸ τοῦ πάθους προσλαμβάνει κίνησιν τῶν ἀλόγων καὶ ὁρμὴν ἐν ταῖς πράξεσιν, προθυμότερον αὐτῶν ἐφαπτόμενον· καὶ διὰ τοῦτο ἄρα καὶ οὐδὲ ὕλην ἀπένειμεν αὐτῷ τινα ἐξαίρετον ὁ ποιητὴς ὡς ἔχοντι τὸ μὲν ἐκ τοῦ πρὸ αὐτοῦ γένους τὸ δὲ 〈ἐκ τοῦ〉 μετ' αὐτὸ καὶ ὄντως ὄντι ἡμιθέων, διότι τῷ λόγῳ θείαν εἰληχότι οὐσίαν συνέμιξεν τὴν θνητοειδῆ τοῦ πάθους ζωήν.

in R.2.77 τὸ μὲν οὖν μεγαλουργὸν καὶ τὸ κατορθωτικὸν ἐν τοῖς ἔργοις λόγος αὐτῷ παρέχεται, τὸ δὲ μετὰ συμπαθείας ἢ ἀντιπαθείας δρᾶν ἢ πάσχειν προστίθησιν αὐτῷ τὸ πάθος τῷ λόγῳ συμπλεκόμενον. τὸ δὲ σιδηροῦν γένος πέμπτον ὑπάρχον ἔσχατον ὄντως ἐστὶ καὶ χθόνιον, ἐμπαθὲς ὄν, τῷ σιδήρῳ παραπλήσιον, ἀντίτυπον καὶ σκληρὸν καὶ γήινον, μέλαν τε καὶ σκοτεινόν· οἷα δὴ καὶ ἡ τῶν παθῶν ἐστιν φύσις, δυσνουθέτητος οὖσα καὶ λόγῳ δύσκαμπτος καὶ ὀπισθοβαρὴς καὶ ἄμοιρος ὡς εἰπεῖν λόγου, φωτὸς ὄντος· τούτων γὰρ πάντων ἐστὶν ὁ σίδηρος εἰκών, ᾧ τὸ πέμπτον εἴκασεν γένος ὁ ποιητής· εἰκότως ἄρα καὶ ἔσχατόν ἐστι τοῦτο καὶ ἀτιμότατον, ὡς ἐν πάθεσιν εἱλούμενον, κινδυνεῦον ἐκπεσεῖν εἰς τὴν παντελῶς θηριώδη καὶ ἄλογον ζωήν, ἀμυδρὸν ἐπαγόμενον τὸ τοῦ λόγου φέγγος, ὥσπερ καὶ σίδηρος ἀμυδρὰν ἔχει πρὸς τὸν ἄργυρον τῆς χρόας ἀπεικασίαν μέλας ὢν κατὰ τὸ πλεῖστον· καὶ γὰρ τὸ παθητικὸν ἔχει φαντασίαν μιμεῖσθαι νοῦν ἐθέλουσαν καὶ λόγον, ἀσθενοῦσαν δὲ διὰ τὴν μετὰ τῆς ὕλης ἐνέργειαν. Τὰ μὲν οὖν Ἡσιόδου γένη τοιαῦτα· Πλάτων δὲ εἰς δύο διελὼν τὴν πόλιν τοῖς μὲν ἄνω τεταγμένοις ἀπονέμει τὸ χρυσοῦν καὶ ἀργυροῦν γένος, τοῖς δὲ κάτω τὸ χαλκοῦν καὶ σιδηροῦν, τῷ μὲν φυλακικῷ τὸν χρυσὸν ὡς ἀκήρατον ἀποδοὺς καὶ ἄυλον, τῷ δὲ ἐπικουρικῷ τὸν ἄργυρον ὡς ἐκείνῳ συγγενεῖ καὶ ἀπ' ἐκείνου λόγον προσλαβόντι καὶ παιδείαν, τῷ δὲ θητικῷ πάθεσιν ὑλικοῖς χρωμένῳ τὸν χαλκὸν καὶ τὸν σίδηρον· ἔστι γάρ τι καὶ ἐν τούτῳ πάντως ἄμεινον καὶ χεῖρον ἀνάλογον ἐκείνοις, καὶ ὁ μὲν χαλκὸς τὴν πρὸς τὸν χρυσὸν ἀναλογίαν διασώζει τοῦ κρείττονος ἐν αὐτῷ, ὁ δὲ σίδηρος τὴν πρὸς τὸν ἄργυρον. ὅταν οὖν λέγωσιν αἱ Μοῦσαι [p. 547a] τὰ παρ' Ἡσιόδῳ καὶ παρ' αὐτῷ γένη μὴ χρῆναι συμμιγνύναι, φυλάττειν δὲ ἀλλήλων διωρισμένα, τὰ κρείττονα καὶ χείρονα εἴδη τῆς ζωῆς ἀξιοῦσιν ἀσύγχυτα διαμένειν· παρ' ἀμφοτέροις γὰρ διαφορότητες εἰδῶν ζωτικῶν σημαίνονται διὰ τῶν ὑλῶν τούτων, ἃς ἀκράτους διατηρητέον, εἴτε οὕτως αὐτὰς διαστήσαιτό τις ὡς ὁ Ἡσίοδος πενταχῶς, εἴθ' οὕτως ὡς Πλάτων διχῇ διχῶς.

in R.2.78 τὴν γὰρ σύμμιξιν μήτε τὸν χρυσὸν ἀκήρατον ἔτι σώζειν, ἀλλ' ἐκ τῆς τῶν ἄλλων μίξεως ἰούμενον καὶ σήψεως ἀναπιμπλάμενον ἀποτελεῖν, μήτε τὸν σίδηρον ἔτι τὴν ἑαυτοῦ φυλάττοντα τάξιν, ἀλλὰ τὰ ἀργύρου πράττειν ἐθέλοντα διὰ τὴν μῖξιν, καὶ ταῦτα χθόνιον ἀλλ' οὐ πύριον ὄντα, καὶ σκοτεινὸν ἀλλ' οὐ φανόν. ΜΓ . Τὴν ἀνομοιότητα στάσεως αἰτίαν εἶναί φησιν ὁ τῶν Μουσῶν ἱερὸς λόγος [p. 547a] εἰκότως· εἰ γὰρ ἡ ὁμοιότης συναγωγός ἐστιν τῶν πολλῶν εἰς ἕν, καὶ ἡ παροιμία τὸ ὅμοιον τῷ ὁμοίῳ λέγουσα φίλον ἀληθής, δῆλον δὴ ὅτι καὶ ἡ ἀνομοιότης αἰτία στάσεως καὶ ἔχθρας, καὶ τὸ ἀνόμοιον ἀλλοτριοῦται παντὸς ᾧπέρ ἐστιν ἀνόμοιον. πῶς οὖν καὶ ἐν τούτοις ἡ ἀνομοιότης τίκτει τῶν ἀρχόντων τὴν στάσιν; πῶς δὲ ἄλλως ἢ τῶν ἀρχόντων οὐκέτι μόνως ὄντων ἀγαθῶν οὐδὲ φύσεσιν ἀκηράτοις χρωμένων οὐδὲ καθαρευόντων τῆς τῶν πολλῶν ἔτι ζωῆς, ἀλλὰ πάθεσιν συμμιγῶν ὄντων, ἡ πρὸς ἀλλήλους αὐτῶν ἀνομοιότης ἐπιγίγνεται διὰ τὴν τῶν ἀνομοίων μῖξιν, λόγου καὶ ἀλογίας, παιδείας καὶ

ἀπαιδευσίας, εὐφυΐας καὶ ἀφυΐας; ταύτης δ' ἐπεισελθούσης οἳ μὲν ἐπ' ἄλλας οἳ δὲ ἐπ' ἄλλας ὁρμὰς ἕλκονται καὶ ὀρέξεις· ἃς ἐθέλοντες ἐκπληροῦν στάσεις ἐγείρουσιν κατ' ἀλλήλων, οὐκέτι διὰ τὴν ἀνομοιότητα τῶν ἠθῶν κοινὰ πάντα νομίζοντες οὐδὲ τὸ ἐμὸν καὶ οὐκ ἐμὸν φεύγοντες οὐδ' ἐπὶ τοῖς αὐτοῖς ἡδόμενοι καὶ λυπούμενοι· διίστησι γὰρ αὐτοῖς τὰς ἡδονὰς καὶ λύπας ἡ ἀνομοιότης τῶν ἠθῶν, καὶ οἳ μὲν ἄλλοις οἳ δὲ ἄλλοις χαίροντες καὶ ἐπ' ἄλλοις ἀχθόμενοι καὶ ἄλλοις τὸ ἴδιον ἐπίπροσθεν τίθενται τοῦ κοινοῦ· διῃρημένων δὲ ἐν αὐτοῖς τῶν ὀρέξεων ἐμπίπτει στάσις τῶν παθῶν τῶν ἰδίως ἑκάστοις ἐμφωλευσάντων ἐπ' ἄλλα ἄλλους ἑλκυσάντων.

in R.2.79 οὐκοῦν ἡ μὲν στάσις λύει τὴν πολιτείαν· ταύτην δὲ ἡ ἀνομοιότης ἐποίησεν τῶν ἀρχόντων πρὸς ἀλλήλους· ταύτην δὲ ἡ μῖξις τῶν ἐν τῇ πόλει γενῶν ἀρχικῶν καὶ μὴ ἀρχικῶν· ταύτην δὲ ἡ ἀμουσία τῶν τοὺς γάμους καὶ τὰς συνέρξεις ἐπιτελούντων, οὐ δυνηθέντων κρῖναι τὰς ὁμοίας φύσεις καὶ συντάξαι πρὸς ἀλλήλας· ταύτην δὲ ἡ ῥᾳθυμία τῶν παιδευσάντων αὐτοὺς καὶ ἐν γυμναστικῇ μὲν θρεψάντων, μουσικῆς δὲ ἀμελησάντων· ταύτην δὲ ἡ τῶν σοφῶν ἀρχόντων τοῦ καιροῦ τοῦ δέοντος εἰς τοὺς γάμους παρόρασις, οὐ πάνυ γεννήσασα φυλακικοὺς ἄνδρας, λογισμῷ μὲν χρωμένων ἐκείνων μετ' αἰσθήσεως, τῆς δὲ αἰσθήσεως ἐν τῇ θεωρίᾳ τοῦ καιροῦ τὸ ἀπαραλόγιστον μὴ ἐχούσης. Ἐκ δὴ τούτων φανερόν, ὅτι τὴν μεγίστην ἔχει δύναμιν ὁ καιρὸς εἰς τὸ λύεσθαι τὴν ἀρίστην πολιτείαν· ἔστι δὲ οὗτος ὃν ἀφορίζει τοῦ κόσμου παντὸς ἡ περίοδος εἰς τὴν κατωρθωμένην τῶν πραγμάτων γένεσιν· ἐπεὶ πᾶν μὲν τὸ γιγνόμενον ἐν χρόνῳ γίνεται, κατὰ καιρὸν δὲ οὐ πᾶν, ἀλλ' ὅπερ ἂν μέλλῃ τοῦ ἀγαθοῦ τυγχάνειν καὶ τῆς οἰκείας τελειότητος, καὶ ταύτῃ διαφέρει τοῦ ἄλλου χρόνου παντὸς ὁ καιρός. ΜΔ . Τὴν πρὸς τὰς Μούσας τοῦ ποιητικοῦ γένους οἰκειότητα καὶ οὗτος ὁ λόγος ἐδήλωσεν ἀρξάμενός τε ἐκ τῆς Ὁμηρικῆς ἐπικλήσεως ‘ ὅπως δὴ πρῶτον στάσις ἔμπεσεν ‘ [p. 545d], καὶ τελευτήσας εἰς τὴν Ὁμηρικὴν ἐπίρρησιν ‘ ταύτης τοι γενεῆς χρὴ φάναι εἶναι στάσι ν , ὅπου ἂν γίνηται ‘ [p.

in R.2.80 547a]· τὴν ἀνομοιότητα δήπου λέγων τῆς στάσεως ῥίζαν, καὶ ἐν μὲν τῇ ἐπικλήσει τῶν Μουσῶν τὸ εἶδος αὐτῆς ἐνδειξάμενος, ὅτι διαιρετικὸν καὶ φθαρτικόν, ὥσπερ τὸ πῦρ καταναλίσκον πᾶν τὸ προστυχόν, ἐν δὲ τῇ ἐπιρρήσει τὴν αἰτίαν, ἀφ' ἧς ὑφίσταται τὸ τῆς ἀνομοιότητος τῶν ἠθῶν γένος. ΜΕ . Τέλος ἐστὶν τῆς ἀρίστης πολιτείας ἡ ἕνωσις, ὥσπερ δὴ καὶ τοῦ κόσμου τῆς συστάσεως, καὶ πρὸ τοῦδε τοῦ κόσμου τὸ ἕν. καὶ γὰρ ἡ ὁμοιότης τῆς τοῦ ἑνός ἐστι συστοιχίας· διὸ καὶ πάντα τὰ προϊόντα δι' ὁμοιότητος ἀπὸ τῶν οἰκείων αἰτίων παράγεται, καὶ πάντα τὰ ἐπιστρέφοντα πρὸς τὰς ἀρχὰς δι' ὁμοιότητος ἐπιστρέφει πόθῳ τοῦ ἑνός· τὸ γὰρ ἐν τῷ ἑνὶ μεῖναι μὴ δυνηθὲν τὸ ὅμοιον ὡς συγγενὲς ἀσπάζεται πρὸς τὸ ἕν. καὶ ἡ ἁρμονία δὲ καὶ ὁ ῥυθμὸς δι' ὁμοιότητος ἔχουσιν τὴν ὕπαρξιν, ὧν αἱ Μοῦσαι προεστᾶσιν· ὅθεν δὴ καὶ οὐ πάντες λόγοι ῥυθμοὺς ποιοῦσιν ἢ ἁρμονίας, ἀλλ' οἱ τῆς ὁμοιότητος ὄντες ἐπιμόριοι καὶ πολλαπλάσιοι· τὸ δὲ πολυσχιδὲς τῶν ἄλλων λόγων καὶ πολυσύνθετόν ἐστι τῶν μουσικῶν λόγων ἀλλότριον. ἑπομένως ἄρα ταῖς ἑαυτῶν ἐνεργείαις αἱ Μοῦσαι καὶ τοῖς δώροις, οἷς δωροῦνται τὸν κόσμον, εἰς τὴν ἀνομοιότητα τὴν στάσιν ἀνήγαγον καὶ αὖ τὴν φιλίαν εἰς τὴν ὁμοιότητα τῆς ζωῆς· ἐπεὶ καὶ αὐτὸς ὁ τῶν Μουσῶν ἱερὸς ἀριθμὸς τῆς ταὐτοῦ καὶ ὁμοίου φύσεώς ἐστιν, ἐκ τοῦ πρώτου περιττοῦ καὶ τελείου τετράγωνος ὤν, ἐν τρισὶ τριάσιν ἀφωρισμένος, καὶ οὐ μόνον τέλειος ὤν, ἀλλὰ κατὰ πάντα τέλειος, εἵς τε τὴν μονάδα συνελισσόμενος, ἀφ' ἧς προῆλθεν, καὶ ἓν νέον εἶναι καὶ αὐτὸς ἐπειγόμενος. καὶ ἔστω καὶ ἡμῖν τοῦτο τέλος τῆς τοῦ λόγου τῶν Μουσῶν ἐπιβλέψεως ἐπὶ τὸ ἓν ἀναγαγοῦσι τὴν θεωρίαν. Μέλισσα εἰς τὸν ἐν Πολιτείᾳ λόγον τῶν Μουσῶν. ΠΕΡΙ ΤΩΝ ΔΕΙΚΝΥΝΤΩΝ ΤΡΙΩΝ ΛΟΓΩΝ ΕΥΔΑΙΜΟΝΕΣΤΕΡΟΝ ΤΟΥ ΑΔΙΚΟΥ ΤΟ ΔΙΚΑΙΟΝ.

in R.2.81.(1-2) Τρεῖς εἰσιν οἱ δεικνύντες λόγοι τοῦ δικαιοτάτου βίου τὴν εὐδαιμονίαν ἐν τῷ τῆς Πολιτείας ἑνάτῳ καὶ τὴν ἀθλιότητα τοῦ ἀδίκου· πρῶτος μὲν ἐκ τῆς πρὸς τὰς πολιτείας ἀναλογίας τῶν

βίων, δεύτερος δὲ ἀπὸ τῶν κριτηρίων ἐν οἷς οἱ κρινόμενοι πλέον ἢ ἔλασσον ἔχουσιν ἀλλήλων, τρίτος ἀπὸ τῆς ἐν ταῖς ἐνεργείαις τελειότητος ἢ ἀμίκτου πρὸς πᾶν τὸ ἐναντίον οὔσης ἢ μεμιγμένης. ἐπειδὴ γὰρ τοῖς μὲν ἡδονὴ δοκεῖ τὸ τέλος εἶναι, τοῖς δὲ φρόνησις, ἐὰν δειχθῇ καὶ καθ' ἑκατέραν καὶ κατ' ἄμφω κρατῶν ὁ δίκαιος, φέροιτ' ἂν εἰκότως τὰ νικητήρια, κἂν λανθάνῃ θεούς τε καὶ ἀνθρώπους· ὃ δὴ τῷ Σωκράτει προκείμενον ἦν. Ὁ μὲν τοίνυν ἀπὸ τῆς ἀναλογίας τῶν πολιτειῶν λόγος ἔοικεν ἀπ' ἀμφοτέρων ἐπιχειρεῖν, δεικνὺς τὴν μὲν βασιλικὴν πολιτείαν γέμουσαν ἔμφρονος ζωῆς ὡς κοσμοῦσαν ὅλην τὴν πόλιν καὶ ἡδίστην ὡς μόνην ἐλευθέραν καὶ ἑαυτῇ φίλην, τὴν δὲ τυραννικὴν τῶν ἐναντίων μεστήν· ἀνήδονός τε γάρ ἐστιν (ὡς ἀεὶ τῶν τυράννων ἐν ὑποψίαις ὄντων πρὸς τοὺς ἀρχομένους, ἐν φόβοις ἐν φθόνοις ἐν ἀπιστίαις ἐν τοῖς τοιούτοις ἅπασιν, καὶ τῶν ἀρχομένων ἐν ἀνάγκαις ἐν ὀδυρμοῖς ἐν ἀκουσίῳ τῇ συμπάσῃ ζωῇ) καὶ φρονήσεως ἄμοιρος πάσης, εἴπερ φρόνησις οἷς ἂν παραγένηται σῴζει τοὺς ἔχοντας, ἡ δὲ τυραννικὴ πολιτεία μιᾶς ἐστιν ἐπιθυμίας ἔκγονος τῆς παρανόμου, πεδήσασα τὰς ἄλλας καὶ αὐτὸν τὸν τῆς φρονήσεως δεκτικὸν λόγον. Ὁ δὲ αὖ ἀπὸ τῶν κριτηρίων ὡρμημένος τῆς ἐπιχειρήσεως τρόπος αὐτόθεν ἀπ' αὐτῆς προάγεται τῆς φρονήσεως καὶ ὡς ἐν ὕλης τάξει καὶ ὡς ὀργάνων.

in R.2.82 ὅταν γὰρ λέγηται κρίνεσθαι πᾶν ἢ [φρο]νήσει ἢ λόγῳ ἢ ἐμπειρίᾳ, δῆλον δήπουθεν, ὡς ἄρα ἡ μὲν ὡς ἀληθῶς κριτικὴ τῶν ὄντων τῆς ἀξίας ἐστὶν ἡ φρόνησις, ἣν διὰ τοῦτο καὶ τέλος ἔθεντό τινες εἶναι τῆς ἀνθρωπίνης ζωῆς· προηγεῖται δὲ ταύτης ἡ ἐμπειρία, πρόδρομος οὖσά τις γνῶσις καὶ τὴν ὕλην παρέχουσα τῇ φρονήσει (δέονται γὰρ οἱ ἔμφρονες ἐσόμενοι καὶ τῆς ἐμπειρίας, ἀλλ' ὡς ὕλης προϋποκειμένης, αὐτοὶ τὸν τῆς αἰτίας προβεβλημένοι δεσμόν, τῆς ἐμπειρίας μόνον τὸ ὅτι λεγούσης)· ὁ δὲ δὴ λόγος ἐκ τρίτων, ὅσα διέγνωκεν ἡ φρόνησις, γνώριμα ποιεῖ καὶ πιστοῦται μεθόδοις χρώμενος, δι' ὧν ἐμφανίζει τὴν ἔνδον ἐνέργειαν τῆς φρονήσεως. καὶ ἔστιν ἡ μὲν ἐμπειρία ἔξωθεν εἴσω κίνησις, ὁ δὲ λόγος ἔνδοθεν ἔξω πρόοδος, ἡ δὲ φρόνησις ἔνδον μένουσα κρίσις, ἀνεγειρούσης αὐτὴν ἐν ἑαυτῇ τῆς ψυχῆς. Ὁ δὲ ἀπὸ τῶν ἡδονῶν τῆς διαφορᾶς λόγος δῆλον ὡς οὐδαμόθεν ἄλλοθεν ἢ ἀπὸ τῶν παρεπομένων ἐπιχειρεῖ τοῖς τέλεσιν, ἃ δὴ καὶ αὐτὰ τέλη τινὲς νομίζουσιν· οὕτως δ' οὖν δείκνυσιν ἀπὸ τούτων τὴν τῶν δικαίων ζωὴν μεῖζον ἔχουσαν τὸ ἀγαθὸν τῆς τῶν ἀδίκων τριχῶς· καὶ γὰρ διὰ τὸ εἶδος τῆς ἡδονῆς καὶ διὰ τὸ ἡδόμενον καὶ διὰ τὸ ἀφ' οὗ γίνεται ἡδονή· τοῦτο δέ ἐστι τὸ ἡστόν. τοῖς μὲν γὰρ καὶ ἡ ἡδονὴ καθαρά, καὶ τὸ ἡδόμενον μᾶλλον ὄν (ψυχὴ γάρ) καὶ τὸ ἀφ' οὗ τὸ ὄντως ὂν καὶ τὸ ἀληθές· τοῖς δὲ καὶ ἡ ἡδονὴ συμμιγὴς πρὸς λύπην, καὶ σῶμα τὸ ἡδόμενον, καὶ τὸ ἡστὸν σωματικὸν ἐν ὕλῃ ὄν, ἃ δή ἐστιν οὐκ ἀληθῶς ὄντα. τούτων δὲ ταύτῃ διαφερόντων ἀμείνων ἡ τῶν δικαίων ἡδονὴ τῆς τῶν ἀδίκων, ὥστε καὶ ὁ βίος τοῦ βίου πάντως ἀμείνων. κατὰ πάντας ἄρα τοὺς λόγους εὐδαιμονέστερον τοῦ ἀδίκως ζῆν ἐστι τὸ δικαίως· τοῦτο δ' ἦν τὸ ζητούμενον.

in R.2.83 [Start of a diagram] Κατὰ τρεῖς τρόπους εὐδαιμονέστερον τοῦ ἀδίκου τὸ δίκαιον· εἰσὶ δὲ οὗτοι [Start of a diagram section] πρῶτος ὁ ἐκ τῆς πρὸς τὰς πολιτείας ἀναλογίας τῶν βίων [Logical Relationship in a Diagram start mark] —ἀπὸ τῆς τυραννικῆς οὔσης ἀνηδόνου δι' ὑποψίαν τὴν πρὸς τοὺς ἀρχομένους καὶ φρονήσεως ἀμοίρου καὶ ἀκουσίου ζωῆς [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] —ἀπὸ τῆς βασιλικῆς γεμούσης ἔμφρονος ζωῆς ὡς κοσμούσης ὅλην πόλιν καὶ ἡδίστης ὡς μόνης ἐλευθέρας καὶ ἑαυτῇ φίλης [Logical Relationship in a Diagram end mark][End of a diagram section] [Start of a diagram section] δεύτερος ὁ ἀπὸ τῶν κριτηρίων, ἐν οἷς οἱ κρινόμενοι πλέον ἢ ἔλαττον ἔχουσιν ἀλλήλων [Logical Relationship in a Diagram start mark] —ἐμπειρίᾳ —λόγῳ —φρονήσει [Logical Relationship in a Diagram end mark][End of a diagram section] [Start of a diagram section] τρίτος ὁ ἀπὸ τῆς ἐν ταῖς ἐνεργείαις τελειότητος [Logical Relationship in a Diagram start mark] ἀμίκτου ὡς τῆς τῶν δικαίων —διὰ τὸ ἡστὸν τὸ ὄντως ὂν καὶ τἀληθές —διὰ τὸ

ἡδόμενον τὴν ψυχήν —διὰ τὸ εἶδος τῆς ἡδονῆς καθαρὸν ὄν [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] μεμιγμένης ὡς τῆς τῶν ἀδίκων —διὰ τὸ ἡστὸν σωματικὸν καὶ ψευδές —διὰ τὸ ἡδόμενον σῶμα —διὰ τὸ εἶδος τῆς ἡδονῆς λύπῃ ὃν συμμιγές [Logical Relationship in a Diagram end mark][End of a diagram section][End of a diagram] [Start of a diagram] Τῶν κεφαλαίων τοῦ δεκάτου βιβλίου [Start of a diagram section] ἐλεγκτικὸν τῆς ποιητικῆς ὡς μιμητικῆς ἀλλ' οὐ παιδευτικῆς [Logical Relationship in a Diagram start mark] —ὅτι τὰ πάθη κινεῖ τὸ μὲν φιλόλυπον τραγῳδία, τὸ δὲ φιλήδονον κωμῳδία, καὶ διὰ τοῦτο λωβᾶται τὰς ψυχάς —ὅτι οὔτε ἐπιστημονική ἐστιν ἐκείνων ἃ λέγει οὔτε ὀρθοδοξαστική [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] —ὅτι ἡ ποιητικὴ μιμητικὴ καὶ διὰ τοῦτο οὐ πολιτική —τί ἐστι μίμημα, ὅτι τὸ τρίτον ἀπὸ τῆς ἀληθείας πρὸς τὸ καθόλου καὶ πρὸς τὸ μερικὸν γεγονὸς ὁμοίωμα [Logical Relationship in a Diagram end mark][End of a diagram section] [Start of a diagram section] περὶ ἀθανασίας τῶν ψυχῶν [Logical Relationship in a Diagram start mark] —ποία ἡ ἀθάνατος —ὅτι ἀθάνατος ἡ ψυχή [Logical Relationship in a Diagram end mark][End of a diagram section] [Start of a diagram section] περὶ τῆς προνοίας τῶν θεῶν καὶ τῶν δαιμόνων τῆς περὶ τὰς ψυχὰς κατιούσας τε εἰς γένεσιν καὶ χωριζομένας αὐτῆς [Logical Relationship in a Diagram start mark] πῶς κατίασιν εἰς τὰ σώματα αἱ ψυχαί περὶ βίων καὶ κλήρων καὶ μετατάξεων τῶν ψυχῶν [Logical Relationship in a Diagram end mark] [Logical Relationship in a Diagram start mark] περὶ τῆς τοῦ κόσμου τάξεως περὶ τῶν διαφόρων λήξεων καὶ τῶν δικαστῶν [Logical Relationship in a Diagram end mark][End of a diagram section][End of a diagram] ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΩΙ ΔΕΚΑΤΩΙ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΚΕΦΑΛΑΙΩΝ.

in R.2.85.(1) Τὸ δέκατον εἰς τρία κεφάλαια διῄρηται· καὶ τὸ μὲν πρῶτον εἰς ἔλεγχον τείνει τῆς ποιητικῆς ὡς μιμητικῆς οὔσης, ἀλλ' οὐ παιδευτικῆς τῶν ψυχῶν· τὸ δὲ δεύτερον τὴν ἀθανασίαν καταδεῖται τῆς ψυχῆς καὶ τὴν πρὸς τὸ θεῖον αὐτῆς ἀναφαίνει συγγένειαν· τὸ δὲ τρίτον αὐτὸν παρέχεται τὸν μῦθον, ὃς τὴν πρόνοιαν δείκνυσιν τήν τε δαιμονίαν καὶ θείαν ὅλην τὴν περὶ τὰς ψυχὰς κατιούσας τε εἰς γένεσιν καὶ χωριζομένας ἀπὸ τῆς γενέσεως, τούς τε τρόπους ἑκατέρων τοὺς πολυειδεῖς. τριῶν δὲ τῶν κεφαλαίων ὄντων εὔδηλον, ὅτι τὸ μὲν χωρίζειν ἡμᾶς προτίθεται τῶν ὑλικῶν εἰδώλων καὶ ἀπάγειν τῶν τῆς ψευδοπαιδείας φαντασιῶν ὡς καθελκουσῶν εἰς τὰ ἔσχατα τῶν ὄντων, ἃ δὴ καὶ μερικά ἐστιν καὶ μιμητὰ ὄντων ἀλλ' οὐκ ἀληθῶς ὄντα, καὶ ἁπλῶς ἁπάσης τῆς ἐπιπλάστου ζωῆς· τὸ δὲ μετ' ἐκεῖνο ταχθὲν ἐπιστρέφει πρὸς ἑαυτοὺς καὶ εἰς τὴν οἰκείαν ἐπανάγει ζωὴν καὶ τὴν ἀθανασίαν, ἣν ἔχομεν κατ' οὐσίαν, καὶ τὴν ἁπλότητα τῆς ὑποστάσεως ἡμῶν (καὶ γὰρ ὅτι ἁπλοῦν ἡ ψυχὴ δείκνυται, κἂν φαντάζηται διὰ τὴν ἀλογίαν σύνθετον, καὶ ὅτι ἀθάνατον καὶ οὐ θνητοειδές, καὶ ὅτι τῷ θείῳ συγγενές, κἂν *** ὡς τοῖς σώμασιν ὁμόζυγον)· τὸ δὲ δὴ τρίτον ἐπιστρέφει μὲν ἡμᾶς, ἀλλ' ἐπὶ τὰ πρὸ ἡμῶν καὶ τὴν ἐπιστασίαν τῶν κρειττόνων καὶ τὴν πρόνοιαν καὶ τὴν εἱμαρμένην τὴν εἰς ἡμᾶς καθήκουσαν, φύσιν ἔχοντας ἀμφίβιον, ἀνιοῦσάν τε καὶ κατιοῦσαν· καὶ γὰρ οἱ βίοι καὶ οἱ κλῆροι τὰς καθόδους δηλοῦσιν ὑπὸ τοῖς θεοῖς γινομένας, καὶ οἱ ἐν Ἅιδου καθαίροντες ἡμᾶς ἢ κολάζοντες δαίμονες τὰς μετὰ τὴν γένεσιν ζωὰς ὑποτάττουσι τοῖς κρείττοσιν.

in R.2.86 Ταῦτα μέν ἐστι τὰ κεφάλαια τοῦδε τοῦ βιβλίου. τὸ δὲ οὖν πρῶτον πάλιν εἰς τέτταρα διῄρηται. πρῶτον μὲν γὰρ αὐτοῦ μέρος ἐστὶ τὸ δεικνῦον, τί ποτέ ἐστι μίμημα καὶ τίς ἡ μιμητική. τοῦτο δὲ ἐργάζεται διελόμενος, ὡς ἄλλο μέν ἐστι τὸ καθόλου καὶ ἐν φυσικοῖς καὶ ἐν τεχνητοῖς, ἄλλο δὲ τὸ μερικόν, ὃ δὴ τούτου μετέχει πρώτως, ἄλλο δὲ τὸ τούτου εἴδωλον μερικοῦ μερικόν· οἷον ἐν μὲν φυσικοῖς τὸ τοῦ ἀνθρώπου εἶδος καὶ ὁ τὶς ἄνθρωπος καὶ ἡ εἰκὼν τοῦ τινὸς ἀνθρώπου, ἐν δὲ τεχνητοῖς τὸ εἶδος τῆς κλίνης καὶ ἡ τὶς κλίνη καὶ τὸ ἐοικὸς τῇ κλίνῃ. καὶ ἐν μὲν τοῖς τεχνητοῖς τρεῖς ποιηταὶ κλίνης· ζωγράφος τοῦ μιμήματος, κλινοποιὸς τῆς τινὸς κλίνης, θεὸς

τοῦ εἴδους τῆς κλίνης· τοῦ γὰρ ἀεὶ ὄντος (τοιοῦτο δὲ τὸ εἶδος) αἴτιος θεός, τῆς δὲ τινὸς κλίνης ὁ δημιουργὸς αὐτῆς κατὰ τὸ εἶδος, τοῦ δὲ μιμήματος ὁ εἰδωλοποιός. ἐν δὲ τοῖς φυσικοῖς τοῦ μὲν εἴδους αἴτιος θεός, τοῦ δὲ τινὸς τυχὸν ὁ πατήρ, τοῦ δὲ ὁμοιώματος πάλιν ὁ ζωγράφος. καὶ διελὼν ὁρίζεται μίμημα εἶναι τὸ τοῦ τινὸς εἴδωλον, ὅ ἐστι τρίτον ἀπὸ τοῦ εἴδους τῆς κλίνης. ἦν δὲ ὡς ἀληθῶς κλίνης τὸ εἶδος, ἀλλ' οὔτε ἡ τὶς κλίνη—μετὰ γάρ τινων αὕτη διαφορῶν γέγονεν τὶς κλίνη, ἄλλο τι οὖσα παρὰ τὸ εἶδος—οὔτε πολλῷ πλέον τὸ εἴδωλον αὐτῆς· ὥστ' εἶναι τὴν μιμητικὴν τοῦ ἀπὸ τῆς ἀληθείας τρίτου δημιουργόν. οὐδὲ γὰρ ἡ τὶς κλίνη μίμημα τοῦ εἴδους, ἀλλὰ ὑποδοχή τις· ᾧ καὶ δῆλον ὅτι οὐ νοητὸν λαμβάνει τὸ εἶδος (ἦν γὰρ ἂν τοῦ νοητοῦ τὸ αἰσθητὸν μίμημα, ὡς ὁ Τίμαιος εἶπεν [p. 48e]), ἀλλ' ἐν αὐτοῖς ὂν τοῖς τισίν, ἃ δὴ μετέχοντα τοῦ εἴδους· οὐκ ἄρα ἡ τούτου .

in R.2.87 ..... νοητοῦ μετέχει. μιμητικὴ δ' οὖν ἐστιν ἡ δημιουργὸς τοῦ τρίτου ἀπὸ τῆς ἀληθείας, ἀλήθεια δὲ τὸ εἶδος, 〈ὃ〉 ἀληθῶς ὂν καὶ ὄν ἐστι μόνον· διὸ καὶ κλίνη μόνον, ἄλλο δὲ οὐδέν· ἀφ' οὗ τρίτον τὸ μίμημα τῆς κλίνης, οὐ μετέχον τοῦ εἴδους τῆς κλίνης, ἀλλ' ὡμοιωμένον πρὸς τὸ μετέχον. Δεύτερον δὲ μετὰ τοῦτο μέρος ἐστὶ τοῦ πρώτου κεφαλαίου δεικνῦον, ὡς ἄρα πᾶσα ποιητικὴ μιμητική τίς ἐστιν· καὶ δεικνύει τὸν τρόπον τοῦτον. ὅτι μὲν μιμεῖται πᾶς ποιητὴς λόγους καὶ ἔργα βίων ἀνθρωπίνων, δῆλον· καὶ ὅτι παντοῖα, καὶ τοῦτο δῆλον· οἷον στρατηγοὺς νομοθέτας ῥήτορας τέκτονας ναυπηγούς. οὐκοῦν ἢ οἶδεν ὁ ποιητὴς καὶ αὐτὰ ἐκεῖνα, ὅσα καὶ οἷα μιμεῖται, οἷον στρατηγεῖν ῥητορεύειν νομοθετεῖν ναυπηγεῖν· ἢ αὐτὰ μὲν οὐκ οἶδε, μιμεῖσθαι δὲ αὐτὰ μόνον οἶδεν διὰ δή τινων ὁμοιωμάτων φαινομένων. ἀλλ' εἰδὼς μὲν οὐκ ἄν τις ἔλοιτο μένειν ἐπὶ τοῖς τῶν χειρόνων ἔργοις, ἑαυτὸν ἀποστερῶν τῶν μειζόνων, εἰ μὴ παιδιᾶς ἕνεκα μεταχειρίζοιτο τὰ εἴδωλα πρὸ τῶν ἀληθινῶν· οὐδεὶς γὰρ ἂν σπουδάσειεν ἐπὶ τοῖς χείροσιν ἀντὶ τῶν ἀμεινόνων, ἀμφότερα δυνάμενος· λείπεται οὖν ἀγνοίᾳ τῶν ἀληθῶν σπουδάζειν αὐτὸν ἐν τοῖς μιμήμασιν. εἰ οὖν πᾶς ποιητὴς σπουδῇ τὰ μιμήματα μέτεισιν, πᾶς ὁ σπουδῇ τὰ μιμήματα μετιὼν οὐδὲν ἄλλο ἐστὶν ἢ μιμητής· πᾶς ἄρα ποιητὴς μιμητής ἐστιν, εἰ μηδὲν ἔχει τοῦ μιμεῖσθαι κάλλιον. καὶ τοῦτό γε οὐδὲν ἄλλο συνάγει ἢ ὅτι τῶν ποιητῶν οὐδείς, καθ' ὅσον ἐστὶν ποιητής, πολιτικός ἐστιν· οὐδεὶς γὰρ πολιτικὸς μιμητής ἐστιν, πᾶς δὲ ποιητὴς μιμητής.

in R.2.88 Τρίτον τοίνυν τοῦ αὐτοῦ κεφαλαίου, ὅτι πᾶς ποιητὴς οὔτε ἐπιστήμων ἐστὶν ἐκείνων ἃ μιμεῖται οὔτε ὀρθοδοξαστικός. τρεῖς γάρ εἰσιν τέχναι περὶ ἕκαστον· ἡ χρησομένη τῷ γινομένῳ ὡς ὀργάνῳ, οἷον χαλινῷ ἡ ἱππική· ἡ δημιουργοῦσα, οἷον χαλινοποιική· ἡ μιμουμένη τὸν ὄντα χαλινόν, ὡς ἡ γραφική. καὶ ἡ μὲν ἐπιστήμων τοῦ χαλινοῦ τὸ τέλος εἰδυῖα καὶ τὴν χρείαν (κυριώτατον γὰρ τῶν αἰτίων τὸ τελικόν, ὁ δὲ τὸ κυριώτατον εἰδὼς αἴτιον πάντως ἐπιστήμων, ὁ δὲ χρησόμενος οἶδεν τοῦ ὀργάνου τὸ τελικὸν αἴτιον), ἡ δὲ ὀρθὴν ἔχει δόξαν περὶ χαλινοῦ· μανθάνει γὰρ ὁ χαλινοποιός, ὅτι τοιόνδε δεῖ τὸν χαλινὸν εἶναι, παρὰ τοῦ χρησομένου τῷ χαλινῷ, καὶ τὴν αἰτίαν ἀγνοῶν ποιεῖ τοιόνδε χαλινόν. ἡ δὲ ζωγραφία μιμεῖται τὸ εἶδος τοῦ χαλινοῦ, βλέπουσα τὸ σχῆμα τοῦ δημιουργηθέντος, οὔτε τὴν χρείαν εἰδυῖα, ὡς ἡ χρωμένη, οὔτε τὸν τρόπον τῆς ποιήσεως, ὡς ἡ δημιουργήσασα τὸν χαλινόν. οὔτ' ἄρ' ὁ μιμητὴς ἐπιστήμων ἐστὶν οὔτε ὀρθοδοξαστικὸς ὧν μιμεῖται. Τέταρτον ἐπὶ τούτοις, ὅτι λώβη τῶν ἀκουόντων ἐστὶν ἡ ποιητική, τὸ μὲν λογιστικὸν τῆς ψυχῆς ἄγχουσα, τὸ δὲ παθητικὸν τρέφουσα. τοῦτο μὲν γάρ ἐστιν φιλήδονον καὶ φιλόλυπον· αὔξει δὲ τὸ μὲν ποιοῦσα φιλόθρηνον ἡ τραγῳδία, τὸ δὲ φιλόγελων ἡ κωμῳδία. καὶ τί δεῖ περὶ τῶν πολλῶν λέγειν; ἀλλὰ καὶ τῶν ἐπιεικῶν καὶ μέσων ἐπιτρίβει τὸ παθητικόν, ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς συνοικτίζεσθαι καὶ τοῖς ἀλλοτρίοις ὀνείδεσι συγγελᾶν οὐδὲν ἄτοπον ἡγουμένων, ἀλλ' ὡς ἐν παιδιᾶς μοίρᾳ ταῦτα πραττόντων, κἄπειτα μετὰ σπουδῆς ποιούντων ταῦτα διὰ τὸν ἐθισμόν.

in R.2.89 εἰ οὖν ἡ ποιητικὴ μιμητικὴ παθῶν ἐστιν, ἡ μιμητικὴ τῶν παθῶν αὔξει τὸ παθητικόν, ἡ αὔξουσα τὸ παθητικὸν εὐνομουμέναις πόλεσιν ἀνεπιτήδειος, δῆλον τὸ συναγόμενον. Τὸ μὲν δὴ πρῶτον

κεφάλαιον εἰς ταῦτα διῄρηται, τὸ δὲ περὶ ψυχῆς εἰς δύο τέμνεται· τὸ μὲν γάρ ἐστιν αὐτοῦ δεικνῦον ἀθάνατον τὴν ψυχήν, τὸ δὲ τὴν ποίαν ψυχὴν ἀθάνατον δεῖ νομίζειν διαστέλλον. τὸ μὲν οὖν πρότερον διὰ τοιῶνδε πρόεισιν λόγων· ἡ ψυχὴ οὐ φθείρεται ὑπὸ τῆς ἰδίας κακίας· τὸ μὴ φθειρόμενον ὑπὸ τῆς ἰδίας κακίας ἀίδιόν ἐστιν· ἓν γὰρ φθείρει, τὸ κακόν· τὸ οὖν ὑπὸ τοῦ μόνου δυναμένου φθείρειν μὴ φθειρόμενον ἀίδιον· ἡ ἄρα ψυχὴ ἀίδιον. καὶ ὥρμηται ὁ λόγος ἀπὸ τῆς αἰτίας τῆς φθαρτικῆς τῶν φθαρτῶν· καὶ ἔστιν οὐχ ἁπλῶς συλλογισμός, ἀλλὰ ἀπόδειξις ἀναιροῦσα τὴν φθορὰν ἀπ' αἰτίας. εἰς δὲ τὴν τοῦ λόγου τούτου διάρθρωσιν πολλὰ διορίζεται· καὶ διαφερόντως ἓν μέν, ὅτι ἑκάστῳ τῶν φθαρτῶν ἔστιν τι κακόν, ἐν ζῴοις, ἐν φυτοῖς, ἐν ἀψύχοις, ὡς ξύλῳ σηπεδών, ἐρυσίβη φυτῷ, ὀφθαλμία ζῴῳ. ἕτερον δέ, ὅτι δεῖ μὴ κατὰ συμβεβηκὸς λαμβάνειν τὸ φθαρτικόν, οἷον ὅτι ἡ ἀδικία φθείρει, διότι ὁ ἄδικος διδοὺς δίκην σφάττεται· κατὰ συμβεβηκὸς γὰρ οὕτω φθείρει ἡ ἀδικία· εἰ γὰρ καθ' αὐτό, πανταχοῦ ἂν ἐποίει τοῦτο καὶ ἐν πᾶσιν. τρίτον δέ, ὅτι μέγιστον οὐκ ἔστι κακὸν τὸ θανάσιμον (ἀπαλλάττει γὰρ ἑαυτοῦ τὸ ἔχον), ἀλλὰ τὸ μὴ ἀπολλῦον τὸ ἐν ᾧ ἐστιν· καὶ τοῦτο ἀπ' ἐννοίας ἐκείνης τῆς λεγούσης τὸ μὴ εἶναι ἔλασσον εἶναι κακὸν τοῦ εἶναι κακῶς. ὥστε καὶ καθ' αὐτὸ μεῖζον κακὸν τὸ ψυχῆς ἢ τὸ σώματος, οἷον ἀδικία νόσου· ἡ μὲν γὰρ κακύνει μὴ ἀπολλῦσα, ἡ δὲ κακύνασα διόλλυσι τὸ ἔχον αὐτήν.

in R.2.90 τούτων δὲ διορισθέντων ἄραρεν ἡ ἀπόδειξις· ἡ γὰρ ψυχὴ οὐ φθείρεται ὑπὸ τοῦ ἰδίου κακοῦ καθ' αὑτό, τὸ δὲ μὴ φθειρόμενον ὑπὸ τοῦ ἰδίου κακοῦ καθ' αὐτὸ ἀίδιον, ἡ ἄρα ψυχὴ ἀίδιον. καὶ γὰρ εἴ τις λέγοι τοῦ σώματος ἀπολλυμένου φθείρεσθαι τὴν ψυχήν, ἔδει τὸ σῶμα φθειρόμενον ἐμποιεῖν τῇ ψυχῇ τὴν αὐτῆς κακίαν, ἵνα φθαρῇ διὰ τὸ οἰκεῖον κακόν, ἀλλ' οὐχὶ διὰ τὸ ἀλλότριον· εἰ δὲ τοῦτο, ἔδει τοὺς νοσοῦντας ἀδικωτέρους γίνεσθαι καὶ τὴν ἄλλην πᾶσαν κακίαν κακίους· ταῦτα δὲ ἄτοπα· οὐκ ἄρα διὰ τὴν σώματος φθορὰν ἡ ψυχὴ φθείροιτο ἄν. εἰ δέ τις ἀποροίη, πῶς οὖν ἡ ἐμψυχία φθείρεται διὰ τὴν τοῦ σώματος ἐν ᾧ ἐστι διάλυσιν, ἐροῦμεν, ὅτι ἡ τοῦ σώματος διάλυσις τοῦ ζῶντος, ᾗ ζῶν ἐστι, καὶ τῆς ἐμψυχίας ἐστὶν κακόν· ἐπειδήπερ ἐν ὑποκειμένοις ἐστὶν ἡ ἐμψυχία, τὸ δὲ ἐν ὑποκειμένῳ ὂν πᾶν δεῖται τῆς τοῦ ὑποκειμένου φύσεως εἰς τὸ εἶναι· εἰ οὖν τὸ εἶναι κοινὸν ἀμφοῖν, καὶ τὸ μὴ εἶναι κοινόν, καὶ τὸ αἴτιον θατέρῳ τοῦ μὴ εἶναι καθ' αὐτὸ καὶ τῷ λοιπῷ γίνεται αἴτιον τοῦ μὴ εἶναι, διὰ τὴν αὐτὴν αἰτίαν, οὐ κατὰ συμβεβηκός. εἰ δέ τις ἐπ' αὐτὸ τὸ ἄλογον μεταβάς, ὅπερ ὁ Τίμαιος λέγει θνητὸν εἶδος ζωῆς [p. 69c] σαφῶς, ἀποροῖ, πῶς οὐχὶ κἀκεῖνο ἀθάνατον, ὅπερ οὐ φθείρεται ὑπὸ ἀδικίας καὶ δειλίας καὶ ἀκολασίας, μεγίστων ὄντων κακῶν, εἴπερ μὴ θανάσιμα (τὸ γὰρ ὑπὸ τῶν μεγίστων μὴ φθειρόμενον οὐδ' ὑπὸ τῶν ἐλασσόνων ⟦ ἂν ⟧ φθαρήσοιτ' ἄν· ταῦτα δὲ πιστὰ διὰ τὸ τεθὲν τὸ λέγον τὸ μὴ θανάσιμον κακὸν τοῦ θανασίμου μεῖζον), ἐροῦμεν, ὅτι ταῦτα μέγιστα μέν ἐστι κακῶν, ἀλλὰ τῶν λογικῶν, τῶν δὲ ἀλόγων τρόπον τινὰ καὶ κατὰ φύσιν ἐστί. θηριώδη γὰρ τὰ ἄλογα μόρια, τοῖς δὲ τοιούτοις κατὰ φύσιν τὸ ἀλόγως ἐνεργεῖν, λόγῳ δὲ παρὰ φύσιν (ὡς φύσει κυσὶν τὸ ὑλακτεῖν καὶ ὄνοις τὸ γαστριμαργεῖν)· εἰ δὲ τῷ ἀλόγῳ μὴ μέγιστα ταῦτα κακά, θαυμαστὸν οὐδὲν κἀκεῖνο φθείρεσθαι μετὰ τοῦ ὑποκειμένου τοῦ ἐν ᾧ ἐστι, καθάπερ τὴν ἐμψυχίαν· ὃ δὴ γίνεται τότε μόνον, ὅταν ἡ λογικὴ χωρισθῇ πάντῃ τῆς πρὸς αὐτὸ συζωΐας.

in R.2.91 εἰ δέ τις ἐπιζητεῖ, πῶς δὲ ὅλως οὐ φθείρει τὴν ψυχὴν ἡ αὐτῆς πονηρία, εἴπερ ὁρισμός ἐστιν τοῦ κακοῦ τὸ φθαρτικὸν οὗ ἐστιν κακόν, ἐροῦμεν ὅτι καὶ ἡ ἀδικία φθείρει καὶ ἡ ἀκολασία, ἀλλὰ τὰς ἐνεργείας τῆς λογικῆς ψυχῆς τὰς νοερὰς καὶ διανοητικὰς καὶ τὰς ὀρθὰς δόξας, ὥσπερ αὔξει τὰς τῶν ἀλόγων. διὸ καὶ ἐλέγομεν ἐκείναις εἶναι κατὰ φύσιν· ἐναντίως γὰρ ἔχετον ἥ τε λογικὴ ψυχὴ καὶ 〈ἡ〉 ἄλογος, καὶ τὸ τῇ ἑτέρᾳ κατὰ φύσιν τὴν λοιπὴν διατίθησιν παρὰ φύσιν. διὸ καὶ ὁ παντελὴς χωρισμὸς ἀπὸ τοῦ ἀλόγου τῆς λογικῆς ἀποσβέννυσιν τὴν ἐκείνου ζωήν. φθείρει δ' οὖν τι τῶν τῆς λογικῆς τὸ ἐν αὐτῇ κακόν, καὶ οὕτω πᾶν κακὸν φθαρτικὸν οὗ ἐστι κακόν, καὶ μέχρι τοσούτου φθαρτικὸν μέχρις ὅσου κακόν. Τὸ μὲν οὖν πρότερον κεφάλαιον οὑτωσὶ

διέθηκεν ὁ παρὼν λόγος· ἐκ δὲ τούτου συνήγαγεν οἷον πόρισμα τοιοῦτον, τὰς ψυχὰς μήτε πλείους γενέσθαι μήτε ἐλάσσους. εἴτε γὰρ ἐλάσσους γίνοιντο, φθαρήσεταί τις· δέδεικται δὲ ἄφθαρτος οὖσα· εἴτε πλείους γίνοιντο, ἐκ τῶν θνητῶν ἔσονται· τοῦτο δὲ ἀδύνατον, ἵνα μὴ πάντα γένηται ἀθάνατα. πᾶν δὲ τὸ γιγνόμενον ἔκ τινος γίνεται· εἰ οὖν ἐκ τοῦ θνητοῦ τις γίγνοιτο ψυχή, γενομένη δὲ ἀθάνατος εἴη, τὸ θνητὸν ἀθάνατον ἔσται ⟦ ἡ ψυχὴ ⟧ γεγονός· ἀεὶ γὰρ γινομένων τῶν ψυχῶν δαπανηθήσεται πᾶν τὸ θνητὸν εἰς τὴν τούτων ἀθανάτων οὐσῶν γένεσιν, μὴ ἀνταποδιδομένων εἰς τὴν ἐκείνου γένεσιν. λάβοις δ' ἂν ἐκ τούτων καὶ ὅτι κατ' αὐτὸν πεπέρασται τῶν ψυχῶν ὁ ἀριθμός, εἴπερ οὔτε πλείους γινόμεναι οὔτε ἐλάσσους διὰ τὴν ἀθανασίαν ἔχουσι τὸν ὅρον, ἀλλ' οὐ ⟦ διὰ ⟧ τὴν ἀπειρίαν.

in R.2.92 Τὸ δὲ δὴ δεύτερον ἀναγκαῖον ὑπέλαβεν διὰ τὴν ἄλογον ψυχήν. ἐπειδὴ γὰρ ψυχὴν καλοῦμεν τὴν πᾶσαν, ἀναγκαῖον ἦν διορίσαι ποίαν εἶναί φησιν τὴν ἀίδιον. τοῦτο οὖν ποιῶν τὴν λογικὴν μόνην διορίζεται τοιαύτην εἶναι (δηλοῖ δὲ λέγων [p. 611e], ὅτι τὴν ἀθανασίαν ἴδοις ἂν εἰς τὴν φιλοσοφίαν αὐτῆς βλέπων, καὶ οἵων ἐφάπτεται καὶ οἷς ἐστιν συγγενής), ἀλλ' οὐχὶ τὴν πᾶσαν μετὰ τῶν παθῶν. 〈διὰ〉 ταῦτα γὰρ σαφῶς τὴν θείαν ψυχὴν ἀφελὼν ἀπὸ τῆς παθητικῆς ἐν τῷ ἀθανάτῳ τίθησιν, ἅμα καὶ τὸν ἀπὸ τῆς ὁμοιότητος τῆς πρὸς τὸ θεῖον λόγον δυνάμει παραδιδούς. Τούτῳ δὲ πάλιν τῷ κεφαλαίῳ συνῆψεν ὄντι ἀναγκαίῳ τὸν περὶ τῶν μισθῶν τῶν ὑπαρχόντων ζῶσι τοῖς δικαίοις λόγον ἀντιστρόφως οἷς οἱ περὶ Γλαύκωνα κατέτειναν ὑπὲρ τοῦ ἀδίκου λόγοις. ὥστε τρόπον τινὰ καὶ τοῦτο τὸ μέσον κεφάλαιον εἶναι τετραμερές· ἑκατέρῳ γὰρ τοῖν δυοῖν συνήρτηταί τι συνεισαγόμενον τῷ προηγουμένῳ. Τρίτον δὲ ἦν τοῦ βιβλίου μέρος ὁ μῦθος· διῄρηται δὲ καὶ οὗτος εἰς τέτταρα κεφάλαια. καὶ τὸ μὲν πρῶτόν ἐστιν περὶ τῶν διαφόρων ἐν Ἅιδου λήξεων τῶν χωριζομένων ψυχῶν, ἐν ᾧ καὶ περὶ τοῦ δικαστικοῦ τόπου λέγεται καὶ περὶ αὐτῶν τῶν δικαστῶν καὶ περὶ τῆς ὑπὸ γῆς πορείας· τὸ δὲ δεύτερον περὶ τῆς τοῦ κόσμου τάξεως, ἐν ᾧ λέγεται, τίς τε ἡ τοῦ οὐρανοῦ κατασκευή, καὶ τίνες αἱ προϊστάμεναι τῆς τάξεως αὐτοῦ θεῖαι μονάδες, καὶ τίνες αἱ προσεχῶς αὐτὸν κινοῦσαι, καὶ τίνες αἱ ἐκείνων ὀπαδοὶ καὶ διαπόρθμιοι δυνάμεις· τὸ δὲ τρίτον περὶ κλήρων καὶ βίων καὶ αἱρέσεων ψυχικῶν, 〈ἐν ᾧ〉 λέγεται, πῶς αἱροῦνται, τίς ὁ δαίμων, τίς ἡ ψυχή, τίς ἡ τάξις ἡ τῶν συγκλήρων, τίνες αἱ μετατάξεις αἱ ἀπὸ ἀλόγων εἰς λογικὰ ζῷα, αἱ ἀπὸ λογικῶν εἰς ἄλογα, αἱ ἀπὸ λογικῶν εἰς λογικά, αἱ ἀπὸ ἀλόγων εἰς ἄλογα· τὸ δὲ τέταρτον καὶ τελευταῖον, πῶς αἱ ψυχαὶ κατίασιν εἰς τὰ σώματα· καὶ λέγεται καὶ ἐν τούτῳ, τίς ὁ τῆς Λήθης ποταμός, τί τὸ πεδίον τῆς Λήθης, τίνες αἱ φοραὶ τῶν ψυχῶν αἱ τοῖς διάττουσιν ὅμοιαι, πῶς εἰσδύονται εἰς τὰ σώματα, τίς ἡ βροντή, τίς ὁ σεισμός, ἃ δὴ παρακολουθεῖν φησιν ταῖς πτώσεσιν τῶν ψυχῶν.

in R.2.93 Ταῦτα δὴ ἀναγκαῖα πάντα πρὸς τὸ δεῖξαι τὴν δικαιοσύνην μεγάλα προξενοῦσαν ἀγαθὰ καὶ ἐν ταῖς λήξεσιν καὶ ἐν ταῖς δευτέραις καθόδοις εἰς τὴν γένεσιν. ὁ μὲν οὖν δικαστικὸς τόπος ἐστὶν μεταξὺ γῆς καὶ οὐρανοῦ, οὐ διότι μόνος ἐκεῖνος ἔχει δικαστάς, ἀλλ' ὅτι πανταχοῦ προσήκει τοῖς δικασταῖς τὰ μέσα, τῷ νόμῳ ἐπανισοῦσι τὰ πρῶτα καὶ τὰ ἔσχατα ἀλλήλοις· ὡς ἡ μὲν πεμπάς, οὖσα μέση τῆς ἐννεάδος καὶ μονάδος, ἱερὰ λέγεται τῆς δίκης. τὰ δὲ χάσματα τὰ διπλᾶ τὰ εἰς οὐρανὸν τείνοντα ἀπὸ τοῦδε τοῦ τόπου καὶ εἰς γῆν ἀναγωγά τε καὶ καταγωγὰ διπλᾶς ἐπ' ἄμφω τάξεις παρίστησιν, οὐρανίας καὶ χθονίας, τῇ μὲν ἀναγωγοὺς εἰς οὐρανὸν ⟦ ἂν ⟧ ἀπὸ γενέσεως καὶ προϊσταμένας ἑτέρας γενέσεως, τῇ δὲ κολαστικὰς καὶ ὑπὸ γῆς συνωθούσας τὰς ἀξίας τῆς τίσεως, τὰς δὲ χωριζούσας ἀπ' ἐκείνων τῶν τόπων καὶ εἰς γένεσιν περιαγούσας. τὰ δὲ δὴ σημεῖα τὰ περιαπτόμενα ταῖς δικασθείσαις ψυχαῖς τὰ μὲν ὄπισθεν τὴν γενεσιουργὸν ἐνδείκνυται ζωήν, τὰ δὲ ἔμπροσθεν τὴν νοεράν· διότι καὶ ἡ μὲν νόησις εἰς τὰ πρὸ αὐτῆς βλέπει, ἡ δὲ φύσις εἰς τὰ μετ' αὐτὴν ῥέπει καὶ χαίρει τοῖς ὀπισθίοις. ὁ δὲ δὴ λειμὼν αὐτὴν ἐνδείκνυται τὴν ἀκρότητα τῆς γενέσεως, εἰς ἣν αἱ ψυχαὶ συρρέουσιν ἄνωθεν καὶ κάτωθεν τῆς αἱρέσεως ἕνεκα τῶν γενέσεων.

in R.2.94

ἡ δὲ χιλιέτης ὑπὸ γῆς πορεία τὴν χθονίαν περίοδον· κύβος γὰρ ἡ χιλιὰς ἀπὸ δεκάδος καὶ διὰ τοῦτο σύνθημα χθονίας ζωῆς· τὸ δὲ μυκώμενον στόμιον τάξεως δαιμονίας διοριστικῆς τῶν τε κολαστικῶν καὶ τῶν γενεσιουργῶν περιόδων, εἰς τὴν τῆς σελήνης σειρὰν ἀνηρτημένης, ἧς καὶ ὁ μυκηθμὸς ἱερός. τὸ δὲ δὴ φῶς τὸ διῆκον δι' ὅλης τῆς οὐρανοῦ περιφορᾶς αὐτὸν δηλοῖ τὸν τόπον, εἰς ὃν ἐνήδρασται ὁ οὐρανός, ὄχημα πρῶτον ὂν τῆς οὐρανίας ζωῆς. ὁ δὲ εἷς σφόνδυλος καὶ οἱ ἑπτὰ τὴν ἀπλανῆ καὶ τὰς ἑπτὰ σημαίνουσιν σφαίρας, τὰ δὲ ἄγκιστρα τοὺς πόλους, καὶ τὸν ἄξονα ἡ ἠλακάτη· διὸ καὶ ταῦτα μὲν ἐξ ἀδάμαντος ὡς ἄτρεπτα καὶ ἀδιαίρετα, οἱ δὲ σφόνδυλοι καὶ ἐξ ἄλλων γενῶν διὰ τὴν ἐκ τῶν στοιχείων σύστασιν. ἡ δὲ αὖ Ἀνάγκη παρίστησι τὴν μίαν θεότητα τὴν προεστῶσαν τῆς εἱμαρμένης καὶ τὴν τάξιν τῶν οὐρανίων κυβερνῶσαν, αὐτὴν δηλοῦσα τὴν παρὰ τοῖς θεολόγοις Θέμιν· αἱ δὲ Μοῖραι τὰς κατανειμαμένας τὴν πρόνοιαν τῆς μητρὸς Θέμιδος, καὶ ἡ μὲν Κλωθὼ τὴν ἀπλανῆ λαχοῦσα σφαῖραν, ἡ δὲ Ἄτροπος τὴν πλανωμένην, ἡ δὲ Λάχεσις τὸν ὅλον οὐρανόν. ὁ δὲ προφήτης καὶ πᾶσα ἡ κατ' αὐτὸν σειρὰ τάξιν ἀγγελικὴν ἐμφαίνει μέσην τῆς τε Μοιραίας θεότητος καὶ τῆς δαιμονίας προνοίας, τῶν ψυχικῶν βίων προστάτιν. ὁ δὲ εἰληχὼς δαίμων ἐστὶν ὁ τῶν γενεσιουργῶν βίων ἔφορος, κυβερνῶν πᾶσαν ἡμῶν τὴν ἐν τῇ γενέσει πολιτείαν. οἱ δὲ αὖ κλῆροι σημαίνουσι τὴν κοσμικὴν τάξιν τὴν ἀφορίζουσαν ταῖς ψυχαῖς τοὺς ὀφειλομένους ἑκάστῃ κατὰ τὴν ἀξίαν βίους, ἧς ἡ τὸν ὅλον οὐρανὸν διατάττουσα Λάχεσίς ἐστιν ἡγεμών· οἱ δὲ βίοι τὰ εἴδη τῶν γενεσιουργῶν ζωῶν τῶν ἐκ τοῦ παντὸς ἀπονεμομένων ταῖς κατιούσαις ψυχαῖς, πλειόνων ἢ ἐλασσόνων· αἱ δὲ αἱρέσεις προβολὰς λόγων κατὰ τὴν αὐτενέργητον τῶν ψυχῶν δύναμιν ἐναρμοζομένων τῇ τάξει τοῦ παντός· αἱ δὲ εἰς διάφορα ζῷα μετατάξεις ἀμείνω καὶ χείρω τῆς ζωῆς ποικίλας διεξόδους κατὰ τὰς διαφόρους δυνάμεις λογικὰς ἢ ἀλόγους, τῶν ὁμοίων ἀεὶ πρὸς τὰ ὅμοια φερομένων κατὰ τὴν ἐν τῷ κόσμῳ δίκην.

in R.2.95 τὸ δὲ τῆς Λήθης πεδίον πᾶσαν δηλοῖ τὴν γένεσιν, ἐν ᾗ καὶ δαίμονές εἰσι γενεσιουργοὶ καὶ ἡ ἄλογος ζωὴ συνδεῖται ταῖς ψυχαῖς· ὁ δὲ τῆς Λήθης ποταμὸς πᾶσαν τὴν ῥύσιν τῶν ἐνύλων καὶ τὸ ῥόθιον κύτος ἡμῶ ν , ἀεὶ λήθης ἀναπιμπλὰς τὰς ψυχὰς τῶν ἀεὶ ἑστώτων λόγων· ἡ δὲ βροντὴ καὶ ὁ σεισμὸς τὰς Διὸς ἅμα καὶ Ποσειδῶνος ἄνωθέν τε καὶ κάτωθεν περὶ τὴν γένεσιν δημιουργίας· ἡ δὲ ἐν νυκτὶ πτῶσις τὴν εἰς τὸ σκοτῶδες καὶ ἀφεγγὲς περιάγουσαν κατάταξιν· αἱ δὲ τοῖς διάττουσιν ἐοικυῖαι φοραὶ τὰς τῶν ὀχημάτων τῶν ψυχικῶν γενεσιουργοὺς φοράς, ἃ καὶ διὰ τοῦτο ἀφωμοίωται διάττουσιν ὡς ὁμοιότητά τινα φερόμενα πρὸς τὰ τῶν ἄστρων ὀχήματα. καὶ τέλος 〈ὁ〉 ὕπνος αὐτὴν ἐνδείκνυται τὴν πάρεσιν καὶ τὴν ἀργίαν τῆς νοερᾶς τῶν ψυχῶν ζωῆς ἀπ' ἐναντίας ἔχουσαν πρὸς τὴν ἄγρυπνον τοῦ νοῦ θεωρίαν. Τοσαῦτα καὶ περὶ τῶν ἐν τῷ μύθῳ σπέρματα νοημάτων ἀναγεγράφθω προκείμενα τοῖς ἐξεργάζεσθαι βουλομένοις τε καὶ δυναμένοις ἀνελίττειν. ΕΙΣ ΤΟΝ ΕΝ ΠΟΛΙΤΕΙΑΙ ΜΥΘΟΝ.

in R.2.96.(1) Τὸν ἐν Πολιτείᾳ τοῦ Ἠρὸς μῦθον, ὦ φίλε Μαρῖνε, τρίτον ἤδη τοῦτον, ὃν Ἀρμενίου μὲν εἶναί φησιν ὁ Σωκράτης, Πάμφυλον δὲ τὸ γένος, ἐξηγεῖσθαι προθέμενος πρῶτον ἡγοῦμαι χρῆναι τόν τε σκοπὸν διελθεῖν τοῦ παντὸς λόγου καὶ τὴν ἐν βραχυτάτοις κεφαλαίοις τομήν, ἔπειθ' ὅσα προσφέρουσιν αὐτῷ τινες ἐγκλήματα καὶ τὴν ὑπὲρ ἑκάστων ἀπολογίαν, ἣν οἰόμεθα τῷ τε Πλάτωνι καὶ τοῖς πράγμασιν, ὧν προηγουμένην δεῖ ποιεῖσθαι τὴν θεωρίαν, εἶναι συμβαίνουσαν· καὶ μάλισθ' ὅτι πολλοὶ τῆς περὶ αὐτὸν ἐφήψαντο κατανοήσεως καὶ τῶν Πλατωνικῶν οἱ κορυφαῖοι, Νουμήνιο ς , Ἀλβῖνο ς , Γάιο ς , Μάξιμος ὁ Νικαεύ ς , Ἀρποκρατίω ν , Εὐκλείδη ς , καὶ ἐπὶ πᾶσιν Πορφύριο ς , ὃν ἐγὼ πάντων μάλιστα τῶν ἐν τῷ μύθῳ κεκρυμμένων γενέσθαι φημὶ τέλεον ἐξηγητήν. τὸ γὰρ ἐφ' ἑκάστου τά τε τῇ Πλατωνικῇ μούσῃ σύμφωνα καὶ τοῖς ἀνελέγκτοις τῆς ἐπιστήμης λόγοις ἀνευρεῖν μέγας εἶναί μοι φαίνεται καὶ οὐχ ὁ τυχὼν ἀγών· καὶ εἴ τι καὶ αὐτοὶ συνεξευπορῆσαι δυναίμεθα τοιούτοις οὖσι καὶ τοσούτοις τοῖς ἔμπροσθεν, ἔτι μείζονος ἐμοὶ δοκεῖ δεῖσθαι καὶ θεῶν ὄντως ἡγεμόνων δεομένης περιωπῆς.

Ἀρχώμεθα δ' οὖν ἐντεῦθεν, ὅθεν καὶ προσήκειν ἡγούμεθα τὸν περὶ τῶν τοιῶνδε λόγων πραγματευόμενον, καὶ λέγωμεν τίς ἡ τοῦδε τοῦ μύθου πρόθεσις, ἣν προστησάμενος ὁ Σωκράτης πάντα συνείρει πρὸς αὐτήν, καὶ δι' ἣν αἰτίαν μόνον τὸν μῦθον τοῦτον εἰς μερικὴν ἀνέπεμψεν ἱστορίαν καί τινα ψυχὴν ἐκ τῆς ὑπερορίας, ἄγγελον τῶν ἐν Ἅιδου καὶ τῶν ἔξω σώματος παθημάτων ὧν ὑπομένουσιν αἱ ψυχαὶ ποικίλων γενομένην, ψυχὴν τὰ ψυχῶν ἱστορήσασαν, ἔπειτα τοῖς ζῶσιν ἔτι τὸν τῇδε βίον ἀπαγγείλασαν ὑποστησάμενος.

in R.2.97 Τίς ἡ πρόθεσις τοῦ μύθου παντό ς . Τὴν μὲν οὖν πρόθεσιν οὐ πολλοῦ δεήσεσθαι λόγου νομίζω τὴν πρώτην ἡμῖν, σαφῶς καὶ αὐτοῦ τοῦ Σωκράτους εἰς τὴν σύμπασαν τῆς δικαιοσύνης θεωρίαν αὐτὴν ἀναπέμποντος, καὶ οὓς καρποῦται μισθοὺς παρὰ τῶν κρειττόνων ὁ τὴν ἐν αὐτῷ πολιτείαν κατακοσμήσας διὰ τῆς ἀρετῆς συμπάσης καὶ τῆς δικαιοσύνης διαφερόντως, ὥσπερ δὴ καὶ τὰς ἐναντίας τοῖς καρποῖς τούτοις τιμωρίας, ὅσας ὑπομένειν ἀνάγκη τὸν τὴν ἐναντίαν ἕξιν τὴν ἄδικον ἐν τῇ ψυχῇ κεκτημένον. Ἀλλὰ πρὸς μὲν τοῦτον τὸν σκοπὸν βραχύτατα τῶν ἐν τῷ μύθῳ πάντως ἂν ἐξήρκεσεν, ὅσα κατατείνει περὶ τῶν ἐν Ἅιδου λήξεων περί τε τὸ στόμιον τὸ μυκώμενον καὶ τὰ τραγικὰ περὶ τὸν Ἀρδιαῖον δράματα διατρίβων καὶ τὰς ἐπικαρπίας τῶν ὁσίως βεβιωκότων· τί δὲ ἡμῖν αἱ περιφοραὶ τῷ μύθῳ βούλονται τῶν οὐρανίων καὶ ἡ τῆς Ἀνάγκης βασιλεία καὶ αἱ τρεῖς Μοῖραι καὶ οἱ κλῆροι καὶ οἱ βίοι καὶ αἱ τῶν καθόδων τῶν ψυχικῶν παντοδαπαὶ διαφορότητες ἀλόγων λογικῶν, ἄμικτοι μεμιγμέναι; πάντα γὰρ ταῦτα μίαν ἁρμονίαν ἐκπληροῦν δεῖ τῆς μυθολογίας ἢ μάτην αὐτὰ προσερραψῳδῆσθαι τῷ Σωκράτει, τοῦτο δὴ τὸ πάντων ὡς εἰπεῖν ἀτοπώτατον.

in R.2.98 Μήποτ' οὖν ἐπειδὴ τῆς δικαιοσύνης ἕνεκα τὸν περὶ τῆς ἀρίστης πολιτείας ἡμῖν ἐν τῇδε τῇ πραγματείᾳ συμπάσῃ λόγον διεπεράνατο, καὶ ἔτι ταύτης ἕνεκα καὶ τὰς παντοίας πολιτείας διηρευνήσατο τῶν ἐν γενέσει ψυχῶν, ἀντίστροφα καὶ περὶ τῶν ἐκτὸς τοῦ σώματος ἐν τῷδε τῷ μύθῳ διελθεῖν προθέμενος οὐ τοὺς μισθοὺς μόνον τοὺς ἐν ταῖς λήξεσιν ἡμᾶς ἀνεδίδαξεν, ἀλλὰ καὶ τὴν ἐν οὐρανῷ πᾶσαν πολιτείαν παράδειγμα τῆς ἀρίστης οὖσαν, ὡς καὶ τοῦτο προείρηκεν ὁ Σωκράτης [IX p. 592b] ἐν οὐρανῷ λέγων αὐτὴν εἶναι, κἂν ἐν ἀνθρώποις ἀνυπόστατος ᾖ, καὶ τὰς ἐν τῷ ὑπὸ σελήνην τόπῳ τῶν ψυχῶν φοράς καὶ αἱρέσεις καὶ ἐπαλλάξεις τῶν βίων, ἀφ' ὧν καὶ αἱ μετὰ σωμάτων πολιτεῖαι ποικίλαι φύονται διῃρημέναι τοῖς ἀλόγοις εἴδεσιν τῆς ζωῆς. ὥστ' εἶναι τὸν πάντα σκοπὸν ἀπὸ τῶν περὶ δικαιοσύνης ὁρμηθέντα λόγων κἀνταῦθα περὶ πάσης τῆς κοσμικῆς πολιτείας, ἣν ἐν μύθου σχήματι Πλάτων ἐκφαίνει τῶν τε οὐρανίων καὶ τῶν ὑπὸ τὸν οὐρανὸν τὴν τάξιν. Καὶ πανταχοῦ μὲν ὁ τῆς δικαιοσύνης πρὸς τὴν ἀδικίαν λόγος γίνεται καταφανής, μειζόνως δὲ ἀπὸ τῆς ἐν τῷ κόσμῳ πολιτείας· ἐν ᾗ θεοὶ μέν εἰσι φύλακες ὡς ἀληθῶς καὶ ἄρχοντες τῶν κοσμικῶν νόμων, οὓς ἥ τε Ἀνάγκη καὶ αἱ ταύτης παῖδες εἰς τὸ πᾶν διαθεσμοθετοῦσιν· δαίμονες δὲ οἱ ἐπιτεταγμένοι ταῖς ψυχαῖς καὶ οἱ προφῆται τῶν μοιραίων κανόνων τὴν ἐπικούρων εἰλήχασι τάξιν, οἳ μὲν πρὸ τῆς γενέσεως ἀφορίζοντες τὰ μέτρα τῶν κλήρων αὐταῖς, οἳ δὲ τοὺς γενεσιουργοὺς βίους κυβερνῶντες· ψυχαὶ δὲ ἐφήμεροι, φησὶν ὁ προφήτης [p. 617d], εἰς τὸ θητῶν συντελοῦσαι γένος ἀνάλογον τοῖς θησὶν ὑπηρετοῦσι ταῖς ἐσχάταις τῶν κρειττόνων προνοίαις, [ἃς] καὶ οἱ θεοί φασιν τὴν γένεσιν ἐπιστρεφομένας θητεύει ν , ἀλ λ ' ἀδαμάστῳ τῷ αὐχένι θητευούσας ἀνάγεσθαι πάλιν ἐντεῦθεν καταλιπούσας τὴν γένεσιν, παραδείγματα γιγνομένας τῶν ἐκ τοῦ θητικοῦ γένους εἰς τοὺς ἐπικούρους ἀναπεμπομένων καὶ τοὺς ἄρχοντας, ὅταν ὑπόχρυσοι γένωνται τὴν φύσιν· ὥσπερ ἔμπαλιν ἄνωθεν εἰς τὸν τῶν θητῶν χωροῦσι κλῆρον αἱ τὸν ὅλον κόσμον συνδιοικοῦσαι ψυχαὶ τοῖς θεοῖς, ἡνίκ' ἂν ὦσιν ἐπτερωμέναι, τὴν ἑαυτῶν ⟦ ἢ ⟧ ἀδρανῆ ποιήσασαι ζωὴν καὶ τὸν τόνον ἐκλύσασαι τῆς μετεωροπορίας.

in R.2.99 Ταῦτα δ' οὖν πάντα σαφῶς οἶμαι παρίστησιν ὑπὸ τοῦδε τοῦ μύθου λεγόμενα τὸ παράδειγμα τῆς Σωκρατικῆς πολιτείας ἐν τῷ κόσμῳ, δεικνύντα τοὺς φύλακας, τοὺς ἐπικούρους, τοὺς θῆτας

τοὺς θεούς, τοὺς δαίμονας, τὰς ψυχάς· καὶ οὐ μόνον τοὺς τῆς δικαιοσύνης καὶ ἀδικίας ἀναδιδάσκει μισθοὺς οἵτινές εἰσιν ἀπελθούσαις ἐνθένδε ταῖς ψυχαῖς, ἀλλὰ καὶ τῆς πολιτείας ὅλης τὸ εἶδος ἐν τῷ παντὶ προϋπάρχον ἀποφαίνει καὶ τοῖς ἐν τῷ παντὶ γένεσιν πρώτοις μέσοις τελευταίοις· ἵνα μὴ μόνον πολιτικῶς ὁμοῦ τῇ δικαιοσύνῃ καὶ ὁ περὶ τῆς ἀρίστης πολιτείας συνεξετάζηται λόγος καὶ διὰ ταύτης ἐκείνη γίγνηται καταφανής, ἀλλὰ καὶ τὸν θεωρητικώτερον τρόπον καὶ μυθικῶς, μᾶλλον δὲ μυστικῶς, εἰς τὸ πᾶν ἡμῶν ἀνατεινομένων τὰ αὐτὰ μειζόνως ἀναφαίνηται· τῆς μὲν προνοίας κάνταῦθα τὴν δικαιοσύνην διοριζούσης ἀπὸ τῆς ἀδικίας διὰ τῆς τῶν ὀφειλομένων καθ' ἑκατέραν ἀποδόσεως καὶ τῶν δικαστῶν μέτρα τὰ προσήκοντα νεμόντων ἀμφοῖν οὐράνια καὶ χθόνια, τὰ μὲν εὐπαθείας τὰ δὲ τλεπαθείας, τῆς δὲ ὅλης τοῦ κόσμου πολιτείας σαφεστέραν καὶ τὴν τῶν δικαστῶν ἡμῖν ποιούσης ἐνέργειαν· διὰ γὰρ ἐκείνην καὶ οὗτοι τὸν ὅρον ἀκλινῆ τῆς προνοίας ἐν ταῖς ἑαυτῶν προΐστανται κρίσεσιν, ἑπόμενοι τοῖς τε οὐρανίοις ἡγεμόσιν καὶ ταῖς ἐφεστώσαις τῷ οὐρανῷ πάσαις ἀρχαῖς, ἃς ἀποδρᾶναι τῶν ἐν τῷ κόσμῳ πάντων οὐδενὶ δυνατόν.

in R.2.100 Καὶ εἴπερ ὄντως ἐθέλοις ἰδεῖν τὸ πλέγμα τῆς μιᾶς τοῦ παντὸς τοῦδε πολιτείας καὶ τῶν νόμων τῶν ἐν αὐτῇ καὶ τῶν ἀρχόντων, ἴδε πρῶτον μέν, ὡς ἔφαμεν, τὰς ὑπερκοσμίους τῆς τάξεως αἰτίας πάσης τήν τε μονάδα καὶ τὴν τριάδα· τὰς Μοίρας λέγω καὶ τὴν Ἀνάγκην, ἀφ' ὧν οἱ νόμοι πάντες οἱ κοσμικοί. Δεύτερον δὲ τὰς τὴν ἁρμονίαν συνεχούσας τοῦ παντὸς Σειρῆνας, ἵνα κἀνταῦθα διὰ μουσικῆς ἡ πολιτεία συνεστῶσα φαίνηται καὶ ταύτης ἀεὶ μενούσης μένῃ καὶ ἡ τάξις· ἧς μὴ μενούσης ἐλύετο τῆς πολιτείας τὸ εἶδος, ὡς αἱ Μοῦσαι λέγουσιν [VIII p. 546d]. Τρίτον δὲ αὐτοὺς τοὺς θεοὺς τοὺς οὐρανίους, φύλακας ὡς ἀληθῶς ὄντας ἐγκοσμίους τῶν παντοίων ἐν τῷ κόσμῳ νόμων ὁλικῶν τε καὶ μερικῶν. Τέταρτον δὲ τοὺς ἐπὶ ταῖς ψυχαῖς τεταγμένους ἄρχοντας εἴτε ἀγγέλους εἴτε δαίμονας τῶν βίων ἡγεμόνας, τὴν ἀπὸ τῆς αὐτεξουσίου φορᾶς ἀστάθμητον αὐτῶν κίνησιν τάττοντας καὶ οὐκ ἐῶντας παρεκβαίνειν τοὺς ὅρους τῆς προνοίας ἢ τῆς δίκης. Πέμπτον τοὺς δικαστὰς τῶν εὖ ἢ κακῶς βιούντων, τοὺς ἀποφοιτῶντας ἀπὸ τῶν νόμων ἐπιστρέφοντας αὖθις εἰς τὴν ὅλην τάξιν καὶ τοὺς ἐκείνης ἐξεχομένους διὰ τῶν τιμῶν ἀκλινῶς αὐτῆς ἔχεσθαι παρασκευάζοντας. Ἕκτῃ δ ' ἐν γενε ῇ , φησὶν Ὀρφεύ ς , τοὺς δημίους τοὺς κοσμικούς, οἳ τοὺς τυραννικῶς βεβιωκότας ἄγριοί τινες ὄντες καὶ ἀπαραίτητοι κολάζουσιν διαλαμβάνοντες· οἷς ὑπέστρωται τὰ τῆς τίσεως δεσμωτήρια καὶ τὸ ἔσχατον καὶ φρικωδέστατον τῶν ψυχῶν οἰκητήριον καὶ κολαστήριον ὁ Τάρταρος. Ταύτην δὲ πᾶσαν τὴν σύνταξιν νοήσας ὄψει πῶς οὐδὲν διαφυγεῖν δυνατὸν τὴν ὅλην πρόνοιαν τῶν θεῶν, καὶ ἰδὼν τὸ παράδειγμα τῆς Σωκρατικῆς πολιτείας οὐράνιον ὑπάρχον εὑρήσεις καὶ τοῦτο εὑρὼν τὸν σκοπὸν τῆς μυθολογίας ταύτης καταδήσει τὸν τελεώτατον.

in R.2.101 καὶ πῶς γὰρ ἦν δυνατὸν τοὺς μισθοὺς ἀναδιδάξαι τῶν δικαίων καὶ ἀδίκων, οὓς ἐν τῷ παντὶ κομίζονται, μὴ ἐνδειξάμενον ὅτι τέτακται τὸ πᾶν καὶ ὡς ἄρχοντές εἰσιν προτεταγμένοι τῶν ὅλων καὶ μία πρόνοια διήκει κοσμοῦσα τὰ μέρη; ταύτην οὖν ὁ μῦθος ἡμῖν ἐκφαίνων καὶ τοὺς περὶ τῶν περιφορῶν λόγους καὶ τοὺς περὶ τῆς τάξεως ὅλης παρεισεκύκλησεν· ἢ οὐκ ἂν οὐδ' οἱ μισθοὶ τῶν δικαίων καὶ τῶν ἀδίκων ἦσαν εὐπαράδεκτοι τοῖς ἀκούουσιν. Πόσα δεῖ προληφθῆναι τῶν ψυχικῶν κρίσεω ν . Καὶ εἴ με δεῖ τοὐμὸν εἰπεῖν, ἡγοῦμαι τῶν μισθῶν τούτων οὐκ ἄλλως δειχθῆναι δυναμένων ἢ δυεῖν τούτοιν προαποδειχθέντοιν, ἑνὸς μὲν τοῦ χωριστὰς εἶναι σωμάτων τὰς ψυχάς, ἵνα οὖσαι κομίσωνται μισθοὺς ὧν ἐν σώμασιν οὖσαι ἐν σώμασιν ἔπραξαν (μὴ οὔσας γὰρ ἀδύνατον), ἑτέρου δὲ τοῦ πρόνοιαν εἶναι (μὴ γὰρ οὖσαν τὴν ἀξίαν ὁρίζειν τοῖς βίοις ἀμήχανον· ἀλλ' ὥσπερ εἶναι δεῖ τὸ λαμβάνον τοὺς μισθούς, τὰς ψυχάς, οὕτως εἶναι δεῖ καὶ τὸ διδόν, τὴν πρόνοιαν καὶ τοὺς ἐν τῷ παντὶ νόμουσ)—τούτοιν δ' οὖν ἀμφοῖν ἀναγκαίοιν ὄντοιν ἐν τοῖς ὑπὲρ τῶν μισθῶν λόγοις, ἐπειδὴ θάτερον αὐτῶν προκαταβέβληται δι' ἀποδείξεων ἀνελέγκτων, χωριστὰς εἶναι τὰς ψυχὰς σωμάτων μὴ

φθειρομένας ὑπὸ τῆς σφῶν αὐτῶν πονηρίας τῆς ἐσχάτης, ἔδει τὸ λοιπὸν ὑπομνήσεως ἀξιώσαντα καταδήσασθαι δι' ἀμφοῖν οὓς ἀναδιδάξαι προὔθετο τῶν δικαίων καὶ ἀδίκων μισθούς. Τοῦτο δὴ οὖν καὶ αὐτὸς ἐργαζόμενος, ὡς ἐμοὶ δοκεῖ, καὶ τὸν περὶ τῶν κύκλων λόγον εἰς μέσον παρήγαγεν καὶ τὸν περὶ τῶν μοιρῶν· ἵνα δὴ γνώριμον γένηται, καὶ ὅτι τέτακται τὸ πᾶν καὶ ὅτι προϋπάρχει τὰ τάττοντα τῶν ταττομένων.

in R.2.102 εἰ γάρ ἐστι τάξις ἐν τῷ κόσμῳ μία καὶ πρόνοια τῆς τάξεώς ἐστι ⟦ καὶ ⟧ ταύτης καὶ οὐδὲν ταύτης ἔξω γενέσθαι θεμιτὸν τῶν τελούντων εἰς τὸ πᾶν, ἔστι δήπου καὶ εἰς τὰς ψυχάς τις ἀπὸ ταύτης καθήκουσα διανομὴ τοῦ κατ' ἀξίαν. ἐν παντὶ γὰρ ζῴῳ κατὰ φύσιν διακειμένῳ τὰ μέρη βλέπει πρὸς τὸ ὅλον καὶ ἐκεῖ τάττεται ἕκαστον, οὗ ταχθὲν οὐ σαλεύσει τὴν τοῦ ὅλου τάξιν. Οἱ μὲν οὖν τῷ αὐτομάτῳ καὶ τῇ τύχῃ τὸ πᾶν ἐπιτρέψαντες οὐδὲν γίνεσθαί φασιν κατὰ πρόνοιαν καὶ δίκην, νοῦν δὲ καὶ λόγον ὕστερα ποιοῦσιν τοῦ αὐτομάτου καὶ γεννῶσιν ἀπὸ τῶν χειρόνων τὰ ἀμείνονα καὶ ἐκ τῶν ἀλόγως κινουμένων τὰ κατὰ λόγον ζῶντα· τοῖς δὲ εἰς τὴν τάξιν βλέπουσιν, ἣν ἔχουσιν αἱ τοῦ οὐρανοῦ περίοδοι, ταύτας μὲν εἰς νοερὰς εἰκότως ἐδόκει καὶ θείας ἀνάγειν αἰτίας, ταύταις δὲ ἑπόμενα πάντα ποιεῖν τὰ ἐντὸς οὐρανοῦ, καὶ ταῖς κυριωτέραις κινήσεσιν ἀκολουθούσας τὰς ἀκυροτέρας (ἐπεὶ καὶ ἐν πᾶσι ζῴοις τοῖς κυριωτέροις ἕπεται μορίοις τὰ ἀκυρότερα), καὶ οὕτω δὴ τὸ πᾶν εὐνομούμενον δεικνύναι, πάντων ἐκ θεῶν ἀνηρτημένων τῶν οὐρανίων. εἰ ἄρα ἔδει τοὺς μισθοὺς ἀναγκαίους ἀποδεῖξαι τῶν ψυχῶν, ἔδει καὶ τοὺς περὶ τῆς κοσμικῆς τάξεως λόγους αὐτὸν μὴ παρελθεῖν, ἀλλ' ὑπομνῆσαι καὶ περὶ ταύτης, ὡς ἦν τοῖς προκειμένοις συμβαῖνον· καί μοι δοκεῖ διὰ ταῦτα καὶ ὃ μηδεὶς ἔχει τῶν μύθων παρ' αὐτῷ, καὶ ἐπὶ τῶν καθ' ἕκαστα ποιεῖσθαι τὴν ἀφήγησιν, οὐκ ἀρκούμενος τοῖς κοινοῖς περὶ τῶν ψυχῶν λόγοις. ἐν μὲν γὰρ τοῖς κολαζομένοις ὁ Ἀρδιαῖος παρείληπται, τῶν τις τυραννικῶς βεβιωκότων, ἐν δὲ ταῖς αἱρέσεσι τῶν ψυχῶν οἱ Ὀρφεῖς, οἱ Αἴαντες, οἱ Ὀδυσσεῖς· αὐτὸς δὲ ὁ τῶν πραγμάτων διδάσκαλος ὁ Ἦρ ὁ Πάμφυλος, ἵνα διὰ πάντων γένηται γνώριμον, ὅτι μέχρι τῶν ἀτομωτάτων οἱ μισθοὶ τῆς τε δικαιοσύνης εἰσὶ καὶ τῆς ἀδικίας, καὶ οὐ τὰ ὅλα προνοεῖται μόνον, ἀλλὰ καὶ τὰ καθ' ἕκαστα, θεῶν ὄντων καὶ δαιμόνων ὑπουργούντων τοῖς θεοῖς, τῶν ταττομένων μιᾷ τάξει χρωμένων ἄνωθεν ἄχρι τῶν ἐσχάτων ἀνελισσομένῃ.

in R.2.103 διά τοι ταῦτα καὶ ἐν Γοργίᾳ [p. 525d] τῶν αὐτῶν ἕνεκα, λέγω δὴ τῶν ὑπὲρ δικαιοσύνης καὶ συμπάσης ἀρετῆς ἀγώνων τὸν κατήγορον αὐτῆς ἀμυνόμενος, εἰ καὶ μὴ τὸν διηγούμενον ἐποίησεν τὸ μυθολόγημα πρόσωπον μερικὸν ἢ τοὺς κολαζομένους τῶν καθ' ἕκαστά τινας, ἀλλ' οὖν οὐ παντελῶς ἀπέσχετο τούτων, εἰς τὴν Ὁμήρου ποίησιν ἀναφέρων τῶν ἀτόμων τὴν μνήμην· ἐκεῖνον γὰρ ποιῆσαί τινας τῶν τυράννων κολαζομένους ταῖς μεγίσταις κολάσεσιν. πρέπει γάρ, οἶμαι, τοῖς ὑπὲρ δικαιοσύνης λόγοις ἡ μέχρι τῶν καθ' ἕκαστα προϊοῦσα ποίησις τῆς δίκης. ἐκεῖ μὲν οὖν, εἰ καὶ πολὺς ἦν καὶ ὁ ὑπὲρ τῆς δικαιοσύνης λόγος, ὡς ἔφην, ἀλλ' οὐ προηγουμένης ἐτύγχανε τῆς ζητήσεως· ἐν δὲ τῇ Πολιτείᾳ καὶ τῶν περὶ πολιτείας σκεμμάτων εἰς τὴν δικαιοσύνην ἀναφερομένων ἀναγκαίως δήπου καὶ τὰ μυθικὰ ταῦτα πλάσματα δι' αὐτῶν χωρεῖ τῶν καθ' ἕκαστα, τοὺς τῆς δίκης ὅρους ἐκφαίνοντα καὶ ἀπὸ τούτων ἀνελέγκτως πιεζοῦντα, καὶ ὁ ἀφηγούμενος εἷς τίς ἐστιν ἀνήρ, μετὰ τὴν ἐν πολέμῳ τριβὴν καὶ τοὺς ἄθλους, οὓς ἀθλοῦσιν αἱ ψυχαὶ τὸν ἐν τῇ γενέσει πόλεμον μεταχειριζόμεναι, πρὸς τὴν χωριστὴν ἀνηγμένος καὶ τὴν ἔξω γενέσεως ζωήν, δι' ἧς κατεῖδεν ὡς διάφορος ὢν καὶ οὐχ [ὑπὸ τῶν] ἄθλ[ων τῶν] γενεσιουργῶν [δαμείς, οἷοι οἱ πλείους] εἰσίν, οὗτος πᾶσαν τὴν τάξιν τῆς ἐν τῷ παντὶ προνοίας ἀναπόδραστον οὖσαν καὶ μέχρι τῶν ἀτομωτάτων διατείνουσαν καὶ ἐξέφηνεν ταῖς συγγενέσι τῶν τοιῶνδε λόγων ψυχαῖς.

in R.2.104 τοῦτο μὲν οὖν ἑπόμενόν ἐστιν, ὥσπερ εἴρηταί μοι, τοῖς περὶ τῶν μισθῶν τῆς τε δικαιοσύνης καὶ τῆς ἀδικίας θεάμασιν. Ἡ δὲ δὴ τῶν κεφαλαίων τάξις ἄρχεται μὲν ἀπὸ τῶν λήξεων τῶν ψυχικῶν, τελευτᾷ δὲ εἰς τὰς καθόδους αὐτῶν τὰς εἰς τὴν γένεσιν, μέσην δὲ αὐτὴν

παρεισκυκλεῖ τὴν περὶ τῶν ὅλων θεωρίαν, ἀφ' ὧν καὶ εἰς τὰς ψυχὰς ἡ διακόσμησις χωρεῖ τάς τε τῶν λήξεων τυγχανούσας τῶν ὀφειλομένων καὶ τὰς εἰς τὰ σώματα φερομένας. καθ' ἑκάτερον δὲ τῶν ἄκρων τοῖς κεφαλαίοις τὰ μὲν ἄρχοντα παραλαμβάνειν ἔοικεν ὁ λόγος τὰ δὲ ἀρχόμενα, καὶ τῶν ἀρχόντων τὰ μὲν ἐξῃρημένην ἔχοντα τὴν ἐπιτροπείαν τὰ δὲ πρὸς τὰ ἀρχόμενα συντεταγμένην, καὶ τῶν ἀρχομένων ὡσαύτως τὰ μὲν τῆς καλλίονος ὄντα μερίδος τὰ δὲ τῆς χείρονος καὶ ἀλογωτέρας. καὶ γὰρ ἐπὶ τῶν λήξεων οἱ μὲν δικασταὶ τὴν ὁλικωτέραν προβέβληνται πρόνοιαν τῶν ψυχῶν, οἱ δὲ ὑπηρετοῦντες αὐτοῖς δαίμονες τὴν μερικωτέραν (ὧν εἰσιν καὶ οἱ διάπυροι καὶ ἐπὶ τῶν ἀσπαλάθων κνάμπτοντες τὸν Ἀρδιαῖον)· καὶ ἐπὶ τῶν καθόδων αἱ μὲν Μοῖραι τῶν κατιουσῶν εἰσιν ἐξῃρημέναι ψυχῶν, οἱ δὲ εἰληχότες αὐτὰς δαίμονες σύνταξιν ἔχουσι πρὸς αὐτὰς κατὰ τὰς τῶν βίων διαφοράς. καὶ αὖ πάλιν ἐν μὲν ταῖς λήξεσιν ἀμείνους ..... τὰς εἰς οὐρανὸν ..... τῶν ἐπὶ γῆς διαβιω ..... πέμπεσθαι ..... τὰς ψυχὰς ὧν τὸ μέσον, οἳ ..... διειλήφασιν· ἐν δὲ ταῖς καθόδοις τῶν ψυχῶν εἰς τὰς τῶν λογικῶν ζῴων γενέσεις καὶ εἰς τὰς τῶν ἀλόγων ὡς εἰς μεγάλα μέρη ποιήσασθαι τὴν διαίρεσιν.

in R.2.105 τούτων δὲ ἑφ' ἑκάτερα τῶν λόγων τεταγμένων ἡ περὶ τῆς κοσμικῆς τάξεως θεωρία τὴν μέσην ἀπείληφε χώραν, εἰς ἣν ἀπὸ τῶν λήξεων ἐπάνεισιν ὁ μῦθος καὶ ἀφ' ἧς εἰς τὰς γενέσεις κάτεισιν τῶν ζῴων καὶ τὰς τῶν ψυχῶν διαιρέσεις. αἱ γὰρ Μοῖραι τούτων ἀμφοτέρων εἰσὶν συναγωγοί, καὶ ταῖς λήξεσι τὰ προσήκοντα μέτρα καὶ ταῖς καθόδοις ἀπομερίζουσαι· διὸ καὶ πᾶσα κάθοδος τῆς μοιραίας δεῖται ποιήσεως καὶ πᾶσα λῆξις χείρων τε καὶ βελτίων. μέρη γάρ ἐσμεν τοῦ παντὸς καὶ ἡμεῖς· ἀνιόντες οὖν καὶ κατιόντες δεόμεθα τῶν Μοιρῶν, εἰ καὶ ὁτὲ μὲν αὐτῶν μετέχομεν κατὰ τὰς ἀσωμάτους ἡμῶν ζωὰς θειότερον τρόπον ὁτὲ δὲ κατὰ τὰς σωματικὰς δαιμονιώτερον, καὶ ὁτὲ μὲν ὡς θεῶν (ἵνα τὸ δοκοῦν εἴπω σαφῶς) ὁτὲ δὲ ὡς τὴν εἱμαρμένην εἰληχυιῶν. αὗται δ' οὖν καὶ τῶν ταῖς οὐρανίαις περιόδοις ἑπομένων ψυχῶν τὰς περιόδους καὶ τῶν τὰς χθονίας ἀνελιττουσῶν ἀφορίζουσιν. ἀλλὰ ταῦτα μὲν καὶ εἰς ὕστερον· τῶν δὲ κεφαλαίων ταύτῃ διῃρημένων καὶ τῆς πάσης ἡμῖν ἐκπεφασμένης τοῦδε τοῦ μύθου προθέσεως· κατίδωμεν ἐκεῖνα λοιπόν, ὅσα τινὲς ὀχλεῖν εἰωθότες τὴν τοῦ Πλάτωνος φιλοσοφίαν ὑποκρούειν εἰώθασιν περὶ τῶν ἐν τῷ μύθῳ ἐξηγήσεων. Ὁ μὲν Ἐπικούρειος Κωλώτης ἐγκαλεῖ τῷ Πλάτωνι, ὅτι τὴν ἀλήθειαν ἀφεὶς τὴν ἐπιστημονικὴν περὶ τὸ ψεῦδος διατρίβει μυθολογῶν ὡς ποιητής, ἀλλ' οὐκ ἀποδεικνὺς ὡς ἐπιστήμων· καὶ ὅτι πρὸς ἑαυτὸν μαχομένως ἐν μέν γε προοιμίοις τῆσδε τῆς πραγματείας ἐλοιδόρησε τοὺς ποιητὰς ὡς περὶ τῶν ἐν Ἅιδου φρικτὰ ⟦ τοῖς ἀκούουσιν ⟧ πλάσαντας καὶ θανάτου φόβον ἐντεκόντας τοῖς ἀκούουσιν [p.

in R.2.106 605d], ἐπὶ τέλει δὲ καὶ αὐτὸς μεθήρμοσεν τὴν φιλόσοφον μοῦσαν εἰς τραγικὴν τῶν ἐν Ἅιδου πραγμάτων μυθολογίαν· τὸ γὰρ στόμιον τὸ μυκώμενον ἐκεῖ καὶ οἱ διάπυροι ἄγριοι τοῦ τυράννου δήμιοι καὶ ὁ Τάρταρος καὶ ὅσα τοιαῦτα τίνα, φησίν, τραγῳδιοποιοῖς ἀπολέλοιπεν ὑπερβολήν; καὶ τὸ τρίτον, ὅτι τοὺς τοιούσδε μύθους πολὺ τὸ μάταιον ἔχειν ἀναγκαῖον· τοῖς μὲν γὰρ πολλοῖς οὐδὲ συνεῖναι δυναμένοις αὐτῶν εἰσιν ἀσύμμετροι, τοῖς δὲ σοφοῖς οὐ δεομένοις ἀμείνοσιν ἐκ τῶν τοιῶνδε γίνεσθαι δειμάτων περιττοί· πρὸς τίνας οὖν γράφονται, παρ' αὐτῶν εἰπεῖν οὐκ ἔχοντες μάταιον ἀποφαίνουσιν τὴν περὶ τὰς μυθολογίας ἑαυτῶν σπουδήν. Ἡμεῖς δὲ πρὸς τοὺς τοιούσδε λόγους οὐχ ὅσα μόνον ὁ φιλοσοφώτατος κατέτεινεν Πορφύριος ἔχοιμεν ἂν ἀπαντῶντες λέγειν· οἷον ὅτι ταῖς περὶ τῆς ἀθανασίας τῶν ψυχῶν ἀποδείξεσιν καὶ περὶ τῆς ἐν Ἅιδου διατριβῆς αὐτῶν ἔπεται τὸν φιλόσοφον λέγειν καὶ περὶ τῶν τόπων τῶν διαφόρων καὶ περὶ τῶν ἐν τούτοις λήξεων, κατὰ τὰ εἴδη τῆς ζωῆς παντοδαπῶν ὄντων τῶν παρεπομένων, ἃ δὴ προσίεσθαι πάντως ἀναγκαῖον τοῖς παραδεξαμένοις ἀθανάτους εἶναι τὰς ψυχάς, ὡς μαντικὴν διδόναι τοῖς τὴν πρόνοιαν εἶναι θεμένοις ἀκόλουθον· καὶ ὅτι Πλάτων οὐ πᾶσαν ἐκποδὼν ἐποίησεν μυθολογίαν, ἀλλὰ τὴν διὰ τῶν αἰσχρῶν καὶ ἀθέσμων πλασμάτων χωροῦσαν, οἵαν Ὅμηρός τε καὶ Ἡσίοδος ἐγραψάτην, καὶ οὐδὲ τὰ δείματα ταῦτα 〈τὰ〉 ἐν

Ἅιδου γυμνὰ τέθεικεν, τὰς ψυχὰς δεδιττόμενος καὶ πρὸς θάνατον περιφόβους ἀποτελῶν, ἀλλὰ τοῖς ἀδίκοις αὐτὰ προτείνων πρὸς τὴν ἀδικίαν ἀπεργάζεται τοὺς ἀκούοντας εὐλαβεῖς, μονονουχὶ συνημμένον πλέκων ‘εἰ τὸ ἀδικεῖν ὑμῖν αἱρετόν, τὰ φρικωδέστατα τῶν κολαστηρίων ὑμῖν ἐστιν αἱρετά· ταῦτα δὲ φεύγετε παντὶ σθένει· φευκτέον ἄρα ὑμῖν καὶ τὴν ἀδικίαν‘· καὶ ὅτι τὸ πλασματῶδες τοῦτο κατὰ φύσιν πώς ἐστιν, διότι καὶ ἡ φύσις κρύπτεσθαι φιλεῖ καθ’ Ἡράκλειτον · καὶ ὡς οἱ δαίμονες οἱ προστάται τῆς φύσεως διὰ δή τινων τοιούτων πλασμάτων ἡμῖν ἐκφαίνουσιν τὴν ἑαυτῶν δόσιν ὄναρ τε καὶ ὕπαρ, λοξὰ φθεγγόμενοι, δι’ ἄλλων ἄλλα σημαίνοντες μεμορφωμένα τῶν ἀμορφώτων ἀφομοιώματα καὶ διὰ τῶν ἀνὰ λόγον ἄλλα σχημάτων, ὧν δὴ καὶ τὰ ἱερὰ πεπληρῶσθαι καὶ τὰ δρώμενα ἐν τοῖς τελεστηρίοις, ἃ καὶ δρᾶν αὐτῷ τῷ κρυφίῳ καὶ ἀγνώστῳ παρὰ τοῖς τελουμένοις.

in R.2.107 προσθετέον δὲ τούτοις καὶ ὅτι ταῖς ψυχαῖς νοεραῖς μὲν οὔσαις κατὰ τὴν ἑαυτῶν ὕπαρξιν καὶ λόγων πλήρεσιν ἀσωμάτων καὶ νοερῶν, ἐνδυσαμέναις [δὲ] τὸν φανταστικὸν νοῦν καὶ ζῆν ἄνευ τούτου μὴ δυναμέναις ἐν τῷδε τῷ τόπῳ τῆς γενέσεως (ὥστε καὶ τῶν παλαιῶν τινας τοὺς μὲν φαντασίαν ταὐτὸν εἰπεῖν εἶναι καὶ νοῦν, τοὺς δὲ καὶ διακρίναντας ἀφάνταστον νόησιν μηδεμίαν ἀπολείπειν)— ταύταις δ’ οὖν, ὡς εἴπομεν, γενομέναις ἀπαθέσι παθητικαῖς, ἀμορφώτοις μορφωτικαῖς, πρέπων ἐστὶν τρόπος διδασκαλίας εἰκότως ὁ διὰ τῶν τοιῶνδε μύθων· οἷς πολὺ μέν ἐστιν ἔνδον τὸ νοερὸν τῆς ἀληθείας φέγγος, προβέβληται δὲ τὸ πλασματῶδες, ἀποκρύπτον ἐκεῖνο κατὰ μίμησιν τῆς ἐν ἡμῖν φαντασίας ἐπιλυγαζούσης τὸν μερικὸν νοῦν. τὸ μὲν γὰρ μυθῶδες πᾶν ὅσον πέπλασται μόνον τοῖς κατὰ μόνην τὴν φαντασίαν ζῶσίν ἐστιν οἰκεῖον καὶ ὧν ἐστιν τὸ ὅλον ὁ παθητικὸς νοῦς, τὸ δὲ φανὸν τῆς ἐπιστήμης καὶ αὐτοφανὲς τῆς νοερᾶς 〈γνώσεως〉 τοῖς ἱδρύσασιν ἐν νοήσεσιν καθαραῖς τὴν ἑαυτῶν ὅλην ἐνέργειαν· τὸ δὲ αὖ κατὰ μὲν τὸ ἔξω πλασματῶδες, κατὰ δὲ τὸ ἔσω νοερὸν ἡμῖν δήπου λείπεται σύζυγον εἶναι τοῖς τὸ συναμφότερον οὖσιν καὶ διττὸν ἔχουσι νοῦν, τὸν μὲν ὃν ἐσμέν, τὸν δὲ ὃν ἐνδυσάμενοι προβεβλήμεθα.

in R.2.108 καὶ διὰ τοῦτο δήπου καὶ χαίρομεν ὡς συμφυέσι τοῖς μύθοις· εὐφραίνεται γὰρ ὁ διττὸς ἐν ἡμῖν νοῦς, καὶ ὃ μέν τις ἡμῶν ὑπὸ τῶν ἔνδον τραφεὶς ἐγένετο θεατὴς τῶν ἀληθῶν, ὃ δὲ ὑπὸ τῶν ἔξω καταπλαγεὶς ἐπιτήδειος κατέστη πρὸς τὴν εἰς ἐπιστήμην ὁδόν. ὥσπερ δὲ καὶ εἰ φανταστικῶς ἐνεργοῦμεν, ὅμως δεῖ καθαραῖς χρῆσθαι φαντασίαις ἀλλ’ οὐ μεμιασμέναις ὑπό τινων αἰσχρῶν φαντασμάτων, οὕτω δήπου καὶ τοὺς μύθους πρέπουσαν ἔχειν προσήκει καὶ τὴν ἔξωθεν σκευὴν τοῖς ἔνδον νοεροῖς ἀγάλμασιν. διὸ καὶ Πλάτων ἀπεσκευάζετο τὰς τῶν ποιητικῶν μύθων διαθέσεις, ἀναπιμπλάσας τὰς ἀτελέστους ψυχὰς ὑπονοιῶν φορτικῶν. — Ὅτι δὲ καὶ εἰς τοὺς πολλοὺς δρῶσιν οἱ μῦθοι, δηλοῦσιν αἱ τελεταί. καὶ γὰρ αὗται χρώμεναι τοῖς μύθοις, ἵνα τὴν περὶ θεῶν ἀλήθειαν ἄρρητον κατακλείωσιν, συμπαθείας εἰσὶν αἴτιαι ταῖς ψυχαῖς περὶ τὰ δρώμενα τρόπον ἄγνωστον ἡμῖν καὶ θεῖον· ὡς τοὺς μὲν τῶν τελουμένων καταπλήττεσθαι δειμάτων θείων πλήρεις γιγνομένους, τοὺς δὲ συνδιατίθεσθαι τοῖς ἱεροῖς συμβόλοις καὶ ἑαυτῶν ἐκστάντας ὅλους ἐνιδρῦσθαι τοῖς θεοῖς καὶ ἐνθεάζειν· πάντως που καὶ τῶν ἑπομένων αὐτοῖς κρειττόνων ἡμῶν γενῶν διὰ τὴν πρὸς τὰ τοιαῦτα συνθήματα φιλίαν ἀνεγειρόντων ἡμᾶς εἰς τὴν πρὸς τοὺς θεοὺς δι’ αὐτῶν συμπάθειαν. ἢ πῶς μετ’ ἐκείνων μὲν πᾶς ὁ περὶ γῆν τόπος μεστὸς ἦν παντοίων ἀγαθῶν, ὧν θεοὶ προξενοῦσιν ἀνθρώποις, ἄνευ δὲ ἐκείνων ἄπνοα πάντα καὶ ἄμοιρα τῆς τῶν θεῶν ἐστιν ἐπιλάμψεως; Ἀλλὰ τῶν μὲν μύθων τὰς αἰτίας καὶ ἐν τοῖς Περὶ τῶν μυθικῶν συμβόλων ἐξειργάσμεθα.

in R.2.109 τούτων δὲ ἡμῖν τέλος ἐχόντων ἐπ’ αὐτὸν ἤδη τὸν Πλατωνικὸν μῦθον χωρεῖν ἀναγκαῖον. Ἀλ λ ’ οὐ μέντοι σο ι , ἦν δὲ ἐγ ώ , Ἀλκίνου γε ἀπόλογον ἐρ ῶ , ἀλλὰ ἀλκίμου μὲν ἀνδρό ς , Ἠρὸς τοῦ Ἀρμενίο υ , τὸ γένος Παμφύλου [p. 614b]. Τὰς περὶ τὸν τόπον τοῦτον τῶν πρὸ ἡμῶν διαφορὰς καὶ παντοίας διαστροφὰς θαυμάσειεν ἄν τις. ὧν ο[ἳ μὲν οὐ] τὸν Ἥρά φασιν εἶναι τὸν πατέρα

τοῦ μύθου τοῦδε παντός, ἀλλὰ Ζωροάστρη ν , καὶ ὡς τοῦδε τοῦ ὀνόματος ἐγκειμένου τὴν γραφὴν ἐκδεδώκασιν, ὥσπερ καὶ ὁ Ἐπικούρειος Κωλώτη ς , οὗ καὶ πρότερον ἐμνήσθημεν. καὶ αὐτὸς ἐνέτυχον Ζωροάστρου βιβλίοις τέτρασι Περὶ φύσεω ς , ὧν τὸ προοίμιόν ἐστι· Ζωροάστρης ὁ Ἀρμενίου Πάμφυλος τάδε λέγε ι , ὅσα τε ἐν πολέμῳ τελευτήσας παρὰ θεῶν ἐδάη καὶ ὅσα ἐκ τῆς ἄλλης ἱστορία ς . ἐν δὲ μέσοις αὐτοῖς πρὸς Κῦρον προσφωνῶν δῆλός ἐστι τὸν βασιλέα· τίνα δὲ τὸν Κῦρον, οὐ διασαφεῖ. τῶν δὲ ἐνταῦθα λεγομένων οὐδενὸς ἐπ’ ὀνόματος μέμνηται πλὴν τῆς Ἀνάγκης· ταύτην δὲ εἶναι τὸν ἀέρα φησίν. ἀστρολογικῶν δέ ἐστι θεαμάτων τὰ βιβλία γέμοντα· καί που καὶ ἀντιλέγειν δοκεῖ πρὸς τὴν ἐν Πολιτικῷ [p. 269e] ἀνακύκλησιν. ὥστ’ ἄδηλον εἰ ἀπὸ τούτων οὗτος ὁ μῦθος ἔσχε τὴν ἀφορμήν, καὶ εἰ Ζωροάστρης ἀντὶ τοῦ Ἠρὸς ἐγέγραπτο ἐν τοῖς ἀντιγράφοις· πλὴν ὅτι τὸν ἥλιον ἐκεῖνα μέσον οἶδε τῶν πλανήτων, ὁ δὲ τὸν μῦθον τοῦτον ᾄδων ὑπὲρ σελήνην εὐθύς, δῆλόν ἐστιν τοῖς ἐκεῖνά τε εἰδόσιν καὶ τούτων ἀκροασαμένοις· ὥστ’ οὐκ ἂν ὁ Πλάτων ἀπ’ ἐκείνων εἴη τόνδε τὸν μῦθον συνθείς.

in R.2.110 Οἳ δὲ τὸν Ἦρα μὲν ὁμολογοῦσιν γεγράφθαι καὶ Ζωροάστρου γενέσθαι τοῦτον διδάσκαλον, ὥσπερ Κρόνιο ς , τὸν Πάμφυλον τὸ γένος τινὰ τρόπον τῷ Ζωροάστρῃ συνείροντες (εἰ μὴ ἄρα οὐ τῷ Πέρσῃ φαῖεν ἄν, ἀλλὰ τῷ Παμφύλῳ, τούτῳ δὴ ἐκείνῳ οὗ τοῖς περὶ φύσεως εἴπομεν βιβλίοις ἐντυχεῖν)· οἳ δὲ Ἠρὸς υἱὸν Εὐμαίωνα τὸν διηγούμενον γράφοντες καὶ πῶς τὸ ἑξῆς ἄνευ ἄρθρου συντάξωσιν τῷδε τῷ ὀνόματι λέγειν οὐκ ἔχοντες, οὐκ εἰωθότων τῶν παλαιῶν ἄνευ τούτου κατὰ γενικὴν πτῶσιν πατέρας συνάπτειν· οἳ δὲ οὐκ Ἀρμένιον τὸν πατέρα φάσκοντες, ἀλλὰ διὰ θατέρου τῶν βραχέων Ἀρμόνιον, σμικρόν τι περὶ τὸ ὄνομα πλημμελοῦντες (καὶ εὕρομεν καὶ οὕτως ἐν τοῖς ἐκείνου Ζωροάστρου βιβλίοις Ἀρμόνιον τὸν πατέρα γεγραμμένον)· οἶδα δὲ ἔγωγέ τινας καὶ Ἀρμένιον τὸν Ἦρα λέγοντας, οὓς ἐρωτᾶν δεῖ, πῶς τὸν Ἀρμένιον Πάμφυλον εἶναί φησιν τὸ γένος· εἰ καὶ ἡμῖν ἄνδρες αἰδοῖοι τοῦτο ὑπέλαβον, Θεόδωρον λέγω τὸν Ἀσιναῖο ν . ἀλλ’ ὅπερ ἔφην, φέρονται μὲν ἄλλως ἄλλοι τῶν πρὸ ἡμῶν· τὸ δ’ ἀληθὲς Ἦρα μὲν εἶναι τὸν ἄγγελον τοῦ μύθου τοῦδε, πατέρα δὲ αὐτῷ τοὔνομα λέγειν Ἀρμένιον, γένος δὲ ἐκ Παμφυλίας· ἵνα δὴ καὶ τὰ περὶ τὸν Ἀρδιαῖον εἰδέναι σαφῶς ἔχοι καὶ τὴν τυραννικὴν ἐκείνου ζωὴν καὶ τὰ μιάσματα τῶν ἐν Παμφυλίᾳ τυράννων ἑνὸς γεγονότος. εἴτε δὲ ἔχει τὰ τῆς ἱστορίας οὕτως εἴτε καὶ μή, ζητεῖν ἄτοπον, τοῦ Πλάτωνος τὰ τοιαῦτα πλάττοντος μὲν οὐδαμῶς, κατὰ δὲ τὴν χρείαν τῶν προκειμένων ἀεὶ παραλαμβάνοντος καὶ χρωμένου πᾶσι μετὰ τῆς πρεπούσης περιβολῆς καὶ οἰκονομίας, ὡς καὶ τῇ Μαντινικῇ ξένῃ καὶ τῷ κατὰ τὸν Γύγου πρόγονον διηγήματι καὶ τῷ κατὰ τοὺς Ἀτλαντίνους λόγῳ καὶ πᾶσι τοῖς ὁμοίοις.

in R.2.111 Τοῦ δὲ Κωλώτου ψυχρευομένου κατὰ τὴν λέξιν ὄντως καὶ ἐπικαλοῦντος τῇ εἰσβολῇ τοῦ διηγήματος ὡς μειρακιώδει διὰ τὰ Ἀλκίνου τε καὶ ἀλκίμου παράλληλα κείμενα ὀνόματα, καλῶς μὲν καὶ ὁ Πορφύριος αὐτὸν ἐπερράπισεν ὡς ἄγευστον λογογραφικῆς καὶ σοφιστικῆς χάριτος καὶ μούσης Ἀττικῆς, ὁμοῦ δὲ ὀνειδίσας αὐτῷ καὶ ὅτι Κωλωτάριον αὐτὸν ὁ διδάσκαλος ἐκάλει θαμὰ καὶ οὐκ ὀρθῶς ἤκουεν ὑποκοριζομένου τοῦ Ἐπικούρου τὸν Κωλώτην· οὐ μὴν ἀλλὰ κἀκεῖνο ῥητέον, ὅτι τοῖς μυθικοῖς πλάσμασι μάλιστα δεῖ ποιητικῆς χάριτος, ἐπεὶ καὶ πολλῆς μετέχουσι τῆς τοιαύτης ἰδέας, πρὸς δὲ ποίησιν εὐδοκιμεῖ τὰ τοιαῦτα μάλιστα, καὶ τῶν τοῦ κάλλους σχημάτων ἐστὶν ἐκείνη διακορής. Ὁ μὲν οὖν Ἀλκίνου ἀπόλογος δηλοῖ τὴν ἐν Ἀλκίνου τοῦ Ὀδυσσέως νέκυιαν, οὗ δὴ τὰ ἐν Ἅιδου διηγεῖται θεάματα καὶ ὅσα εἶδεν καὶ οἷα ἀκήκοεν τοῖς σφαγίοις χρησάμενος καὶ τῷ αἵματι τῷ ψυχουλκῷ. καὶ γὰρ ἐπὶ πάντων τῶν τοιῶνδε διηγημάτων ἐξενίκησεν ὡς ἐπὶ παροιμίας τὸν Ἀλκίνου ἀπόλογον λέγειν. τοῦ δὲ προκειμένου μύθου καὶ αὐτοῦ τὰ ἐν Ἅιδου ποιουμένου φράζειν, εἰκότως ἀντιπαρατείνων αὐτὸν ἐνδείκνυται τῷ Ἀλκίνου ἀπολόγῳ, τοσοῦτον μόνον ὑπαλλάξας, ὅτι ἐκεῖ μὲν ὁ ἀκούων Ἀλκίνους ἦν οὐ πολεμικὸς ἀνήρ, ἀλλ’ εἰς εἰρήνην βλέπων καὶ τρυφήν, ὁ δὲ τὸν μῦθον τοῦτον

διηγησάμενος καὶ αὐτὸς ἀπαγγείλας ἄλκιμός τις ἦν, ἐν πολέμῳ τε ἀποθανὼν καὶ τὰ κατὰ πόλεμον ἰδών, ἅπερ ἀπήγγειλεν, χωρισθείσης αὐτῷ τῆς ψυχῆς ἐκ τοῦ σώματος.

in R.2.112 ἔχοι δ' ἄν τι πλέον, ὡς καὶ [ἄλλοθι ἐπι]έσαμεν, ἡ τῶν διηγημάτων τούτων εἰσβολὴ πρὸς ἔνδειξιν, ὅτι τὴν μὲν ἐκείνου νέκυιαν οὐκ ἀπεδέχετο, σκιαῖς [ἀπ]εικάζουσαν τὰς ἐν Ἅιδου ψυχάς, καὶ τὸν ἐν γῇ ὄντα ἀνδρειότατον ποθοῦντα τὴν ἐν[θάδε ζω]ὴν εἰσάγουσαν, καὶ πάντα ὅσα ἐν [ἐκείνοις] ἐπιστάσεως ἠξίωσεν κατατείνουσαν· ταύτην δὲ ὄντως ἀνδρικοῦ φησιν ἀνδρὸς εἶναι, ταῖς ὁσίαις ψυχαῖς τὸν ἐκεῖ τόπον μακαριστὸν ἀποδιδοῦσαν καὶ ταῖς ἀνοσίοις κολαστικόν, καὶ οὐ τὸν τόπον αὐτὸν ἀλλὰ τὴν ζωὴν αἰτιωμένην· μόνον οὐχὶ σαφῶς τὸν Σωκράτην λέγων οὐχὶ τὸν ποιητικὸν τρόπον, ἀλλὰ τὸν πολιτικὸν διαθήσειν τὴν διήγησιν ταύτην καὶ οὕτω μυθολογήσειν ὡς προσήκει τοῖς ἀνδριζομένοις καὶ πρὸς θάνατον ἔχουσιν ἀδεῶς, ἀλλ' οὐ τοῖς φρίττειν εἰθισμένοις τὸν Ἅιδην. καὶ γὰρ ὁ τοῦ μύθου πατὴρ τοιόσδε τις ἦν γεννάδας ὡς ἀληθῶς καὶ ψυχὴν ἔχων σώματος ὑπερορῶσαν καὶ πρὸς τὸ ἄνω βλέπειν ἐπιτηδείαν καὶ δ ι ' ἧς ἀλκῆ ς , κατὰ τὸ λόγιο ν , χωριζομένην ἀπὸ τῶν ὑλικῶν ὀργάνων καὶ εἰς τὸ ἄναντες εὐθὺ τοῦ οὐρανοῦ χωροῦσαν. ἃ δὴ καὶ τὰ ἑξῆς παρίστησιν· ὅς ποτε ἐν πολέμῳ τελευτήσας ἀναιρεθέντων δεκαταίων τῶν νεκρῶν ἤδη διεφθαρμένων ὑγιὴς μὲν ἀνῃρέθ η , κομισθεὶς δὲ οἴκαδε μέλλων θάπτεσθαι δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ κείμενος ἀνεβίω [p.

in R.2.113 614b]. Τὴν μὲν περὶ τῶν ἀποθανεῖν δοξάντων, ἔπειτα ἀναβιούντων ἱστορίαν ἄλλοι τε πολλοὶ τῶν παλαιῶν ἤθροισαν καὶ Δημόκριτος ὁ φυσικὸς ἐν τοῖς Περὶ τοῦ Ἅιδου γράμμασιν. καὶ τὸν θαυμαστὸν ἐκεῖνον Κωλώτη ν , τὸν Πλάτωνος ἐχθρόν, Ἐπικούρειον ὄντα πάντως ἔ[δ]ει [τὰ τοῦ] καθηγεμόνος τῶν Ἐπικουρ[είων] δ[όγματα] μὴ ἀγνοῆσαι μηδὲ ἀγνοήσαντα ζητεῖν, πῶς τὸν ἀποθανόντα πάλιν ἀναβιῶναι δυνατόν. οὐδὲ γὰρ ὁ θάνατος ἦν ἀπόσβεσις, ὡς ἔοικεν, τῆς συμπάσης ζωῆς τοῦ σώματος, ἀλλ' ὑπὸ μὲν πληγῆς τινος ἴσως καὶ τραύματος παρεῖτο, τῆς δὲ ψυχῆς οἱ περὶ τὸν μυελὸν ἔμενον ἔτι δεσμοὶ κατερριζωμένοι καὶ ἡ καρδία τὸ ἐμπύρευμα τῆς ζωῆς εἶχεν ἐγκείμενον τῷ βάθει· καὶ τούτων μενόντων αὖθις ἀνεκτήσατο τὴν ἀπεσβηκυῖαν ζωὴν ἐπιτήδειος πρὸς τὴν ψύχωσιν γενόμενος. καὶ γὰρ ἐφ' ἡμῶν τινες ἤδη καὶ ἀποθανεῖν ἔδοξαν καὶ μνήμασιν ἐνετέθησαν καὶ ἀνεβίωσαν καὶ ὤφθησαν οἳ μὲν ἐγκαθήμενοι τοῖς μνήμασιν, οἳ δὲ καὶ ἐφεστῶτες· καθάπερ δὴ καὶ ἐπὶ τῶν πάλαι γεγονότων ἱστοροῦνται καὶ Ἀριστέας ὁ Προκοννήσιος καὶ Ἑρμόδωρος ὁ Κλαζομένιος καὶ Ἐπιμενίδης ὁ Κρή ς , μετὰ θάνατον ἐν τοῖς ζῶσιν γενόμενοι. καὶ τί δεῖ πολλὰ λέγειν; ὅπου γε καὶ ὁ μαθητὴς Ἀριστοτέλους Κλέαρχος ἱστορίαν τινὰ τοιαύτην πρῶτος παραδέδωκεν θαυμασίαν.

in R.2.114 Κλεώνυμος ὁ Ἀθηναῖος, φιλήκοος ἀνὴρ τῶν ἐν φιλοσοφίᾳ λόγων, ἑταίρου τινὸς αὐτῷ τελευτήσαντος περιαλγὴς γενόμενος καὶ ἀθυμήσας ἐλιποψύχησέν τε καὶ τεθνάναι δόξας τρίτης ἡμέρας οὔσης κατὰ τὸν νόμον προὐτέθη· περιβάλλουσα δὲ αὐτὸν ἡ μήτηρ καὶ πανύστατον ἀσπαζομένη, τοῦ προσώπου θοἰμάτιον ἀφελοῦσα καὶ καταφιλοῦσα τὸν νεκρὸν ᾔσθετο βραχείας ἀναπνοῆς αὐτῷ τινος ἐγκειμένης. περιχαρῆ δὲ αὐτὴν γενομένην ἐπισχεῖν τὴν ταφήν· τὸν δὲ Κλεώνυμον ἀναφέροντα κατὰ μικρὸν ἐγερθῆναι καὶ εἰπεῖν, ὅσα τε ἐπειδὴ χωρὶς ἦν καὶ οἷα τοῦ σώματος ἴδοι καὶ ἀκούσειεν. τὴν μὲν οὖν αὐτοῦ ψυχὴν φάναι παρὰ τὸν θάνατον οἷον ἐκ δεσμῶν δόξαι τινῶν ἀφειμένην τοῦ σώματος παρεθέντος μετέωρον ἀρθῆναι, καὶ ἀρθεῖσαν ὑπὲρ γῆς ἰδεῖν τόπους ἐν αὐτῇ παντοδαποὺς καὶ τοῖς σχήμασι καὶ τοῖς χρώμασιν καὶ ῥεύματα ποταμῶν ἀπρόσοπτα ἀνθρώποις· καὶ τέλος ἀφικέσθαι εἴς τινα χῶρον ἱερὸν τῆς Ἑστίας, ὃν περιέπειν δαιμονίας δυνάμεις ἐν γυναικῶν μορφαῖς ἀπεριηγήτοις. εἰς δὲ ἐκεῖνον αὐτὸν τὸν τόπον καὶ ἄλλον ἀφικέσθαι ἄνθρωπον καὶ ἀμφοῖν τὴν αὐτὴν γενέσθαι φωνήν· μένειν τε ἡσυχῇ καὶ ὁρᾶν τὰ ἐκεῖ πάντα. καὶ δὴ καὶ ὁρᾶν ἄμφω ψυχῶν ἐκεῖ κολάσεις τε καὶ κρίσεις καὶ τὰς ἀεὶ καθαιρομένας καὶ τὰς τούτων ἐπισκόπους Εὐμενίδας· ἔπειτα κελευσθῆναι ἀποχωρεῖν, καὶ ἀποχωρήσαντας ἀλλήλους ἐπανερέσθαι τίνες εἶεν, καὶ εἰπεῖν ἀλλήλοις τὰ

ὀνόματα καὶ τὰς πατρίδας, τὸν μὲν Ἀθήνας καὶ Κλεώνυμον, τὸν δὲ Συρακούσας καὶ Λυσίαν, καὶ ἀλλήλοις παρακελεύσασθαι ζητῆσαι πάντως ἑκάτερον, ἐὰν εἰς τὴν θατέρου πόλιν ἀφίκηται, τὸν ἀπ' ἐκείνης ὡρμημένον.

in R.2.115 καὶ μετὰ χρόνον οὐ πολὺν ἐλθεῖν μὲν Ἀθήναζε τὸν Λυσίαν, πόρρωθεν δὲ αὐτὸν ἰδόντα τὸν Κλεώνυμον ἀναβοῆσαι τοῦτον εἶναι τὸν Λυσίαν, καὶ τοῦτον ὡσαύτως ἐπιγνῶναί τε πρὶν προσέλθῃ καὶ τοῖς παροῦσιν εἰπεῖν τοῦτον εἶναι τὸν Κλεώνυμον. Ταῦτα μὲν ὁ Κλεάρχου λόγος· ἱστορεῖ δὲ καὶ Ναυμάχιος ὁ Ἠπειρώτη ς , ἀνὴρ ἐπὶ τῶν ἡμετέρων πάππων γεγονώς, Πολύκριτον Αἰτωλὸν ἐπιφανέστατον Αἰτωλῶν καὶ Αἰτωλαρχίας τυχόντα καὶ ἀποθανεῖν καὶ ἀναβιῶναι μηνὶ μετὰ τὸν θάνατον ἐνάτῳ, καὶ ἀφικέσθαι εἰς ἐκκλησίαν κοινὴν τῶν Αἰτωλῶν καὶ συμβουλεῦσαι τὰ ἄριστα περὶ ὧν ἐβουλεύοντο· καὶ τούτων εἶναι μάρτυρας Ἱέρωνα τὸν Ἐφέσιον καὶ ἄλλους ἱστορικοὺς Ἀντιγόνῳ τε τῷ βασιλεῖ καὶ ἄλλοις ἑαυτῶν φίλοις ἀποῦσι τὰ συμβάντα γράψαντας. Καὶ οὐ τοῦτον μόνον, ἀλλὰ καὶ ἐν τῇ Νικοπόλει τῶν οὐ πρὸ πολλοῦ τινα γεγονότων, Εὐρύνουν ὄνομα, ταὐτὸν παθεῖν, καὶ ταφέντα πρὸ τῆς πόλεως ὑπὸ τῶν προσηκόντων ἀναβιῶναι μετὰ πεντεκαιδεκάτην ἡμέραν τῆς ταφῆς καὶ λέγειν, ὅτι πολλὰ μὲν ἴδοι καὶ ἀκούσειεν ὑπὸ γῆς θαυμαστά, κελευσθῆναι δὲ πάντα ἄρρητα φυλάττειν· καὶ ἐπιβιῶναι χρόνον οὐκ ὀλίγον καὶ ὀφθῆναι δικαιότερον μετὰ τὴν ἀναβίωσιν ἢ πρότερον. Προστίθησιν δὲ καὶ τρίτον ἄλλον χθές, ὥς φησιν, γεγονότα, Ῥοῦφον τὸν ἐκ Φιλίππων τῶν ἐν Μακεδονίᾳ, τῆς δὲ ἐν Θεσσαλονίκῃ μεγίστης ἀρχιερωσύνης ἀξιωθέντα· τοῦτον γὰρ ἀποθανόντα τριταῖον ἀναβιῶναι καὶ ἀναβιοῦντα εἰπεῖν, ὅτι ὑπὸ τῶν χθονίων ἀναπεμφθείη θεῶν, ἵνα τὰς θέας ἐπιτελέσοι τῷ δήμῳ, ἃς ὑποσχόμενος ἐτύγχανεν, καὶ μέχρι τῆς ἐκείνων συμπληρώσεως ἐπιβιοῦντα αὖθις ἀποθανεῖν.

in R.2.116 Καὶ τὸν κολοφῶνα τούτων ὑπάρχειν Φιλίννιον κατὰ τοὺς Φιλίππου βασιλεύσαντος χρόνους. εἶναι δὲ αὐτὴν θυγατέρα Δημοστράτου καὶ Χαριτοῦς τῶν Ἀμφιπολιτῶν νεόγαμον τελευτήσασαν· ἐγεγάμητο δὲ Κρατερῷ. ταύτην δ' οὖν ἕκτῳ μηνὶ μετὰ τὸν θάνατον ἀναβιῶναι καί τινι νεανίσκῳ Μαχάτῃ, παρὰ τὸν Δαμόστρατον ἀφικομένῳ ἐκ Πέλλης τῆς πατρίδος, λάθρᾳ συνεῖναι διὰ τὸν πρὸς αὐτὸν ἔρωτα πολλὰς ἐφεξῆς νύκτας καὶ φωραθεῖσαν αὖθις ἀποθανεῖν, προειποῦσαν κατὰ βούλησιν τῶν ὑποχθονίων δαιμόνων αὐτῇ ταῦτα πεπρᾶχθαι, καὶ ὁρᾶσθαι πᾶσι νεκρὰν ἐν τῇ πατρῴᾳ προκειμένην οἰκίᾳ· καὶ τὸν πρότερον αὐτῆς δεξάμενον τὸ σῶμα τόπον ἀνορυχθέντα κενὸν ὀφθῆναι τοῖς οἰκείοις, ἐπ' αὐτὸν ἐλθοῦσιν δι' ἀπιστίαν τῶν γεγονότων· καὶ ταῦτα δηλοῦν ἐπιστολὰς τὰς μὲν παρὰ Ἱππάρχου, τὰς δὲ παρὰ Ἀρριδαίου γραφείσας τοῦ τὰ πράγματα τῆς Ἀμφιπόλεως ἐγκεχειρισμένου πρὸς Φίλιππον. καὶ ταῦτα μὲν τὰ ἐκ τῶν ἱστοριῶν. Ζητοῦντος δὲ τοῦ Κωλώτο υ , πῶς οὐ διεφθάρη τὸ σῶμα σαπὲν ἐν τοσαύταις ἡμέραις τοῦ Ἠρός, καὶ ταῦτα ψυχῆς μὴ παρούσης, ἔδει καὶ ἡμεῖς ἂν φήσαιμεν ἐπιλογίζεσθαι, πρῶτον ὅτι θαυμαστὸν οὐδὲν καὶ συμπαγῆναι τὸ σῶμα τὴν ἀρχὴν οὕτως, ὥστε ἄτροφον εἰς πλείους ἡμέρας ἀρκεῖν καὶ δυσδιάλυτον ὑπάρχειν· ὅπου γε καὶ βοτάναι θυμιώμεναί τινες παρέχονται διαμένον ἐπὶ πλεῖστον ὅσον χρόνον τὸ σῶμα τῶν μὴ τρεφομένων, καὶ ὅπερ αὖταί εἰσιν ἔξωθεν, τοῦτο καὶ πρὸς φυσικὴν σύστασιν προσιέναι τισὶ τῶν σωμάτων αὖθις παραδόξως· καὶ γὰρ ἐπὶ τῶν ἄλλων ἁπάντων οὕτως ἔχειν καὶ ὅσα δή τισιν διά τινων βοτανῶν ἢ λίθων δυνάμεις ὑπάρχει, ταῦτα ἔχει ἐκ τῆς φυσικῆς ἐνόντα κατασκευῆς· καὶ τοῖς ὀφθαλμοῖς τινες χυλὸν ἐνιέντες στρύχνου καὶ ποῶν ἄλλων εἴδωλα ἄττα δαιμόνων ἐν ἀέρι καθορῶσιν· καί τινες ἄνευ τῆς ἐπιτεχνήσεως ταύτης πάσχουσιν ταὐτόν, καὶ προορατικοὶ γίγνονται τοῦ μέλλοντός τινες ἐκ τῶν καλουμένων ἀπογεύσεων, ἄλλων φύσει τὴν δύναμιν ταύτην ἐχόντων.

in R.2.117 Πρὸς δὲ αὖ τούτοις κἀκεῖνο ῥητέον, ὅτι δὴ πάντως ὑπελείπετό τι ζώπυρον περὶ τὴν καρδίαν, τοῦ ἄλλου σώματος διὰ τὴν πληγὴν νεκρωθέντος, ὅπερ ὕστερον παυσαμένων τῶν ἐπὶ τῇ πληγῇ πόνων ἀπ' αὐτῆς ἀρξάμενον καὶ εἰς πᾶν τὸ σῶμα διέδωκεν τοῦ ψυχωθῆναι δύναμιν. καὶ

οὐδὲν θαυμαστὸν γίγνεσθαί τι τοιοῦτον, ὅπου γε καὶ τὰς χελιδόνας φασὶν ἐν κοιλότησιν δένδρων ὅλην τὴν τοῦ χειμῶνος ὥραν νεκρωθείσας ζῆν, καὶ παυσαμένης τῆς τοῦ ἀέρος ψύξεως κινεῖσθαι καὶ ἐκτινάσσειν τὴν νέκρωσιν· καὶ ὄφεις ταὐτὸν πάσχειν ἐν τοῖς ἑαυτῶν φωλεοῖς καὶ διαμένειν ἀκινήτους καὶ αὖθις ἀναβιώσκεσθαι, μενούσης ἔνδον τῆς ζωτικῆς ἀρχῆς καὶ τὰ ἀποψυχθέντα παρελθούσης τῆς ἔξωθεν βίας ἀναζωπυρούσης. Ἐφ' ἅπασιν δὲ τοῖς εἰρημένοις καὶ τοῦτο προσθετέον, ὅτι τὴν ὅλην ταύτην ἱστορίαν εἰς δαιμονίαν μηχανὴν ὁ Πλάτων ἀνέπεμψεν· δηλοῖ [δὲ καὶ τὸ κελεῦ]σαι τὸν ἄγγελον τοῦτ[ον τοὺς δικαστὰς τὰ τ]ῶν ἐκεῖ πάντα καθορᾶν καὶ [ἀπαγγ]έλλειν τοῖς ἀνθρώποις· εἰ δὲ τοῦτο ἀλη[θές, τ]ῶν αὐτῶν ἂν εἴη δήπου δαιμόνων ἔρ[γον κ]αὶ τὸ σῶμα φυλάττειν ἀπαθὲς τοῦ ἀγ[γέλο]υ, καθάπερ καὶ τὴν ψυχὴν ἀνέκπληκτον ὑπὸ τῶν θεαμάτων ἐκείνων· ⟦ ἢ ⟧ καὶ τὸ τοὺς δαίμονας ἐπὶ τοσοῦτόν γε χρόνον ἀσκέδαστα τὰ σώματα διαφυλάττειν, ὃ 〈εἰ〉 καὶ δι' ἄλλων δύναται γίνεσθαι σωμάτων, τοῖς νεκροῖς σώμασιν ἀδύνατον.

in R.2.118 Ὅλως δὲ δεῖ μηδαμῶς ἀγνοεῖν τὴν πρόνοιαν τῶν θεῶν ταῖς ψυχαῖς σύστοιχα καὶ τὰ ὄργανα δημιουργοῦσαν· οὐδὲ γὰρ ταύτας εἰς τὰ τυχόντα τὰς τυχούσας εἰσδύεσθαι, τὰ δὲ προσήκοντα ἑκάστην κατὰ τὴν ἐκείνων περιβάλλεσθαι βούλησιν. ὅταν οὖν τὰ παρ' αὐτοῖς ἀγαθὰ προϋπάρχοντα βουληθῶσιν εἰς ἀνθρώπους ἐκφῆναι, λέγω δὲ οἷον μαντικὴν τὴν θείαν ἢ ἰατρικὴν τὴν ὡς ἀληθῶς παιώνιον ἢ τὴν ὄντως οὖσαν ἱερατικὴν ἐπιστήμην, καὶ ψυχὰς προάγουσιν τὰς διαπορθμεύειν ταῦτα δυναμένας εἰς τὴν γένεσιν ἄνωθεν, καὶ ὄργανα προπαρασκευάζουσιν ταῖς τοιαύταις ψυχαῖς ἐπιτήδεια πρὸς τὴν ἐκείνων πολιτείαν, καὶ τὸ τῆς ζωῆς εἶδος ἐφ' ὃ τὴν ἀρχὴν αὐτὰς καταπέμπουσιν. καὶ οὖν καὶ τὰς ἀγγελικὰς ταύτας ψυχάς, τῆς ἀποκεκρυμμένης παρ' αὐτοῖς ἀληθείας διὰ τῆς χωριστῆς ἑαυτῶν ζωῆς ἐκφαντορικὰς ἐσομένας, κινοῦντες ἐς τόνδε τὸν τόπον σώματα αὐταῖς ὑποστρωννύουσιν καὶ χωρῆσαι δυνάμενα τὴν ὑπερφυῆ ζωὴν τῶν ψυχῶν καὶ ὑπηρετοῦντα ταῖς ἐνεργείαις αὐτῶν ταῖς καρτερωτάταις καὶ ἀπαθεστάταις καὶ δύστρεπτα καὶ δυσδιάλυτα, πρὸς τὴν χωριστὴν ἐκείνων ἀπάθειαν ἐπαιρόμενα καὶ μιμούμενα τὴν δύναμιν αὐτῶν τῶν χρωμένων αὐτοῖς ψυχῶν. δηλοῖ δὲ καὶ αὐτὸς ὁ Πλάτων τὴν 〈τῶν〉 ὀργάνων πρὸς τὰς ἐπιβεβηκυίας ὁμοιότητα ψυχάς, τῇ μὲν ζωῇ τοῦ Ἠρὸς τὴν ἀλκὴν ἀποδούς, τῷ δὲ σώματι τὸ ἀδιάφθορον, ὡς ἂν κατὰ φύσιν τούτων συζυγέντων ἀλλήλοις· τάχα δὲ καὶ ὡς ἀπ' αὐτῆς τῆς ψυχῆς καὶ εἰς τὸ σῶμα διαβαινούσης τινὸς ἀπαθείας καὶ ἀτρέπτου δυνάμεως, τοὺς μὲν ἄλλους διαφθαρῆναι λέγων, τὸν δὲ ἄλκιμον ἐκεῖνον ὑγιῆ μὲν ἀναιρεθῆναι, δωδεκαταῖον δὲ ἐπὶ τῇ πυρᾷ κείμενον ἀναβιῶναι.

in R.2.119 Καὶ δῆλον μὲν ὡς καὶ τὴν ἱστορίαν αὐτὴν οὕτως ἔχειν ὁμολογήσομεν, οὐδὲν ἀδύνατον λέγουσαν, οὔτε τὸν ἀπὸ τοῦ σώματος χωρισμὸν τῆς ψυχῆς (καὶ γὰρ οἱ ἱερατικοὶ λόγοι τοῦτο δρῶσιν, χωρίζοντες ἀπὸ τῶν σωμάτων τὰς ψυχάς, καὶ τοῖς μὲν σώμασιν τοῦ μὴ διαπνεῖσθαι φρουρὰν περιβάλλοντες, ταῖς δὲ ψυχαῖς τὴν ἀπόλυτον τῶν σωμάτων προξενοῦντες ἐνέργειαν καὶ τὴν ἄφεσιν τῶν φυσικῶν δεσμῶν), οὔτε τὴν ἐν πλείοσιν ἡμέραις διαμονὴν ἀσκεδάστου τοῦ σώματος. καὶ γὰρ ἐξ ἄλλων τοῦτο γέγονεν δῆλον ὁμοίων παρὰ τοῖς ἔμπροσθεν ἀναγεγραμμένων ἱστοριῶν, κἀξ αὐτῶν τούτων, ὧν νῦν εἴπομεν, καὶ τοῦτο πιθανόν· εἰ γὰρ καὶ τοῖς ἱερατικοῖς τοῦτο δυνατόν, φυλάττειν ἄτρεπτα τὰ σώματα χωριζομένων τῶν ψυχῶν, καὶ αὐτὰς χωρισθείσας ἀπὸ τῶν σωμάτων τοῖς αὐτοῖς ἥδεσθαι πεπραγμένοις αὐτῶν τῶν ψυχῶν πολλῶν δωδεκάτω .. 20 .. πῶς τοῦτο δυνατόν, καὶ δαιμονίων πολλῶν ἀνέθηκεν τὴν περὶ .. 11 . αὐτὸν ἅπασαν ἱστορίαν, οὔτε τὸ θείας ἀληθείας τυχεῖν ἀδύνατον ψυχὴν ἀνθρωπίνην τῶν ἐν Ἅιδου πραγμάτων καὶ ἀγγεῖλαι τοῖς ἀνθρώποις. Δηλοῖ δὲ καὶ ὁ κατὰ τὸν Ἐμπεδότιμον λόγος, ὃν Ἡρακλείδης ἱστόρησεν ὁ Ποντικός , θηρῶντα μετ' ἄλλων ἐν μεσημβρίᾳ σταθερᾷ κατά τινα χῶρον αὐτὸν ἔρημον ἀπολειφθέντα λέγων τῆς τε τοῦ Πλούτωνος ἐπιφανείας τυχόντα καὶ τῆς Περσεφόνης καταλαμφθῆναι μὲν ὑπὸ τοῦ φωτὸς τοῦ περιθέοντος κύκλῳ τοὺς θεούς, ἰδεῖν δὲ

δι’ αὐτοῦ πᾶσαν τὴν περὶ ψυχῶν ἀλήθειαν ἐν αὐτόπτοις θεάμασιν. Πρὸς δὲ τῇ ἱστορίᾳ παντάπασιν αὐτῇ μὴ δυνάμενοι ἀπιστεῖν καὶ εἰς τὴν ζωὴν ἀναπέμποντες ὅσα φησὶν ὁ Πλάτων αὐτὴν τοῦ ἀγγέλου τῆς προκειμένης ἀφηγήσεως τὸ μὲν ἄλκιμον, ὥς που καὶ πρότερον εἴπομεν [p.

in R.2.120 112, 23], δηλοῦν ἡμεῖς γε φήσομεν τὴν δ ι ’ ἑῆς ἀλκῆς εἰς θεοὺς ἀνάτασιν τῆς τοιαύτης ψυχῆς· τὸ δὲ ὑγιὲς τὴν ἀλώβητον καὶ ἀπαθῆ κατάστασιν· οὐ γὰρ αἱ τυχοῦσαι τοιούτων ἂν τύχοιεν θεαμάτων· τὸ δὲ ἐν πολέμῳ τελευτῆσαι τὸ στρεφομένην ἔτι περὶ τὴν γένεσιν ἀχράντως διαζῆσαι καὶ μὴ ταὐτὸν παθεῖν ταῖς διαφθειρομέναις ὑπὸ τῶν ἐν αὐτῇ παθῶν, ἀλλ’ ἐξαίρετον ἔχειν παρὰ τὰς ἄλλας ψυχὰς τελειότητα. Καὶ μὴν καὶ τὸ .... 105 ... [διατρί]βουσιν· διὰ δὲ [τεσσάρων ἡμερῶν χω]ροῦσιν εἰς τὸν τόπον ἐκ[εῖνον ὅθεν καθο]ρῶσι τὴν ἀρχὴν τοῦ συνέχ[ον]τος [φωτὸς] ὅλον τὸν οὐρανόν· ἡμερησίαν δὲ πρ[οελθόν]τες ὁδὸν εἰς αὐτὴν καταντῶσι τὴν ἀρχὴν τοῦ φωτός. Παραιτησάμενοι δὲ τὰς διακένους ὑπονοίας τῶν ἐξηγητῶν, ἃς καὶ Πορφύριος ἀπεσκευάσατο, πολλὴν καὶ διωλύγιον φλυαρίαν ἐπεισαγαγόντων διὰ τῆς δωδεκάδος, τῶν μὲν εἰς τὸν ζῳδιακόν, τῶν δὲ εἰς τοὺς μῆνας, τῶν δὲ εἰς τοὺς δώδεκα θεοὺς ἀναφερόντων τὸν ἀριθμόν, καὶ πιστουμένων οἰκεῖον οὕτως αὐτὸν εἶναι ταῖς εἰς γένεσιν ἰούσαις ψυχαῖς, εἰ δεῖ καὶ εἰς τὴν ζωὴν αὐτὸν τῶν ψυχῶν ἀναπέμπειν, ἄλλον τρόπον ἡμεῖς τὴν θεωρίαν μέτιμεν, τὴν τοῦδε τοῦ ἀριθμοῦ συγγένειαν αἰτιώμενοι πρὸς τὴν ὅλην περίοδον τῶν ψυχῶν. συνέστηκεν γὰρ ἐκ τῶν πρωτίστων ἀριθμῶν πολλαπλασιασάντων ἀλλήλους, τριάδος λέγω καὶ τετράδος· ὧν ἡ μὲν τελεσιουργός ἐστιν καὶ ἐπιστρεπτικὴ πρὸς τὰς ἀρχάς, ἡ δὲ γόνιμος καὶ ἑδραστικὴ τῶν γεννωμένων ἅμα καὶ ἐναρμόνιος. προσήκει τοίνυν ἡ δυωδεκὰς ἐξ ἀμφοῖν οὖσα τῇ τε τῆς ψυχῆς ἐπιστροφῇ πρὸς τὰ ὅλα καὶ τῇ νοερᾷ καὶ ⟦ τῇ ⟧ χωριστῇ ζωῇ καὶ τῇ τοῦ σώματος σταθερᾷ διαμονῇ καὶ ἀτρέπτῳ καὶ τῇ ἐναρμονίῳ τοῦ τε χρωμένου συστάσει καὶ τοῦ ὀργάνου πρὸς ἄλληλα.

in R.2.121 δοκεῖ δὲ καὶ τελειότητος ὅρος ἡ δυωδεκὰς εἶναι, πρεπούσης ταῖς τὰ πέρατα τοῦ κόσμου συνελισσούσαις αἰτίαις καὶ (τί γὰρ οὐ δεῖ λέγειν;) ταῖς οὐρανίαις τάξεσιν· διὸ καὶ μῆνα τὸν δωδέκατον ἐν Νόμοις [VIII p. 828d] ἀπένειμε ταῖς τῶν χθονίων θεραπείαις καὶ τὴν μεγίστην θεὸν Ἑκάτην τὰ πέρατα τῶν ἐγκοσμίων συγκλείουσαν καὶ διὰ τοῦτο κληδοῦχον ἀποκαλουμένην τὰ δωδέκατά φησιν ὁ θεολόγος τοῦ κόσμου κληρώσασθαι. τάχ’ οὖν ἂν καὶ ταύτῃ καὶ ὁ τῆς μυθολογίας τῆς προκειμένης ἄγγελος εἴη δωδεκαταῖος ἀναβιούς, ὡς τῶν ὅλων γενόμενος θεωρός, καὶ τῶν παρὰ τῷ Πλούτωνι ψυχῶν αὐτῶν κατὰ τοῦτον τὸν ἀριθμὸν τὴν χωριστὴν ἀπὸ τοῦ σώματος ἱδρυσασῶν ζωήν, ὅς ἐστιν ἀφοριστικὸς τοῦ κόσμου παντὸς καὶ τῶν ἐν αὐτῷ περάτων εἰς τὰς οἰκείας συνελισσομένων ἀρχάς. τοῦτο μὲν οὖν τοιόνδε τινὰ τὸν ἀπολογισμὸν ἔχοι ἂν τῆς θεωρίας. Εἰ δέ τις αἰτιᾶται τὸν λόγον, ὅτι μὴ καὶ ἄλλοι πολλαχοῦ τοιοῦτοί τινες γεγόνασιν ἄγγελοι τῶν ἀφανῶν ἡμῖν, ἀλλ’ οὐτοσὶ μόνος ἀνὴρ ὅστις ποτέ ἐστιν (χρῆν γὰρ ἴσως καὶ ἐν ἄλλοις δή τισι τόποις Ἥρᾶς τινας ἱστορεῖσθαι θεατὰς ὧν οὗτος εἶδεν καὶ ἀγγέλους ἀνθρώποις ὧν ἤγγειλεν)— ἔοικεν οὖν, εἴτ’ αὐτός ἐστιν ὁ Κωλώτης εἴτ’ ἄλλος τοῦ μύθου τοῦτον τὸν τρόπον κατήγορος, ἀγνοεῖν ὡς ἄρα καὶ εἰσὶν καὶ ἔσονται πολλαχοῦ γῆς τῶν θείων καὶ ταῖς αἰσθήσεσιν ἡμῶν ἀλήπτων ἐξηγηταὶ κατά τινας θείας τε καὶ δαιμονίας ἐπιπνοίας· οἱ μὲν μετὰ τοῦ σώματος τῶν τοιούτων ἵστορες, ὥσπερ Ἐμπεδότιμον λόγος, οἱ δὲ ἄνευ σώματος, ὥσπερ τὸν Ἀθηναῖον Κλεώνυμον· καὶ πλήρεις αἱ παραδόσεις τούτων.

in R.2.122 εἰ δὲ [μὴ πλείο]νές εἰσιν αὐτοπτικαὶ τῶν ὄντων [ἐν] ἡμῖν καταλήψεις, οὐδὲν θαυμαστόν· [σώμα]σι γὰρ χρώμενοι καὶ τούτοις ἐνύλο[ις ὀλίγοι] καὶ ἐν πολλῷ χρόνῳ τούτων ἀπολαύειν ἄνθρωποι δύνανται, καὶ διὰ τοῦτο καὶ ὁ Ἐμπεδότιμος σπάνιος καὶ ὁ Κλεώνυμος καὶ εἰ δή τις ἄλλος τῶν τοιούτων θεαμάτων λέγεται τυχεῖν· τὸ γὰρ τὴν ἀνθρωπίνην ζωὴν ὑπὲρ ἄνθρωπον ἐνεργεῖν ὀλίγοις δή τισι καὶ εὐαριθμήτοις ὑπάρχειν εἰκός. Ἀναβιοὺς δὲ ἔλεγεν ἃ ἐκεῖ ἴδοι · ἔφη

δ έ , ἐπειδὴ οὖν ἐκβῆναι τὴν ψυχή ν , πορεύεσθαι μετὰ πολλῶ ν , καὶ ἀφικνεῖσθαι σφᾶς εἰς τόπον τινὰ δαιμόνιον [p. 614bc]. ⟦ ἐν ᾧ τῆς τε γῆς δύο εἶναι χάσματα ἐχομένω ἀλλήλοιν καὶ τοῦ οὐρανοῦ ⟧ . Τὴν μὲν ἀναβίωσιν τοῦ Ἠρὸς οὐκ ἄλλην ἢ τὴν εἴσοδον εἰς τὸ σῶμα τῆς χωρισθείσης ψυχῆς εἶναι λέγοντες ὀρθῶς ἐροῦμεν· βίος γάρ ἐστιν αὐτῆς ἡ κοινὴ ζωὴ μετὰ τοῦ σώματος· ταύτης οὖν τὴν ἀνάκτησιν ἀναβίωσιν ἐκάλεσεν, μεταβολὴν οὖσαν ἀπὸ τῆς ἰδίας ζωῆς ἐπὶ τὴν κοινὴν καὶ σύνθετον. ὅτι δὲ καὶ ἐξιέναι τὴν ψυχὴν καὶ εἰσιέναι δυνατὸν εἰς τὸ σῶμα, δηλοῖ καὶ ὁ παρὰ τῷ Κλεάρχῳ τῇ ψυχουλκῷ ῥάβδῳ χρησάμενος ἐπὶ τοῦ μειρακίου τοῦ καθεύδοντος καὶ πείσας τὸν δαιμόνιον Ἀριστοτέλη, καθάπερ ὁ Κλέαρχος ἐν τοῖς περὶ ὕπνου φησίν, περὶ τῆς ψυχῆς, ὡς ἄρα χωρίζεται τοῦ σώματος καὶ ὡς εἴσεισιν εἰς τὸ σῶμα καὶ ὡς χρῆται αὐτῷ οἷον καταγωγίῳ· τῇ γὰρ ῥάβδῳ πλήξας τὸν παῖδα τὴν ψυχὴν ἐξείλκυσεν καὶ οἷον ἄγων δι’ αὐτῆς πόρρω τοῦ σώματος ἀκίνητον ἐνέδειξε τὸ σῶμα καὶ ἀβλαβὲς σῳζόμενον ἀναισθητεῖν προς .

in R.2.123 .. 15 ... γραφόντων ὅμοιον ἀψύχῳ· ἐκείνην δὲ μεταξὺ διενεχθεῖσαν πόρρω τοῦ σώματος ἐγγύθεν αὐτῆς ἀγομένης πάλιν τῆς ῥάβδου μετὰ τὴν εἴσοδον ἀπαγγέλλειν ἕκαστα. τοιγαροῦν ἐκ τούτων πιστεῦσαι τούς τε ἄλλους τῆς τοιαύτης ἱστορίας θεατὰς καὶ τὸν Ἀριστοτέλην χωριστὴν εἶναι τοῦ σώματος τὴν ψυχήν. Τοῦτο μὲν οὖν ὅπερ λέγω, τὸ τὴν ψυχὴν ἐξιέναι τε δύνασθαι τοῦ σώματος καὶ αὖθις εἰσιέναι καὶ ἔμπνουν ποιεῖν ὅπερ ἀπελελοίπει, ταῦτά τε δηλοῖ πάλαι τοῖς ἡγεμόσιν τοῦ Περιπάτου γεγραμμένα, καὶ ὅσα τοῖς ἐπὶ Μάρκου θεουργοῖς ἐκδέδοται πίστιν ἐναργῆ πορίζει τοῦ λόγου. καὶ γὰρ ἐκεῖνοι διὰ δή τινος τελετῆς τὸ αὐτὸ δρῶσιν εἰς τὸν τελούμενον· καὶ ἔστι πᾶν τὸ τοιοῦτον οὐκ ἀνθρώπινον, ἀλλὰ δαιμόνιον τὸ μηχάνημα καὶ θεῖον. ὥστ’ οὐδὲν ἂν εἴη θαυμαστόν, εἰ καὶ τῶν προκειμένων θεαμάτων τὸν ἄγγελόν φησιν ὁ μῦθος οὐτοσὶ κατὰ τὴν τῶν κρειττόνων ἀγαθοειδῆ βούλησιν ἐξελθεῖν τε τοῦ σώματος ἀδιαφθόρου μένοντος καὶ ἐξελθόντα δύναμιν προσλαβεῖν θεωρὸν τῶν ἀοράτων ταῖς αἰσθήσεσιν ἡμῶν καὶ μνήμην ὧν εἶδεν καὶ ἔκφασιν· οὐ γὰρ τὴν τυχοῦσαν εἶναι ταύτην ψυχήν, ἀλλὰ τοῦτο παρὰ θεῶν γέρας λαβοῦσαν διὰ τὴν πρὸς τὰς ἄλλας ψυχὰς ὑπεροχήν, εἰ μὲν βούλει, καὶ αὐτῆς τῆς οὐσίας· εἰ δὲ τοῦτο δυσπαράδεκτον, διὰ τὸ τῆς ζωῆς θεοπρεπές· κωλύει μὲν γὰρ οὐδὲν καὶ κατ’ οὐσίαν αὐτὴν ἐκείνων διαφέρειν καὶ ὡς ἐγγυτέρω θεῶν οὖσαν [τετυχηκέ]ναι ταύτης 〈τῆσ〉 αὐτοψίας· ὥσπερ δὴ καὶ [περὶ ἄλ]λων ψυχῶν χρησμοὶ διδάσκαλοι [γεγόνα]σιν, ἄνωθεν αὐτὰς ἐξ ὑπερτέρων ἡκούσας σειρῶν καὶ τάξεων ἡγεμονικωτέρων ἐκφῆναι τῶν θείων ἀγαθῶν ταῖς ὑφειμέναις πολλὰ καὶ ἀλήπτων ἐκείναις.

in R.2.124 Εἰ δὲ καὶ τοῦτο λέγοι τις ἄδηλον, ἐκεῖνό γε παντὶ γνώριμον, ὅτι τὴν παροῦσαν ζωὴν ἀνάγκη τὸν ἄγγελον τούτων ὑπερέχουσαν προστησάμενον τῶν ὁμοταγῶν ἄξιον πεφηνέναι τῆς ἀγγελικῆς ταύτης τάξεως πρὸς ἐκείνας. καὶ γὰρ ὁρᾶν ἔξεστιν, ὅπως ἡ μέθεξις τῆς κατὰ πρόνοιαν δόσεως, ἄνωθεν ἀπ’ αὐτῶν ἠργμένη τῶν θεῶν, καὶ ἡ κατὰ νοῦν ἐκφαντορικὴ τῶν θείων δύναμις κατὰ μικρὸν ὑφιζάνουσα πρόεισι διὰ τῶν μέσων, ἐν οἷς τὸ προσεχὲς δήπου τοῖς θεοῖς ὁμοιότερον ὂν αὐτοῖς τῶν πορρώτερον οὕτω διαπορθμεύει τὴν παρ’ ἐκείνοις ἱδρυμένην ἀλήθειαν· πρῶτος μὲν οὗτος ὁρᾷ τὰ θεῖα· μετὰ δὲ τοῦτον παρέχονται τὴν αὐτοφανῆ γνῶσιν δι’ ἀκοῆς, οἷς ἐκεῖνος ἐξήγγειλεν· εἶθ’ οἱ μετ’ ἐκείνους παραδεξάμενοι καὶ ἀπ’ ἐκείνων περὶ ὧν ἤκουσαν τὴν φήμην. τοῦτο δὲ τεκμήριον ἐναργὲς τοῦ πορρώτερον ἢ ἐγγύτερον ὄντος αὐτῶν τῶν θείων φασμάτων· οἷς ὁ πρώτιστος ὁμιλήσας δήπου τῶν ἄλλων θεοειδέστερος. οὐδὲ γὰρ τὸ τὴν ἀκοὴν εὐτυχῆσαι τούτων ἄνευ τῆς ἐκ θεῶν καθηκούσης ἐγὼ θείην ἂν εὐμοιρίας, ὥστε πολλῷ μᾶλλον τὴν θείαν εἴς τινα τῆς ζωῆς ὑπερβολὴν εἰς ἄκρον ἀνήκουσαν ὑπάρχειν. Πῶς δεῖ νοεῖν τὸ εἰσιέναι καὶ ἐξιέναι ψυχὴν ἀπὸ σώματο ς .

in R.2.125 Ἀλλὰ καὶ τὸ ἐκβῆναι αὖ τὴν ψυχὴν κοινὸν μὲν ἔχει τὸν ἀπολογισμόν· οὐ γὰρ ἡ ἔκβασις ὡς ἐν τόπῳ τῆς ψυχῆς οὔσης (ἀσώματος γάρ), οὔτε ὡς ἐν ὑποκειμένῳ οὔσης, διότι πᾶσα χωριστὴν

ἔχει σώματος οὐσίαν· ἀλλὰ εἴσοδος μὲν αὐτῆς ἡ πρὸς αὐτὸ καλεῖται σχέσις, ἔξοδος δὲ ἡ τῆς σχέσεως ἀπόλυσις, οὐ τῆς ζωτικῆς, ἣν προστίθησιν διὰ τὴν νεῦσιν καὶ τὴν πρὸς τὸν δεσμὸν συμπάθειαν, ἀλλὰ τῆς φυσικῆς, περὶ ἧς ὁ Τίμαιος εἴρηκεν, ὅτι κατερριζοῦντο τῆς ψυχῆς οἱ τοῦ βίου δεσμοὶ περὶ τὸν μυελόν [p. 73d]· ἴδιον δὲ 〈τοῦ〉 ταῦτα λέγοντος, ὅτι προσελάμβανεν ἐκ τῶν θεῶν καὶ ζωὴν θεοπρεπεστέραν παρακολουθεῖν πᾶσιν αὐτὸν ποιοῦσαν, τοῖς δικάζουσι τοῖς δικαζομένοις, τοῖς δρῶσιν τοῖς πάσχουσιν, τοῖς τόποις τοῖς χρόνοις, τοῖς λόγοις τοῖς ἔργοις· τούτων γὰρ ἁπάντων αὐτὸν ἐσόμενον θεατὴν ἔδει τινὰ κρείττονα μοῖραν λαβεῖν παρὰ τῶν κρειττόνων, οἷς ἔμελεν ἄγγελον αὐτὸν καταστῆναι τῶν θεαμάτων ἐκείνων ἀνθρώποις. Ἔτι τοίνυν τὴν πορείαν δεῖ μὴ παρέργως ἀκοῦσαι τοῦ μύθου προσθέντος, ἀλλὰ συννοήσαντας εἰπεῖν, ὡς ἄλλη μέν ἐστιν αὐτῶν τῶν ψυχῶν ζωτική τις οὖσα μετάβασις ἀπὸ τοῦ ἐν κατατάξει βίου πρὸς τὸν ἄσχετον, ἣν ἀπεικάζων ταῖς κατὰ τόπον κινήσεσιν πορείαν ὁ μῦθος προσείρηκεν (πασῶν γὰρ τῶν σωματοειδῶν κινήσεων ἐν τῇ ψυχῇ τὰ παραδείγματα προϋφέστηκεν)· ἄλλη δὲ τοπική τις οὖσα μετὰ τοῦ σώματος κίνησις εἰς κριτήρια πορευομένου ἐν ταῖς ἐξόδοις, τοπική τις ἤδη τῆς ψυχῆς πορεία ἔξω τε καὶ εἴσω γινομένου τοῦ σωματικοῦ αὐτῆς καὶ πορευομένου κατά τε ὕψη καὶ βάθη τοῦ κόσμου, συνεπαιρομένου τῇ ψυχῇ καὶ συγκαταφερομένου καὶ μέχρι τῶν τῆς γῆς μυχῶν· περὶ γάρ τοι τῶν τοιούτων ὀχημάτων καὶ ὁ ἐν Φαίδωνι μῦθος [p.

in R.2.126 113d sqq.] ἔλεγεν, ὡς ἄρα ἀναβᾶσαι αἱ ψυχαὶ ἐπ᾽ αὐτὰ εἰς τὸν Ἀχέροντα φέρονται, καὶ ὡς ἐμβριθῆ μέν ἐστι καὶ σκοτεινὰ τὰ τῶν πολλῶν, ἀϋλότερα δὲ καὶ καθαρώτερα ὀλίγων δή τινων. Ἔστι δὴ οὖν ἡ πορεία καὶ ἀσώματος καὶ σωματική, ζωτική τε καὶ τοπική· καὶ ἡ ἑτέρα τῆς ἑτέρας εἰκών, δῆλον δὲ ποτέρα ποτέρας. πᾶσα μὲν δὴ ψυχὴ γλίχεται τοῦ ἄνω κατὰ φύσιν, ὡς εἰς οἰκεῖον ὁρμῶσα τόπον μετὰ τὴν ἐκ τοῦ ὀστρεώδους σώματος ὁρμήν· κατασπώμεναι δὲ ὑπὸ τῶν συντρόφων τοῖς σώμασι παθῶν εἰς τὸ κάτω βρίθουσιν· δηλοῖ δὲ καὶ τὸ λόγιον ταῦτα διδάσκον· πάσας μὲν γὰρ ἔχει γλυκερὸς πόθο ς , ὥς κεν Ὄλυμπον ἀθανάτοισι θεοῖσι συνέμποροι αἰὲν ἔχωσιν · οὐ πάσαις δὲ θέμις ἐπιβήμεναι τῶνδε μελάθρω ν . εἶτα τοῦ λαμβάνοντος τοὺς χρησμοὺς διὰ πλειόνων ἐκδοθέντας ἐρομένου, τίς οὖν ἐστιν ὁ τυγχάνων τῆς εἰς θεοὺς ἀνόδου, καὶ εἰ ὁ τὸν θυτικὸν βίον μάλιστα προστησάμενος, ἐπάγει πάλιν ὁ θεός· οὐχ ὅστις σπλάγχνοισιν ἐπίφρονα θήκατο βουλή ν , ἤδη καὶ πρὸς Ὄλυμπον ἀποσκεδάσας τόδε σῶμα ᾖξεν ἀειρόμενος ψυχῆς κούφαις πτερύγεσσι ν , ἀλ λ ᾽ ὅστις σο [φ] … 100 .. ἀληθῆ κατὰ τὴν τῶν θεῶν μήνυσιν, πάσαις μέν ἐστιν ὁρμή τις εἰς τὸ ἄναντες ἐξελθούσαις ταῖς ψυχαῖς εἰς τὸ φύσει συγγενὲς διὰ τὴν ὁμοιότητα τὴν πρὸς τὸ θεῖον, ἣν ἔχουσι πᾶσαι κατ᾽ οὐσίαν· κατασπῶνται δὲ ὑπὸ τῶν ηὐξημένων τινὲς ἐν αὐταῖς ἀλόγων καὶ ἀγρίων θρεμμάτων εἰς τὸν ἐκεῖνοις οἰκεῖον τόπον τὸν χθόνιον· δεῖ γὰρ τὸ ὅμοιον πᾶν φέρεσθαι πρὸς τὸ ὅμοιον, νικᾶν δὲ ἐν ταῖς κινήσεσι τὸ πλεονεκτοῦν.

in R.2.127 ὥστ᾽ εἰκότως πορεύεσθαι λέγει μετ᾽ ἄλλων εἰς τὸν δαιμόνιον τόπον ὑπὲρ γῆς ὄντα, κἄν τινες αὐτῶν ἀξίως ὦσιν βεβιωκυῖαι τῶν ὑπὸ γῆς δικαιωτηρίων· ἡ γὰρ τάσις ἐκείνων ὀρεγομένων τοῦ δίκης τυχεῖν πασῶν, ἡ δὲ ἀξία πρὸς τὸν οἰκεῖον ἕλκει κλῆρον ἑκάστην. γίνεσθαι μὲν οὖν καὶ τοῦτο πιθανὸν καὶ ἅμα πλείους ψυχὰς ἄλλας ἐξ ἄλλων τόπων εἰς τὸν δικαστικὸν τόπον συντρέχειν, εἴπερ οἱ αὐτοὶ δικασταὶ πάσαις δικάζουσιν. οὐδὲν δὲ θαυμαστὸν τὸν Ἦρα μετὰ πολλῶν πορεύεσθαι ψυχῶν· ἔτι μᾶλλον ἴσως τῶν ἐν τῷ πολέμῳ τετελευτηκότων, οὓς καὶ διαφθαρῆναί φησιν ὁ μῦθος, διὰ τὴν αὐτὴν περίστασιν ἐκβεβηκυιῶν ἀπὸ τῶν σωμάτων, καὶ ὁμοπαθῶν ἀλλήλαις οὐσῶν καὶ μετὰ τὴν τελευτὴν συναγελαζομένων ἀλλήλαις καὶ κοινὴν τὴν ὁρμὴν ἐπὶ τὸν τόπον τὸν δικαστικὸν ποιουμένων· καὶ τῆς ἱστορίας τούτοις μαρτυρούσης λέγομεν τὴν αὐτὴν πορείαν τῶν ἀποθανόντων εἶναι, ἐν τῷ αὐτῷ χρόνῳ τε ἐλθουσῶν ἐν τῇ πρὸς τοὺς δικαστὰς ἀπαντήσει .. 8 .. ων εἰς τὸ αὐτὸ πασῶν· καὶ γὰρ ἐν πολέμῳ ἅμα τινῶν ἀπολομένων καὶ ἐν ναυαγίῳ καὶ ἐν πόλεων κατασεισθεισῶν κοιναῖς φθοραῖς ὤφθησαν ἀγέλαι

ψυχῶν τισιν τῶν τὰ αὐτὰ παθουσῶν ἀπαγγέλλουσαι τὰς ἑαυτῶν συμφορὰς τοῖς προστυχέσιν αὐταῖς γενομένοις. Εἰ δὲ, ὡς ἐν Φαίδωνι μεμαθήκαμεν [p. 107d], οὐχὶ τῶν ψυχῶν αἱ ὁρμαὶ μόνον, ἀλλὰ καὶ οἱ λαχόντες αὐτὰς ἄγουσι δαίμονες, κινοῦντες ἑκάστην ἐφ' ὃν δεῖ τόπον ἐλθεῖν, ὥστε καὶ οἷον αὐτομάτως φέρεσθαι καὶ ἀπροαιρέτως, ἔχοι ἂν καὶ ταύτῃ πολλὴν ὁ τοῦ Ἠρὸς λόγος ἀλήθειαν.

in R.2.128 Ἀλλὰ τίς ὁ δαιμόνιος τόπος ἐστίν, εἰς ὃν ἡ ἄφιξις; καὶ εἰ οὗτός ἐστιν, ὃν καὶ ὁ ἐν Γοργίᾳ [p. 524a] λέγει μῦθος, δικάζειν πού φησιν καὶ ἐκεῖνος ἐν τῷ λειμῶνι τὸν Μίνω καὶ τὸν Ῥαδάμανθυν καὶ τὸν Αἰακὸν τρίτον ἐν τῇ τριόδῳ. καὶ εἰ ὁ αὐτὸς τόπος ὑπ' ἀμφοτέρων λέγεται τῶν μύθων, πῶς ἀλλήλοις οἱ δικασταὶ συμβαίνουσιν, αἱ ἡρωϊκαὶ ψυχαὶ τοῖς δαίμοσιν; ὁ γάρ τοι δαιμόνιος τόπος ἀπὸ τῶν δαιμόνων ἔχων τὴν προσηγορίαν εἰς δαίμονας ἔοικεν ἀναπέμπειν τοὺς δικαζομένους. Ὅτι μὲν οὖν οὐ πάντα πάντες οἱ περὶ τῶν ἐν Ἅιδου μῦθοι τῷ Πλάτωνι ποιηθέντες ἐκδιδάσκουσιν, δῆλον. ὃ μὲν γὰρ τοὺς δικαστὰς ἐπ' αὐτῶν κηρύττει τῶν ὀνομάτων, ὥσπερ ὁ ἐν Γοργίᾳ ῥηθείς, ὃ δὲ τὸν τόπον φράζει διαφερόντως, ὥσπερ ὅδε ὁ μῦθος (ἐν Γοργίᾳ μὲν γὰρ εἴρηται τοσοῦτον, ὅτι δικάζουσιν ἐν τῷ λειμῶνι καθήμενοι πάντες ἐν τῇ τριόδῳ· νυνὶ δὲ τίς οὗτος ὁ τόπος, ὅτι μεταξὺ γῆς καὶ οὐρανοῦ, λέλεκται σαφῶς), ὃ δὲ τὰ ῥεύματα τῆς δίκης καὶ τοὺς ποταμοὺς ἐπεκδιηγεῖται τοὺς ὑπὸ γῆς, ὥσπερ ὁ ἐν Φαίδωνι [111d]. πάντα δὲ ὁμοῦ τῷ νῷ συλλαβόντες ἕξομεν τοὺς δικαστάς, τὸν τόπον τῶν δικαστῶν, τὰς λήξεις τὰς ὑπ' αὐτῶν ἀφοριζομένας. Ἀλλὰ τὰ μὲν εἰσαῦθις ζητήσομεν ἡμεῖς· τὸν δὲ δὴ τόπον, ὃν ἐξύμνησεν ἐν τοῖς προκειμένοις δαιμόνιον εἰπών, τίνα δεῖ φάναι, πρὸς ἡμᾶς αὐτοὺς εἴπωμεν. Νουμήνιος μὲν γὰρ τὸ κέντρον εἶναί φησιν τοῦτον τοῦ τε κόσμου παντὸς καὶ τῆς γῆς, ὡς μεταξὺ μὲν ὂν τοῦ οὐρανοῦ, μεταξὺ δὲ καὶ τῆς γῆς· ἐν ᾧ καθῆσθαι τοὺς δικαστὰς καὶ παραπέμπειν τὰς μὲν εἰς οὐρανὸν τῶν ψυχῶν, τὰς δὲ εἰς τὸν ὑπὸ γῆς τόπον καὶ τοὺς ἐκεῖ ποταμούς· οὐρανὸν μὲν τὴν ἀπλανῆ λέγων καὶ ἐν ταύτῃ δύο χάσματα, τὸν αἰγόκερω καὶ τὸν καρκίνον, τοῦτον μὲν καθόδου χάσμα τῆς εἰς γένεσιν, ἀνόδου δὲ ἐκεῖνον, ποταμοὺς δὲ ὑπὸ γῆς τὰς πλανωμένας (ἀνάγει γὰρ εἰς ταύτας τοὺς ποταμοὺς καὶ αὐτὸν τὸν Τάρταρον)· καὶ ἄλλην πολλὴν ἐπεισάγων τερατολογίαν, πηδήσεις τε ψυχῶν ἀπὸ τῶν τροπικῶν ἐπὶ τὰ ἰσημερινὰ καὶ ἀπὸ τούτων εἰς τὰ τροπικὰ καὶ μεταβάσεις, ἃς αὐτὸς πηδῶν ἐπὶ τὰ πράγματα μεταφέρει, καὶ συρράπτων τὰ Πλατωνικὰ ῥήματα τοῖς γενεθλιαλογικοῖς καὶ ταῦτα τοῖς τελεστικοῖς· μαρτυρούμενος τῶν δύο χασμάτων καὶ τὴν Ὁμήρου ποίησιν οὐ μόνον λέγουσαν [Od.

in R.2.129 ν 110—112] τὰς μὲν πρὸς βορέαο καταιβατὰς ἀνθρώποισιν ὁδούς, ἐπείπερ ὁ καρκίνος εἰς αἰγόκερον προσελθὼν ἀποτελεῖ· τὰς δὲ πρὸς νότον [εἶναι θειοτέρας], δι' ὧν οὐκ ἔστιν ἀνδράσιν [εἰσελθε]ῖν, ἀθανάτων δὲ μόνον ὁδοὺς αὐτὰς ὑπάρχειν· ὁ γὰρ αἰγοκέρως ἀνάγων τὰς ψυχὰς λύει μὲν αὐτῶν τὴν ἐν ἀνδράσι ζωήν, μόνην δὲ τὴν ἀθάνατον εἰσδέχεται καὶ θείαν· οὐ ταῦτα δ' οὖν μόνον, ἀλλὰ καὶ ἡλίου πύλας ὑμνοῦσαν καὶ δῆμον ὀνείρων [Od. ω 12], τὰ μὲν δύο τροπικὰ ζῴδια πύλας ἡλίου προσαγορεύσασαν, δῆμον δὲ ὀνείρων, ὥς φησιν ἐκεῖνος, τὸν γαλαξίαν. καὶ γὰρ τὸν Πυθαγόραν δι' ἀπορρήτων Ἅιδην τὸν γαλαξίαν καὶ τόπον ψυχῶν ἀποκαλεῖν, ὡς ἐκεῖ συνωθουμένων· διὸ παρά τισιν ἔθνεσιν γάλα σπένδεσθαι τοῖς θεοῖς τοῖς τῶν ψυχῶν καθάρταις καὶ τῶν πεσουσῶν εἰς γένεσιν εἶναι γάλα τὴν πρώτην τροφήν.

in R.2.130 τὸν δὲ δὴ Πλάτωνα διὰ μὲν τῶν χασμάτων, ὡς εἴρηται, δηλοῦν τὰς δύο πύλας, διὰ δὲ τοῦ φωτός, ὃ δὴ σύνδεσμον εἶναι τοῦ οὐρανοῦ, τὸν γαλαξίαν· εἰς ὃν ἀνιέναι δι' ἡμερῶν δυοκαίδεκα τὰς ψυχὰς ἀπὸ τοῦ τόπου τῶν δικαστῶν· ἦν δὲ ὁ τόπος τὸ κέντρον. ἐντεῦθεν τοίνυν ἀρχομένην τὴν δυωδεκάδα τελευτᾶν εἰς τὸν οὐρανόν· ἐν ᾗ τὸ κέντρον εἶναι, τὴν γῆν, τὸ ὕδωρ, τὸν ἀέρα, τὰς ἑπτὰ πλανωμένας, αὐτὸν τὸν ἀπλανῆ κύκλον. εἶναι δ' οὖν τὰ τροπικὰ ζῴδια, τὰ χάσματα τὰ διπλᾶ, τὰς δύο πύλας ὀνόματι διαφέροντα μόνον, καὶ πάλιν τὸν γαλαξίαν, τὸ φῶς τὸ τῇ ἴριδι προσφερές, τὸν δῆμον τῶν ὀνείρων ταὐτόν. ὀνείροις γὰρ ἀπεικάζειν τὰς ἄνευ σωμάτων ψυχὰς

καὶ ἄλλοθι τὸν ποιητήν, ταῖς ψυχαῖς αἷς ἐφέστηκεν ἀνε .. 75 .. φημί .. 9 .... [ἀλλὰ πῶς] ἄν τις ἀποδέξαιτο τὴν πρὸς τ[ὰς αὐτοῦ] τοῦ Πλάτωνος ῥήσεις αὐτοῦ διαφωνί[αν· τού]των γὰρ πέρι καὶ ἡμῖν πρόκειται λέγειν. ὃ μὲν γὰρ τὸν δαιμόνιον τόπον εἶναί φησιν τὸ κέντρον, ὃ δὲ ἐν τῷ μεταξὺ τοῦτον ἔθετο γῆς καὶ οὐρανοῦ, καὶ οὐ γῆς ἰδίᾳ μόνον οὐδὲ οὐρανοῦ μόνον· καὶ ὃ μὲν γῆν ταύτην τιθέμενος, ἐφ' ἧς βεβήκαμεν, εἰς τοὺς ὑπ' αὐτὴν ἄγει ποταμούς, ὃ δὲ ἐν οὐρανῷ τίθεται τοὺς ποταμοὺς καὶ κολάσεις ἐκεῖ ψυχῶν, παρ' οἷς ἡ μακαριστὴ ζωὴ τῶν ψυχῶν—δηλοῖ δὲ ὁ Τίμαιος [p. 42b] τὴν εἰς τὸ σύννομον ἄστρον ἀποκαταστᾶσαν εὐδαίμονα βίον λέγων ἕξει ν , καὶ ὁ ἐν Φαίδρῳ [p. 249a] Σωκράτης τὰς μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια λέγων χωρεῖν (ὅπου καὶ οἱ ποταμοὶ πάντες καὶ αὐτὸς ὁ Τάρταρος, ὡς ἐν Φαίδωνι διδασκόμεθα), τὰς δὲ εἰς τοῦ οὐρανοῦ τινα τόπον ὑπὸ τῆς Δίκης κουφισθείσας διάγειν ἀξίως οὗ ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίου · δι' ὧν πολλοῦ δεῖ τοὺς ὑπὸ γῆν ποταμοὺς εἰς τοὺς πλάνητας ἀνάγειν—ἔτι τοίνυν ὃ μὲν εἰς πάντα τὸν οὐρανὸν ἀνάγει τὰς ἀποκαθισταμένας (καὶ γὰρ περὶ πάντας νενεμῆσθαι τοὺς ἀστέρας ὑπὸ τοῦ πατρὸς διαιρεθείσας ἰσαρίθμους τοῖς ἄστροι ς) , ὃ δὲ μόνον τὸν γαλαξίαν ἐκ τῶν ψυχῶν συμπληροῖ τῶν ἐντεῦθεν εἰς οὐρανὸν ἀναβεβηκυιῶν· καὶ ὃ μὲν τὰς εὐδαίμονας οὔ φησι χωρεῖν εἰς τὸν ὑποχθόνιον τόπον, ὃ δὲ ἄγειν ἀναγκάζεται πρῶτον εἰς ἐκεῖνον, εἴπερ πᾶσαν ψυχὴν εἰς τὸν δικαστὴν χωρεῖν πρῶτον δεῖ, ἔπειτα εἰς τὸν οὐράνιον τόπον ἀνελθεῖν, ὅπου γε διάγουσιν αἱ ψυχαὶ εὐδαιμόνως.

in R.2.131 καὶ γὰρ ἐπὶ ταῖς δίκαις καὶ δαιμόνων καὶ τόπων καὶ πραγμάτων δεῖ καὶ τὸν [δαιμόνιον] τόπον ὥσπερ λέγεται μέσον ὑποτίθεσθαι γῆς καὶ οὐρανοῦ, τοῦ μὲν θεῶν ὄντος τόπου, τῆς δὲ τὰ θνητὰ γεννώσης καὶ τρεφούσης. μέσος δὲ οὐρανοῦ καὶ γῆς τόπος ἐστίν, ὅστις πᾶσαν ἔξωθεν περιέχων τὴν γῆν ἄκρα τε αὐτῆς καὶ μέσα καὶ πολλῷ μᾶλλον τὰ ἔσχατα περικλείων ὑπέζωκεν τὸν οὐρανόν· οὐ γὰρ τινός, ἀλλὰ πάσης, οὐδὲ τινὸς οὐρανοῦ μέσος ἐστίν, ἀλλὰ παντός· ὥστε μετὰ πάντα μὲν τὸν οὐρανὸν ἔσται, πάσης δὲ ὑπερανέχων τῆς γῆς, καὶ οὐ τῶν κοιλωμάτων αὐτῆς μόνων, ἐν οἷς ἡμεῖς οἰκοῦμεν, ἀλλὰ καὶ τῶν ἄκρων, ἐν οἷς τίθησι ψυχῶν εὐδαιμόνων λήξεις οὔπω τελέως ἀποδυσαμένων τὰ ὑλαῖα σώματα, καθάπερ ἐν Φαίδωνι [p. 114b] μεμαθήκαμεν. εἰ δὲ δεῖ ταῦτα προσίεσθαι, μόνος δὲ ὁ αἰθὴρ ὑπὸ τὸν οὐρανὸν ὢν κύκλῳ περιρρεῖ τὴν γῆν ὅλην, οὗτός ἐστιν ὁ δαιμόνιος τόπος, ἐν ᾧ καὶ οἱ δικασταὶ καθήμενοι μεταξὺ γῆς καὶ οὐρανοῦ καὶ ἡ τρίοδος αὕτη τῶν ψυχῶν καὶ ἡ συναφὴ τῶν χασμάτων τῶν τε εἰς γῆν τεινόντων καὶ τῶν εἰς οὐρανόν.

in R.2.132 ἀλλ' ὅταν μὲν καλῆται τρίοδος, εἰς τὰς τριπλᾶς ἀνάγεται ζωὰς τῶν ψυχῶν, τὴν εἰς τὰ ἄκρα τῆς γῆς εὐδαιμόνων οὖσαν θεατῶ ν , τὴν εἰς τὸν ὑπόγειον τόπον κολαζομένων οὖσαν, τὴν εἰς γένεσιν ἀμφοῖν μεσότητα συμπληροῦσαν, ἣ καὶ ἄλλως τὴν οὐρανίαν, τὴν χθονίαν, τὴν ὑποχθονίαν, ἃς ἡ δικαστικὴ ψῆφος διατάττει· ἡ μὲν γὰρ τῆς ἀπολαύσεως καὶ εὐδαιμονίας ζωὴ ἐν οὐρανῷ ὡς θεία τίθεται, ἡ δὲ τῆς δίκης εἰς τὴν μέσην φέρεται χώραν, ἡ δὲ τῆς ποινῆς ἀξία διὰ τοῦ ξίφους ὑπὸ γῆς· ὅταν δὲ αὖ τῶν τεττάρων λέγηται χασμάτων κοινὸν σημεῖον, διπλᾶς ἀφανῶν ἔχει λήξεων ὁδούς, οὐρανίαν καὶ χθονίαν, καὶ διπλᾶς καθόδων εἰς γένεσιν, κατὰ δίκην ἑκατέρων ἀποτελουμένων. καὶ γὰρ αἱ λήξεις ὁρίζονται παρ' αὐτῶν καὶ ἀπ' ἐκείνων εἰς τὴν γένεσιν αὖθις ὁδοὶ γίνονται μετὰ τὰς περιόδους, ἃς ἀφωρίσαντο ἐκεῖνοι. Τὸ μὲν οὖν τὸν δαιμόνιον τόπον δικαστικὸν εἶναι τόπον ἀπὸ τῶν ἐν τῷδε τῷ μύθῳ γεγραμμένων δῆλον, ἀφικνεῖσθαι φάντος αὐτοῦ μετὰ πολλῶν ἔς τινα δαιμόνιον τόπον, δικαστὰς δὲ ἐν αὐτῷ καθῆσθαι. τὸ δὲ μηδὲν τοῦτον διαφέρειν τῆς τριόδου τὸν ἐν Γοργίᾳ μῦθον ἡμᾶς διδάσκειν φήσομεν· ἐν γὰρ τῇ τριόδῳ καθῆσθαί φησιν ἐκεῖνος τοὺς δικαστάς. εἰ δὲ ἐκεῖνος καὶ τὸν λειμῶνα τῇ τριόδῳ συνῆψεν εἰπὼν ἐν τῷ λειμῶνι δικάζειν αὐτοὺς ἐν τῇ τριόδῳ, παντὶ δήπου γνώριμον, ὅτι τὰ τρία τὸν αὐτὸν δηλοῖ τοῦ κόσμου τόπον, ὁ δαιμόνιος, ἡ τρίοδος, ὁ λειμών.

in R.2.133

μεταξὺ δὲ οὐρανοῦ καὶ γῆς ὁ δαιμόνιος, ὥστε καὶ ἡ τρίοδος καὶ ὁ λειμών. ὁ δὲ αἰθήρ ἐστι μόνος ἀμφοῖν μέσος, ὡς δέδεικται διὰ τῶν ἐν Φαίδωνι [p. 109c ss.] γεγραμμένων, οὐ τινὸς γῆς, ἀλλὰ τῆς ὅλης ὑπερηπλωμένος καὶ τοῦ οὐρανοῦ παντὸς. *** ὧν· διὸ καὶ αἰτιᾶται τοὺς πολλοὺς εἰς ταὐτὸν ἄγοντας αἰθέρα καὶ οὐρανόν. ἔστιν ἄρα καὶ ὁ δαιμόνιος τόπος καὶ ὁ λειμὼν καὶ ἡ τρίοδος οὐκ ἄλλο ἢ μέσον οὐρανοῦ παντὸς κατὰ Πλάτωνα· πλὴν τὸ μέσον ἀέρος καὶ γῆς ἀκρότης οὗτός ἐστιν ὁ ὑπὸ σελήνην τόπος. ὥστε καὶ λειμὼν εἰκότως ὀνομάζεται, τὰς ἀρχὰς τῆς γενέσεως περιέχων καὶ τῆς ἐν ὑγρῷ φερομένης φύσεως· μετ' αὐτῆς γὰρ ὁ ἀὴρ καὶ τὸ ὕδωρ καὶ ἡ γῆ, παρ' οἷς αἱ γενέσεις δι' ὑγρότητος ἐπιτελούμεναι καὶ τῆς ἐπικτήτου θερμότητος. εἰ δὲ καὶ προσεχῶς εἰς τὴν σεληνιακὴν ἀνήρτηται σφαῖραν, ἐν ᾗ τῆς γενέσεως αἰτίαι πάσης καί, ὥς φησίν τις ἱερὸς λόγος, τὸ αὔτοπτον ἄγαλμα τῆς φύσεως προσλάμπε ι , δῆλον δήπουθεν, ὅτι καὶ ταύτῃ λειμὼν εἰκότως ὀνομάζεται, δεξάμενος ἐκεῖθεν πρῶτος τὰς προόδους τῶν τὴν γένεσιν συγκροτούντων πνευμάτων· καὶ δὴ καὶ τρίοδος ψυχῶν τριπλᾶ προστησαμένων εἴδη ζωῆς κατὰ τὸν ὀρθὸν λόγον προσαγορεύεται, ἀνιουσῶν, πιπτουσῶν, καταδεδικασμένων· καὶ τὸ τρίτον δαιμόνιος τόπος, ὡς τὴν μέσην χώραν τοῦ κόσμου λαχών. πάλαι γὰρ τοὺς δαίμονας καὶ ἡ Μαντινικὴ ξένη τῶν τε ἀθανάτων μέσους ὡρίσατο καὶ τῶν θνητῶν ὑπάρχειν, μέσος δὲ καὶ ὁ αἰθὴρ ἀμφοτέρων τούτων ἐστίν. εἰ δὲ δὴ καὶ τοὺς ἐν τῇ Ἐπινομίδι [p. 984e] λόγους τις προσοῖτο τῷ αἰθέρι τοὺς δαίμονας ἀποδιδούσῃ καὶ ταῖς τε αἰσθήσεσιν ὀξυτέραις καὶ ταῖς διανοήσεσιν ἀχράντοις μειζόνως λεγούσῃ τὰ ἀνθρώπινα καθορᾶν, πάντως δήπου κἀκ τῶν ἐν ἐκείνῃ γεγραμμένων δαιμόνιον τόπον τὸν αἰθέρα λέγεσθαι παρὰ τοῦ Πλάτωνος οὐκ ἀπιστήσομεν.

in R.2.134 ἀλλ' ἡ μὲν Ἐπινομὶς νοθείας ὑπάρχουσα μεστὴ καὶ νοῦ μυστηριώδους τὸν νηπιόφρονα καὶ νῷ ἀρχαῖον ἀπατᾷ. ὅτι δὲ τοῦτο καὶ ἐξ ἄλλων δέδεικται τὸ τῆς ὁμονοίας τῶν γραμμάτων, παραστήσονται οἱ καθ' ἡμᾶς ταύτην εἶναι ψευδῆ τὴν ὑπόκρισιν τοὺς ἀμφὶ Πατέριον ἐξηγητάς, ἄνδρας ἡμῖν αἰδοίους, διότι καὶ ψυχὰς τὰς εὐδαίμονας 〈εἰσ〉 ἐκεῖνον ἀνάγει τὸν αἰθέρα, καὶ τὸν Φαίδωνα μάρτυρα προϊσχομένους (ἀληθὲς μὲν γάρ ἐστιν ὅ φασιν, ἀλλ' οὐ ταὐτόν), ὡς ἐπὶ δικαστικὸν τόπον ἀνιέναι τὸν αἰθέρα φαίην ἂν ἐγὼ καὶ ὡς ἐπὶ λῆξίν τινα ψυχῶν (τὸ μὲν γὰρ αὐτῶν ποιεῖ τόπον, τὸ δὲ τῶν δικαστῶν). ἐπεὶ καὶ τῶν οὐρανίων μετέχειν δυνατόν, ἀλλ' οὐχ ὡς οὐρανίους· γενόμενοι γὰρ ἐν οὐρανῷ γινόμεθα πάντως οὐράνιοι, μένοντες δὲ ὑπὸ τὸν οὐρανὸν μετέχειν οὐ κωλυόμεθα τῶν οὐρανίων· ὥστε καὶ εἰς τὸν αἰθέριον κλῆρον ὅταν μὲν ὡς εἰς δικαστικὸν ἀφικνώμεθα τόπον, διὰ τῆς πρὸς τοὺς δικαστὰς ἀνατάσεως τοῦτο λεγόμεθα πάσχειν, ὅταν δὲ ὡς εἰς λῆξιν ἡμῖν ἀπονεμομένην, ὅλοι τε ἐν αὐτῷ γιγνόμεθα καὶ ὡς ἡμέτερον αὐτὸν καταλαμβάνομεν. Τοῦτο μὲν οὖν ταύτῃ διωρίσαμεν. μηδεὶς δὲ οἰέσθω δαιμόνιον τόνδε τὸν τόπον ἀκούσας ἢ διαφωνεῖν ταῦτα τοῖς ἐν Γοργίᾳ γεγραμμένοις, ἐν οἷς φησιν τοὺς δικαστὰς τῶν ψυχῶν ἡρωϊκάς τινας εἶναι ψυχάς, ἢ μόνους δαίμονας καθῆσθαι τῶν βεβιωμένων δικαστάς, θεοὺς δὲ ταύτην μηδαμῶς εἰληχέναι τὴν μοῖραν· ἢ τὰς τῶν μετηλλαχότων ψυχὰς εἰς δαιμονίας τῷ Πλάτωνι διεξερχομένας ἐν Κρατύλῳ [p.

in R.2.135 397d], ὡς ἂν αὗται φέρωσι δικαστικὴν ψῆφον τῶν πεπρακότων ψυχῶν ἕκαστα τῶν εἰς τὴν τίσιν γενομένων· ἐν οἷς διαστέλλει θεοὺς δαιμόνων καὶ δαίμονας ἡρώων, τῶν ἐν Κρατύλῳ [p. 397d] διὰ τῶν ὀνομάτων ἐξηυπορημένων περὶ τῶν τριῶν τούτων γενῶν, τῶν ἐν Συμποσίῳ [p. 202e] περὶ τῆς τῶν δαιμόνων οὐσίας τε καὶ τάξεως πεφιλοσοφημένων, ὡς μέσης ὄντως οὔσης ἐν πᾶσι τοῖς ἐγκοσμίοις. ἀλλ' οὐτωσὶ δαιμόνιον τόνδε λεγέτω τὸν τόπον, ὡς μέσον τοῦ παντὸς καὶ συμπορευόμενον μὲν τῷ οὐρανῷ, περιρρέοντα δὲ κύκλῳ τὸν θνητὸν ὅλον χῶρον. προσήκει γὰρ τοῖς δαίμοσιν ἐν πάσαις λήξεσιν ἡ μεσότης, ὡς τοῖς θεοῖς ἡ ἀκρότης, ὡς, εἰ βούλει, ταῖς ψυχαῖς ἡ τελευτὴ τῆς ἀσωμάτου ζωῆς. ὥστε κἂν ἐν οὐρανῷ πάντες ὦσι, θεοὶ δαίμονες ψυχαί, θείως εἰσίν, ἐπείπερ ὁ οὐρανὸς ἔχει τὴν ἀκροτάτην τάξιν, κἂν ἐν τῷ αἰθέρι, δαιμονίως διὰ τὴν

μεσότητα τοῦ αἰθέρος, κἂν ἐν γῇ, ψυχικῶς διὰ τὴν ἐσχάτην ὕφεσιν πρὸς τὰ ἄνω τῆς γῆς, καὶ οὗ μὲν οὐρανίως, οὗ δὲ αἰθερίως, οὗ δὲ χθονίως ἡ τριάς. δαιμόνιος οὖν τόπος οὐχ ὡς μόνων δαιμόνων ὁ αἰθὴρ κλῆρος, ἀλλ' ὡς, κἂν θεοὶ δικαστικὴν ἐν αὐτῷ κληρωσάμενοι τάξιν ὦσιν ἢ ἄλλην ἰδιότητα προνοίας λαχόντες, κἂν δαίμονες ὑπηρετοῦντες ταῖς βουλήσεσι τῶν θεῶν, κἂν ψυχαὶ κατὰ σχέσιν δικαστικὴν προβεβλημέναι ζωήν, πάντων δαιμονίως ὄντων ἐκεῖ καὶ τὸ μέσον αὐτὸ τῆς ὑπάρξεως σύνθημα προτεινόντων· ὡς καὶ τοὺς ἐκεῖ θεοὺς μέσους εἶναι τῶν οὐρανίων θεῶν καὶ χθονίων, ὅταν ὑποληφθῶσιν ὡς προνοηταί, καὶ τὰς ψυχὰς τῶν κρειττόνων καὶ καταδεδικασμένων ψυχῶν, δι' ὧν συνδεῖται τὸ πᾶν· οὐ γάρ ἐστιν οὐσίας ὄνομα τὸ δαιμόνιον, ἀλλὰ μόνης σχέσεως, ἣν ἔχειν δεῖ πρὸς ἄμφω τὰ ἄκρα τὸ μέσον.

in R.2.136 [πῶς] γὰρ οὐχὶ καὶ θεῶν ἂν εἴη τόπος ἐκεῖνος, εἴπερ καὶ χθονίους ἐν Νόμοις [VIII 828c] θεοὺς θεραπεύειν ἐδιδάχθημεν; πῶς δ' οὐχὶ καὶ ψυχῶν μοῖραν ἐχουσῶν εὔμοιρον, εἴπερ εἰς ἐκεῖνον τὸν τόπον καὶ τὰ ἄκρα τῆς ἐν τῷ αἰθέρι γῆς δύνανται λήξεως μεταλαγχάνειν θείας, ὡς ἐν Φαίδωνι παρειλήφαμεν; πάντων οὖν εἷς τόπος ἐκεῖνος ὤν, θεῶν δαιμόνων ψυχῶν, ὡς ἂν μέσος ὤν, δαιμόνιος ἀπὸ τῆς τῶν λαχόντων αὐτὸν μέσης ὠνόμασται τάξεως. Τούτων δὲ ὡς οἶμαι διηρθρωμένων, τίς τε ἡ ἐπὶ τὸν δαιμόνιον τόπον ἄφιξις καὶ τίς ἐστιν αὐτὸς οὗτος, ὃν καλεῖ δαιμόνιον τόπον, καὶ διὰ τί ταύτην ἔχει τὴν ἐπωνυμίαν, λέγωμεν περὶ τῶν χασμάτων ἑπομένως· Ἐν ᾧ τῆς τε γῆς δ ύ ' εἶναι χάσματα ἐχομένω ἀλλήλοιν καὶ τοῦ οὐρανοῦ αὖ ἐν τῷ ἄνω ἀλλὰ κα τ ' ἀντικρ ύ , δικαστὰς δὲ μεταξὺ τούτων καθῆσθαι τῶν χασμάτων [p. 614c]. Τετράδα μὲν πεποίηκεν ὁ λόγος, ὡς τῇ τε δημιουργίᾳ πάσῃ συμβαίνουσαν καὶ τῷ τετραμερεῖ κόσμῳ καὶ ταῖς τέτταρσι τῶν ὅλων ἀρχαῖς συναρμοζομένην. ἄνωθεν γὰρ αὕτη δι' ὅλων διεξιοῦσα τῶν ἐγκοσμίων τὰ πάντα προσήγορα ἀλλήλοις κατεστήσατο καὶ τόν τε οὐρανὸν αὐτὸν τέτραχα διεῖλεν καὶ τὰ κέντρα διεστήσατο τοσαῦτα καὶ τὰ ὑπὸ τὸν οὐρανὸν στοιχεῖα διεκόσμησεν· ὥστε καὶ τὰς ψυχικὰς ζωὰς εἰκότως εἰς τέσσαρα διεμερίσατο γένη κατὰ τὴν τοῦ παντὸς διακόσμησιν τὴν δημιουργικήν· καὶ γὰρ ἡ ψυχὴ λόγων ἐστὶ μέτοχος, ἐκ μὲν τῆς δημιουργικῆς μεταδόσεως δεξαμένη τὸ πέρας καὶ τὴν ταυτότητα τῆς οὐσίας καὶ τὴν μόνιμον ἵδρυσιν τὴν ἐν ταῖς οἰκείαις ἀρχαῖς, ἐκ δὲ τῆς ζωογόνου δυάδος εἰς ἑαυτὴν εἰσιούσης καὶ ἀφ' ἑαυτῆς γεννώσης τὰ μεθ' ἑαυτὴν τὰς ποικίλας ζωὰς καὶ καθ' ἑτερότητα διϊσταμένας ἀλλήλων καὶ τὰς παντοίας προόδους καὶ τὰς ἀνελίξεις τῶν ζωτικῶν λόγων.

in R.2.137 ταῦτα δὲ ἀμφότερα μάλιστα τὴν ψυχικὴν τετράδα συνίστησιν περὶ τὸ μένον τὴν κίνησιν τῆς ψυχῆς καὶ περὶ τὸ πέρας τὴν ἀπειρίαν ἀφορίζουσαν. μένουσα γὰρ ἀεὶ ἡ αὐτὴ κατὰ τὴν οὐσίαν ἐξαλλάττει τὰς ζωάς, ἀνιοῦσα κατιοῦσα δυομένη κατὰ τῆς γῆς, ἀνίσχουσα ἐκεῖθεν καὶ διαύλους ἀποτελοῦσα καὶ περιόδους ἀπεράντους. καὶ μὴν καὶ ἡ διαίρεσις τῆς ζωτικῆς ταύτης τετράδος οὐκ εἰς μονάδα καὶ τριάδα γενομένη (δυνατὸν γὰρ ἦν καὶ οὕτως τὸν τέσσαρα τεμεῖν), ἀλλὰ δὶς δύο πάντως που ποιεῖ γνώριμον, ὅτι τὸ ὅλον εἶδος ἀφορίζει τῆς τετράδος ταύτης οὐχ ἡ μονάς (ὅπερ ἂν ἦν εἰς μονάδα καὶ τριάδα τῆς τομῆς οὔσης), ἀλλ' ἡ δυάς. καὶ γὰρ οὐκ ἔστιν οὐσιώδης, ἀλλὰ ζωῆς διαφορότης καὶ τῶν ἐν αὐτῇ κινήσεων· αἱ δὲ κινήσεις πρὸς τῆς ἀπειρίας εἰσὶ καὶ τῆς ἀορίστου δυάδος, ὡς ἂν οἱ Πυθαγόρειοι φαῖεν, καὶ τῶν θεολόγων πάλαι τὴν δυαδικὴν αἰτίαν τῶν ψυχῶν κινεῖν εἰς προόδους καὶ μερισμοὺς λεγόντων οὐ τὰς ψυχὰς μόνον (καὶ ταύτας μὲν γάρ) .... 70 .... προτέρας οὔσας τῶν νῦν πολλαχοῦ ζωῶν· ὅπερ ὁ μῦθος ἐννοήσας ἐπιβούλησιν ἔθετο. τὸ μὲν οὖν τετραδικὸν κοινὸν 〈ὂν〉 τῇ τε οὐσίᾳ τῆς ψυχῆς καὶ τῇ ζωῇ τῶν αἰτίων αὐτ[ῆς] ἀμφοτέρων ἀνῆπται τῶν τε πατρικῶν καὶ τῶν μητρικῶν, τὸ δὲ μοναδικὸν καὶ τριαδικὸν τὴν οὐσίαν τὴν ψυχικὴν μίαν τε καὶ τριφυῆ ποιοῦν εἰς τὴν πατρικὴν αὐτὴν ἀνατείνει μονάδα, τὸ δὲ δὶς δύο τὴν ἐν αὐτῇ ζωὴν ποικιλλομένην παντοίαις κινήσεσιν καὶ ἀόριστον ὡς ἀληθῶς οὖσαν εἰς τὴν μητρικὴν ἀναφέρει δυάδα.

in R.2.138

Τίνες δὴ οὖν αἱ δυάδες αὗται; πρῶτον μὲν οὖν ἐκεῖνό μοι δοκεῖ μὴ παρέργως ὁ Πλάτων ὀνομάσαι χάσματα τὰς δύο δυάδας, ἀλλ᾽ εἰδὼς καὶ τὸν θεολόγον Ὀρφέα τούτῳ τῷ ὀνόματι καλοῦντα τὴν πασῶν κινήσεων καὶ προόδων πρωτουργὸν ἐν τοῖς νοητοῖς αἰτίαν, ἣν οἱ Πυθαγόρειοι δυάδα νοητὴν καὶ ἀόριστον προσηγόρευον· Αἰθέρα μὲν Χρόνος οὗτος ἀγήραο ς , ἀφθιτόμητις γείνατο καὶ μέγα χάσμα πελώριον ἔνθα καὶ ἔνθ α . καὶ μικρὸν ὕστερον· χάσμα δ ᾽ ὑ π ᾽ ἠέριον καὶ νήνεμος ἐρράγη αἰθὴρ ὀρνυμένοιο Φάνητο ς . εἰ γὰρ ταύτην ἔχει τὸ πρώτιστον καὶ νοητὸν χάσμα τὴν δύναμιν, κινεῖν πάντα καὶ διεγείρειν ἐς προόδους καὶ παντοίας διακρίσεις, εἰκότως δήπου καὶ τὰς μεταβατικὰς τῶν ψυχῶν ἐφ᾽ ἑκάτερα κινήσεις καὶ ἀφ᾽ ἑκατέρων εἰς τὸ μέσον ὁδοὺς χάσματα προσείρηκεν, ὡς ἐσχάτην ἀφομοίωσιν πρὸς τὸ νοητὸν χάος φερούσας. ὅτι δὲ οὐκ ἐνταῦθα μόνον ὁ Πλάτων ἐξέθηκε τὰς ἐν δικαστηρίῳ ὁδοὺς τῶν ψυχῶν, ἀλλὰ καὶ ἐν τῷ Φαίδρῳ, φανερὸν ἐκ τῶν γεγραμμένων κρίσεων τῶν ἐκεῖ· τὰς ψυχὰς τὰς μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἀφικνουμένας δίκην ἔφατο [τίνει ν , τὰς] δὲ εἰς τοῦ οὐρανοῦ τινα τόπον ὑπὸ τῆς Δίκης κουφισθείσας διάγειν ἀξίως οὗ ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίο υ .

in R.2.139 καί εἰσιν αὗται αἱ δύο πορεῖαι τῶν ψυχῶν, ἃς καὶ ἐνταῦθα ἀφηγούμενος τὴν μὲν εἰς τὸ ἄνω φησὶν ἄγειν καὶ τὸ πρόσθεν, τὴν δὲ εἰς τὸ κάτω καὶ τὸ ὄπισθεν. εἶτα τὰς λοιπὰς δύο προστίθησιν λέγων· τῷ δὲ χιλιοστῷ ἀμφότεραι ἀφικνοῦνται ἐπὶ κλήρωσιν καὶ αἵρεσιν δευτέρου βίο υ . περὶ ὧν καὶ ἐνταῦθα διαλεγόμενός φησιν τὰς μὲν ἐξ οὐρανοῦ κατιέναι, τὰς δὲ ἐκ τοῦ τῆς γῆς ἀνιέναι χάσματος, καὶ κατασκηνᾶσθαι σφᾶς ἐν τῷ λειμῶνι· δέδεικται δὲ ἡμῖν ἔμπροσθεν, τίς ὁ λειμών. ἔχομεν οὖν καὶ ἐκ τοῦ Φαίδρου τὰ δύο χάσματα 〈τὰ〉 τὰς λήξεις ὁρίζοντα καὶ τὰ λοιπὰ δύο τὰ ἀντίστροφα τούτοις, τῇ μὲν εἰς οὐρανὸν ἀγούσῃ τὸ ἐκεῖθεν κατάγον, τῇ δὲ εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια παραπεμπούσῃ τὸ ἐκεῖθεν ἀνάγον, τὸ δὲ κοινὸν τῶν τεττάρων τμῆμα καὶ σημεῖον τοῦτον τὸν λεγόμενον δαιμόνιον τόπον καὶ λειμῶνα καὶ τρίοδον· ἐν δὲ τοῦτῳ καθῆσθαι τοὺς δικαστάς. τοὺς δὲ αὐτοὺς δικαστὰς ἐν μὲν Γοργίᾳ τίνας ἔφατο, καὶ ἐνταῦθα δεδηλώκαμεν καὶ ἐν τοῖς εἰς ἐκεῖνα γεγραμμένοις ἔναγχος ἡμῖν· νυνὶ δὲ κοινότερον ἀκούειν ἀξιοῦμεν πάντας τοὺς ταύτην εἰληχότας τὴν δύναμιν ἐν θεοῖς, ἐν δαίμοσιν, ἐν ἥρωσιν. τῶν γὰρ ποτὲ δικαστῶν ἡ τάξις τῶν ἐν σώμασι καὶ τῶν ἀεὶ ὡς ἐν Γοργίᾳ [p. 523a sqq.] μερική ἐστι, κρινόντων τὰς ψυχὰς ἀσωμάτους. δείκνυσι δὲ τὴν μερικὴν ἐκείνων τάξιν καὶ τὸ εἰς Πλούτωνος αὐτοὺς παραπέμπειν τὰς ψυχὰς εἴς τε μακάρων νήσους καὶ εἰς Τάρταρον, τούτους δὲ καθολικώτερον εἴς τε οὐρανὸν καὶ τὰ ὑπὸ γῆς πάντα δικαιωτήρια· περιεκτικώτερα δὲ ταῦτα τοῦ Ταρτάρου καὶ ἡ οὐρανία ἄρα λῆξις τῆς ἐν μακάρων νήσοις· ὥστε καὶ οἱ τῇδε δικασταὶ τῶν ἐν Γοργίᾳ περιληπτικώτεροι, καὶ οὐχ ἡρωϊκαὶ ψυχαὶ μόνον ἔσχαται οὖσαι τῶν δικαστικῶν δυνάμεων, ἀλλὰ καὶ εἴ τινες ἄλλοι πρὸ τούτων, ὡς ὁ οὐρανὸς πρὸ τῶν μακάρων νήσων, ὡς τὰ δικαιωτήρια τὰ ὑπὸ γῆς πρὸ τοῦ Ταρτάρου· τοῦτον γὰρ δεσμωτήριον τίσεως εἶπεν εἶναι καὶ δίκης, ἀλλ᾽ οὐχ ἁπλῶς δικαιωτήριον.

in R.2.140 τί γὰρ ἄλλο ἐστὶν τὸ δικαιωτήριον ἢ τὸ δικαιοῦν καὶ κατὰ δίκην ἀπευθῦνον; τί δὲ ἄλλο τὸ τῆς τίσεως δεσμωτήριον ἢ τὸ τίσιν καὶ τιμωρίαν ἐσχάτην ἐπάγον καὶ συμποδίζον τὰς ψυχάς; ὅτῳ δὲ διαφέρει τιμωρία δίκης καὶ ὡς ἡ μὲν ὀνίνησιν, ἡ δὲ τῶν ἀνιάτων ἐστὶ ψυχῶν, αὐτοῦ διδάσκοντος ἐν ἐκείνῳ τῷ μύθῳ μεμαθήκαμεν [p. 525b]. ὅτι δὲ καὶ αἱ μὲν μακάρων νῆσοι Πλουτώνειοι λήξεις εἰσίν, αἱ δὲ οὐράνιαι τῆς τοῦ πρώτου τῶν τριῶν Διὸς ἀρχῆς κατὰ τὴν εἰς τρία τῶν Κρονιδῶν τομὴν τοῦ κόσμου, πάλιν ἐν τοῖς αὐτοῖς ἀποδεδείχαμεν λόγοις· καὶ ὡς ἡ μὲν εἰς Πλούτωνός ἐστι τρίοδος ἢ εἰς τὰς μακάρων νήσους ἢ εἰς τὸ δεσμωτήριον τῆς τίσεως ἢ εἰς τοὺς καθαρτικοὺς τόπους, ἡ δὲ εἰς Διὸς μοναδικὴ πρὸς οὐρανὸν ἄγουσα, ἡ δὲ εἰς Ποσειδῶνος σώζει τὰ τῶν χθονίων δικαστῶν. προσῆκεν ἄρα καὶ αὐτοὺς τοὺς δικαστὰς τὸ ἀνάλογον ταῖς ὁδοῖς σώζειν, τῶν ἐν Γοργίᾳ λεγομένων ὁλικωτέρους, καὶ ἐκείνους ἥρωας,

τούτους δαίμονας καὶ θεοὺς ἡγεῖσθαι περιέχοντας καὶ τὴν ἐκείνων τάξιν. Τὸ μὲν οὖν κατ' ἀντικρὺ τὰ ἐν οὐρανῷ χάσματα εἶναι τοῖς κατὰ γῆς τεταμένοις οὐχ ἁπλῶς ἀκούειν ἄξιον, κατ' ἀντικρὺ λέγεσθαι τῷ τὰ μὲν ἄνω πως εἶναι καὶ οὐράνια, τὰ δὲ κάτω που καὶ χθόνια (καὶ τοῦτο μὲν γάρ), ἀλλὰ καὶ μερίζειν καὶ τῷ μὲν ἑτέρῳ τῶν ἄνω τὸ ἕτερον ἀντιτιθέναι τῶν κάτω, τῷ δὲ λοιπῷ τὸ λοιπόν.

in R.2.141 καὶ δὴ καὶ ἐπισκοπεῖν προσήκει πότερον ποτέρῳ, λέγω δέ, εἰ τῷ κατάγοντι κατὰ γῆς τὸ ἀνάγον εἰς οὐρανὸν καὶ τῷ ἀνάγοντι ἀπὸ γῆς τὸ ἐξ οὐρανοῦ πάλιν κατάγον. ἀλλὰ τοῦτο ἄτοπον· εἰς γὰρ ταὐτὸν τούτων ἡ ὁδός, εἰς τὸν κοινὸν τόπον τὸν λειμῶνα. λείπεται οὖν τὸ μὲν κατάγον ἐπὶ γῆς ἀπὸ τοῦ μέσου τόπου κατ' ἀντικρὺ λέγειν τῷ ἐξ οὐρανοῦ κατάγοντι πρὸς τὸ μέσον, τὸ δὲ ἀνάγον ἀπὸ γῆς εἰς τὸν μέσον τόπον τῷ ἀπὸ τούτου εἰς οὐρανὸν ἀνάγοντι. τὸ δ' αἴτιον, ὅτι τὰ ἐναντία πάθη πεπόνθατον· ὃν γὰρ ἀπολείπει τόπον θάτερον, καταλαμβάνει τὸ λοιπόν· ἴδιον δὲ τοῦτο τῶν ἐναντίων. Εἰ δὲ δεῖ μὴ κινήσεις μόνας διὰ τῶν χασμάτων ὁρᾶν μηδὲ ὅλως χάσματα τοιαῦτα νοεῖν οἷον χωρητικοὺς τόπους (γῆ μὲν γὰρ στόμια ἄττα ἔχειν καὶ διάστασιν οὐ κωλύεται, δι' ὧν χωρεῖν δυνατόν, οἷα δὴ καὶ ἱστόρηται πολλαχοῦ·) Πλουτώνειοι γὰρ δικασταὶ ἀπὸ Πλούτωνος, Αἰακὸς δηλαδὴ Ῥαδάμανθυς καὶ Μίνως· διὸ δὴ δαιμόνιον τὸν τόπον ἐκεῖνον νόει, ᾄττεσθαι δὲ τὰς ψυχὰς ἐν τούτῳ τῷ τόπῳ καὶ ἐν ἄλλοις χωρὶς σώματος—ἐπεὶ οὖν σωματικῶς τὰ χάσματα [θεω]ρεῖν ἀμήχανον, ἐφιστάνειν χρή, μήποτε δαιμονίας τινὰς διὰ τούτων τάξεις ὁ μῦθος αἰνίσσεται δεχομένας τὰς ψυχὰς ἢ κατιούσας ἢ ἀνιούσας καὶ παραπεμπούσας εἰς τὸν οἰκεῖον ἕκαστα τόπον, ἃς ἀπείκασεν χάσμασιν ὡς κινήσεων προστάτιδας καὶ συστοίχους οὔσας πρὸς τὴν τοῦ χάους ἐκείνου δύναμιν, καθάπερ εἴπομεν [p. 138, 11], τοῦ πασῶν αἰτίου προόδων καὶ κινήσεων. ἐπεὶ καὶ αὐτὸς παρέχει τῶν τοιούτων ὑπονοιῶν ἡμῖν ἀφορμὴν εἰπὼν [p. 615e] τῷ ἀπὸ γῆς ἀνάγοντι χάσματι παρεστῶτας τὸ φθέγμα καταμανθάνειν καὶ μυκωμένου κατέχειν ἔτι τὰς ἀνιέναι πρὸ τοῦ καιροῦ σπευδούσας ἀπὸ τῶν δικαιωτηρίων ἐκείνων ψυχάς, ὡς ἂν κἀκείνου συναίσθησιν ἔχοντος τῆς ἀξίας τῶν ψυχῶν, καὶ τῶν αὐτόθεν ἐφεστώτων ταῖς ἀνιούσαις ἐκεῖθεν δαιμόνων ὄντων δηλονότι, καὶ ἢ ἀφιέντων ἢ κωλυόντων ἐκείνῳ συνεπομένων καὶ τῷ ἐκείνου φθέγματι συνθήματι τῆς ἀξίας χρωμένων.

in R.2.142 μήποτε οὖν περὶ πάντων κοινῇ λεκτέον δαιμονίας εἶναι τάξεις τὰ χάσματα τετραχῇ διατεταγμένας (διὸ καὶ ὁ τόπος ὁ μέσος, ὁ κοινὸς τῶν χασμάτων, καλεῖται δαιμόνιος), ὧν αἳ μέν εἰσιν λήξεων προστάτιδες εὐμοιροτέρων ἢ τλῃπαθεστέρων (δῆλον δὲ πότεραι ποτέρων), αἳ δὲ εἰς γένεσιν καθόδων ἄνωθεν ἢ κάτωθεν. καὶ γὰρ αἳ μὲν ἐξ οὐρανοῦ τὴν ἀρχὴν ἄγουσιν, αἳ δὲ ἐκ τοῦ Ταρτάρου, καὶ μόνος ὁ μέσος χῶρός ἐστιν ὁ πρὸς ἄλλην καὶ ἄλλην δύναμιν τεταγμένος. τεκμαίρομαι δὲ ὅτι πλῆθος τὸ δαιμόνιον καθ' ἕκαστον, διότι [ἐφ'] ἑνὸς τοῦ ἐκ τῆς γῆς ἀνάγοντος παρεστῶτας ἔφη τινὰς καὶ καταμανθάνοντας τοῦ χάσματος τὸ φθέγμα δρᾶν, ἃ δὴ καὶ δρᾶν λέγονται περὶ τὰς ψυχάς, ὡς ἂν πολλῶν ὄντων τῶν κατ' ἐκεῖνο τεταγμένων· ὥστε καὶ ἐπὶ πάντων ἔοικεν πλῆθος χρῆναι κατὰ τὸ ἀνάλογον λαμβάνειν. καὶ γὰρ οὐδὲν θαυμαστὸν πολλοὺς εἶναι τοὺς καθ' ἕκαστον ἐφεστῶτας, ἢ κατὰ τὰ εἴδη τῆς τῶν ψυχῶν ζωῆς διῃρημένους, ἢ κατὰ τὰς διαφορὰς τῶν τόπων, ἐφ' οὓς ἄγουσιν ἢ ἀφ' ὧν τὰς ψυχάς, ἢ κατὰ τὰ μέτρα τῶν περιόδων διατεταγμένους, ἢ κατ' ἄλλην ἐξαλλαγὴν τοιαύτην πεπληθυσμένους, ἑκάστου δὲ πλήθους τὴν κοινὴν ἰδέαν τὴν χωρητικὴν καὶ διαπορθμευτικὴν τῶν ψυχῶν ἀπ' ἄλλων τόπων εἰς ἄλλους ἀμείνους ἢ χείρους χάσμα προσαγορεύεσθαι, μίαν ὑποδοχὴν οὖσαν πασῶν τῶν ἐκ τοῦ αὐτοῦ στελλομένων εἰς τὸ αὐτό.

in R.2.143 καὶ γὰρ τὰ χάσματα δίοδοί τινες εἶναι φιλοῦσιν ἢ ὑδάτων ἢ πνευμάτων, ὧν δύνανται δέχεσθαι καὶ εἰς ἄλλην παραπέμπειν χώραν, εἰς τὸ κάτω χωροῦντος ἢ εἰς τὸ ἄνω τοῦ τὸ χάσμα ποιοῦντος, ὥσπερ εἴπομεν, ὕδατος ἢ πνεύματος. εἰ δὲ καὶ τὰ κάτω χάσματα δύ' ὄντα ἔχεται ἀλλήλων καὶ τὰ ἄνω τὸν αὐτὸν τρόπον, δῆλον οἶμαι καὶ ἐκ τούτων, ὅτι τὰ μέν ἐστιν ἀλλήλοις

συγγενῆ μᾶλλον ὡς Πλουτώνεια, τὰ δὲ ἀλλήλοις ὡς Δίϊα, καὶ τὸ κοινὸν σημεῖον δηλοῖ τὴν ἀδιαίρετον αὐτῶν κοινωνίαν καὶ ὁμόνοιαν, ἀφ' ἧς ἕνωσιν λαμβάνει τὸ πλῆθος· δεῖ γὰρ κατὰ πλήθη κοινωνεῖν τὰ χάσματα καὶ ἡνῶσθαι περὶ τὸν αὐτὸν ὥσπερ δι' ἡνωμένον θεόν. Ἀλλὰ τούτων μὲν ἄδην, ἐπὶ δὲ τὰ ἑπόμενα τούτων χωρῶμεν· τάχα γὰρ ἄν τι καὶ ἐν τοῖς ἑπομένοις ἀκούσαιμεν περὶ τούτων σαφές. Ἔοικεν δὲ καὶ τὸ ὅλον σχῆμα τῶν χασμάτων χειὰς μιμούμενον μάλιστα προσήκειν ψυχαῖς οὐ μόνον ταῖς μερικαῖς, ἀλλὰ καὶ ἁπάσαις ἁπλῶς. ὃ καὶ τὸν Τίμαιον [p. 36b] δηλοῦν· ὁ γοῦν παρ' αὐτῷ δημιουργὸς σχίσας τὴν μίαν εὐθεῖαν τῶν ἀριθμῶν τῶν ἁρμονικῶν καὶ δύο ποιήσας συνάψας αὐτὰς κατὰ μέσας οἷον Χῖ ποιεῖν λέγεται, τοῦτον 〈τὸν〉 χαρακτῆρα τῇ οὐσίᾳ τῶν ψυχῶν ἐγκάρδιον ἐνθεὶς πάσης ἴδιον ὄντα ψυχῆς. αἴτιον δὲ ὅτι καὶ ἡ ἀρχικὴ τῶν ψυχῶν μονὰς ἐκ τοιούτων ἦν χιασμάτων, ὡς ὁ χαρακτὴρ αὐτῆς διασημαίνει. καὶ οὐκέτι ταῦτα Πλάτωνος οὐδὲ Τιμαίου λόγοι τινός, ἀλλὰ θεουργῶν καὶ θεῶν ἄγνωστα γραφόντων· καὶ ὅστις ἱστόρησεν τὸ πτέρωμα τῆς ἀρχικῆς ψυχῆς, οἶδεν ὃ λέγω.

in R.2.144 τῇ δ' οὖν ζωῇ τῇ ψυχικῇ τὸν τοῦ Χῖ χαρακτῆρα καὶ ὁ Τίμαιος ἀνῆκεν· ἀλλ' ἡ μὲν ὅλη ψυχὴ καὶ πᾶσα ἡ κρείττων ἡμῶν ἐνεργεῖ καὶ κατὰ τοῦτον ἀεὶ τὸν χαρακτῆρα ζωογονικὸν ὄντα καὶ κατὰ τοὺς δύο κύκλους νοεροὺς ὄντας· ἡ δὲ ἡμετέρα χωρὶς μὲν κατ' ἐκεῖνον, χωρὶς δὲ κατὰ τοὺς ἐν αὐτῇ κύκλους. ὅθεν οἶμαι καὶ νῦν τὸ χίασμα παρείληπται μόνον, τὰς ζωτικὰς κινήσεις τῶν ψυχῶν ὑποδεχόμενον ἄνω τε καὶ κάτω καὶ αὖ ἄνω .. 30 .. ας· ἀλλὰ κατ' ἀντικρὺ μὲν εἰπὼν ἐδήλωσε ταὐτὸν εἶναι τῷ ἄνω. καὶ ταῦτα συμβαίνοντα πλέον τῇ τε οὐσίᾳ τῶν ψυχῶν καὶ ταῖς τῶν ἱερατικῶν φήμαις· ἐπὶ δὲ τὴν τῶν ἑπομένων ἀνάπτυξιν ἡμῖν ἰτέον. Οὓς ἐπειδὴ διαδικάσεια ν , τοὺς μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξιάν τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ σημεῖα περιάψαντας τῶν δεδικασμένων ἐν τῷ πρόσθεν · ἕως τοῦ· πάντων ὧν ἔπραξαν [p. 614c]. Ἡ μὲν διαδικασία τῶν δικαστῶν ἐστι κρίσις πολυειδὴς διαιρουμένη περὶ τὰς μετεχούσας αὐτῆς ψυχάς. ὡς γὰρ αὐτοὶ περὶ τὴν δίκην μερίζονται μονάδα δικαστικὴν οὖσαν πᾶσιν τὸ κατ' ἀξίαν ἀπονέμουσαν, θεοῖς, δαίμοσιν, ψυχαῖς ἀθανάτοις, θνηταῖς φύσεσιν, σώμασιν (οὐδὲν γὰρ ἔξω δύναται τῆς ὅλης δίκης πεσεῖν), οὕτω δὴ καὶ αἱ ψυχαὶ διῃρημένως ὑποδέχονται τὴν ἀπ' αὐτῶν κρίσιν, ὥστε τὰς μὲν ἄλλων, τὰς δὲ ἄλλων μέτρων τυγχάνειν, ἐκείνων ἀλλήλοις ὁμογνωμονούντων καὶ καθ' ἕνα νοῦν ἐνεργούντων καὶ ἀποπληρούντων τὴν περὶ τὰς ψυχὰς βούλησιν τῆς Δίκης ἅπασαν. Δίκη μὲν γὰρ καὶ θεοῖς ἐφέστηκεν φρουροῦσα τὴν ἑκάστων ἀξίαν ἐν τῷ παντὶ καὶ τὸν ὅρον τὸν δημιουργικόν. διὸ καὶ τῷ Διῒ τοῖς Τιτᾶσιν τὰς ἐγκοσμίους διανέμειν παρασκευαζομένῳ λήξεις ἕπεσθαι τὴν Δίκην ὁ Ὀρφεύς φησιν· τῷ δὲ Δίκη πολύποινος ἐφέσπετο πᾶσιν ἀρωγό ς .

in R.2.145 εἰ γὰρ πᾶσιν ἀρωγὸς πολύποινος, εἰ τῷ δημιουργῷ τοῦ παντὸς συνδιακοσμεῖ τὰ πάντα, θεῶν ἄρχει, δαίμοσιν συνεπιστατεῖ, ψυχὰς διαδικάζει καὶ ἁπαξαπλῶς διὰ πασῶν διέρχεται τῶν ψυχῶν ἡ κρίσις, καὶ δικαίων δὲ λέγονται ψυχῶν εἶναι τοὺς θεοὺς διαδικάζοντας διὰ τῶν κρειττόνων λήξεων· καὶ ἐπὶ ταύταις διαδικάζουσιν ὡς κριτικὰς τούτων ἔχοντες δυνάμεις καὶ ταύτῃ μιμούμενοι τὴν ὅλην Δίκην, μέτρα δὲ ἄλλαις ἄλλα, καθάπερ εἴπομεν, διανέμοντες. καὶ εἰ τῶν κρινόντων ὁ νοῦς εἷς, ἀλλ' ἡ τῶν κρινομένων διαφορότης πολυειδεῖς ποιεῖ τὰς κρίσεις· ἄλλαι γὰρ ἄλλης ἀξίας καὶ περὶ ἄλλων ἄλλη ψῆφος. Ἡ μὲν τοίνυν διαδικασία τοιαύτην ἔμφασιν ἔχει, ταῖς πολλαῖς ψυχαῖς τὰ πολλὰ καὶ ταῖς ἐξηλλαγμέναις τὰ ἐξηλλαγμένα κριτικὰ μέτρα διατάττουσα καθ' ἕνα τῶν κρινόντων νοῦν εἰς μίαν ἀνατεινόμενον μονάδα θείαν, τὴν δίκην· ἡ δὲ κέλευσις ἡ δικαστικὴ μετὰ τὴν διαδικασίαν ἀκόλουθός ἐστιν, εἰς ἔργον προάγουσα τὴν νοερὰν τῶν δικαστῶν περὶ ἑκάστων κρίσιν. καὶ δῆλον, ὅτι ἐπειδήπερ οὐ λόγῳ κελεύουσιν, ὥσπερ οἱ ἐνταῦθα δικάζοντες προστάττουσιν, ὅ τι χρὴ παθεῖν τοὺς διαδικασαμένους, ἀλλὰ δι' αὐτῆς τῆς ζωῆς χωρεῖ τῶν τε κριθέντων καὶ τῶν ὑπουργούντων αὐτοῖς δαιμόνων ἡ τοιάδε κέλευσις, τοῖς μὲν πορεύουσιν τὰς ἀρχὰς ἐνδίδωσι τῆς προσεχοῦς εἰς τὰς ψυχὰς ποιήσεως, τοῖς

δὲ πορευομένοις τῆς ἐπὶ τοὺς προσήκοντας τόπους κινήσεως ἀνεγείρει τὰς ὁρμάς. φέρεται μὲν γὰρ ἕκαστον κατὰ τὸν ἐν ἑαυτῷ νόμον εἰς τὸ ὅμοιον καὶ ἐπείγεται τὸ μὲν εἰς οὐρανὸν οὐράνιον ὄν, τὸ δὲ εἰς γῆν χθόνιον· προστιθεμένη δὲ τῶν δαιμόνων ἡ ἐπιστασία ταῖς ψυχαῖς ἐντίθησιν ἐν ἑκάστῃ τὴν ἀποπλήρωσιν τῆς κρίσεως.

in R.2.146 καὶ ποιεῖ διὰ δυνάμεών τινων θαυμασίων καὶ τὰ ἀσώματα εἰς τὰ ἀσώματα· ὡς γὰρ τὰ σώματα εἰς τὰ σώματα δύει, τὰ ἀσώματα δύει εἰς τὰ ἀσώματα· πλὴν ὅτι διέστηκεν ὁ τῆς ποιήσεως τρόπος, ἢ ἀσώματος ὢν ἢ σωματοειδής. κοινὸν δὲ πάντων, ὅτι δύναμιν ἐνδίδωσιν πᾶν τὸ ποιοῦν εἰς τὸ πάσχον τινὰ καὶ τὸ λαβὸν ἔπεται τῇ τοῦ δεδωκότος δυνάμει. καὶ αἱ ψυχαὶ τοίνυν ὡρμημέναι καὶ ἀφ' ἑαυτῶν εἰς τὰς οἰκήσεις τὰς πρεπούσας προσλαμβάνουσιν καὶ ἀπὸ τῶν δικαστῶν εἰς τὴν ἐπ' ἐκείνας πορείαν δύναμιν καὶ λαβοῦσαι κινοῦνται καὶ ὁρμῶσιν καὶ ὑπὸ τῶν ἐπιτεταγμένων αὐταῖς δαιμόνων προσεχέστερον τελειοῦσι τὰς ἑαυτῶν ὁρμάς, ἵνα τοῦ προσήκοντος τύχωσιν. καὶ ταύτην τὴν ἄνωθεν ἐφήκουσαν προσθήκην τῆς δυνάμεως κέλευσιν προσεῖπεν ὁ μῦθος, ἔνδοσιν οὖσαν δυνάμεως ⟦ ὡσ ⟧ τὴν ἀπὸ τῆς ζωῆς ἐπιτηδειότητα πρὸς τήνδε τὴν λῆξιν ἀνεγείρουσαν. Καὶ μὴν καὶ ἡ διαίρεσις τῶν λήξεων εἵς τε τοὺς δικαίους γενομένη καὶ τοὺς ἀδίκους μαρτυρεῖ τοῖς εἰρημένοις. τὸ μὲν γὰρ τῆς δικαιοσύνης εἶδος δηλοῖ τὴν αὐτοπραγίαν τῶν ψυχῶν καὶ τὴν τάξιν τὴν ἐν αὐταῖς, τὸ δὲ τῆς ἀδικίας τὴν ἀλλοτριοπραγίαν καὶ τὴν ἀταξίαν. προσήκει δέ που τάξις μὲν τοῖς οὐρανίοις καὶ αὐτοπραγία (πάντα γὰρ ἐκεῖ τὰ ἑαυτῶν πράττει καὶ διατηρεῖ τὴν ἀσύγχυτον πρὸς ἄλληλα τάξιν), ἀλλοτριοπραγία δὲ καὶ ἀταξία προσήκει τοῖς ἐπιγείοις· τὰ γὰρ γήϊνα οὐ πράττει τὰ ἑαυτῶν οὐδὲ τὴν τάξιν καθ' αὑτὴν διασώζει τὴν πρὸς ἑαυτά.

in R.2.147 δεῖ δὲ τὸ ὅμοιον πανταχοῦ φέρεσθαι πρὸς τὸ ὅμοιον, ὡς τὰ κοῦφα τῶν στοιχείων εἰς τὸ ἄνω φέρεται καὶ εἰς τὸ κάτω τὰ βάρος ἔχοντα, δι' ὧν ἔλαβεν παρὰ τῆς φύσεως δυνάμεων, ἑκάτερα τὸ ὅμοιον ἐπιδιώκοντα. κατὰ τὰ αὐτὰ δὴ καὶ τὰ μὲν τεταγμένα τῶν τεταγμένων ὀρέγεται κἀκεῖνα σπεύδει καταλαβεῖν, τὰ δὲ ἄτακτα τῶν ἀτάκτων ἀντέχεται καὶ ἐν ἐκείνοις σπεύδει γενέσθαι. καὶ γάρ ἐστιν ἐν αὐτοῖς ὅπου μὲν λόγος καὶ νοῦς εἰς τὸ φωτεινὸν ἀνάγων, ὅπου δὲ ἀλογία καὶ σώματος βαρύτης εἰς τὸ σκοτῶδες κατασπῶσα καὶ ἔσχατον, καὶ συνάπτει τὰ μὲν θεοῖς, τὰ δὲ ὑλικοῖς δαίμοσιν, ἵνα καὶ δι' αὐτῶν ὧν ἔχει παθῶν ὑπ' ἐκείνων κολαζόμενα φύγῃ τὰ πάθη. καὶ γὰρ πάσχοντες ὑπ' αὐτῶν μισοῦμεν τὰ πάθη, ἀλλ' οὐκ ἐνεργοῦντες κατ' αὐτά. τριττὰ δὲ τὰ κολάζοντα, τὰ μὲν τὰς ἐπιθυμίας, ἐν ὅσοις κρατεῖ τὸ ἐπιθυμητικόν, τὰ δὲ τοὺς θυμούς, ἐν ὅσοις τὸ θυμοειδές, τὰ δὲ τὰς διαστρόφους δόξας, ἐν ὅσοις γνῶσις μέν ἐστιν δοξαστική τις, ἀμυδρὰ δὲ αὕτη καὶ ἐπίκτητος ἀεὶ γιγνομένη· καὶ ταῦτα πάντα ἐναλλόμενα ταῖς τὰ ὅμοια πεπονθυίαις ψυχαῖς ἐπάγει τὰς κολάσεις, μόνον οὐχὶ βοώσης τῆς Δίκης, ὅτι τὰς τὰ τοιαῦτα ζωῆς εἴδη φιλοφρονησαμένας ἀνάγκη συνεῖναι τοῖς ὁμοίοις, συνούσας δὲ πάσχειν ὑπ' αὐτῶν, ὅσα τοῖς τοιούτοις προσήκει ποιεῖν. ὥσπερ δὴ καὶ τὰς εἰς τὸ ἄναντες φερομένας τὰς μὲν κατὰ λόγον ὀρθὸν διεληλυθυίας τὸν βίον, τὰς δὲ τὸν κατὰ λόγον νοῦν ἐχούσας καὶ τὸν ἱερὸν προστησαμένας βίον, ὡς οἱ καλῶς διαφερόντως βιοτεύοντες, τὰς δὲ θεοειδεῖς, ὡς οἱ θεῖοι προσαγορευόμενοι δαίμονες καὶ συνάπτοντες τοῖς θεοῖς. δεῖ γὰρ δὴ νοεῖν πάμπολυ τὸ δαιμόνιον πλάτος ἄνωθεν ἀπὸ τῶν θείων ἀρχόμενον δαιμόνων καὶ εἰς τοὺς ὑλικωτάτους τελευτῶν, ἐν μέσῳ δὲ τούτων στρεφομένας τὰς ψυχὰς οὔτε τῶν ἀκροτάτων δυναμένας γενέσθαι ποτὲ κρείττους οὔτε τῶν ἐσχάτων χείρους, πάντων τῶν ἐν αὐταῖς εἰδῶν τῆς ζωῆς κατὰ σχέσιν ἐν ἐκείνοις κατ' οὐσίαν προϋπαρχόντων καὶ τῶν ἐν ταύταις παρὰ φύσιν ἐν ἐκείνοις κατὰ φύσιν· οὐδὲν γὰρ ἄϊδιον παρὰ φύσιν.

in R.2.148 ἑκάστην οὖν ἡ ὁμοιότης ἄγει πρὸς τὸ συγγενές, τὴν μὲν ἐπὶ θεὸν ὁ ἐν αὐτῇ θεός, τὴν δὲ ἐπὶ νοῦν ὁ ἐν αὐτῇ νοῦς, τὴν δὲ ἐπὶ λόγον ὁ ἐν αὐτῇ λόγος, καὶ πάντα ἐπὶ τὸ τεταγμένον ἡ ἐν αὐτοῖς τάξις· καὶ ἐπὶ τούτοις τὴν μὲν ἐπὶ λόγον ἀμυδρὸν ὁ ἐν αὐτῇ λόγος ἀλογωθείς, τὴν δὲ ἐπὶ

τὸ θυμοειδέστερον ὁ ἐν αὐτῇ θυμὸς ῥωσθείς, τὴν δὲ ἐπὶ τὸ φιληδονώτερον ἡ ἐν αὐτῇ ἐπιθυμία κρατήσασα, καὶ πάντα ἁπλῶς τὸ ἐν αὐταῖς ἄτακτον ἐπὶ τὸ ὅμοιον καὶ τὴν ἀταξίαν. Ταῦτα μὲν οὖν λάβοις ἂν ἐκ τῆς κατὰ τὸ δίκαιον καὶ ἄδικον διαιρέσεως τῶν εἰς τὰς ἀντικειμένας λήξεις πορευομένων εἴσω τοῦ οὐρανοῦ καὶ εἴσω τῆς γῆς. κατίδωμεν δὲ καὶ τὰς ἀπὸ τῶν σχέσεων τῶν τοπικῶν διαφοράς, ἃς προσέθηκεν ὁ μῦθος. τὰς μὲν γάρ, φησίν, ἔπεμπον τὰς ἀμείνους δηλαδὴ ψυχὰς εἰς δεξιόν, τὰς δὲ εἰς ἀριστερὸν τὰς χείρους δηλονότι· αἳ μὲν τῆς τοῦ ἄνω, αἳ δὲ τῆς τοῦ κάτω λήξεως· ταῖς μὲν εἰς τὸ ἔμπροσθεν ταῖς ἀμείνοσι, ταῖς δὲ εἰς τὸ ὄπισθεν ταῖς χείροσιν. οὐκοῦν τὰ μὲν τρία σύστοιχα ἀλλήλοις, τὸ δεξιὸν τὸ ἄνω τὸ πρόσθεν, τὰ δὲ λοιπὰ πάλιν ἀλλήλοις, τὸ ἀριστερὸν τὸ κάτω τὸ ὄπισθεν, πάντα δὲ συγγενῆ κινήσεσιν καὶ δυνάμεσι τῶν μερικῶν ψυχῶν. αἱ μὲν γὰρ ὅλαι ψυχαὶ κατὰ κύκλον περιάγονται καὶ περὶ τὰ ἑαυτῶν κέντρα κινοῦνται καὶ τοὺς πόλους· κέντρα δὲ αὐτῶν αἱ ἐν αὐταῖς ἐνοειδεῖς ὑπάρξεις, καθ' ἃς μονίμως ἑδράζονται ἐν ἑαυταῖς, πόλοι δὲ οἱ νόες, περὶ οὓς οἱ κύκλοι κινοῦνται πασῶν, ἐξ ὧν ἐδημιουργήθησαν· ταῖς δὲ μερικαῖς αἱ σχέσεις αὗται καὶ αἱ κατ' αὐτὰς προσήκουσι κινήσεις, ταῖς μὲν κατὰ τὸν ταὐτοῦ κύκλον ἐνεργούσαις ἡ εἰς δεξιὰ κίνησις, ταῖς δὲ κατὰ τὸν θατέρου δῆλον ὡς ἡ εἰς ἀριστερά, καὶ ταῖς μὲν εἰς νοῦν ἐπιστρεφομέναις ἡ ἐπὶ τὸ ἄνω πορεία, ταῖς δὲ εἰς τὰ πάθη καταρρεπούσαις ἡ εἰς τὸ κάτω πτῶσις, καὶ ταῖς μὲν εἰδυίαις ἑαυτὰς καὶ διὰ γνώσεως κινουμέναις ἡ τοῦ πρόσθεν σχέσις, ταῖς δὲ ἀγνοούσαις καὶ δι' ἄγνοιαν πιπτούσαις ἡ τοῦ ὄπισθεν.

in R.2.149 ἔμπροσθεν γάρ ἐστιν, ἐφ' ὃ αἱ αἰσθήσεις, διὸ γνωστὸν τὸ πρόσω ταῖς αἰσθήσεσιν· ἔμπαλιν δὲ ὄπισθεν τὸ τῶν αἰσθήσεων ἀπόστροφον, διὸ σύνθημά ἐστιν ἀγνοίας τῆς ἑαυτῶν καὶ τῶν ἐν ἡμῖν παθῶν. καὶ νοῦς μὲν ἡμῶν ὑπερκάθηται, τὰ δὲ πάθη μεθ' ἡμᾶς· ὥσθ' ὃ μὲν εἰκότως ἄνω λέγεται καὶ ἡ ἐπ' αὐτὸν ὁδὸς ἀνωφόρος, τὰ δὲ κάτω καὶ ἡ ἐπ' αὐτὰ κίνησις κατωφόρος. καὶ ἡ μὲν πρώτη περίοδος πρώτη τῆς ψυχῆς κίνησίς ἐστιν, ἥπερ ἐπὶ δεξιὰ καλεῖται· κινήσεως γὰρ ἀρχὴ τὸ δεξιόν, ὥς φασι καὶ οἱ περὶ ζῴων γράφοντες· ἡ δὲ θατέρου ἐπ' ἀριστερὰ ὡς ὑπ' ἐκείνῃ τεταγμένη καὶ δευτερουργός, ὡς τὰ ἀριστερὰ τῶν δεξιῶν ἐν τοῖς ζῴοις δεύτερα. διὸ καὶ οἱ μὲν αὐτοπραγήσαντες τὴν δεξιὰν πορεύονται τὴν αὐτῶν ζωὴν ἐπιτρέψαντες τῇ κρείσσονι ταῖν περιόδοιν, οἱ δὲ ἀλλοτριοπραγήσαντες τὴν ἀριστεράν, ὡς ἐκείνης μὲν ἀποστάντες κατὰ ταύτην δὲ βεβιωκότες.

in R.2.150 εἰ δὲ καὶ 〈ἐπὶ〉 τὰ ἑαυτῶν οἱ δικασταὶ πέμπουσιν δεξιὰ καὶ ἐπὶ τὰ ἄνω τὰ ἑαυτῶν καὶ πάλιν ἐπὶ τὰ ἑαυτῶν ἀριστερὰ καὶ τὰ κάτω τὰ ἑαυτῶν, δῆλον, ὅτι τὰς μὲν ἀναγωγοὺς αὐτῶν δυνάμεις ἄνω καὶ δεξιὰς θήσομεν, τὰς δὲ κολαστικὰς κάτω καὶ ἀριστεράς. συλλήβδην οὖν τριχῶς ἀκουσόμεθα ταῦτα τὸ ἄνω καὶ κάτω, τὸ δεξιὸν καὶ ἀριστερόν, ψυχικῶς, δικαστικῶς, κοσμικῶς· ἔστι γὰρ καὶ ἐν τῷ κόσμῳ πάντα κατ' ἀναλογίαν. αἱ μὲν οὖν κρείττους καὶ εἰς νοῦν ὁρᾶν ἐθέλουσιν καὶ κατὰ τὴν ἀμείνω ζωὴν ἐνεργεῖν καὶ γιγνώσκουσιν ἑαυτὰς καὶ τὸ οἰκεῖον τέλος· διὸ κινοῦνται τὴν ἐπὶ δεξιὰ καὶ ἄνω καὶ τὰ δικαστικὰ σημεῖα πρόσω φέρουσιν. αἱ δὲ χείρους καὶ εἰς τὴν τῶν παθῶν ἀταξίαν ὀπισθοβαροῦσι καὶ κατὰ τὸ χεῖρον ἑαυτῶν ζῶσιν καὶ ἀγνοοῦσι τὰς ἑαυτῶν συμφοράς· διὸ καὶ κάτω χωροῦσιν κατὰ τὴν τῶν δικαστῶν κρίσιν καὶ εἰς ἀριστερὰ φέρονται καὶ ὀπίσω περιάπτεται αὐταῖς τὰ σημεῖα τῆς κρίσεως. οὐ γὰρ βλέπουσι τὰ κακὰ τὰ ἑαυτῶν οὐδὲ γιγνώσκουσι τὰ οἰκεῖα πάθη, ἀλλὰ κατέλοιπον ὅπερ ἔχουσι. χρὴ δὲ ταῖς ἀλογωτέραις ἀπονέμειν δυνάμεσιν τὰ εἰς τὰ ὄπισθεν ταῖς φυσικαῖς· (νώτοις δ ' ἀμφὶ θεᾶς φύσις ἄπλετος ᾐώρηται φησὶν καὶ τὰ λόγια περὶ τῆς τῶν φύσεων πηγῆς), ὡς ταῖς νοερωτέραις τὴν εἰς τὸ πρόσω βλέψιν ἀπονέμειν. εἰ οὖν αἱ μὲν ὑπὸ τῶν φύσεων κατατείνονται τῶν ὑλικῶν καὶ τῶν ποιναίων ἀγκτήρων τῶν εἰς τὸ σκότος ἀγόντων, αἱ δὲ ὑπὸ τῶν νοήσεων ἀνάγονται καὶ τῶν διανοητικῶν ἐνεργειῶν, εἰκότως δήπουθέν ἐστιν τὰ κριτικὰ σημεῖα τὰ μὲν νοερώτερα

συνθήματα ζωῆς ἔμπροσθεν, τὰ δὲ ἀλογώτερα καὶ φυσικώτερα (ἀλογία γὰρ συνδεῖ πρὸς τὴν φύσιν, ὡς πρὸς νοῦν λόγος) ὄπισθεν.

in R.2.151 Ἀλλὰ τίνα δή ἐστι τὰ σημεῖα ταῦτα 〈τὰ〉 περιαπτόμενα ταῖς ψυχαῖς ἐφ' ἑκάτερα φερομέναις; τὰ μὲν γὰρ ἄλλα δῆλα γέγονεν. ἢ καὶ τοῦτο παντὶ καταφανές, ὅτι σημείων ἐστὶν ἔργον τύπον μέν τινα καὶ ἴχνος ἐκείνων ἔχειν, ὧν ἐστιν σημεῖα (καὶ τοῦτο διχῶς, ἢ δι' ὁμοιότητος ἢ δι' ἀναλογίας), ἃ δὲ ἐκεῖνα τὰ οἷον σημαινόμενα ὑπ' αὐτῶν, μὴ εἶναι; λέγω δὲ δι' ὁμοιότητος μέν, οἷον εἴ τις λέγοι σημεῖον εἶναι πυρὸς τὸν ὁρώμενον καπνόν—ἔχει γάρ τι διά τε τὸ ἀνωφόρον καὶ τὸ θερμὸν ὅμοιον πρὸς τὸ πῦρ καὶ εἰ προσθείης αὐτῷ τὸ λαμπρὸν μόνον (τούτῳ γὰρ ἐλλείπει πυρός), ἔσται πῦρ καὶ οὐ καπνός—δι' ἀναλογίας δέ, ὡς ἐπὶ τῶν μαντικῶν σημείων σχεδὸν πάντων τὰ μὲν τοῖς ἀμείνοσι τῶν πραγμάτων ἀνάλογον τιθέμενοι, τὰ δὲ τοῖς χείροσιν σημεῖα καλοῦσιν, ὅταν αὐτὰ μὴ ἐξ ἐκείνων ᾖ τῶν γεγονότων ἢ ἐσομένων, οἷον τὸ κάτω σημαίνει τὰς πτώσεις ἢ τὰς θεοφανίας τὸ ἄνω δηλοῖ. οὐ γὰρ ἐξ ἐκείνων ταῦτα γέγονεν καθάπερ ὁ καπνὸς ἐκ τοῦ πυρός, ἀλλὰ διὰ τὴν ἀναλογίαν μόνην ἡ οἰκειότης. ἐν ἀμφοτέροις οὖν τοῖς σημείοις ἀμυδρῶς ἐστιν τὸ σημαινόμενον. εἰ οὖν τοιόνδε τι δηλοῖ τὸ σημεῖον, οὗπερ ἂν ᾖ σημεῖον, λέγειν χρὴ κἀνταῦθα τὴν πρόδρομον τῶν δικαστῶν εἰς τὰς ψυχὰς δόσιν τῶν ὀφειλομένων σημεῖον προσαγορεύειν τὸν μῦθον· καὶ γὰρ τῆς εὐπαθείας τῆς ἐν οὐρανῷ καὶ τῆς τίσεως τῆς ὑπὸ γῆς προκατάρχουσιν οἱ δικασταί, καὶ πρὶν ἐν ἐκείναις γένωνται ταῖς λήξεσιν αἱ ψυχαί, καὶ τῶν τιμωριῶν ἄρχονται καὶ τῶν ἐπικαρπιῶν· οὐ γὰρ ἦν ἡ κρίσις λόγος μόνον, ἀλλ' ἔργον· εἰ καὶ τῶν ἄλλων ἦν προηγουμένως μετὰ τὴν κρίσιν τὰς ἀρχὰς τὰς ἐνδεδομένας τελεώσασθαι καὶ τὰς μὲν εἰς τὴν προσήκουσαν ἀνάγειν εὐμοιρίαν, τὰς δὲ εἰς τὴν προκατηργμένην κόλασιν.

in R.2.152 εἰ μὲν οὖν ἑκάτερον ὑπὸ τῶν κριτῶν ἐγίγνετο μόνων, οὐκ ἂν ἐρρήθησαν χρῆσθαι σημείοις, καὶ εἰ μηδὲν ἐποίουν ὅλως· ἐπεὶ δὲ δρῶσι μέν, ὑπαρξάμενοι δὲ δρῶσιν ἄλλοις παραδιδόντες τὴν ἀποπλήρωσιν, αἱ δόσεις αὐτῶν καὶ ἀρχοειδεῖς ποιήσεις σημείοις ἀπεικάσθησαν, ὧν οἰκειότης μέν ἐστι πρὸς τὰ σημαινόμενα καὶ ὑποτύπωσις, ἀμυδροτέρα δὲ ἐκείνων ἡ ὑπόστασις. ταύτας δὴ οὖν τὰς δικαστικὰς ἐνεργείας αἱ μὲν κρείττους ψυχαὶ καὶ γιγνώσκουσιν καὶ σέβουσιν καὶ συναισθάνονται, ποῖ ποτε αὐτὰς ἄγουσιν, αἱ δὲ χείρους καὶ γενομένας οὐ γιγνώσκουσι καὶ δίκην δώσουσι τὴν ὑπὸ γῆς, ἥστινος οὐκ αἰσθάνονται, καὶ ἔτι μᾶλλον οὐκ αἰσθάνονται ἑαυτῶν. καὶ τοῦτό ἐστι τὸ εἰς τοὔμπροσθεν τὰ σημεῖα περιάπτειν τούτων τοὺς δικαστάς, τῶν ἀδίκων δὲ ⟦ τὰ ⟧ ἐπὶ νώτοις, διὸ καὶ ὄπισθεν· οὕτως δὲ καὶ ἐν τῷ τῇδε βίῳ τοῖς μὲν ἀγαθοῖς ἡ πρόνοια καὶ τὰ ἀπ' αὐτῆς ἐστιν ἐν γνώσει πᾶσιν, οἱ δὲ κακοὶ καὶ πάσχοντες ὑπ' αὐτῆς ἀσυναισθήτως ἔχουσι πρὸς αὐτήν. ἔοικεν οὖν οἷον συστατικὰ εἶναι τὰ δικαστικὰ ταῦτα σημεῖα τῶν δεδικασμένων ψυχῶν τὰ μὲν πρὸς τὰ ἐν οὐρανῷ, τὰ δὲ πρὸς τὰ ὑπὸ γῆς, ἵνα συσταθεῖσαι παρὰ τῶν δικαστῶν τοῦ τέλους τύχωσι παρὰ τῶν ὑποδεχομένων αὐτάς. Ἑαυτοῦ δὲ προσελθόντος εἰπεῖ ν , ὅτι δέοι αὐτὸν ἄγγελον ἀνθρώποις γενέσθαι τῶν ἐκεῖ καὶ διακελεύοιντό οἱ ἀκούειν καὶ θεᾶσθαι πάντα τὰ ἐν τῷ τόπῳ [614d].

in R.2.153 Σαφῶς ἐν τούτοις ὁ μῦθος τάξιν ἀγγελικὴν καὶ διαπορθμευτικὴν τῶν ἔξω σώματος περὶ τὰς ψυχὰς συμπιπτόντων ἀποδίδωσιν τῷ τὸν μῦθον ἀφηγουμένῳ κατὰ τὴν δικαστικὴν ψῆφον. εἰ δὲ τοῦτο, πρόδηλον, ὅτι καὶ τούτῳ κατὰ δίκην ὑπῆρξεν καὶ τὴν ἐκ τοῦ παντὸς ἐφήκουσαν ἀξίαν τοῦτο καὶ ἄλλῳ παντὶ τῷ τηλικούτων ἀγαθῶν ἐν θεωρίᾳ γενησομένῳ, καὶ λέλυται τὸ ἄπορον, πῶς διέμεινεν εἰς τοσαύτας ἡμέρας τὸ σῶμα τοῦ Ἠρὸς κείμενον ἐπὶ γῆς ἀδιάλυτον. εἰ γὰρ κατὰ τὴν κοσμικὴν ἐγίνετο τάξιν θεωρὸν γενέσθαι τὴν ψυχὴν χωρισθεῖσαν τῶν μετὰ σώματος ἀοράτων καὶ ἄγγελον ἀνθρώποις, καὶ τὴν τοῦ σώματος διαμονὴν ἀδιάφθορον φυλάττεσθαι ἀδύνατον· νῦν δὲ ἡ ἐνθάδε θεωρία καὶ ἀπαγγελία ἐκ θείας πρόεισι δυνάμεως. ὅτι δὲ τὸ τούτων, ἀλλ' οὐκ ἄλλων γένος ψυχῶν ἡ θεία ἐδικαίωσε ψῆφος, ῥᾴδιον ἡμῖν κατιδεῖν τῷ

περὶ πασῶν λέγειν ψυχῶν, ὡς αἳ μὲν ἄλλων εἰσὶν ἐκφαντορικαὶ ταῖς ἐν γενέσει ψυχαῖς ἀγνώστων αὐταῖς πραγμάτων, αἳ δὲ ἄλλων κατὰ τὰς διαφόρους τοῦ παντὸς περιόδους· οἷον αἳ μὲν τελετῶν καὶ μυστηρίων, ὅσαι τοῖς τελετουργοῖς ἀνεῖνται θεοῖς· αἳ δὲ τῆς θείας μαντικῆς, ὅσαι ταῖς ἐκφαντορικαῖς τάξεσιν ἀνεῖνται τῆς κρυφίως οὔσης ἐν τοῖς θεοῖς ἀληθείας· αἳ δὲ ἰατρικῆς, ὅσαι ταῖς παιωνίοις δυνάμεσι ταῖς ἀγήρων καὶ ἄνοσον καὶ ἄλυτον συνεχούσαις τὸν ὅλον οὐρανόν. οὕτω δὴ οὖν καὶ τῶν ἀφανῶν περιόδων τῶν ψυχικῶν ἄξιαί τινες γίγνονται διαφερόντως τῆς ἐποψίας, ὅσαι τοῖς τῶν περιόδων τούτων ἡγεμόσιν ᾠκείωνται· καὶ αὗται ποτὲ μὲν αὐτοφανῶς ἰδοῦσαι τὰς ἐν τῷ παντὶ τούτῳ κόσμῳ τάξεις αὐτῶν διαγγέλλουσιν κατὰ τὴν ἐν τῷ παντὶ προϋπάρχουσαν ἱερατικήν, αἱ δὲ ἄλλον τρόπον ἀναμνησθεῖσαι τῶν ἔξω θεαμάτων κατὰ τὴν φιλόσοφον θεωρίαν.

in R.2.154 ὡς γὰρ οἱ παρ’ ἡμῖν ἱερατικοὶ τοῖς ἐπόπταις δύναμιν ἐντιθέασιν ἰδεῖν ἃ μὴ πρότερον φάσματα καὶ ποιοῦσι θεωρούς, οὕτω καὶ ἡ ἐν τῷ κόσμῳ πρὸ τῆς παρ’ ἡμῖν εἰς πολλὰς τοῦτο δρᾷ ψυχὰς τὰς ἀξίας τῆς τοιαύτης μακαριστῆς θέας (πρὸ γὰρ τῶν μερῶν τὸ ὅλον) καὶ τελεστικαῖς χρῆται δυνάμεσι καὶ εἰς ἀγγελικὴν ἀνάγει τάξιν τὰς τελουμένας τῶν ψυχῶν, ἀλήθειαν διαγγελουσῶν τὴν κρυφίαν· διὸ προξενεῖ τὴν τούτων μακαρίαν θέαν. καὶ δὴ 〈καὶ τὴν〉 τοῦ Ἡρὸς τούτου ψυχὴν ἐν τοῖς καθήκουσι χρόνοις ἐτέλει μὲν τὸ πᾶν, κατὰ δίκην ὀφειλομένης αὐτῇ τῆς τοιαύτης εὐδαίμονος τελειότητος, ὡς δὲ πρὸς ἐκείνην τὴν ὑπὸ τοῦ παντὸς τελουμένην εἰς ἀγγελικὴν ἀνήγετο τάξιν. καὶ γὰρ οἱ τῇδε τελεστικοὶ τάξεώς εἰσι τοιαύτης· θέει ἄγγελος ἐν δυνάμει ζῶ ν , φησὶν τὸ λόγιο ν , ὅστις ἐστὶν ὡς ἀληθῶς ἱερατικός· γίνεται οὖν ἐπόπτης μὲν τῶν ἀφανῶν, ἄγγελος δὲ τοῖς ἐμφανέσιν ὁ αὐτός· διόπερ αὐτὸν οἱ δικασταὶ κελεύουσιν ὁρᾶν τὰ ἐν τῷ τόπῳ πάντα καὶ ἀκούειν, τόπον μὲν δήπου τοῦ μύθου λέγοντος τὸν παρὰ τοῖς δικασταῖς· ἐντεῦθεν γὰρ ὡς ἐκ περιωπῆς ὅλον τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ καθορᾶν, τὰ μὲν ἀσώματα τοῖς ἀσωμάτοις ὄμμασιν τῆς ψυχῆς, τὰ δὲ σωματικὰ τοῖς τοῦ αὐγοειδοῦς ὀχήματος. διὸ καὶ ἀκούειν αὐτόν φησι χρῆναι καὶ ὁρᾶν· τοῦτο γὰρ καὶ ὁρατικὸν ὅλον ἅμα καὶ ἀκουστικόν ἐστιν. καὶ γὰρ ἐν αὐτῷ πρώτως ἡ αἴσθησις ἡ μία καὶ ἀμερής, ἀφ’ ἧς αἱ μεμερισμέναι περὶ τοῖς αἰσθητηρίοις.

in R.2.155 ὡς οὖν ἐκείνη γιγνώσκει τὰ πασῶν, οὕτω καὶ τὸ ὄχημα τὸ αὐτῆς τὰ πάντων τῶν αἰσθητηρίων, καὶ ὡς ἀμερῶς ἐκείνη, οὕτω τὸ ὄχημα ἀπαθῶς. ταύταις δὲ χρῆται ταῖς αἰσθήσεσιν ἔξω σώματος ὂν καὶ ὕλης, καὶ ὅταν ἀποκαταστῇ, τά τε οὐράνια καὶ τὰ ὑπὲρ τὸν οὐρανόν, ὥς φασιν οἱ θεουργο ί , φῶτα θεώμενον καὶ τῆς ἁρμονίας τῆς ἐν οὐρανῷ ἀκοῦον καὶ στρεφόμενον αὐτόν που τὸν ἄτρακτον καὶ τὰς ἄλλας περιφορὰς καὶ τὸν ἥλιον τὸν λαμπρὸν σφόνδυλον καὶ τὰς Μοίρας ὁρᾶν λέγει που καὶ ὡς τὰ πάντα δίδωσιν ἡ Λάχεσις. ἀλλὰ ταῦτα καὶ ἐν ἄλλοις. διὰ τί δὲ σημεῖον τούτῳ περιάπτειν οὐκ ἐθέλουσιν οἱ δικασταί, δῆλον. οὐ γὰρ εἶχεν αὐτῷ πέρας ὁ βίος, ἡ δὲ κρίσις ἦν μετὰ τὸν βίον καὶ ἡ τῶν σημείων περίθεσις μετὰ τὴν κρίσιν. οὕτω δὲ καὶ ἐν τοῖς ἑπομένοις ἐρεῖ μηδὲ κλῆρον αὐτόν τινα λαγχάνειν· οὐ γὰρ ἦν ἐφ’ ἕτερον βίον μετάβασις, ἀλλ’ ὁ αὐτὸς ἦν διακοπτόμενος τῇ αὐτοπτικῇ ταύτῃ θεωρίᾳ καὶ τῷ χωρισμῷ τοῦ σώματος. Ὁρᾶν δὴ ταύτῃ μὲν κα θ ’ ἑκάτερον τὸ χάσμα τοῦ οὐρανοῦ τε καὶ τῆς γῆς · ἕως τοῦ· καὶ ἁσμένας εἰς τὸν λειμῶνα ἀπιούσας οἷον ἐν πανηγύρει κατασκηνᾶσθαι [p. 614de]. Ἐν τούτοις σαφέστατα διέκρινεν ὁ μῦθος, τίνες μέν εἰσιν αἱ χρεῖαι τῶν δύο χασμάτων τῶν εἰς τὰς λήξεις ἀγόντων τὰς ψυχάς, τίνες δὲ τῶν λοιπῶν τῶν εἰς γένεσιν φερόντων ἀπὸ τῶν λήξεων ἐκείνων. ἀπίασι μὲν τοίνυν αἱ ψυχαὶ διὰ τοῖν δυοῖν, ὧν τὸ μὲν εἰς οὐρανὸν τείνει, τὸ δὲ εἰς τὰ ὑπὸ γῆς. εἰ δὲ τὰ χάσματα οὐ χῶραί τινές εἰσιν, ἀλλὰ δαιμόνιαι τάξεις, ὡς ἐδείκνυμεν, διαστέλλουσαι τὰς τῶν ψυχῶν λήξεις οὐρανίας τε καὶ χθονίας, ἑώρα μὲν ἐκεῖνος, εἰ τύχοι, καὶ τὰς ἀσωμάτους διανομὰς τῶν ψυχῶν, ἑώρα δὲ καὶ τὰς σωματικὰς μεταστάσεις, ἃς ἐποιοῦντο διὰ τῶν ὀχημάτων ἄνω τε καὶ κάτω φερομένων, εἰσδεχομένων αὐτὰς ἀπιούσας ἢ τῶν εἰς οὐρανὸν

ἀναγόντων δαιμόνων ἢ τῶν εἰς τὰ ὑπὸ γῆς καταγόντων ⟦ δαιμόνων ⟧ ἀπὸ τοῦ μέσου τόπου 〈ἢ〉 εἰς κρείττονα λῆξιν τὴν ἐν οὐρανῷ ἢ εἰς χείρονα τὴν ὑπὸ γῆς.

in R.2.156 καὶ ἐπειδὴ εἰς τὴν γένεσιν στέλλονται αἱ ψυχαί, καθ' ἑκάτερον πάλιν εἰς τὸν μέσον φέρονται τόπον ἐξ οὐρανοῦ τε κατιοῦσαι καὶ ἐκ γῆς ἀνιοῦσαι, στελλόμεναι δὲ ἄμφω πρὸς τὰς γενέσεις τῶν ζῴων· ὥ[στε] καὶ ἐκ Διὸς καὶ ἐκ Πλούτωνος εἶναι τὰς εἰς Ποσειδῶνος ἐπειγομένας. τὰς μὲν οὖν ἐκ τῆς γῆς ἀνιούσας κόνεως πεπληρῶσθαι καὶ αὐχμοῦ, τὰς δὲ ἐξ οὐρανοῦ κατιούσας εἶναι καθαρὰς τούτων. αἱ μὲν γὰρ οὐ παντελῶς ἦσαν ὕλης ἐκτός, αἱ δὲ ταύτης ἐκαθάρευον· τὴν δὲ ὕλην αὐχμηρὰν ὡς ἄγονον καὶ τῶν λογίων λεγόντων ἀκούομεν. ὧν οὖν καὶ τὰ ὀχήματα ἦν ἔνυλα καὶ σκοτεινὰ καὶ ἔτι τῆς παχυτέρας οὐσίας ἀναπεπλησμένα, ταύτας αὐχμοῦ καὶ κόνεως εἶπεν μεστάς, ὧν δὲ κουφότερα τὰ περιβλήματα καὶ φωτεινότερα διὰ τὴν ἐν οὐρανῷ διατριβήν, ταύτας καθαρωτέρας. πᾶν γὰρ καθαρὸν τὸ μηδὲν ἀλλότριον εἰσδεξάμενον, ἀλλότριον δὲ τῷ λεπτῷ τὸ παχὺ καὶ τῷ ἐμπυρίῳ τὸ γεῶδες καὶ τῷ λαμπρῷ τὸ σκοτεινόν. εἰ δὲ καὶ τῶν ἐκ γῆς ἀνιουσῶν ἔτι τοῖς πνεύμασιν ἐνεφαντάζετό τις ἐνοῦσα τῶν ἐκεῖ κολαστικῶν τόπων ἰδιότης, οἷον τοῦ Πυριφλεγέθοντος ἢ τοῦ Στυγίου ῥεύματος, ταῖς δὲ ἐξ οὐρανοῦ προσῆν ἐφέλκεσθαί τι φῶς ἐκεῖθεν ἐγγενόμενον, οἷον δὴ πολλάκις ἐλλάμπει καὶ λίθοις ἀπορροίας ἔχουσιν ἡλίου καὶ σελήνης καὶ ἄστρων, οὐδὲν θαυμαστόν· κατέχει γὰρ ἐν ἑαυτῇ ἑκάστη τὸ οἰκεῖον, αἱ μὲν ἐκ γῆς ἀνιοῦσαι τὸ ὑλῶδες καὶ σκοτεινόν, αἱ δὲ ἐξ οὐρανοῦ κατιοῦσαι τὸ φωτεινὸν καὶ 〈τὴν〉 ἀπὸ τῶν αὐγῶν τοῦ κοσμικοῦ φωτὸς περίλαμψιν.

in R.2.157 πάσας δ' οὖν φησιν εἰς τὸν λειμῶνα ἀφικομένας ὥσπερ ἐν πανηγύρει κατασκηνᾶσθαι. Τὸν μὲν οὖν λειμῶνα καὶ διὰ τούτων οἶμαι δηλοῖ τῶν ῥημάτων 〈ὅτι〉 τὸν δικαστικόν, ὥσπερ ἐν τῷ Γοργίᾳ, τόπον ἀποκαλεῖ. εἰ γὰρ εἰς τὸν κοινὸν ἀφικνοῦνται τῶν χασμάτων χῶρον, οὗτος δὲ αὖ ὁ δαιμόνιος τόπος ἐστίν, ἐν ᾧ καθῆσθαι προείρηται τοὺς δικαστάς, ἐν ᾧ καὶ ὁ τοῦδε τοῦ λόγου πατὴρ ἐκεκέλευστο παρὰ τῶν δικαστῶν θεᾶσθαι πάντα τὰ ἐν τῷ τόπῳ καὶ ἀκούειν, δῆλον ὡς αὐτὸς ἔσται δαιμόνιος τόπος καὶ τῶν δικαστῶν χῶρος, ὃν ἀπεδείκνυμεν ἔμπροσθεν ἐναργῶς αὐτὸν εἶναι τὸν αἰθέρα τὸν οὐρανοῦ καὶ γῆς ὅλης μέσον καὶ οὐχὶ τῶν ἐγκοίλων μόνων τῆς γῆς. ἔστι μὲν οὖν ὁ λειμὼν οὗτος ταύτην ἔχων τὴν ἐπωνυμίαν ὡς ἀρχὴ τῆς τῶν ῥευστῶν φύσεως καὶ τῶν ἐν ὑγρῷ τρεφομένων περιοχὴ πάντων λόγων τε γενεσιουργῶν καὶ ζωῆς ὑλικῆς ἀστάτως κινουμένης τόπος· τοιοῦτοι γὰρ οἱ λειμῶνες ὑδρηλοί τινες καὶ ἀνθέων καὶ ἄλλων τοιούτων γέμοντες. τοῦτον Ἐμπεδοκλῆς [v. 386. 388 Stein] ἰδὼν τὸν λειμῶνα παντοίων αὐτὸν εἶναι κακῶν πλήρη καὶ εἶπεν καὶ εἰπὼν ἀνώμωξεν· Ἔνθα Κότος τε Φόνος τε καὶ ἄλλων ἔθνεα κηρῶν Ἄτης ἐν λειμῶνι κατὰ σκότος ἠλάσκοντ α . μισοφαὴς γὰρ οὗτος ὁ χῶρος, ὡς καὶ τὸ σκότος ἐν αὐτῷ ἐγένετο, καὶ τῆς τίσεως κακούργῳ παντί· κοινὸν δὲ αὖ τοῦτον ἡ φύσις ἐτέλεσεν τὸν τόπον, καὶ τοῖς δικαίοις οἰκεῖον εἶναι τοῦτον ὑμνοῦσιν.

in R.2.158 κατασκηνᾶσθαι δέ φησιν ἐν αὐτῷ τὰς ψυχὰς καταντώσας ὥσπερ ἐν πανηγύρει, διότι καὶ ἐν ταῖς πανηγύρεσιν ἄλλοι τε ἀλλαχόθεν ἀφικνοῦνται καὶ πηξάμενοι σκηνὰς διαιτῶνται χωρὶς ἀπ' ἀλλήλων. Τίς οὖν πανήγυρις ἐν ταύταις; ποίας εἶναι τὰς ψυχικὰς οἰησόμεθα σκηνάς; τὰς μὲν γὰρ πρὸς ἀλλήλας αὐτῶν συνουσίας μαθησόμεθα μικρὸν ὕστερον. ἡ δὲ δὴ πανήγυρις τὰς ἐκ τοῦ παντὸς αὐτῶν φοιτήσεις εἰς τὴν κοινὴν χώραν, τὴν ἑστίαν τῆς γενέσεως, παρίστησιν. καὶ γάρ ἐστιν οὗτος ὁ τόπος, ὡς μὲν διαυγέστατος τῶν στοιχείων, οἰκεῖος ταῖς ἐξ οὐρανοῦ σταλείσαις, ὡς δὲ γένεσιν ἔχων, ἐκ γῆς, ὑποδοχή ἐστιν τῶν πανταχόθεν γενεσιουργὸν ζωὴν ἤδη προβαλλομένων ψυχῶν· διὸ δὴ πανηγύρει τὴν σύνοδον αὐτῶν ἀπείκασεν ὁ μῦθος, καὶ τοῦτο γενέσει πρέπον ὄνομα θέμενος. εἰς γὰρ τὴν γένεσιν παντοδαπαὶ ψυχαὶ φέρονται, καὶ αἳ μὲν θέας ἕνεκα τῶν τῇδε καὶ ἱστορίας ὡς ἐν ταῖς πανηγύρεσιν, αἷς καὶ ἡ κάθοδος ἀνεπαχθής, αἳ δὲ ἐμπορευσόμεναί τι τῶν γενέσει καθηκόντων καὶ ἀποδωσόμεναί τι τῶν οἰκείων (αἳ δὴ καὶ συντελοῦσιν εἰς τὴν εὐγονίαν τῶν ἐνύλων), αἳ δὲ οἷον ὠνησόμεναί τι τῶν ἀπὸ τῆς γενέσεως

καὶ προληψόμεναι πεῖραν τῶν γενεσιουργῶν παθῶν, αἳ δὲ ἄλλο τι προσεοικὸς ἔχουσαι τοῖς εἰς τὰς πανηγύρεις ἀφικνουμένοις· αἳ μὲν οἷον εἰς ἄνεσιν διὰ τὸ πεποιῆσθαι πολλὴν πορείαν καὶ κάματον ἥκουσαι, αἳ δὲ διὰ τοῦτο ἀφικνούμεναι, ὡς τοὺς ἐφόρους ἐκμειλίξωνται τῆς γενέσεως, ὥσπερ ἐκεῖ τινες, ἵνα τοὺς τῆς πανηγύρεως θεραπεύσωσιν· πᾶσαι δ' οὖν πανηγυρίζουσιν σὺν εὐθυμίᾳ ποιούμεναι τὴν κάθοδον.

in R.2.159 σκηνᾶσθαι δὲ ἄρα λέγονται τοῖς φυσικοῖς ἤδη καὶ ἐνύλοις χρώμεναι λόγοις καὶ τούτους προχειρίζουσαι, καθ' οὓς μέλλουσιν ζῆν ἄλλαι κατ' ἄλλους, ζωῶν τε εἴδη ποικίλα, καὶ τὰ ὀχήματα τὰ ἑαυτῶν ἐνυλώτερα ποιοῦσαι διὰ τῆς προβολῆς καὶ περιαμπισχόμεναι χιτῶνας παχυτέρους καὶ γενέσει φίλους, δι' ὧν ἀποκρύπτουσιν ἑαυτὰς καὶ διοικίζουσιν ἀπὸ τῶν ἄλλων, ὥσπερ οἱ ἐν ταῖς σκηναῖς διατρίβοντες. εἰ δὲ καὶ σκιᾶς ἕνεκα πήγνυνται τὰς σκηνὰς ἐν ταῖς πανηγύρεσιν, ἵνα μὴ ὕπαιθροι διάγωσιν (ὅθεν καὶ τὸ ὄνομα ταῖς σκηναῖς), φανερόν, ὅτι ταῖς ἤδη γενέσεως ἐπορεγομέναις καὶ εἰς τὴν φύσιν ὁρμώσαις τὸ κατασκηνᾶσθαι πρεπόντως εἴρηται, φευγούσαις μὲν τὴν ὕπαιθρον ζωήν, εἰς δὲ τὰ στερεὰ σώματα κατιούσαις, ἐν οἷς αἱ σκιαὶ καὶ τὰ εἴδωλα τῶν ὄντων· ἐπεὶ καὶ τὰ σκιὰς ποιοῦντα οὐκ ἄλλα ἐστὶν ἢ τὰ χθόνια περιβλήματα τῶν ψυχῶν. Καὶ μὲν δὴ καὶ τὸ ἀσμένως ἑκατέρας εἰς τὸν λειμῶνα ἀφικνεῖσθαι καὶ τὸ ἐκ πολλῆς τινος αὐτὰς πορείας φαίνεσθαι ἥκειν δηλοῖ τήν ⟦ τε ⟧ περὶ τὴν γένεσιν ἀμφοτέρων φιλοφροσύνην. εἰ γὰρ ὁ λειμὼν ἀρχὴ τῆς γενέσεώς ἐστιν, αἱ δὲ ἄσμενοι τὸν λειμῶνα καταλαμβάνουσιν, φανερὸν ὅτι ἀμφότεραι τὴν γένεσιν προθυμοῦνται καὶ μετέχειν ἐθέλουσι τῆς ἐνύλου ταύτης ζωῆς· πολλὴ γάρ ἐστιν ἐν ταύτῃ ἡ ἐνέργεια. ταῖς οὐρανίαις οὖν καὶ ταῖς χθονίαις ἡ μεταβολὴ τῆς ζωῆς ἀσμένη ἐστί, καμούσαις ἐν ταῖς προτέραις ἐνεργείαις, ταῖς μέν γε εἰκότως, ἐν τληπαθείαις οὔσαις, ταῖς δέ, εἰ καὶ ἐν εὐπαθείαις, ἀλλ' ἀποκαμούσαις καὶ πρὸς ἐκείνην τὴν ζωήν.

in R.2.160 οὐ γὰρ ὅλαις ἑαυταῖς ἐνήργουν, ἀλλὰ μόνῳ τῷ μένειν ἄνω δυναμένῳ. κάρα οὖν αὐτῶν ὠρέγετο τῆς ἐν οὐρανῷ ζωῆς, τὸ δὲ λοιπόν, ὅσον εἶχεν ἑκάστη τῆς φιλογενέσεως ζωῆς, ἐκεῖ μὲν ἀνενέργητον μένον, ἐφιέμενον δὲ ἐνεργῆσαι, κάμνειν ἐποίει καὶ ἀσθενεῖν τὴν ὅλην κατά τι ἑαυτῆς ψυχὴν καὶ κάμνουσαν διδόναι καὶ τῷ σφύζοντι χώραν καὶ διδοῦσαν ἀσμενίζειν τὸν λειμῶνα πρὸ ὀμμάτων αὐτῇ ποιοῦντα τὴν γένεσιν. Τήν τε οὖν ζωὴν αἰνίσσεται τὴν ἐπιτρέχουσαν ἤδη τῇ γενέσει τὸ ἀσμένας ἐν τῷ λειμῶνι κατασκηνᾶσθαι τὰς ἡκούσας εἰς αὐτὸν ἄνωθεν καὶ κάτωθεν ψυχάς, καὶ τὸ ἐκ πολλῆς πορείας ἥκειν φαίνεσθαι τὴν αἰτίαν προστίθησιν, δι' ἣν ἄσμενοι τὸν λειμῶνα καταλαμβάνουσιν. οἱ γὰρ πολλὴν πορείαν πεποιημένοι καμάτου τὴν ἀνάπαυλαν ἄσμενοι δέχονται. καὶ αὗται οὖν πολλὰ πορευθεῖσαι ταὐτὸν ἔπασχον· πολλὰ δὲ ἐπορεύθησαν αἳ μὲν κατ' οὐρανὸν συμπεριπολοῦσαι τοῖς οὐρανίοις θεοῖς, αἳ δὲ ἐν τοῖς ὑπὸ γῆς τόποις ποικίλας ἔχουσαι μεταβάσεις ἀπ' ἄλλων εἰς ἄλλους, ὡς ἑκάστην ἦγεν ὁ τῆς τίσεως νόμος. ὅτι μὲν οὖν αἱ ψυχαὶ καὶ ὀχήμασιν χρώμεναι κινουμένοις κατὰ τόπον καὶ αὐταὶ καθ' αὑτὰς μόνας τοῖς τε διανοήμασι καὶ θεωρητικαῖς ἐνεργείαις κινοῦνται, φανερόν, ὅτε καὶ δοκοῦσιν ἅπασαι ποιεῖν τῶν νοήσεων ἢ τῶν φαντασιῶν ἢ τῶν αἰσθήσεων τὸν κύκλον. τὸν δὲ δὴ χρόνον τῆς πορείας ἐνταῦθα οὐκ εἴρηκεν, ἐν δὲ τοῖς ἑπομένοις ἐρεῖ χιλιέτη 〈τὴν〉 ὑπὸ γῆς εἶναι πορείαν· ἔστι δὲ καὶ τῆς οὐρανίας τούτων τῶν ψυχῶν τοσοῦτος.

in R.2.161 πόθεν τοῦτο γράφω τεκμαιρόμενος; ὅτι καὶ ἐν Φαίδρῳ [249ab] μετὰ τὴν κρίσιν τῶν ἄλλων ψυχῶν παρὰ τὰς φιλοσόφους ἀγαγὼν τὰς μὲν εἰς οὐρανόν, τὰς δὲ εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἐπήγαγεν· τῷ δὲ χιλιοστῷ ἀμφότεραι ἀφικνοῦνται ἐπὶ κλήρωσιν καὶ αἵρεσιν δευτέρου βίο υ , λέγων ἀμφοτέρας, καὶ τὰς εἰς οὐρανὸν ἀπὸ γῆς γεγονυίας· κἀνταῦθα δὲ [619c] τὰς ἐξ οὐρανοῦ ψυχὰς ἔθει ἄνευ φιλοσοφίας βεβιωκυίας ὀρθῶς εἶναι τὰς λήξεως ἐκεῖ τυχούσας, εἶτα εἰς τὸν λειμῶνα ἀφιγμένας. ὥστε ἡ χιλιέτης πορεία κοινὴ πάσαις ἐστὶν ταύταις, καὶ ἔοικεν ἡ χιλιὰς

χρόνος εἶναί τις περιοδικὸς ἀπὸ γενέσεως ἐπὶ γένεσιν ἄγων τὰς ψυχάς, οὐχ ἁπλῶς, ἀλλὰ πρὸ τῆς τελέας ἀποκαταστάσεως. εἰ γὰρ ἄνευ φιλοσοφίας οὐράνιαι γεγόνασιν, οὔπω μὲν ἀνήχθησαν εἰς τὴν νοητὴν φύσιν, ταῖς δὲ ἐγκοσμίοις κινήσεσιν τῶν οὐρανίων συμπεριεπόλουν, διὰ τὴν ἐξ ἔθους τάξιν αὐταῖς ἐντεθεῖσαν χαίρουσαι τῇ τάξει τῶν περιόδων ἐκείνων. καὶ οὐδὲν θαυμαστὸν ψυχὰς 〈καὶ〉 ὀχήματα ψυχῶν συγγενῆ τοῖς οὐρανίοις τοῦτο δρᾶν, ὅπου καὶ τῶν ἐν γῇ κατερριζωμένων ἔστιν ὁρᾶν τὰ μὲν ἡλίῳ συγκινούμενα, τὰ δὲ σελήνῃ συντρέχοντα ... 80 ... ἐκείνοις δῆλον. ὅτι 〈γὰρ〉 διὰ τῆς κατὰ τὴν φύσιν οἰκειότητος [ἐνέσπαρ]ται τὰ μὲν εἰς ἥλιον, τὰ δὲ εἰς σελήνην, ὡς ὁ Τίμαιος [41a ss.] ἐδίδαξεν, ἔστιν τὰ μὲν ἡλιακὰ ὀχήματα, τὰ δὲ σεληναῖα. καὶ εἰ τοῦτο ἀληθές, οὐδὲν θαυμαστὸν τὰ μὲν ἡλίῳ τὰ δὲ σελήνῃ συμπεριπολεῖν, εἰ μὴ ἄτακτα φέροιτο. τῆς δὲ ἀταξίας διὰ τὴν ἐν ἕθεσι τεταγμένοις ζωὴν ἀνῃρημένης ἕπεται τὴν κατὰ φύσιν αὐτὰ ζωὴν ἔχοντα καὶ ὄντα οὐράνια φύσει συμπεριάγεσθαι τοῖς ἡγεμόσιν καὶ ἀποκάμνειν ἤδη ποτὲ διὰ τὴν ἐν αὐτοῖς ζωὴν ἀσθενεστέραν οὖσαν τῆς τῶν ὅλων ζωῆς ἀκμήτως ἐνεργούσης.

in R.2.162 καὶ μηδεὶς οἰέσθω διὰ τούτους ἡμῶν τοὺς λόγους ἢ τὰ ὀχήματα χρῆναι μένειν ὑπὸ σελήνην πασῶν τῶν εἰς οὐρανὸν ἀνελθουσῶν, ἢ συνανιόντων καὶ τῶν ὀχημάτων 〈τὸ οὐράνιον σῶμα〉 σχίσεις ὑπομένειν τινάς, καθάπερ τὸν ἀέρα κινουμένων ἡμῶν διὰ τοῦ ἀέρος. δεῖ μὲν γὰρ ἕκαστον εἰς τὴν ὁλότητα πάντως ἀποκαθίστασθαι τὴν οἰκείαν, ὁλότης δὲ τῶν σπαρέντων ἐστὶν ὀχημάτων ταῦτα τὰ σώματα, ἐν οἷς ἐσπάρη κατὰ φύσιν. ἐπεὶ καὶ τὸ πῦρ ὁρῶμεν τὴν οἰκείαν ὁλότητα καταλαβεῖν σπεῦδον καὶ τὴν βῶλον καὶ τὸ πνεῦμα· καὶ πάντως ἄτοπον τοῖς μὲν φθαρτοῖς ὑπάρχειν τὴν ὄρεξιν ταύτην ὡς σώμασιν, τοῖς δὲ ἀφθάρτοις μὴ ὑπάρχειν, ἢ ὑπάρχειν μέν, μηδέποτε δὲ εἰς τέλος ἀφικνεῖσθαι, εἴπερ οὐδεμίαν ὄρεξιν φυσικὴν μά[την] ... . 65 ..... σθαι καὶ πᾶν ὄχημα ... 10 ... [συγγε]νές τινι τῶν ὅλων ἐστὶ κατὰ φ[ύσιν· ἡ γὰρ σπο]ρὰ τὴν κατὰ φύσιν δηλοῖ διανομήν. οὐ μὴν διὰ τὴν τῶν ὀχημάτων δίοδον σχίζεταί πως τὸ σῶμα τὸ θεῖον ἢ λαμβάνει προσθήκην ἀνιόντων ἢ ἀφαίρεσιν ὑπομένει κατιόντων, ἀλλ' ἀδιαιρέτως δι' αὐτοῦ χωρεῖ ταῦτα καὶ ἐντίθεται ταῖς οἰκείαις περιφοραῖς. πάλαι γὰρ ἡμεῖς καὶ σῶμα διὰ σώματος χωρεῖν ἀπεδείκνυμεν καὶ οὐ πάντα 〈τὰ〉 σώματα τοῦτο πάσχειν, ἀλλὰ τὰ ἄϋλα διὰ τῶν ἐνύλων ἢ τὰ ἄϋλα διιέναι διὰ τῶν ἀΰλων (λέγω δὲ ὕλην τὴν ἐσχάτην καὶ τοῖς ἐσχάτοις σώμασιν ὑποκειμένην), εἶναι δέ τινα καὶ μέσα τῶν ἐνύλων καὶ ἀΰλων, ἃ δὴ καὶ αὐτὰ πρὸς ἄλληλα τὸ τῶν ἐνύλων ὑπομένει πάθος, χωρεῖν οὐ δυνάμενα δι' ἀλλήλων ἀδιαιρέτως· διὸ μηδὲ τὸ ἡλιακὸν φῶς σῶμα ὂν διὰ τοῦ σεληναίου σώματος χωρεῖν (τοῦ μὲν γὰρ δηλοῖ τὴν πρὸς τὰ ἔνυλα συγγένειαν ἡ κλάσις, τοῦ δὲ ἡ σκιά· ποιεῖ γὰρ καὶ ἡ σελήνη σκιάν) μηδὲ τὸ ὄχημα τὸ ἡμέτερον διὰ τῶν ἐνύλων ὄγκων (μέσον γάρ ἐστιν καὶ τοῦτο τῶν ἐνύλων καὶ ἀΰλων), διὰ δὲ τοῦ οὐρανίου σώματος καὶ τοῦτο καὶ τὸ ἡλιακὸν φῶς ἀδιαιρέτου μένοντος ὑπ' αὐτοῦ φοιτᾶν.

in R.2.163 πᾶσα γὰρ διαίρεσις πάθος ἐστὶ τῆς τοῦ διαιρουμένου συνεχείας φθαρτικόν. Ἀλλὰ ταῦτα μὲν διὰ πλειόνων ἐν ἄλλοις ἠξίωται διαρθρώσεως· τίς δὲ ὁ χιλιέτης ἀριθμὸς .... 85 ... ν ἐκ τούτ[ων] .... 10 ... [ἔ]σται ἀφανές, ὅσα περὶ τῶν ὀχημάτων διήλθομεν. Καὶ ἀσπάζεσθαί τε ἀλλήλα ς , ὅσαι γνώριμα ι , καὶ πυνθάνεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ τῶν ἑτέρων τὰ ἐκε ῖ , καὶ τὰς ἐκ τοῦ οὐρανοῦ τὰ πα ρ ' ἐκείναι ς , ἕως τοῦ· καὶ θέας ἀμηχάνους τὸ κάλλος [p. 614e—615a]. Ἡ μὲν εἰς τὸν λειμῶνα σύνοδος τῶν ψυχῶν τίνα ἔνδειξιν ἔχει, διῃρήμεθα πρότερον, καὶ ὅτι ὁ αὐτός ἐστι λειμὼν καὶ δικαστῶν τόπος· ἀλλ' ὡς μὲν τὸ ἀφ' οὗ αἱ δισσαὶ λήξεις σχίζονται, δικαστικὸς τόπος· ὡς δὲ τὸ εἰς ὃ συννεύουσιν ἄμφω, λειμών· ὅθεν πρὸ μὲν τῶν λήξεων ὡς εἰς δικαστικὸν ᾔεσαν τόπον, πρὸ δὲ τῆς γενέσεως μετὰ τὰς λήξεις ὡς εἰς λειμῶνα τὸν αὐτόν· ὁ γὰρ αἰθὴρ καὶ ἀρχὴ γενέσεώς ἐστιν καὶ μέσον οὐρανοῦ καὶ γῆς, καὶ τῇ μὲν τόπος δικαστικός, τῇ δὲ λειμὼν ὀνομάζεσθαι πρέπων. Μετὰ δὲ τὴν εἰς ταὐτὸν οἷον σημεῖον τῶν ψυχῶν ἀπὸ τῶν διῃρημένων λήξεων σύνοδον ἕπεται θεωρεῖν, πῶς μὲν γνωρίζουσί τινες ἀλλήλας, πῶς δὲ ἀσπάζονται, πῶς

δὲ διαλέγονται, καὶ πῶς διαλεγομένων ἀκούουσι καὶ διηγουμένων ἄλλαι ἄλλων· καὶ τίνα μὲν αἱ κάτωθεν διηγοῦνται ταῖς ἄνωθεν ἀφιγμέναις, καὶ πῶς ἐκεῖναι δέονται τοῦ μαθεῖν ἅτε οὐκ εἰδυῖαι, καὶ πῶς οὐκ ἴσασιν· τίνα δὲ αἱ ἄνωθεν, καὶ πῶς μέμνηνται τῶν ἐν οὐρανῷ θεαμάτων· καὶ εἰ θαυμάζουσιν ἐκεῖνα, πῶς οὐκ ἀναστρέφουσιν ἐπ' αὐτά· καὶ εἰ πρὸς τὴν πορείαν ἔκαμον, πῶς ἀναλαμβάνουσιν.

in R.2.164 … 108 .. [ἀ]λλὰ πρός γε τ .. .. 12 .. θεωρίαν ἀγαγεῖν. Τὸ μὲν τοίνυν ἀναγνωρισμὸν εἶναι ταῖς ψυχαῖς ἀλλήλων, εἴπερ καὶ γνῶσιν ἀλλήλων ἔξω τῶν ὀστρεΐνων σωμάτων, οὐδὲν οἶμαι θαυμαστὸν εἶναι· καὶ γὰρ ἄτοπον τὰς μὲν αἰσθήσεις γνώσεις οὔσας μετὰ παχέων ὀργάνων ἀντιλαμβάνεσθαι τῶν συγγενῶν αἰσθημάτων (οἷον ὄψιν φωτοειδῆ κατὰ φύσιν οὖσαν χρωμάτων φωτοειδῶν ὄντων, καὶ ἀκοὴν ἀερώδη τὴν οὐσίαν ἔχουσαν τῶν ψόφων ἀερίων ὄντων), τὰς δὲ ψυχὰς γνωστικὰς οὔσας καὶ οἷον ὄψεις τινὰς μὴ ὁρᾶν τὰς συγγενεῖς αὐταῖς ψυχὰς καὶ χωρὶς ὀργάνων αὐτὰς δι' ἑαυτῶν. οὐ γὰρ γνῶσιν τὰ ὄργανα προστίθησιν, ἀλλὰ μᾶλλον ἄγνοιαν· εἴπερ ἡ μὲν γνῶσις ἐνέργεια, κρίσις οὖσα τῶν γνωστῶν, ἡ δὲ κρίσις ἀπαθής, τὰ δὲ ὄργανα πάθη ταῖς γνώσεσιν προστίθησιν. ὁρᾶν δὲ ὄντος δυνατοῦ καὶ ἀσωμάτως καὶ σωματικῶς οὐδὲν ἤδη θαυμαστὸν καὶ ψυχὴν ὁρᾶν ἄλλην ψυχήν. καίτοι καὶ διὰ τῶν ὀχημάτων δυνατὸν φάναι γίγνεσθαι ταῖς ψυχαῖς τὴν ἀλλήλων γνῶσιν, ὥσπερ ἐνταῦθα διὰ τῶν ὀστρεΐνων σωμάτων, καὶ ἐναργέστερον δι' ἐκείνων ἢ τούτων· μᾶλλον γὰρ ἐκεῖνα τὰς ἀπὸ τῶν ψυχῶν ἐμφάσεις ὑποδέχεται τούτων, ὅπου γε καὶ ἐν τούτοις ἄλλα μόρια μᾶλλον ἄλλων, ὅσα ψυχῆς ἐγγυτέρω, δείκνυσιν τὰς ἔνδον ἐν αὐταῖς ταῖς ψυχαῖς διαθέσεις, οἷον ὄμματα … 46 … κατὰ τὸν ἀπα … 17 … αλλ .. [οὕτω] δὴ οὖν μειζό[νως τὰ συμ]φυέστερα ὀχήματα ταῖς ψυχαῖς καὶ τῶν ὑλικῶν τούτων ὀμμάτων ἀποτυποῦται τὴν χρωμένην ψυχὴν καὶ δείκνυσιν δι' ἑαυτῶν καὶ ἐκείνην.

in R.2.165 ἐπεὶ καὶ ἐνταῦθα τῶν καθ' ἡμᾶς τινα τά τε ἄλλα κατανοητικώτατον καὶ περὶ ταῦτα πολὺ σχόντα τὸ διαφέρον ἔγνωμεν παιδίον ἰδόντα ὑπὸ τιτθῇ τρεφόμενον, καὶ ἤδη γεγονὸς ἐν ἀνδρὸς ἡλικίᾳ πάλιν ἰδόντα καὶ ἐπιγνόντα ἔτι τοῦτον ὃν εἶδεν ὅτε παιδίον ἦν, διὰ μακροῦ χρόνου μόνοις τοῖς ὄμμασιν πιστεύσαντα τὸν ἀναγνωρισμόν. τί δὴ οὖν ἔτι παράδοξον καὶ τὰς ἐκεῖ ψυχὰς ἀναγνωρίζειν ἀπὸ τῶν ὀχημάτων ἀλλήλας; τά τε γὰρ τῶν ἀμεινόνων μᾶλλον διασημαίνει τὴν ἐπιβεβηκυῖαν ψυχὴν ἥτις ἐστίν, διότι καὶ κατὰ φύσιν συμπέφυκεν αὐταῖς, καὶ τὰ τῶν χειρόνων ἔχει τινὰς τύπους καὶ ἐμφάσεις ἔτι τοῦ τῆς ζωῆς εἴδους. καὶ ἔτι διορῶσαι καὶ ἐπιγιγνώσκουσαι διὰ τούτων ἀλλήλας πάμπολυ τῶν ἐνταῦθα τὰς ὄψεις ἀκριβεστέρας ἔχουσι, διὰ αὐλοτέρων ἐνεργοῦσαι σωμάτων· κριτικώτερον γὰρ τὸ αὐλότερον, καὶ τὸ ἀπαθέστερον αἰσθητήριον ἐνεργητικώτερον. καὶ ταῦτα γράφομεν, ὅπως καὶ διὰ τῶν ὀχημάτων ἐπιδείξωμεν δυναμένας γιγνώσκειν τὰς ἐκεῖ ψυχὰς ἀλλήλας· ἐκεῖνο προϋπομνήσαντες, ὡς ἄρα καὶ ἀσωμάτως ἀλλήλας γιγνώσκουσιν. εἰ γὰρ καὶ τὰ ὄντα βλέπουσιν ἀσωμάτως, πῶς οὐχὶ … 150 .. [ὁ]ρᾶν [διὰ] τούτων ἀλλήλας. Εἰ δὲ δὴ γιγνώσκουσιν ἀλλήλας, καὶ ἀναγνωρίζειν ἀλλήλας οὐκέτι δήπου θαυμαστόν, ἐχούσας ἐν ταῖς φαντασίαις ἀποκείμενον τὸν ἀλλήλων τύπον καὶ ἡσυχάζοντα, ⟦ δὲ ⟧ διὰ τῆς νέας ὄψεως ἀνακινούσας τὴν τῆς ὁρωμένης ψυχῆς μνήμην. τοιοῦτος γὰρ ὁ ἀναγνωρισμός, τοῦ μνημονευτοῦ προβολὴ καὶ μνήμης ἀνανέωσις, ἣν εἶχεν μὲν οὐ πρόχειρον δὲ εἶχεν, ὥστε καὶ διανοηθῆναι πρὸς ἑαυτὴν τὴν ἀναγνωρίζουσαν, ὅτι ἄρα αὕτη ἐκείνη ἡ ψυχὴ ἡ τοιόνδε ἦθος ἔχουσα καὶ ζῶσα χεῖρον ἢ βέλτιον.

in R.2.166 οἷον καὶ Ὀδυσσεὺς ὁ Ὁμήρου τὴν Ἀχιλλέως ψυχὴν ἰδὼν ἐν Ἅιδου καὶ τὴν Αἴαντος ἐγνώρισεν ἃς εἶδεν, τὴν δὲ Μίνωος ἣν ἤκουσεν, τυχὸν δὲ καὶ ἐδιδάχθη παρὰ τῶν ἐν Ἅιδου περί τε τούτου καὶ τῶν ἄλλων, τῆς Ταντάλου, τῆς Τιτυοῦ, τῆς Σισύφου, τίνες εἶεν· εἰ μὴ ἄρα καὶ τεθρύλητο ταῦτα περὶ ⟦ τε ⟧ αὐτῶν ὑπὸ δή τινων χρησμῳδηθέντα θεῶν, ὡς ὃ μὲν δικάζει ταῖς ἐν Ἅιδου ψυχαῖς, αἳ δὲ τοιάσδε κολάζονται κολάσεις, καὶ ἰδὼν ἐπέγνω ῥᾳδίως, ὅτι ταῦτα ἦν ἅπερ αἱ περὶ

αὐτῶν φῆμαι παρέδοσαν. —Εἰ δὲ δὴ γνωρίζειν ψυχαὶ δύνανται καὶ ἐκεῖ ψυχάς, εἴτε δι’ ἑαυτῶν εἴτε διὰ τῶν ὀχημάτων ἐπὶ γνῶσιν ἀλλήλων ἰοῦσαι καὶ ἀναγνώρισιν, ἑπόμενόν ἐστι τούτῳ τὸ καὶ ἀσπάζεσθαι τὰς γνωρίμας ἀλλήλας ὡς διὰ χρό[νου] … 80 … ουσιν συνεῖνα[ι] ..... [ἀλ]λήλαις καὶ ὅλης ἁπλῶς τῆ[ς ζω]ῆς πρὸς ὅλην συνάπτεσθαι σπευδούσης καὶ [φι]λοφρόνως ἐχούσης. —Καὶ μὴν καὶ τὸ διαλέγεσθαι ψυχὰς οὐ γλῶτταν ἐχούσας οὐκ ἀρτηρίαν οὐ χείλη, δι’ ὧν ἐν τῷ τῇδε βίῳ διαλέγεσθαι μόνως δυνατόν, ἀπιστεῖν οὐ προσῆκεν· ἔστι γὰρ αὐτῶν τὰ ὀχήματα γλωσσοειδῆ ὅλα καὶ ὄμματα καθ’ ὅλα ἑαυτὰ καὶ ὦτα, καὶ ἀκούειν δυνάμενα καὶ ὁρᾶν καὶ φθέγγεσθαι. καὶ γὰρ ἄτοπον, εἰ ἡ μὲν γλῶσσα τὸν ἀπὸ τοῦ πνεύμονος ἀέρα πλήττουσα δύναται διηρθρωμένην ποιεῖν τὴν φωνήν, τὰ δὲ τῶν ψυχῶν ὀχήματα μὴ δύναται τὸν περὶ ἑαυτὰ κινεῖν ἀέρα καὶ διὰ τοίας ἢ τοίας κινήσεως σχηματίζειν εἰς φθόγγους διαφόρους· πρὸς τῷ καὶ τὸν τρόπον τῆς διαλέξεως μὴ ἐξ ἀνάγκης εἶναι ποικίλον οὕτως καὶ πολυκίνητον ὡς τὸν τῶν ἐνταῦθα ψυχῶν, ἀλλὰ διά τινων ἁπλουστέρων κινήσεων δύνασθαι σημαίνειν τὰς ἐννοίας αὐτῶν ἀλλήλαις. ὡς γὰρ αἱ διανοήσεις ἁπλούστεραι καὶ αἱ φαντασίαι, οὕτω καὶ αἱ διαλέξεις ἐπιτελοῦνται διὰ κινήσεων ὁμοίως ἐλασσόνων καὶ τῆς ἐνταῦθα ποικιλίας καθαρευουσῶν ὡς τὸ εἰκός.

in R.2.167 καὶ ἐπειδήπερ ἐν τοῖς ὀχήμασιν αὐτῶν ἐστιν ἡ ὡς ἀληθῶς αἴσθησις (πᾶν γὰρ σῶμα ψυχῆς μετέχον ζῇ, λογικῆς δὲ ὂν ψυχῆς καὶ κατ’ αἴσθησιν ζῇ καὶ ἔτι κατὰ τόπον κινούμενον δεῖται καὶ αἰσθήσεως· τοιοῦτον δὲ πᾶν ὄχημα ψυχῆς συμφυὲς ὂν λογικῆς … 65 … [ἀ]κούειν κ[αὶ] … 22 … δὲ …. ερ τὸ μὲν ἁπλοῦν [δύναται] κατὰ τὸ αὐτὸ καὶ ἀκούειν καὶ ὁρᾶν καὶ ὅλως αἰσθάνεσθαι· μία γάρ, φησὶν Ἀριστοτέλη ς , ἡ κυρίως αἴσθησις καὶ τὸ κύριον αἰσθητήριον ἕν ἐστιν, ὡς ἐν τοῖς περὶ αἰσθήσεως λέγει που καὶ αἰσθητῶν [de somn. 2 p. 455a 20]· εἰ δὲ τοῦτο καὶ τῇ κοινῇ αἰσθήσει χρῆται, δύναται δήπου καὶ ἤχων ἁπαθῶς ἀντιλαμβάνεσθαι καὶ ἀκούειν καὶ ὧν ἡ τῶνδε τῶν σωμάτων ἀκοὴ μὴ πέφυκεν. οὐ γὰρ πᾶσα ἀκοὴ πάντων ἐστὶν ἀκουστῶν, ἀλλ’ ἡ μὲν ἄλλων ἡ δὲ ἄλλων· διὸ καὶ δαιμόνων φωνὰς οἳ μὲν ἀκούουσιν, οἳ δὲ οὔ, συνόντες τοῖς ἀκούουσιν· καὶ παρέχει τὴν δύναμιν ταύτην τοῖς μὲν ἱερατικὴ δύναμις, τοῖς δὲ κατασκευὴ φύσεως, ὥσπερ ὄμμασι φάσματα ὁρᾶν διὰ θατέρου τούτων ὑπάρχει τὰ ἄλλοις ὄμμασιν ἀόρατα. τὸ δὲ δὴ πρῶτον ὄχημα τῶν ψυχῶν τὴν κοινὴν αἴσθησιν ἔχον τὰ πάσαις μὴ ἀκουστὰ ταῖς ἀκοαῖς τῶν θνητῶν καὶ ἀόρατα ταῖς ὄψεσιν ὁρᾶν καὶ ἀκούειν πέφυκεν. Τὸ μὲν οὖν διηγεῖσθαι καὶ διηγουμένων ἀκροᾶσθαι τοῦτον ἐπιτελεῖται τὸν τρόπον· ἡ δὲ χρεία τῶν διηγήσεών ἐστιν, ὅπως αἳ μὲν ἐκ τῶν δικαιωτηρίων γνῶσιν τὸ ἀγαθὸν οἷον ἄρα ἐστὶ τῆς κρείσσονος ζωῆς καὶ τῆς ἑπομένης ἐκείνῃ λήξεως, αἳ δὲ ἐκ τοῦ οὐρανοῦ τὸ τῶν τιμωριῶν μέγεθος ἡλίκον ἐστὶν τῶν κατὰ δίκην ὀφειλομένων ταῖς ἀποπεσούσαις τῆς ἀρίστης ζωῆς. ἀμφοτέραις δὲ ὄφελος ἂν εἴη ἡ πρὸς τὴν μετὰ .

in R.2.168 .. 75 … τειν οἶδεν ἐλπὶς κα[ὶ λύπη, ἢ μὲ]ν τιμῆς, ἢ δὲ τιμωρίας· γίγνετ[αι] τοίνυν ταῖς μὲν κάτωθεν ἡκούσαις ἐλπὶς τοῦ τυχεῖν ἀγαθοῦ, τῶν ἄνωθεν ἀφωρισμένων τὰ ἐκεῖ διηγουμέν[ων]· ταῖς δὲ ἄνωθεν ἀφιγμέναις φόβος τῆς τιμωρίας, τῶν κάτωθεν ἡκουσῶν τὰ ἐν Ἅιδου δείματα ἀπαγγελλουσῶν· ἀμφοτέραις δὲ τὸ σωφρονεῖν ἐν ταῖς τῶν βίων αἱρέσεσιν, ὡς ἑκάσταις δυνατόν. ὥστε καὶ τοῦτο γίνεσθαι πάντως κατὰ πρόνοιαν, τὸ διηγεῖσθαι ἀλλήλαις ἀμφοτέρας ὧν ἐπειράθησαν, εἰ καὶ μὴ πάσαις ἐξ ἀνάγκης ὑπάρχει τὸ ἐκ τούτων ὄφελος· οὐδὲ γὰρ ἐν τῷ τῇδε βίῳ πᾶσαι γίγνονται ἀμείνους ἐκ τῶν τοιούτων λόγων. Αἱ μὲν οὖν ἀπὸ τῶν χθονίων ἥκουσαι τόπων διηγοῦνται τὰ δείματα τὰ ἐκεῖ, τοὺς ποταμούς, τοὺς ἐφεστῶτας δαίμονας ποιναίους, καὶ ἀκούουσι τούτων αἱ ἐξ οὐρανοῦ (δέονται γὰρ μαθεῖν, οὐκ ἔχουσαι γνῶσιν πάντων· οὐ γὰρ ἦν ἡ ἀποκατάστασις αὐτῶν ἡ τελεωτάτη δι’ ἔθη βέλτιστα τῆς ἐν οὐρανῷ τυχουσῶν λήξεως)· αἱ δὲ ἐξ οὐρανοῦ τὰς εὐπαθείας τὰς ἐκεῖ καὶ τὰς θέας τὰς ἀμηχάνους τῷ κάλλει· τὰ γὰρ οὐράνια ἑώρων αὐτοφανῶς, ἃ ἡμεῖς οὐχ ὁρῶμεν διὰ τὴν ἀπόστασιν, καὶ τὰ τῶν

οὐρανίων δαιμόνων ὀχήματα καὶ πάντα φῶτα θεῖα καὶ ζωῆς μεστὰ καὶ διαπεποικιλμένα περιόδοις ἰδίαις· καὶ τούτων ἔτι μνήμην εἶχον· οὐ γὰρ ἀποστᾶσαι τοῦ ὁρᾶν καὶ τὴν μνήμην εὐθὺς ἀφῆκαν. ἐκράτει δὲ αὐτῶν ἡ εἰς τὴν γένεσιν ὁρμὴ καὶ διὰ τοῦτο προῄεσαν ... 64 ... [ἑ]ώρα τὰς εἰς τὴν γένεσιν [ὁρμώσας ἔτι ἀμυ]δρὰν τὴν ἐκ τῆς μνήμης φ[αντασίαν ἐχού]σας. — Ἀλλὰ τίς ἡ χιλιέτης πορεία, μεταξ[ὺ] εἴρηται τῶν διηγήσεων, καὶ εἴρηται ὡς ἄρα τῶν χθονίων ψυχῶν· καίτοι ὅτι κοινὴ καὶ ταῖς ἡκούσαις ἐστὶν ἐκ τοῦ οὐρανοῦ κατὰ Πλάτωνα, διὰ τῶν ἔμπροσθεν ἱκανῶς ἡμῖν ἀποδέδεικται.

in R.2.169 τὸ μὲν οὖν μὴ πάντως ἐπὶ δακτύλων χρῆναι τὸν ἀριθμὸν σκοπεῖν, μικρὸν ὕστερον ἀπὸ τῶν ῥημάτων δείξομεν τῶν Πλάτωνος. εἰ δὲ δεῖ μὴ τοῦτον τὸν τρόπον, ἀλλὰ ζωτικῶς τὸ εἶδος τοῦ ἀριθμοῦ θεωρεῖν, λεγέσθω καὶ παρ' ἡμῶν ἡ χιλιὰς οἰκεῖός τις ἀριθμὸς εἶναι ταῖς ἀπὸ γενέσεως στελλομέναις εἰς γένεσιν ψυχαῖς, πρὸ τῆς τελείας, ὡς εἴπομεν πρότερον, ἀποκαταστάσεως· διότι δὴ χθόνιός ἐστιν ὁ χίλια , κυβικὸς ὢν ἐκ δεκάδος. ἡ μὲν οὖν δεκὰς σύμβολον κοσμικῆς ἔστω ζωῆς ἀπὸ τῆς μοναδικῆς ἐνεργείας εἰς ταύτην ἐκπεσούσης· ὁ δὲ ἀπὸ τῆς δεκάδος τετράγωνος πάλιν πεσούσης ἀφ' ἑαυτῆς αὐτοκινήτως εἰς γένεσιν καὶ ἐπιπεδωθείσης διὰ τὴν πτῶσιν· ἡ δὲ χιλιὰς ἀπὸ γενέσεως αὖθις εἰς γένεσιν ἑτέραν ἐλθούσης διὰ τρίτης αὔξης· τῆς μὲν πρώτης εἰς κόσμον ἀναγούσης, τῆς δὲ δευτέρας εἰς γένεσιν, τῆς δὲ τρίτης εἰς ἄλλην γένεσιν· βαθύνασα γὰρ τὸ ἐπίπεδον οὐκ ἀνέδραμεν εἰς ἑαυτήν, ἀλλ' ἐπιτείνασα τὴν ὁρμὴν προσέθηκεν γενέσει γένεσιν ἑτέραν· εἴτε οὖν πλείων ὁ τῆς περιόδου χρόνος εἴτε ἐλάσσων ἐστίν, ὅρος αὐτῆς ... 75 ... νη δεκάς· πρὸ δὲ τούτων [ἡ μονὰς τῆς δ]ημιουργικῆς αἰτίας τοῦ κό[σμου], δι' ἣν καὶ ὁ κόσμος δεκάς, τὴν ἐν τῇ μονάδι περιοχὴν τῶν εἰδῶν πάντων ἐξαπλ[ώ]σασα καὶ περατώσασα τὸ πλῆθος τὸ κοσμικόν· μουνάδος ἐκ κευθμῶνος ἀκηράτο υ , φησὶν ὁ εἰς τὸν ἀριθμὸν Ὀρφικὸς ὕμνο ς , ἔσ τ ' ἂν ἵκηται τετρά δ ' ἐπὶ ζαθέη ν . (ἔστιν δὲ τετρὰς ἡ Διονυσιακὴ θεότης, τετραυγέα τετρακέρατον μυριάκις τῆς Ὀρφικῆς θεολογίας τὸν θεὸν ὑμνούσης) ἣ δ' ἔτεκε μητέρα πάντων πανδεχέα πρέσβειραν (ὡς πάντων χωρητικὴν τῶν ἐν τῷ κόσμῳ καὶ περιεκτικήν) ὅρον περὶ πᾶσι τιθεῖσαν ἄτροπο ν , ἀκαμάτην (ἀΐδιος γὰρ καὶ ἄλυτος ἡ συνέχουσα τὸν κόσμον φύσις) δεκάδα κλείουσί μιν ἀγνήν (ὡς ἀγενήτως τὸ πᾶν ὁρίζουσαν).

in R.2.170 μονὰς μὲν οὖν ἡ Δίιος, τετρὰς δὲ ἡ Διονυσιακή, δεκὰς δὲ ἡ τῶν κοσμικῶν εἰδῶν ὕπαρξις καὶ ὁ σύμπας κόσμος· διὰ μὲν τὴν Δίιον μονάδα μονογενής, διὰ δὲ τὴν Διονυσιακὴν τετράδα τετραμερής· ἐπειδὴ δὲ τῆς δεκάδος οὐσία λέγεται καὶ ἔστιν ἡ τετράς, ὁ κόσμος ἐστὶν ἤδη δεκάς· εἰς ὃν κατελθοῦσα ψυχὴ μοναδικῶς ζῶσα παρὰ τῷ Διὶ κατὰ τὸν ἑαυτῆς νοῦν, τετραδικῶς δὲ παρὰ τῷ Διονύσῳ, καθ' ὅσον ἤδη καὶ διαιρέσεως ἐφάπτεται καὶ γίνεται δυάς, μερίζουσα ἑαυτὴν ταῖς 〈τῶν〉 ἄνω νοήσεσιν καὶ ταῖς τῶν κάτω προνοίαις, καὶ οὐκέτι ζῶσα κατὰ τὸν ἡνίοχον μόνον, ἀλλὰ καὶ καθ' ἑ ... 40 ... ἑ[τ]ε[ρότ]ητα καὶ τ ... 10 ... αν ὁ Ἐμπεδοκλῆς κ ... 14 ... [εἰς τὸ] αἰσθητὸν ῥεπούσῃ τὸ ταυτο ..... λοποιὸν ζωήν· ἕως αὐτὴν ἡ πρόοδος [εἰς] δεκάδα πεσεῖν ἐποίησεν, ἐγκόσμιον γενομένην, εἶθ' ἑκατοντάδα καὶ ἑξῆς χιλιάδα, μετὰ τὸν γραμμικὸν ἀριθμὸν ἐπιπεδώσασαν ἑαυτὴν καὶ τὸ ἐπίπεδο ν , ὡς εἴρηται, βαθύνασαν · εἰ δὲ δὴ καὶ μὴ μίαν προσθείη γένεσιν, ἀλλὰ τὴν ποικιλίαν ἀνελίξαι τῶν βίων, ἡ τέως οὖσα χιλιὰς γίνεται μυριάς. καὶ διὰ ταῦτα ἡ παντελὴς διέξοδος ἐτῶν μυρίων μόλις ἀποκαθίστησιν τὴν ψυχήν, καὶ μετὰ ταύτην ἄλλος οὐκ ἔστι βίος· πέρας γὰρ ἡ μυριάς, πάντων οὖσα βίων ἀριθμός, πασῶν γενέσεων, πασῶν περιόδων.

in R.2.171 καὶ ταῦτα Πυθαγορείων ἐστὶ λόγων σπέρματα καταβεβλημένα τῷ Πλάτωνι, πρὸς τὴν τῶν περιοδικῶν ἡμᾶς ἀριθμῶν ἀνεγείροντα περιωπήν, ἐπὶ τῶν δακτύλων οὐκ ἐῶντα μένειν, ἀλλ' ἐπὶ τὰ παραδείγματα πείθοντα ἀπὸ τῶν εἰκόνων μεταβαίνειν. —Εἰ δὲ ζητοῖμεν ἡμεῖς, τί δήποτε μόναις ἀποδέδωκεν ταῖς ὑπὸ γῆν πορείαις τὴν χιλιετηρίδα, καίτοι καὶ τῶν ἐξ οὐρανοῦ τῷ χιλιοστῷ ἀφικνουμένων ἐπὶ κλήρωσιν καὶ αἵρεσιν, ὡς εἶπεν ὁ ἐν Φαίδρῳ Σωκράτης [p. 249b],

ῥητέον ὅτι ταῖς δυσπαθούσαις μᾶλλον φαίνεται τοῦ χρόνου τὸ μῆκος ἅπλετον ὂν ἢ ταῖς εὐμοίρως ζώσαις, ὥσπερ καὶ τοῖς νοσοῦσι μᾶλλον ἢ τοῖς ὑγιαίνουσιν· τὸ γὰρ παραμετροῦν δι' ἀσθένειαν μεῖζον εἶναι φαν[τάζεται τὸ χαλεπ]όν. εἰ δὲ [τοῦ]το ἀλη[θές, ὁ Πλάτων εἰκότως] δήπου [τὰς] κάτ[ωθ]εν ἡκ[ούσας ποιεῖ τ]ὴν π[ορεία]ν ἐκτραγῳδούσας, [ἢ διὰ τὰς ποινὰς ἢ] διὰ τὸν χρόνον, ὄντα πολύν· ἢ γὰρ διὰ τὴν σφοδρότητα τὴν τιμωρίαν αὔξομεν ἢ διὰ τὴν τοῦ χρόνου παράτασιν. ταῖς δὲ ἄνωθεν ἐλθούσαις διὰ τὴν εὐπάθειαν οὐδὲ τοσοῦτος ὢν ὁ χρόνος ἐφαίνετο πολύς, οὐδὲ εἰ τούτου πολλαπλασίων ἦν, ἀπὸ μείζονος δυνάμεως τὴν κρίσιν τῷ τοῦ χρόνου πλήθει προσφερούσαις. Τὰ μὲν οὖν πολλ ὰ , ὦ Γλαύκω ν , πολλοῦ χρόνου διηγήσασθαι · τὸ δ ' οὖν κεφάλαιον ἔφη τόδε εἶναι · μέχρι τοῦ· εἰς δὲ θεοὺς εὐσεβείας τε καὶ ἀσεβείας καὶ γονέας καὶ αὐτόχειρας φόνου μείζους ἔτι τοὺς μισθοὺς διηγεῖσθαι [p. 615a—c]. Τοῖς περὶ τῆς ἀρίστης καὶ χειρίστης πολιτείας λόγοις καὶ τῶν ἄλλων τῶν ἀνὰ μέσον ἐπομένην ὁ μῦθος ποιεῖται καὶ τὴν τῶν λήξεων ἀφήγησιν σύντομον, κοινὸν μὲν πασῶν ἕν τι λαμβάνων, ἀμεινόνων καὶ χειρόνων, μετὰ δὲ τοῦτο κατ' ἄρθρα τριαδικῶς αὐτὰς διαιρούμενος, εἰς πρώτας μέσας τελευταίας.

in R.2.172 Τὸ μὲν οὖν κοινόν ἐστιν, ὃ δὴ κεφάλαιον καὶ αὐτὸς προσείρηκεν ὡς περιγράφον καὶ ὁρίζον τὸν σύμπαντα περὶ τῶν λήξεων τουτονὶ λόγον, ἕκαστον τῶν τε ἀδικημάτων καὶ τῶν κατορθωμάτων δεκαπλασίαν ἔχειν τὴν ἔκτισιν, ὅπου μὲν διὰ τῶν ἐπικαρπιῶν, ὅπου δὲ διὰ τῶν τιμωριῶν, ὡς καὶ τὸν ἁμαρτόντα δεκάκις ὑπὲρ τοῦ ἁμαρτήματος ἀλγυνθῆναι κολαζόμενον, καὶ τὸν ἀγαθόν τι πράξαντα δεκάκις ὑπὲρ τοῦ πραχθέντος .. ηφ . 20 .. [τὸν ἀνθρώ]πινον βίον οὐχ ὡς Σόλων ἄρχ ..... [ἑβδο]μήκοντα μόνον ἐτῶν, ἀλλ' ἑκατόν. [καὶ διὰ] ταῦτα ἄρα καὶ τὸν χρόνον χιλιέτη [δεκαπλα]σιαζόμενον εἶναι καὶ τῆς εὐπαθείας καὶ τῆς τιμωρίας. εἰ δὲ τοῦτο, δῆλον δήπουθεν, ὅτι πρῶτον μὲν κοινὴ καὶ ταῖς εὐμοιροτέραις ψυχαῖς χιλιάς, καὶ οὐ μόνων ἐστὶν τῶν ὑπὸ γῆς κολαζομένων· ἡμεῖς γὰρ εἴπομεν, δι' ἣν αἰτίαν ταύταις ἀποδέδωκεν μόναις τὴν τοῦ χρόνου παρακολούθησιν· ἔπειθ' ὅτι καὶ οὐκ ἐπὶ δακτύλων λογίζεσθαι δεῖ τὸν χρόνον, οὐδὲ πασῶν ἐστιν εἷς χρόνος τῶν ψυχῶν (οὐδὲ γὰρ πᾶσαι τὸν ἑκατονταέτη βεβιώκεσαν χρόνον ἐν τοῖς σώμασιν)· ὥστε χρὴ τὸν ἀριθμὸν ἕς τι ζωῆς εἶδος ἀναπέμπειν· οὐ γὰρ ἂν ἐλέγοντο αἱ ἐξ ἀνίσων τῶν ἐν τῇ γενέσει βεβιωμένων ἐτῶν ἥκουσαι πᾶσαι χιλιέτη πεποιῆσθαι τὴν πορείαν, εἰ μὴ πᾶσαι τοσοῦτον ἦσαν ἐκεῖ γενόμεναι χρόνον, οὐκ ὄντα πάσαις ὀφειλόμενον διὰ τὴν ἀνισότητα τῶν ἐν σώμασι βίων. Ἀλλὰ τοῦτο μὲν δέδεικται καὶ διὰ τούτων· ὅτι δὲ καὶ ὁ ἑκατὸν ἐφαρμόζει συμβολικῶς τῇ μιᾷ γενέσει καὶ τῷ ἑνὶ βίῳ προείπομεν· καὶ εἴη ἂν Δίιος μὲν ἡ δεκάς, Πλουτώνιος δὲ ἡ χιλιάς, Ποσειδῶνι δὲ ἀνειμένη ἡ ἑκατοντάς.

in R.2.173 ἣ μὲν γάρ ἐστιν ὄντως οὐρανία, τοὺς μοναδικοὺς ἀριθμοὺς συμπεραίνουσα καὶ εἰς τὴν μονάδα τὴν δημιουργικὴν ἐπιστρέφουσα· τῶν δὲ οὐρανίων οἱ μοναδικοὶ ἀριθμοὶ πάντες εἰκόνες διὰ τὴν ἁπλότητα τὴν ἑαυτῶν· ἣ δὲ Πλουτώνιος διὰ τὸ κυβικόν· ἔστι γὰρ ἀπὸ .. 40 .. ων χθονίων εἰρημένων ὑπὸ τοῦ ..... καὶ διὰ τοῦτο ταῖς ὑποχθονίαις [τά]ξεσι προσηκόντων· ἣ δὲ ἐν μέσῳ τούτων οὖσα τῆς γενεσιουργοῦ ζωῆς ἐστι σύνθημα διά τε τὴν ἐπὶ δύο διάστασιν τῇ γενέσει πρέπουσαν καὶ διότι τριῳδουμένα μονὰς ἡ ἑκατοντὰς εἰς τὸν τριαινοῦχον ἀναπεμπομένη θεόν. καὶ ὁ μὲν Πλάτων διὰ τοιαύτας αἰτίας ἀποδίδωσι τὴν χιλιάδα ταῖς ὑπὸ τῷ Πλούτωνι ψυχαῖς, ὁ δὲ Ὀρφεὺς διὰ τριακοσίων αὐτὰς ἐτῶν ἀπὸ τῶν τόπων ἄγει τῶν ὑπὸ γῆς καὶ τῶν ἐκεῖ δικαιωτηρίων αὖθις εἰς γένεσιν, σύνθημα καὶ οὗτος ποιούμενος τὰς τρεῖς ἑκατοντάδας τῆς τελείας περιόδου τῶν ἀνθρωπίνων ψυχῶν καθαιρομένων, ἐφ' οἷς ἐβίωσαν ἐπιστρεφόμεναι τὴν γένεσιν. εἰ δὲ τὴν χιλιέτη πορείαν καὶ εἰς τὰς ἐν οὐρανῷ ψυχὰς ἀναπέμποιμεν, ἄλλως ἂν ἐκεῖ θεωροῖμεν αὐτήν· τῆς ψυχῆς πεσούσης μὲν εἰς γένεσιν διὰ τῆς ἑκατοντάδος, δυαδικὴν αὔξησιν ὑπομεινάσης, ἐπιστρεψάσης δὲ διὰ τῆς τριαδικῆς αὐξήσεως πάλιν εἰς τὴν δεκάδα· προόδων γὰρ ἡ δυὰς αἰτία πᾶσιν, ἐπιστροφῶν δὲ ἡ τριάς, οἷς ἐκείνη προόδων· ἐπεὶ οὖν εἰς οὐρανὸν ἡ ἄνοδος,

ὅθεν καὶ ἡ κάθοδος, εἰκότως ἡ χιλιὰς κἀκείνων δηλοῖ τὴν ζωήν, οὐκέτι καθ' ὅσον κύβος, ἀλλὰ καθ' ὅσον τρὶς ηὐξημένος ἐπιστρέφει τὸ τέλος εἰς τὴν ἀρχήν. Ὅτι δὲ ἡ ἑκατοντὰς εἶδός τι ζωῆς ἐστιν, δηλοῖ καὶ ὁ τῶν Μουσῶν λόγος [VI p. 546a ss.], τὰς διττὰς ἁρμονίας τῆς ἀνθρωπίνης περιόδου γεννῶν διὰ τῆς ἑκατοντάδος· .

in R.2.174 .... την μὲν γινομ[ένην] .. 14 . τοῦ [τε] ἐπιτ[ρίτου] π[υθμένος, τὸν μὲν ἐ]ξ ἴσων πλευρῶν ἑκατὸν το[σαυτάκις κατὰ] τὴν ὁμοιότητα τῆς ἀμείνονος [ζωῆς λαμ]βάνων, τὸν δὲ ἐκ τῶν ἀνίσων κατὰ τὸν [κρά]τιστον ἁρμονικὸν λόγον καὶ ἁπλούστατον οὐσῶν πρὸς ἀλλήλας τῆς χείρονος, διότι πάσης τῆς ἐν γενέσει ζωῆς ἡ ἑκατοντὰς εἰκών, ἣ μὲν κατὰ νοῦν ἐστιν, ἣ δὲ κατὰ νοῦν καὶ πάθος (μόνον γὰρ εἶναι πάθος ἐπὶ ψυχῆς ἀνθρωπίνης ἐνεργοῦν κατὰ πάντα τὸν βίον ἀδύνατον), καὶ ἣ μὲν ἔοικεν τῇ ἀπὸ τῆς ἑκατοντάδος ἰσάκις ἴσῃ γενομένῃ ζωῇ, ἣ δὲ τῇ ἀπὸ ταύτης καὶ τοῦ ὑπ' αὐτὴν κατὰ τὸν ἐπίτριτον. Ἀλλὰ τὸ μὲν κοινὸν δῆλον· ἡ δὲ κατ' ἄρθρα διαίρεσις τὰ μὲν μέγιστα διαιρεῖται τῶν ἀμεινόνων καὶ χειρόνων, ὅσα περὶ θεοὺς ἢ γονέας ἐστὶν ὅσια καὶ ἀνόσια ἔργα (καὶ γὰρ οἱ γονεῖς ἀνάλογον ἡμῶν ἄρχουσι θεοῖς, προεστῶτες καὶ αὐτοὶ τῆς γενέσεως καὶ τοὺς γενεσιουργοὺς ἐνεικονιζόμενοι θεούς, οἳ κατιοῦσιν ἡμῖν καὶ ὀχήματα ἐδημιούργησαν καὶ τὰ ἐκτὸς ἀπέδοσαν πρέποντα ταῖς περιόδοις τῶν ψυχῶν· διὸ τῆς αὐτῆς ἠξίωσεν μοίρας ἑκάτερα τά τε τῶν θεῶν καὶ τὰ τῶν γονέων, εὐσέβειάν τε καὶ δυσσέβειαν τὴν αὐτὴν ἀμφοτέροις ἀποδέδωκεν· ἐπεὶ καὶ οἱ θεοὶ πατέρες ἡμῶν καὶ οἱ πατέρες θεοὶ πρὸς ἡμᾶς. διὸ καὶ οἱ τῶν πατέρων ἀδελφοὶ θεῖοι προσηγορεύθησαν, ὡς τῶν πατέρων θεῶν πρὸς τοὺς ἀφ' ἑαυτῶν τάξιν εἰληχότων· ἀπὸ γὰρ τῶν θεῶν ἡμᾶς οἱ πατέρες ὑπεδέξαντο προϊόντας ... 17 ... πατράσιν οἱ θεοὶ πα ... 13 ... [ἀ]γάλματα θεῶν εἰσιν οἱ [πατέρες θνητὰ κ]αὶ ὅμοια τὰ εἰς ἀμφοτέρους [ὅσια καὶ] ἀνόσια ἔργα παρ' ἡμῶν)· τὰ δὲ αὖ [μ]έσα τῶν ἀδικημάτων ἢ εὐεργετημάτων, ὅσα περὶ πόλεις ὅλας ἢ στρατόπεδα, τὰ μὲν σωτηρίας αἴτια καὶ εὐπραξίας, τὰ δὲ ἀπωλείας καί, ὡς εἶπεν αὐτός, ⟦ καὶ ⟧ κακουχίας, διὰ δή τινας ἢ προδοσίας ἢ ἐπιβουλὰς ἀλλοίας, ἢ ἄλλο τι τῶν κακῶν ἐξεργαζομένας ἢ καὶ θανάτων αἰτίας γιγνομένας· οἷα δὴ πολλοῖς ἐγένετο, πόλεις ἐξαρπάσασιν τῶν μεγίστων κινδύνων ἢ στρατόπεδα σεσωκόσιν· ὧν πολλοὺς καὶ ἐν μοίρᾳ δαιμόνων ἀγαθῶν ἡμᾶς οἱ χρησμοὶ τιμᾶν προσέταξαν, οἷον τὸν ὑπὲρ τῆς πόλεως αὐτὸν ἐπιδεδωκότα τοῖς πολεμίοις Κόδρον, καὶ εἴ τις ἄλλος τοιοῦτος γέγονεν.

in R.2.175 τὰ δὲ ἔσχατα καὶ οὐ πολλῆς δεόμενα τῆς ἐκ τῶν ὅλων διορθώσεως, ὧν παραδείγματα 〈τὰ〉 τῶν εὐθὺς γενομένων καὶ οὐ πολὺν δή τινα χρόνον βιούντων, ἃ δὴ καὶ ὀλίγης ἄξια μνήμης εἶναί φησιν, ὡς οὐκ ἔχοντα διαφανῆ καὶ εἰς θαῦμα δυναμένην ἐγείρειν ἢ τὴν τιμὴν ἢ τὴν τιμωρίαν. τούτοις δὲ ὅμοια καὶ τὰ τῶν εὐτελῶν δήπου φύσεών ἐστιν· οὐδὲν γὰρ αἱ τοιαῦται φύσεις οὔτε μέγα κακὸν οὔτε μέγα δύνανται ἀγαθὸν ἐξεργάζεσθαι· διὸ καὶ τὰς ἐπικαρπίας καὶ τὰς κολάσεις ἀμαυρὰς εἶναι τῶν τοιούτων. Οὕτω μὲν οὖν καὶ ἡ διαίρεσις ἐκφαίνει τὰς τῶν λήξεων ἡμῖν διαφοράς, κατ' ἄρθρα διαστήσασα τὰς τιμὰς καὶ τὰς ποινάς· καὶ πρώτας μὲν τάξασα τὰς μέσας, μέσας δὲ τὰς τῶν ὀλιγοχρόνιον ... 14 ... , ἐσχ[άτας] δὲ τὰς πρώτας, ὅσαι γονέων ἢ θε[ῶν πέρι ἀ]σέβειαί τε καὶ εὐσέβειαι. — Ἐπειδὴ [δὲ ὁ τοῦ μύ]θου πατὴρ εἷς τις ἦν τῶν ἀπὸ τῆς γ[ῆς ἥκειν] παραδοθέντων, ἐφεξῆς καὶ διὰ τῆς ἱστορί[ας] ἐπάγει τὴν πίστιν τῶν τὰς μεγίστας ὑπομενόντων κολάσεις, ὧν ἡ γνῶσις ἠδύνατο τῷ τὸν μῦθον ἀφηγουμένῳ γνώριμος εἶναι. λέγει γὰρ οὑτωσί πως· Ἔφη γὰρ δὴ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρῳ ὑπὸ ἑτέρο υ , ὅπου εἴη Ἀρδιαῖος ὁ μέγας ἕως τοῦ· καὶ ἀσμενέστατα ἕκαστον σιγήσαντος ἀναβῆναι [p.

in R.2.176 615c—616a]. Ταῦτα μὲν πάντα καὶ ὅσα ἄλλα τοιαῦτα καὶ ὁ ἐν Γοργίᾳ μῦθος [p. 525d] ἀνατίθησι τοῖς τυράννοις ὡς τὰς μεγίστας ὑπομένουσιν κολάσεις μετὰ τῆς ἀληθείας τοὺς Θρασυμάχους συμποδίζει καὶ τοὺς Καλλικλέας, τοὺς ἐπαινέτας ἅμα καὶ ζηλωτὰς τῆς τυραννικῆς ζωῆς ἢ διὰ φιληδονίαν ἀπέραντον ἢ διὰ φιλοχρηματίαν ἀκάθεκτον. καὶ εἰ πρὸς τὰ ὄντα δὲ σκοποίης, οὐδένας οὕτως εἰκὸς τὴν ἐσχάτην ὑπομένειν κόλασιν ὡς τοὺς τυραννικούς· πολέμιοι γάρ εἰσιν

τῶν κοσμικῶν νόμων οἱ τοὺς ἐκείνων ἐκγόνους ἀνατρέποντες νόμους· πολέμιοι τῆς ὅλης τάξεως οἱ τῆς ὁμοίας ἐκείνῃ τάξεως ὄλεθροι· πολέμιοι πάντων θεῶν οἱ τὸν τῶν Γιγάντων τρόπον ἀφανίζοντες πᾶν τὸ θεοῖς συγγενές. ὡς οὖν τοὺς ἐπιβουλεύοντας τῇ πολιτείᾳ καὶ τοῖς ἱεροῖς κολάζουσι διαφερόντως καὶ Πλάτων καὶ πάντες οἱ ἄριστοι νομοθέται, κατὰ τὰ αὐτὰ δὴ καὶ τοὺς τυράννους οἱ κοσμικοὶ νόμοι καὶ δικασταὶ ταῖς [μεγίσταις τιμωρίαις] ἐ[μβ]άλλο[υσι] ... 45 ... ν ὀπαδοὺς τοὺς ζ[ηλοῦντας] τὸν ἐν τῷ παντὶ νόμον. Εἰ δὲ δὴ [τύραννος ὢν] ὁ Ἀρδιαῖος ὁ διὰ τούτων τῶν ῥήσεων ἱστορούμενος διὰ τὴν τυραννικὴν ζωὴν τοιούτων ἐγεγόνει δραμάτων ἀνοσίων ἐργάτης, ὄντως προσήκουσαν αὐτῷ τὴν δαιμονίαν ταύτην ποινὴν ἐπέστησεν ὁ λόγος. ὅσον γὰρ ἐφ' ἑαυτῷ, πάντων ἐστὶ τῶν αἰτίων φθαρτικός, πατέρα ἀποκτείνας· καὶ προσέθηκεν πρεσβύτην, ἵνα καὶ διὰ τὸν χρόνον τὸ μίασμα ποιήσῃ πικρότερον· καὶ γὰρ ὁ χρόνος τὸ παλαιότερον οἶδεν σεμνότερον, ὡς τῷ παντὶ πρότερον γνωσθὲν καὶ τῇ ἀγενήτῳ φύσει δι' ἀρχαιότητα συγγενέστερον· εἰ δὲ μετὰ τοῦ χρόνου καὶ ὁ πατὴρ εἴη, θείαν ὄντως αἰτίαν ἐγγὺς τῶν ἀϊδίων οὖσαν αἰτίων ἀπεικονίζεται· τὸν οὖν ταύτην ἀνελόντα τό γε ἑαυτοῦ μέρος αὐτῶν εἶναι τῶν ἀϊδίων αἰτίων πολέμιον ἀποδείκνυσιν.

in R.2.177 καὶ μὴν καὶ τῶν συστοίχων ὡσαύτως αὐτὸν ἀποφαίνει φθαρτικόν, ἀδελφὸν ἀνελόντα, καὶ τοῦτον πάλιν πρεσβύτερον, ἵνα καὶ τὴν κατὰ τῶν συστοίχων ἐπιβουλὴν εἰς τὴν κατὰ τῶν μὴ συστοίχων περιτρέψῃ διὰ τῆς κατὰ τὸν χρόνον ὑπεροχῆς. τί οὖν ἄλλο λείπεται τὸν τοιοῦτον ἢ πᾶν τὸ σύστοιχον ἅμα καὶ τίμιον ἐκποδὼν ποιεῖν; εἰ δὲ καὶ ἄλλα πολλὰ καὶ ἀνόσια ἐξείργαστο, δῆλον δὴ ὅτι πᾶσαν ἔνθεσμον ζωὴν ἀνατρέψας ἐτύγχανεν καὶ τὸ καθ' αὐτὸν τὴν τάξιν ὅλην τὴν κοσμικὴν ἀνελών, ἃ δὴ τῆς τυραννικῆς ἐστιν ἐξαίρετα ζωῆς· εἰ δὲ χιλιοστὸν ἔτος γεγόνει τούτων τῶν [δ]ραμάτων, καὶ ... 20 ..... πων ἐξ ..... ν [φανε]ρόν, ὅτι τ[ῶν ἀνι ά]τως ἦν ἐχόντων καὶ ὡς παρ [αδειγμ ά]των ἐ [ν Ἄ ι]δου τοῖς ὁρῶσιν ἀνηρτημέν [ω] ν . Ὁ μὲν εἰ [ἥξει ἐ]ρωτῶν ἐστιν περὶ τοῦδε τοῦ ἀνδρὸς οὐδεὶς τῶν κάτωθεν, ἀλλὰ τῶν ἐκ τοῦ οὐρανοῦ τις ἡκόντων· ὁ γοῦν ἀποκρινόμενος, ὡς πάντων ἑωρακότων τῶν κάτωθεν ἡκόντων τὸν Ἀρδιαῖον, οὑτωσὶ λέγει κοινῇ περὶ ἁπάντων, ὅτι αὐτοῖς ἐδείκνυον τοῦτόν τε καὶ ἄλλους τούτῳ παραπλησίους οἱ κολάζοντες· ὥστε ὁ ἐπανερωτῶν εἷς ἐστιν τῶν ἄνωθεν. εἰ δὲ ὀρθῶς ἐπεστήσαμεν τούτῳ, σκοπεῖν χρὴ τὸ συμβαῖνον, ὅτι πρὸ τῆς οὐρανίας λήξεως ᾔδει τὸν Ἀρδιαῖον ὁ ἐρωτῶν καὶ εἶχεν αὐτοῦ τύπον καὶ μνήμην καὶ ἐκεῖ ὤν. εἰ δὲ τοῦτο ἀληθές, οὐκ ἦν τῶν τελέως κεκαθαρμένων· οὐδεμία γὰρ ψυχὴ φαντασίᾳ τῶν ἐνύλων χρῆται καὶ τυπωτικοὺς ἔχει λόγους μετὰ τὴν τελείαν κάθαρσιν, ἀλλ' ἀποθεμένη τοὺς ἐκ τῶν αἰσθήσεων τύπους συνδιοικεῖ τοῖς θεοῖς κατὰ νοῦν ἔνθεον τὸν κόσμον. Ὁ μὲν τοίνυν ἐρωτῶν ὅστις ἐστίν, ἀνεύρομεν· ὁ δὲ ἐρωτώμενος οὐχ ἥκε ι , φησίν, μετὰ τῶν ἀναβεβηκότων ἡμῶν οὐ δ ' ἥξει δεῦρο · τοῦτο δὴ τὸ ἐν Γοργίᾳ [p.

in R.2.178 525c] καὶ Φαίδωνι [p. 113e] λέγων, ὡς ἄρα εἰσὶν ἀνίατοι ψυχαί τινες, οὐκ ἐκβαίνουσαι τῶν δεσμωτηρίων ἐκείνων οὐδὲ ἀπολυόμεναι τῶν κολάσεων. καὶ ἡμεῖς ἐδείκνυμεν καὶ ἐν τοῖς εἰς ἐκείνους τοὺς μύθους εἰρημένοις, ὡς ἄρα περίοδον ὅλην τινὰ κολάζων ὁ λόγος τὰς ἀνιάτους ψυχὰς τοιαῦτα φθέγγεται· τὸ γὰρ παντελῶς ἀνίατον εἶναι ψυχὴν [ἄτοπον εἶναι ῥητέον]· τὸ γὰρ ἐν χρόνῳ γεγονυῖ[αν ἀνίατον] μὴ κ[αὶ] ἐν χρόνῳ χωρίζεσθαι [τῶν νόσ]ων ἐκείνων ἀμήχανον. καὶ εἰ μὲν [πᾶσα]ν ψυχὴν δυνατὸν τηλικαῦτα ἁμαρτεῖν καὶ [ἀνία]τον γενέσθαι, πᾶν ἐπιλείψει τὸ πλῆθος τῶν ψυχῶν τὴν γένεσιν, ἐκεῖ γεγονυιῶν πασῶν ἐν τῷ ἀπείρῳ χρόνῳ καὶ μὴ ἀνιουσῶν· εἰ δέ τι γένος ἐστὶν ἴδιον ψυχῶν τὸ ταῦτα πάσχον, ἔσεσθαι χρόνον, ἐν ᾧ πᾶν τὸ τοιόνδε γένος ἐν τοῖς ὑπὸ γῆς τόποις δεδεμένον ἐπιλείψει τὴν γένεσιν. τούτων δὲ ὄντων ἀτοπωτάτων ἐλέγομεν τὴν ἀνίατον ζωὴν παρ' ἑαυτῆς εἶναι τοιαύτην ὡς ἀμεταμέλητον· ἡ γὰρ μεταμέλεια δείκνυσι τὴν κατηγορίαν καὶ τὴν ἐπανόρθωσιν ἔνδον πρὸ τῆς ἔξω δίκης ὑπάρχουσαν· τῆς δὲ οἰκείας διορθώσεως ἀνῃρημένης αὐτὴ μέν ἐστιν παρ' ἑαυτῆς ἀνίατος ἡ τοιαύτη πᾶσα ζωή, τυγχάνει δὲ ἰάσεως ὑπὸ τῶν ὅλων κατά τινα περίοδον λύουσαν αὐτῆς τὴν

ἐκεῖ κατάταξιν. τὸ μὲν γὰρ ἀφ' ἑαυτοῦ βοηθούμενον πολλῷ μειζόνως ἀπὸ τῶν ὅλων βοηθεῖται κοσμικῶν περιόδων· τὸ δὲ ἀφ' ἑαυτοῦ σωτηρίας οὐκ ἔχον ἐλπίδα ἢ λαμβάνει σωτηρίας ἀφορμὴν ἀπὸ τῶν ὅλων, ἀΐδιον ὄν, ἢ ἀπόλλυται παντελῶς, εἰ μὴ ἀΐδιον ὂν τυγχάνοι. Διὰ ταῦτα τοίνυν καὶ τοῦ Ἀρδιαίου πάντως ἀπεγίγνωσκον ὡς ἀναβησομένου ποτέ, τὴν παροῦσαν ζωὴν γέμουσαν κακῶν ὁρῶντες καὶ ἀνήκεστα πάσχουσαν, ὥσπερ καὶ ἔδρασεν· τὰ δὲ ὅλα τίνα τρόπον σώζει τὰς τοιαύτας ψυχάς, οὐχ ἑώρων.

in R.2.179 Εἰκότως οὖν καὶ ὁ τὸν μῦθον ἀφηγούμενος ὑπόκειται Πάμφυλος, ἵνα καὶ τὰ [περὶ τὸν] Ἀρδιαῖον γνωρίσας ἐξαγγείλῃ πα[ραδείγμα]τα, παρειληφὼς ἀκοῇ μὲν ἀνθρωπ[ίνῃ ὅ]σα ἔπραξεν, ἀκοῇ δὲ δαιμονίᾳ ὅσα [ἔπα]θεν, καὶ διὰ τῶν ἀπὸ τῆς αἰσθήσεως παραδειγμάτων ἐναργὲς ποιήσῃ μέγιστον εἶναι τὴν τυραννίδα κακόν. Τίς δὲ ἡ περίοδος τῶν ἐν τῷ Ταρτάρῳ κολαζομένων καὶ μὴ ἐκβαινόντων ἐκεῖθεν, ἕως ἂν δέωνται κολάσεως, ὧνπερ οἱ ἐκβαίνοντες εἰς τοὺς ποταμοὺς παρὰ μέρος εἰς τὸν Τάρταρον ἐκπέμπονται καὶ αὖθις ἐκεῖθεν ἐξίασιν, εἴρηται ἡμῖν ἐν τοῖς εἰς τὴν τοῦ Φαίδωνος νέκυιαν · καὶ ὅτι τοῦ οὐρανοῦ μόνου περίοδος, οὐχὶ παντὸς τοῦ γενητοῦ, οὗ μέρος ἐστὶν καὶ ὁ Τάρταρος καὶ ἡ τῶν εἰς αὐτὸν ῥιφέντων περίοδος· καὶ τίνες οἱ ἐνιαυτοὶ τῶν ἐκβαλλομένων εἰς τοὺς ποταμοὺς καὶ εἰς τὸν Τάρταρον πάλιν ἐμπιπτόντων. καὶ γὰρ τοῦτο ἐκεῖ διήρθρωται, καὶ οὐδὲν δεῖ τὰ αὐτὰ καὶ ἐν τούτοις κατατείνειν· πλὴν ὅτι καὶ ὁ Ἀρδιαῖος αὐτόθεν εἰς τὸν Τάρταρον ὠθεῖται καὶ οὐκ ἔξεισιν ἐκεῖθεν, ἕως πᾶσαν ἐκπλήσῃ τὴν ὀφειλομένην αὐτῷ ποινήν, εἰρήσθω καὶ νῦν, ὅτι τὸ οὐδέποτε ἐκβαίνειν καὶ τὸ μὴ ἀνελθεῖν εἰς τὸν τοῦ στομίου τόπον ταὐτόν, ὡς μόνης ἄξιον τῆς ἐν τῷ ἐσχάτῳ κολαστηρίῳ διατριβῆς καὶ τῶν ἐκεῖ τιμωριῶν. Ἀλλ' ὁ μὲν Ἀρδιαῖος χαιρέτω· καὶ ὅπως ἀληθὲς τὸ μὴ ἥξειν αὐτὸν εἰς τὸν ὑπὲρ γῆν τόπον, δεδηλώσθω διὰ τούτων. Ὅσα δὲ ἐφεξῆς τούτοις προστίθησιν ὁ ἐρωτώμενος, εἷς ὢν τῶν κάτωθεν ἀναβεβηκότων, ἀκούσωμεν. εἶδο [με ν , φησίν,] ... 28 ... [εἰς τὸν οὐ]ρανὸν εἰ .... ἀνα[βαίνειν μέλλοντες], ἐπει[δὴ] ἐγγὺς ἦμεν τοῦ στομίου, [ἐκεῖνόν τε] καὶ ἄλλους, τοὺς μὲν ἐκ τυρα[ννικῆς] ζωῆς ὡρμημένους, τοὺς δὲ ἐξ ἰδιωτικῆς, ἀνίατα δὲ ὅμως πλημμελήσαντας, οἰομένους μὲν ἀναβήσεσθαι μὴ δυναμένους δέ· τὸ γὰρ στόμιον ἐμυκᾶτο τῶν τοιούτων τινὸς ἐπιχειροῦντος ἀποδιδράσκειν τὰ ἐκεῖ δικαιωτήρια, οὐ διὰ μεταμέλειαν ὧν ἔπραξαν, ἀλλὰ διὰ τὰς ἐκ τῶν κολάσεων ἀλγηδόνας, οὐδὲ ὡς ἑαυτῶν κατηγόρους, ἀλλ' ὡς φυγάδας ἀπὸ τῶν ποιναίων δαιμόνων.

in R.2.180 Τὸ μὲν δὴ μύκημα τοῦ στομίου πᾶσαν ὑπερβαίνει τραγικὴν διασκευὴν εἰς ἔνδειξιν τῆς ὑπερβολῆς τῶν τιμωριῶν, ὥσπερ καὶ τὸ διαπύρους τινὰς ποιεῖν τοὺς ἕλκοντας τὰς τιμωρίας ἀξίως βεβιωκυίας, καὶ τὸ ἐπ' ἀσπαλάθων κνάμπτειν, καὶ τὸ κήρυγμα τῆς εἰς τὸν Τάρταρον τούτων ῥίψεως· πάντα γὰρ ταῦτα φρικώδεις μὲν ποιεῖ τὰς ποινὰς καὶ ἀπαραιτήτους, ἀνυπερβλήτους δὲ τὰς μοχθηρίας δείκνυσι τῶν κολαζομένων, εἴπερ καὶ τὰ ἄψυχα φωνὴν ἀφίησιν ἔμψυχον κατ' αὐτῶν καὶ τὰ κολάζοντα φάσματα δυσαντίβλεπτα καὶ τὰ δεσμωτήρια ἄφυκτα. τούτων δὲ τοιούτων ὄντων, εἰ μὴ μῦθοι ταῦτα καὶ δείματα μόνον, ὥσπερ μορμολυκεῖα παίδων, δῆλον δήπουθεν, ὅτι δαιμόνων τίς ἐστι τάξις διορίζουσα τὴν γένεσιν καὶ τοὺς ὑπὸ γῆς τόπους καὶ τὴν ἀξίαν ἀφορίζουσα τῆς ἐκεῖ διατριβῆς ταῖς ψυχαῖς. οἱ μὲν οὖν θεόσοφοι κύνας τινὰς καὶ Κερβέρους ποιοῦσι φρουρ[οὺς τῶν ἐ]ν [Ἅι]δου [ψυ]χῶν .. 19 . ει τῶν ζῴων κ[ύω]ν ... 15 .. ον) καὶ ἰχνηλατοῦντ[ας τοὺς μὴ ἱκανὴν] δεδωκότας τιμωρίαν καὶ μ[ει]ζ[όνων ἔτι τῶν] δικαιωτηρίων δεομένους· ὁ δὲ Π[λάτων, εἰ καὶ] τούτων ἀπέσχετο τῶν ὀνομάτων, ἄλλον τρόπον τὰ αὐτὰ γράφει, τὴν δαιμονίαν ταύτην τάξιν τὴν ἐφεστῶσαν τῇ φρουρᾷ τῶν ὑποχθονίων ψυχῶν μυκωμένην ἢ σιγῶσαν ποιῶν, ἴσως διὰ τοῦ μυκηθμοῦ καὶ τὴν ἀπαραίτητον ἀπειλὴν ἐνδεικνύμενος κατὰ τῶν φυγάδων τῶν ἐκεῖθεν γιγνομένων καὶ ὅτι σεληναία τις ἀγέλη δαιμόνων αὕτη· ταυρόμορφος γὰρ ἡ θεός, εἰ δὲ βούλει, καὶ τὸν ταυρόκερων δαίμονα καὶ δρακοντόμορφον τὸν ἀπὸ τῶν Διονυσιακῶν εἰδῶν ὑποστάντα περιέπουσα· πάντως

γὰρ κἀκεῖνος ἡγεῖται πολλῶν φασμάτων, τῶν μὲν τιμωρῶν, τῶν δὲ φρουρητικῶν ἐκεῖ τεταγμένων, καὶ τὰ μὲν δράκουσιν ὁμοίως ἐμπίπτοντα, τὰ δὲ ταύρων ἤχους ἀφιέντα καταπλήττει τὰς ψυχάς.

in R.2.181 Οἱ δὲ δὴ ἄνδρες οἱ διάπυροι ἰδεῖν αὐτόθεν δαίμονές εἰσιν, λογικοὶ μέν, ὅθεν καὶ ἄνδρες ὀνομάζονται, κολαστικοὶ δὲ καὶ ἴσως τῷ Πυριφλεγέθοντι προσήκοντες· εἰ δὲ μή, διὰ πυρὸς ὄντες τιμωροί· πρέποντες γὰρ οὗτοι ταῖς τυραννικαῖς ζωαῖς ταῖς φθαρτικαῖς τῶν ἐνθέσμων πραγμάτων, ἄρδην ἀφανίζοντες τὴν ἐν αὐταῖς πονηρίαν. οὗτοι δ' οὖν, φησίν, τὸ φθέγμα τοῦ στομίου καταμανθάνοντες · εἰ δὲ οὗτοι, πολλῷ πρότερον ἐκεῖνο δαιμόνιόν ἐστιν· οὐ γὰρ ἂν εἰς ἐκεῖνο τεταγμένοι τοὺς ἔτι δεομένους οἱ λόγῳ χρώμενοι κο[λάσεως ἐγίγν]ωσκον, εἰ ἦν ἄψυχος ὁ μυχηθμός· [οὐκ ἦν δέ, εἰ κα]τὰ τὴν κριτικὴν ἐγίνετο τῶν [ἀνιόντων] δύναμιν, τοῦ κατὰ τὴν ἀξίαν καὶ [μὴ κατ]ὰ τὴν ἀξίαν ἀνιέναι τολμῶντος· γελοῖ[ον γὰρ] τὴν λογικὴν ζωὴν ἀψύχοις ἀκολουθεῖν εἰς τὴν κατ' ἀξίαν τῶν κολάσεων ἀποπλήρωσιν. Οὗτοι δ' οὖν παρεστῶτε ς , ὡς πᾶσι πανταχοῦ παρόντες καὶ τὴν ἑαυτῶν τάξιν οὐκ ἀπολείποντες, ἢ καὶ ὡς τῷ στομίῳ παρεστῶτες, οἷον ὑπουργοῦντες ταῖς ἐκείνου τιμωροῖς ἀπειλαῖς (ἦν γὰρ ἀπειλῆς σύμβολον ὁ μυκηθμός) καὶ εἰς ἔργον προάγοντες τὴν ἀπειλήν· ὡς γὰρ ἐπὶ τῶν ἀγαθουργῶν δυνάμεων αἳ μὲν βουλήσει μόνῃ λέγονται δρᾶν, αἳ δὲ ἀποπληροῦσιν τὰς ἐκείνων ἀγαθοειδεῖς βουλήσεις, οὕτως ἐπὶ τῶν τιμωρῶν αἱ μὲν ἀπειλῇ δρῶσι μόνον, αἳ δὲ ἐκπληροῦσι τὴν ἀπειλήν.

in R.2.182 καὶ τοῦτο δηλοῖ τὸ μυκᾶσθαι μὲν ἀπειλοῦν τὸ στόμιον, παρεστῶτας δὲ τοὺς διαπύρους τούτους ἄνδρας πρὸς τὸ φθέγμα τὴν κόλασιν ἐπάγειν, σύνθημα τὸν μυκηθμὸν ποιουμένους τῶν κολάσεων ἀξίων. Ποιναῖος οὖν ὁ μυκηθμός, ἀπειλή τις ὢν μόνον, ποιναία δὲ καὶ ἡ τούτων ποίησις· δρῶσιν δ' οὖν ἑπόμενα τῷ φθέγματι· διαλαβόντες γὰρ ἄγουσιν οἳ μὲν ἄλλους, οἳ δὲ ἄλλους· τοῦτο γὰρ τὸ διαλαβεῖν, οἷον διανείμασθαι τὰς κολάσεις. Τούτων δὲ τῶν παρ' ἀξίαν ἀποδιδρασκόντων ἕνα καὶ τὸν Ἀρδιαῖον ὄντα καὶ τοὺς τούτῳ παραπλησίους πρῶτον μὲν συμποδίζουσιν, ὡς εἰκὸς ἦν φυγάδας, χεῖρας αὐτῶν καὶ πόδας καὶ κεφαλὴν συνδέοντες, τόν τε λόγον καὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἄξια πάντα τῶν ἐκεῖ δικαιωτηρίων ὑπειληφότες εἶναι· ψυχ[ῆς γὰρ κε]φαλὴ μὲν ὡς ἀκρότατον ὁ λόγος, [θυμὸς δὲ] αἱ χεῖρες ὡς ἀμυντικαί, ἐπιθυμία [δὲ οἱ πό]δες ὡς ἔσχατοι. Δεύτερον δέ, ὥς φη[σιν ὁ τρα]γικὸς οὐτοσὶ μῦθος, καταβαλόντες ἐκδείρουσιν· οὗ τὸ μὲν καταβαλεῖν δηλοῖ τὸ τὴν ἐσχάτην ἔχοντας αὐτοὺς ζωὴν συντάξαι τοῖς κάτω καὶ ἐσχάτοις τοῦ παντός· τὸ δὲ ἐκδεῖραι τὸ τῶν χιτώνων τῶν σκοτεινῶν καὶ ἐμβριθῶν τῶν ἐκ τῆς γενέσεως περιελεῖν, ἐκκαθαίροντας αὐτῶν τὴν ὅλην ζωὴν ἀπὸ τῶν προσπεφυκότων κακῶν. Τρίτον τοίνυν τὸ ἕλκειν παρὰ τὴν ὁδόν, δι' ἧς ἡ πορεία ταῖς ψυχαῖς ἐπὶ τὸ στόμιον ἀπὸ τῶν ὑπὸ γῆς τόπων, τὸ διὰ πάσης δηλοῖ τῆς κολαστικῆς αὐτοὺς παραπέμπειν καὶ τιμωροῦ τῶν ψυχῶν ζωῆς· ἡ μὲν γὰρ ὁδὸς ἡ ὑποχθόνιός ἐστιν περίοδος τῶν ψυχῶν· ἡ δὲ παρ' αὐτὴν ἕλξις τὴν οὔπω μὲν εἰς αὐτὴν ἥκουσαν, γειτνιάζουσαν δὲ αὐτῇ τιμωρίαν παρίστησιν. Τὸ τέταρτον οὖν τὸ ἐπ' ἀσπαλάθων κνάπτειν ἐστὶν τὸ διεισδύνειν εἴσω τῆς ζωῆς αὐτῶν τὰς τιμωροὺς δυνάμεις, διαιρετικὰς οὔσας καὶ ἀποκοπτικὰς τῶν ἐν αὐτῇ φαντασιῶν ὑλαίων καὶ ὀρέξεων· αἱ γὰρ ἀσπάλαθοι φυτῶν εἰσι γένος δαίμοσιν ἀνειμένον ἀκανθῶδες· δηλοῦσι δὴ οὖν δαιμονίας δυνάμεις ἀλόγους, αἷς οἱ διάπυροι χρώμενοι δαίμονες ἐναλλομέναις αὐταῖς καὶ αἰκιζούσαις ἐκόλαζον τὰς τοιαύτας ψυχὰς διὰ τῶν σωμάτων ὧν ἔφερον, ἀνυποίστους ἀλγηδόνας ποιούσαις.

in R.2.183 Πέμπτον ἐπὶ τούτοις τὸ τοῖς παριοῦσι κηρύττειν, ὧν ἕνεκα ταῦτα δρῶσιν εἰς ἐκείνας, τήν τε τῶν δρώντων ὕπαρξιν λογικὴν οὖσαν ἀ ..... 90 ..... την ἀ ..... τ]ὰς ἄλλας ψυχὰς διὰ τῶν ... 14 . γὰρ παριόντες εἰσὶν οἱ τῶν τοιούτων κρείττους τιμωριῶν. Ἕκτον ἐπὶ πᾶσιν τὸ τῶν κακῶν τέλος, ὅτι ἄγοιντο παρ' αὐτῶν μετὰ τὰς ἀσπαλάθους ἐπὶ τὸν Τάρταρον, τὸ τῆς τίσεως δεσμωτήριον, ἐναργῶς ὥρισεν, οἵων ἐστὶν ἄξιον τὸ τοιόνδε τῆς ζωῆς εἶδος, καὶ ὅτι ἄτακτον ὂν

καὶ φυγὸν ἅπαντας θεσμοὺς εἰς τὸ ἀκοσμότατον συνέωσται τοῦ κόσμου, καὶ ἀποδρᾶν νοῦν εἰς τὸ ἀλαμπέστατον. τοιοῦτος γὰρ ὁ Τάρταρος, χῶρος ὢν πάσης ἀτάκτου καὶ σκοτεινῆς ὕλης, εἰς ὃν συρρεῖ τὰ ἔσχατα τῶν κοσμικῶν στοιχείων, πρὸς δὲ τὸν Ὄλυμπον ἀντίθετος. ὃ μὲν γὰρ ὁλολαμπής, πάντα περιέχων, ὑψηλότατος· ὃ δὲ σκοτεινός, κοιλότατος τόπος ὑπὸ πάντων περιεχόμενος· διὸ καὶ ἡ ποίησις βαθύτατον αὐτὸν εἶναί φησιν βέρεθρον ὑπὸ χθονός [Il. Θ 13 sq.]. πολλῶν δὲ ἡμῖν περὶ αὐτοῦ ῥηθέντων ἐν τοῖς εἰς τὴν νέκυιαν τοῦ Φαίδωνος ἀπ' ἐκείνων μὲν τὰ δοκοῦντα τοῖς θεολόγοις περὶ αὐτοῦ ληπτέον· νυνὶ δὲ τὰ ἑξῆς προσθετέον, ὅσα ὁ ταῦτα λέγει διηγούμενος. παντοδαπῶν γὰρ αὐτοῖς γενομένων δειμάτων τοῦτον ὑπερβάλλειν τὸν φόβον, μὴ μυκῆται τὸ στόμιον καὶ αὐτῶν ἀνιόντων, καὶ σιγήσαντος ἀσμένως ἀναβῆναι. τὰ μὲν οὖν παντοδαπὰ δείματα δαιμόνων ὄψεις ἦσαν φοβεραὶ καὶ ὄφεσιν ἐοικότων καὶ κυσίν, καὶ τόπων καταπληκτικαὶ δυνάμεις θολεροῦ πυρὸς γεμόντων ἢ ψύξεως ἀφορήτου ὑπὸ πνίγους ἢ σήψεως .

in R.2.184 . 15 .. σιν .. [ὁ] δὲ τοῦ στομίου [μυκηθμὸς ..... γωνασθεν ..... νου .. 12 . τοῦτο κατὰ τὸ δέον πράττων ἐνδ[ίκου] δηλοῖ ζωῆς ἐνέργειαν κριτικῶς κιν[οῦσαν] ἑαυτὴν κατὰ τῶν ἀναξίων τ[ῆς ἐ]κεῖ[θεν] φυγῆς· ἡ δὲ ἀσμένως αὐτοῖς γεγονυῖα μόλις ἀνάβασις παρίστησιν τὴν τῶν κακῶν πεῖραν σωφρονεστέρας ποιοῦσαν τὰς ψυχάς· διὸ καὶ ἀσφαλεῖς αἱ τοιαῦται φαίνονται περὶ τὰς τῶν βίων αἱρέσεις. Καὶ τὰς μὲν δίκας τε καὶ τιμωρίας τοιαύτας τινὰς εἶνα ι , καὶ αὖ τὰς εὐεργεσίας ταύταις ἀντιστρόφους [p. 616ab]. Τὰς μὲν δίκας καὶ τὰς τιμωρίας οὐκ οἰητέον ἐκ παραλλήλου λέγεσθαι· διώρισται γὰρ ἐν Γοργίᾳ [p. 525bc] τοὺς μὲν δίκην διδόντας εἶναι τοὺς ὠφελουμένους καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων, τοὺς δὲ τιμωρουμένους τοὺς ἀνιάτους· καὶ γὰρ ἄλλο μὲν τίσις, ἄλλο δὲ δίκη, καθάπερ καὶ τοῦτο διώρισται ἐν ἐκείνῳ. καὶ ἐν Νόμοις [V p. 728c] δὲ σαφῶς διέκρινεν τιμωρίαν καὶ δίκην, ὅπου καὶ δῆλον πεποίηκεν, ὡς ἄρα καὶ ἡ τιμωρία τρόπος τις ἰάσεώς ἐστιν· τὸν γὰρ μὴ τυγχάνοντα τῆς τιμωρίας ἄθλιον ἀξιοῖ καλεῖν ὡς μὴ ἰατρευόμενον· ὡς τοῦ τυγχάνοντος δήπουθεν ἰατρευομένου, κἂν ἐν τῷ παρόντι, ἵν' ἄλλοι σώζωνται, ἀπολλύηται· εἰ δὲ ὅπως οὖν ἰατρεύεται, παρ' ἑαυτοῦ μὲν οὐκ ἂν πάσχοι τοῦτο ἀνίατος ὤν, παρὰ δὲ τῶν ὅλων δυνάμεων. καὶ εἰ μὴ θέμις τελέως ἀπολέσθαι τὸ ἀθάνατον, ἑαυτῷ μὲν ἀπόλλυται, τοῖς δὲ ἀπὸ τῶν ὅλων εἰς αὐτὸ καθήκουσιν σώζε[ται. τούτων δὲ] δήλων ὄντων τὰς ἀντιστρόφους [ταῖς τιμωρίαις εὐεργεσίας θεωρήσωμεν· καὶ λέγωμεν αὐτοὺς ἀπολαύει]ν πρῶτον μ[ὲν .

in R.2.185 ..... δαι]μόνων συνουσίας Πλουτωνί[ων κ]ηλούντων τὰς ψυχὰς καὶ τὰς ἐννοί[ας] αὐτῶν τελειούντων καὶ προξενούντων τὴν πρόνοιαν τῶν καταχθονίων θεῶν, φάσματά τε δεικνύντων γαλήνης μεστὰ καὶ καθαιρόντων τὰ περιβλήματα αὐτῶν διὰ θείου φωτὸς καὶ ἀναμιμνησκόντων τῆς ἀϊδίου ζωῆς καὶ τῶν ἀποκαταστάσεων τῶν τελεωτάτων, ὥστε καὶ φωνῶν ἀκούειν θειοτέρων καὶ τέλος αὐτοῦ μεταλαγχάνειν τοῦ Πλούτωνος καὶ τῆς συμβασιλευούσης αὐτῷ ζῳογόνου θεᾶς καὶ τῶν νοερῶν ἀποπληροῦσθαι παρ' αὐτῶν ἀγαθῶν· οἷα καὶ αἱ παναγέσταται τελεταὶ τῶν Ἐλευσινίων ὑπισχνοῦνται τοῖς μύσταις, τῶν παρὰ τῇ Κόρῃ δώρων ἀπολαύειν, ἐπειδὰν λυθῶσι τῶν σωμάτων. ὅτι δὲ καὶ Πλάτων τοιαύτας τινὰς εἶναι τὰς ἐκεῖ φαίη ἂν τῶν ψυχῶν εὐεργεσίας, δηλοῖ τὰ ἐν Κρατύλῳ [p. 404e] ῥηθέντα περὶ τοῦ Πλούτωνος, ὡς ἄρα δ ι ' ἀρετῆς κατέχει παρ' ἑαυτῷ τὰς ψυχὰς καὶ θέλγει σοφίας πληρῶν, καὶ οἱ Πλούτωνος οὗτοι δεσμοί, δι' οὓς οὐδὲ αἱ Σειρῆνες ἐκεῖθεν ἀπελθεῖν ἐθέλουσιν κηλούμεναι, καὶ ταῦτα Σειρῆνες οὖσαι, τοῖς Πλουτωνίοις δώροις. Ἐπειδὴ δὲ τοῖς ἐν τῷ λειμῶνι ἑκάστοις ἑπτὰ ἡμέραι γένοιντ ο , ἀναστάντας ἐντεῦθεν τῇ ὀγδόῃ πορεύεσθαι μέχρι τοῦ· οὕτω πᾶσαν συνέχον τὴν περιφοράν [p. 616bc]. Τὰς μὲν νεοτελεῖς ψυχὰς καὶ πρώτην ἐκ τοῦ νοητοῦ ποιουμένας κάθοδον ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης φησὶν [p. 248cd] κατὰ τὸ πλῆθ[ος τῶν θεαμάτ]ων π[οι]εῖ[σθαι] τ[ὴν τοῦ βίου αἵρεσιν] ἐξηλλαγμέν[ην καὶ] ἑλέ[σθαι τὴν μὲν πλεῖστα

ἰδοῦ]σαν εἰς φιλοσόφου γονὴν ἰέναι καὶ [εἰς τυράννου] τὴν ἐλάχιστα, καὶ τὰς ἄλλας κατὰ τ[ὸ πλείο]να καὶ ἐλάσσονα τεθεᾶσθαι βίους προ[βα]λ[έσθαι ὁλικ]ωτέρους ἢ μερικωτέρους.

in R.2.186 ἐν δὲ τούτοις περὶ τῶν μὴ νεοτελῶν ψυχῶν ἡμᾶς ἀναδιδάσκων, ἀλλ' ἐξ ἄλλης γενέσεως εἰς ἄλλην στελλομένων ἢ ἀπὸ λήξεων ἀμεινόνων ἢ χειρόνων, τοσοῦτον ἀξιοῖ πᾶσαν τὴν οὕτω κατιοῦσαν γενέσθαι πως τοῦ κόσμου θεωρὸν καὶ τῶν ἐν αὐτῷ κύκλων καὶ τῶν περιφορῶν, ἀφ' ὧν καὶ ὑποδέχεσθαι τὸν κλῆρον ἕκασται μέλλουσιν. καὶ μηδεὶς οἰέσθω τοῦτο ἀδύνατον εἶναι· πρῶτον μὲν γὰρ ἐν τῷ ἔξω σωμάτων εἶναι τὰς ψυχὰς εἰκὸς τὰ ἐν τῷ κόσμῳ μᾶλλον ὁρᾶν ἢ ἐν σώμασιν οὔσας· πολλῶν γὰρ ἡμᾶς τὸ ὀστρέϊνον τοῦτο σῶμα, παχὺ καὶ χθόνιον ὄν, κωλύει θεαμάτων, ὧν τὰ ἁπλούστερα περιβλήματα τῶν ψυχῶν αἰσθάνεται μειζόνως· ἐπεὶ καὶ τοῦτό τινες ἔχοντες τὸ σῶμα διά τινων ἐγχρισμάτων αὐτοπτοῦσιν καὶ δαιμόνων σώματα ἀόρατα πρότερον ὄντα καὶ ἄλλων κοσμικῶν δυνάμεων· καὶ οὐ διὰ ζωῆς κάθαρσιν τούτων τυγχάνουσιν, ἀλλὰ δύναμιν ⟦ ἢ ⟧ φυσικὴν ἐντεθεῖσαν ἐκκαθαίρουσαν τὸ ὀπτικὸν φῶς ἀπὸ τῆς παχείας ὑγρότητος τῆς ἀναμεμιγμένης καὶ τῶν ἐκ τοῦ ἐγκεφάλου περιττωμάτων, καὶ ἐκεῖνο πυκνοῦσαν καὶ διὰ τῆς πυκνώσεως ῥωννῦσαν. ἔπειτα καὶ μελλούσας ἐπ' ἄλλον βίον χωρεῖν εἰκὸς μάλιστα τότε, καθ' ὅσον ἑκάστη δ ... 90 . [σχε]δὸν πάντ[ες οἱ εἰς] .... γ .... ὁρμῶντες πράξεις τῶν ἀπο[κεκρυμμ]ένων ἐφίενται τῆς γνώσεως· καὶ οἳ μὲν μᾶλλον, οἳ δὲ ἧττον ἐφάπτονται ταύτης ἢ διὰ συμβόλων ἢ δι' ὀνείρων ἢ δι' ἄλλων σημείων ⟦ ἢ ⟧ μαντικῶν πολυπραγμονοῦντες τὰ μέλλοντα· τοῖς δὲ μέλει καὶ καιροῦ καὶ τῶν καλουμένων καταρχῶν. τὸ οὖν ἀνάλογον οἴεσθαι χρὴ καὶ ἐκεῖ συμβαίνειν περὶ τὰς ψυχὰς εἰς ἄλλην γένεσιν στελλομένας. ἔτι τοίνυν αἱ μὲν ἐξ οὐρανοῦ ἀφιγμέναι προσεχῶς τεθέανται τὰ κράτη τῶν οὐρανίων καὶ μέμνηνται τῆς ποιήσεως αὐτῶν, εἴπερ καὶ τῶν εὐπαθειῶν 〈καὶ〉 τῶν θεαμάτων· αἱ δὲ ἀπὸ τῶν ὑπὸ γῆς δικαιωτηρίων ἐκ τῶν ἐκεῖ δειμάτων εὐλαβέστεραι γεγονυῖαι καὶ ἰδοῦσαι τὴν δύναμιν τῶν ὑποχθονίων δαιμόνων ἀνεγείρουσιν ἑαυτὰς εἰς τὴν τοῦ οὐρανοῦ κατανόησιν καὶ τὸ σέβας, φρίττουσαι τὸν ἀλαμπῆ καὶ ὑπὸ γῆς τόπον.

in R.2.187 ὥστ' εἰκότως ἀμφότεραι διὰ ταύτας τὰς αἰτίας εἰς τὸ πᾶν βλέπουσιν καὶ τὰς ἐφεστώσας δυνάμεις ταῖς τῶν ψυχῶν καθόδοις· οἷον εἴ τινες πλέοντες, ἔπειτα χειμῶνα προσδοκῶντες, τοὺς Διοσκούρους ἐννοήσαιεν καὶ αὐτοὺς τοὺς ἐναλίους δαίμονας, δι' ὧν ἡ σωτηρία μόνων τοῖς χειμῶνι χρησαμένοις ἐστίν. πρὸς δὲ τούτοις καὶ τὰ περικείμενα ταῖς ψυχαῖς ἐκείναις ὀχήματα, καθαρώτερα τῶν ὀστρεωδῶν τούτων ὄντα σωμάτων καὶ συγγενέστερα πρὸς τόνον κατὰ φύσιν, ἀνίστησι καὶ τὰς χρωμένας αὐτοῖς .. 70 .. ενα μᾶλλον .. 24 .. μασιν, εἰς θαῦμα καθίστ[ανται] .. 10 .. πᾶσαν τὴν γένεσιν· ἐκ δὲ τοῦ θαύματος [αἷς] μὲν μᾶλλον τῶν ψυχῶν αἷς δὲ ἧττον ἐγγενομένου συμβαίνει καὶ ἔρως τῆς κατανοήσεως αὐτῶν καὶ τῶν ἐκεῖθεν προτεινομένων κατὰ τὴν ἀναλογίαν τοῦ θαύματος, ὡς εἰς ἐπίστασιν ἰέναι καὶ τῶν ἀποκληρουμένων αὐταῖς ἐκεῖθεν ἢ ἐναργέστερον ἢ ἀμυδρότερον. Ἐφ' ἅπασι δὲ τοῖς εἰρημένοις καὶ τόπος ἐκεῖνος, εἰς ὃν συνελέγησαν, πρῶτον μὲν ὅτι μάλιστα καθαρώτατος ὢν καὶ ὡς ἐν τοῖς ἐνύλοις στοιχείοις ἄυλος, ἔπειτα καὶ ἐπιφοιτήσεις ἔχων δαιμόνων ἀγαθῶν, ὥσπερ ὁ τῇδε τόπος δαιμόνων πονηρῶν ἀφανῶς προσκολλωμένων ἡμῖν καὶ δρώντων, ἃ δὴ καὶ δρᾶν τοῖς τοιούτοις φίλον (εἰς ἃ καὶ ὁ ἐν Φαίδρῳ [p. 248bc] Σωκράτης ἀποβλέπων πρὸς τῇ ἀποστάσει τῆς θέας τοῦ ὄντος ἠτιάσατο καὶ συντυχίας τινὰς κατάγειν εἰς λήθην καὶ κακίαν τὴν ψυχήν)— ἐκεῖνος δ' οὖν ὁ τόπος διά τε τὴν λεπτότητα τοῦ αἰθέρος καὶ τὴν εὐάγειαν εἰς ἔλλαμψιν ἀγαθουργῶν πνευμάτων ἐπιτήδειος ὢν οὐ θαυμάσαις, εἰ καὶ διὰ τούτων ἀνακινοίη τὰς ψυχὰς εἰς τὴν τῶν ὅλων θεωρίαν καὶ δύναμιν μέντοι πρὸς τοῦτο ἱκανὴν ἐνδιδοίη, πείσματα τῆς ἐνταῦθα ζωῆς ἀσφαλῆ ποιῶν αὐτὰς καταβάλλεσθαι, δι' ὧν εἰδυῖαι τὰ περιεστῶτα τὰς αἱρέσεις ὀφείλουσι ποιεῖσθαι τῶν βίων.

in R.2.188

Τοῦτο μὲν οὖν ἠξιώσαμεν πιθανῶν λόγων, ὡς ἄρα οὐδὲν ἀπεικὸς πᾶσαν … 85 .. τὴν εἰς τὰς αἱρέσεις [ἰοῦσαν τῶν προτ]εινομένων βίων. ἐπειδὴ [δὲ ἑπτὰ μ]ὲν ἡμέρας ἐν τῷ λειμῶνι διατρίβειν φησὶ τὰς ψυχάς, ἀναστάσας δὲ ἐκ τοῦ λειμῶνος ἀπιέναι διὰ τεττάρων ἄλλων ἡμερῶν εἴς τινα τόπον, ἐν ᾧ γενομένας φῶς τι καθορᾶν διὰ τοῦ οὐρανοῦ τεταμένον, ἐντεῦθεν δὲ πάλιν διὰ μιᾶς ἡμέρας ἄλλης ἀφικνεῖσθαι εἰς ἕτερον τόπον, ἀφ’ οὗ τὴν ἀρχὴν τοῦ φωτὸς αὐτὴν τρανέστερον ἐποπτεύειν, ἄξιον ἐπισκέψασθαι, καὶ τίνες πρῶτόν εἰσιν αἱ ἡμέραι καὶ τί τὸ πλῆθος αὐτῶν. ὅτι μὲν γὰρ ἐκ τούτων ἡ δυοδεκάς, τῶν ἑπτά, τῶν τεττάρων, τῆς μιᾶς, φανερόν· εἴρηται δὲ δωδεκαταῖον ἐπὶ τῆς πυρᾶς κείμενον ἀναβιῶναι τὸν Ἥρα τὸν τούτων ἄγγελον ἡμῖν τῶν λόγων γενόμενον· ἀλλ’ ὅπερ ἔφην, τίς ὁ ἀριθμός, οὐ παρέργως ἡμῖν ἐξεταστέον· καὶ πρὸ τούτων, εἰ ζωτικῶς μόνον δεῖ τοὺς ἀριθμοὺς ὁρᾶν καὶ τὰς ἡμέρας 〈ἢ〉 συμβολικῶς ἀκούειν ὡς τὴν χιλιέτη πορείαν ἢ καὶ ὄντως μετανάστασιν ἀπὸ τοῦ λειμῶνος τοπικὴν ἐκλαμβάνειν. Τὸ μὲν οὖν τοῦ μύθου λέγοντος μονὴν 〈καὶ〉 πορείαν καὶ χρόνον ἑκατέρας καὶ τόπους ὁρίζοντος, ὠδὶ μὲν τῆς πρώτης τοῦ φωτὸς θέας, ὠδὶ δὲ καὶ τῆς ἀρχῆς τοῦ φωτός, ἡμᾶς ἀφεῖναι παντελῶς τὰς διαστάσεις οὐκ ἔστι σωζόντων τὴν τῶν πλασμάτων πρέπουσαν ἐξήγησιν, ἀλλ’ ἀπαρτώντων ἐκ τῶν ἐναργῶς γεγραμμένων τοὺς λόγους, δέον προσβιβάζειν τῇ ἀληθείᾳ καὶ τὰς τοπικὰς ταύτας .

in R.2.189 .. 40 . τῶν πλασμάτ[ων] .. 20 .. εἰς οὐρανὸν γίνεσθαι [τουτέστιν εἰς τὸν λειμῶ]να, καὶ μετὰ τὴν σελήνην …… τελευτα … ηι ἐννοί[ᾳ τ]ὰς ἑπτὰ ἡ[μέρας] το[ῖς τρισὶν] ἀπονέμειν καὶ τοῖς ὑπὲρ τούτους δυσὶν τὰς τέτταρας, τῷ δὲ λοιπῷ τὴν μίαν, καὶ τέλος μέχρι τῆς ἀπλανοῦς ἀναπέμπειν οὐκ ἐφιστάντων ἐστίν, ὅτι πρῶτον μὲν ἡμέρας διαριθμεῖν ὑπὲρ σελήνην πορευομένους ἄλογον· οὐ γάρ ἐστιν ὑπὲρ αὐτὴν πολύ τι τοῦ κώνου μέρος, ἀλλὰ πάντα τὰ ἐκεῖ νυκτός ἐστιν ἀνωτέρω καὶ ἓν ἐπέχει φῶς. ἔπειτα καὶ τοῦ Ἠρὸς σαφῶς λέγοντος τὰ βάθη τῶν σφαιρῶν ὁρᾶν ἄνωθεν ὑπερφαινόμενα· τοῦτο γὰρ σημαίνει δήπουθεν, ὁπόταν λέγῃ κύκλους ἄνωθεν τὰ χείλη πάντων ὁρᾶν· τμήματα γὰρ θεώμενος, ὅθεν αὐτὰ καὶ σφονδύλοις ἀπείκασεν καὶ καδίσκοις εἰς ἀλλήλους ἐμβεβλημένοις, ἀλλ’ οὐ σφαίραις εἰς ἀλλήλας ὡς ἂν τμήματα βλέπων, ἄνωθεν αὐτῷ λέγει φαίνεσθαι τὰ χείλη τῶν τμημάτων, ὡς κάτωθεν ὁρῶν. πρὸς δὲ τούτοις τὸ μὲν ἀνάγειν τὰς ἀπολιπούσας ψυχὰς τὸν οὐρανὸν δι’ ἀσθένειαν περίεργον· οὐ γὰρ ἂν ἀπέλειπον αὐτὸν ἐκεῖ δυνάμεναι μένειν· τὸ δὲ τὰς ἀπὸ τῶν ὑπὸ γῆς ἡκούσας δικαιωτηρίων, ἀδύνατον πρὸ γενέσεως αὐτὰς ἐν οὐρανῷ γίνεσθαι, μόλις ἐκεῖθεν ἀπολυθείσας. Τούτων δὲ ἀμφοτέρων ἐκβεβλημένων καὶ ὑπὸ σελήνην τῆς πορείας οὔσης κάλλιον λέγειν βάθος εἶναι τοῦ αἰθέρος, οὐχ ὅσον δοκεῖν τοῖς πολλοῖς, ἀλλ’ ὄντως ἄπλετον· ὡς .

in R.2.190 .. 90 .. ἀνατείνει τὸν .. 15 .. ας ὁ ἐν Φαίδωνι μῦθος .. 11 . , κατὰ τὰ αὐτὰ δήπου καὶ τὸν αἰθέρα τὸν συνάπτοντα τῷ οὐρανῷ τὴν γῆν πολὺν εἶναι διαφερόντως ὑπείληφεν, καὶ διὰ τούτου ποιεῖσθαι τὴν πορείαν τὰς ψυχάς, ἕως ἂν ἐπ’ ἄκρον αὐτὸν καταντήσωσιν, ὅθεν τὴν ἀρχὴν ὄψονται τοῦ φωτός. καὶ τὸ μὲν κατωτάτω μέρος αὐτοῦ λειμῶνα χρῆναι καλεῖν ὡς ἀρχὴν γενέσεως, τὸ δὲ μέσον τούτου τε καὶ τῆς ἄκρας ἀψῖδος βάθος ψυχῶν ὁδόν· ὀπισθοβαρῶν δὲ οὐσῶν διὰ τὰ ὀχήματα μὴ ὄντα καθαρὰ τῆς βαρυτέρας καὶ ἐνίκμου φύσεως μόλις γίνεσθαι τὴν εἰς τὸ ἄνω φοράν· ὅτι γὰρ εἰς τὸ ἄνω δεῖ νοεῖν τὴν κίνησιν, δῆλον. οὐ γὰρ ἂν ἐλέγοντο τὸ φῶς ὁρᾶν πρῶτον, ἔπειτα τὴν ἀρχὴν τούτου τοῦ φωτός· οὐ γὰρ κάτω τὴν ἀρχήν, ἀλλ’ ἄνω πάντως τίθεται τοῦ φωτός· ἄρχεται γὰρ ἄνωθεν, ἀλλ’ οὐ κάτωθεν, εἴπερ φῶς ἐστιν καὶ συνδεῖ τῷ οὐρανῷ τὴν γῆν· οὐδὲ ὅλως ἔστιν ἀπὸ γῆς εἰς οὐρανὸν διήκειν φῶς, ἀλλ’ ἐξ οὐρανοῦ εἰς γῆν. εἰ οὖν καὶ ἐπὶ τὸ ἄναντες ἡ πορεία καὶ μέχρι τῆς ὑπουρανίας ἀψῖδος καὶ ἀπὸ τοῦ λειμῶνος, οὗτος δὲ ἦν ὁ Δίκης τόπος, οὗτος δὲ ὁ αἰθήρ, δῆλον ὡς ἐξ ἀνάγκης ἐν τῷ αἰθέρι πᾶσαν εἶναι τὴν πορείαν ἀναγκαῖον· καὶ ἐπ’ ἐσχάτῳ μὲν αὐτῷ τὴν τῶν ἑπτὰ διατριβὴν ἡμερῶν, ἐν δὲ τῷ βάθει τὴν διὰ τῶν τεσσάρων ἀνάβασιν, ἐπὶ δὲ τῷ ὑψηλοτάτῳ τὴν διὰ μιᾶς μετάστασιν. καὶ εἴρηται τὸ

αἴτιον ... 70 ... εἰ καὶ ἐφίενται καὶ τοῦ αἰθέρο[ς καὶ] τοῦ οὐρανίου φωτὸς .. 18 .. πρὸ τούτων ὑπεμνήσαμεν. Ταῦτα μὲν οὖν δέδεικται· τούτοις δὲ ἑπομένως τὰς αἰτίας ἀποδίδομεν τοῦ πλήθους τῶν ἡμερῶν· ἑπτὰ μὲν γὰρ ἡμέρας ἐν τῷ λειμῶνι γεγόνασιν, ἐπειδήπερ αἱ τῆς σελήνης φάσεις τῆς προσεχῶς τὸν αἰθέρα περιεχούσης κατὰ τὸν ἀριθμὸν ἐξαλλάττονται τοῦτον· ὡς οὖν φυσικαῖς δυνάμεσι τὰ πάντα κινοῦσιν, οὕτω δὴ καὶ ταῖς κινήσεσιν τῶν ἐν τῷ αἰθέρι ψυχῶν ἀρχὴν διδόασι τῆς ἐκεῖθεν μεταναστάσεως· καιροφυὴς γὰρ ἀριθμὸς οὗτος, ὡς καὶ οἱ Πυθαγόρειοι λέγουσιν, καὶ ἐν τοῖς τῇδε ζῴοις καὶ ταῖς ἡλικίαις πολὺ τὸ κράτος ἐπιδεικνύμενος.

in R.2.191 εἰ οὖν καὶ ἡ σελήνη κατὰ τὴν ἑβδομάδα τοὺς δρόμους ἐξαλλάττει καὶ τὰ σχήματα καὶ τὰ θνητὰ ζῷα κατὰ τοῦτον ποικίλλεται τὸν ἀριθμόν, οὐδὲν θαυμαστὸν καὶ τὰς αἰθερίας ἐκείνας ψυχὰς ὑπὸ τῆς ἑβδομάδος κινεῖσθαι πρὸς τὴν ἄνω πορείαν. διὰ τεττάρων δὲ ἄλλων ἡμερῶν ἡ τοῦ βάθους γίνεται κινηθείσαις αὐταῖς διέξοδος, ὡς ἐμαυτὸν πείθω, διὰ τὴν πρὸς τὸν ἥλιον τῆς τετράδος συγγένειαν· ἡμέρας μὲν γὰρ ἀριθμοῦμεν διὰ τὴν ἡλιακὴν κίνησιν, μῆνας δὲ διὰ τὴν σεληναίαν. ὅτι δὲ ἡλιακόν ἐστιν μέτρον ἡ τετράς, καὶ ὡς σελήνης ἑβδομάς, οὕτως ἡλίου φήμην ἔσχεν ἡ τετράς, καὶ ὡς ἡμερῶν ἐπὶ σελήνης ἑβδομάς, οὕτως μηνῶν ἐπὶ ἡλίου μέτρον ἐκείνη, τεθρύληται πα[ρὰ] ... 15 .. ἐσχάτω ... αιθε ... 55 .. ων ἐνικμοτέ[ρων] ..... διατρίβειν ἐκεῖ κατασκηνησαμένας· καὶ γὰρ τὸ σεληναῖον φῶς ἐνικμότερον. ἀνιούσας δὲ καὶ πλησιαζούσας τῷ οὐρανίῳ τοῦ ἡλίου μετέχειν ἐπὶ πλέον, κωνοειδῶν αὐταῖς τῶν ὁριζόντων μειζόνως γιγνομένων καὶ διὰ τὴν πλείονα μέθεξιν τῶν ἡλιακῶν ἀκτίνων ἐκκαθαιρομένων τῶν ὀχημάτων καὶ ἀνωφόρων μᾶλλον ἀποτελουμένων· διόπερ ἡ ἀνάβασις αὐταῖς διὰ τῆς ἡλίῳ προσηκούσης ἐπετελεῖτο τετράδος. ἐν ὕψει δὲ τοῦ αἰθέρος ἤδη καὶ ἄλλο κατιδοῦσαι φῶς καὶ ἐλλάμψεις ὑποδεξάμεναι θειοτέρας, διὰ μιᾶς τῆς τῷ ἀπλανεῖ προσηκούσης ἥνυτον τὸν λειπόμενον δρόμον, ἕως ὑπ' αὐτὴν ⟦ δὲ ⟧ ἐγένοντο τὴν ὑπ' οὐρανὸν ἀψῖδα.

in R.2.192 διὰ σελήνην μὲν οὖν ἐν τῷ λειμῶνι διέτριβον καὶ τὴν ἑβδομάδα τὴν σελήνῃ προσήκουσαν· δι' ἥλιον δὲ καὶ τὸ ἡλιακὸν φῶς ἐπορεύοντο καὶ διεξῆεσαν τὸ αἰθέριον βάθος· διὰ δὲ τὸ ἐν ὕψει φανὲν αὐταῖς φῶς τὴν λοιπὴν ὁδὸν ἐποιήσαντο διὰ μιᾶς ἡμέρας, ἀεὶ τῶν ὀχημάτων καθαρωτέρων γιγνομένων ἐκ τοῦ τελεωτέρου φωτός. Εἰ δὲ δεῖ μὴ μόνον τοπικήν, ἀλλὰ καὶ ζωτικὴν ποιήσασθαι τούτων ἐξήγησιν, τὴν μὲν ἡμέραν ἀντὶ πάσης ἀκούσωμεν τῆς ἀπὸ τῶν θεῶν εἰς τὰς ψυχὰς φοιτώσης ἐλλάμψεως· τὴν δὲ ἑβδομάδα καὶ τετράδα καὶ μονάδα διαφορὰς τῶν τοιούτων νοήσωμεν ψυχικῶν λόγων, ἢ τὸ νοερὸν αὐτὸ τελειούσας ἢ τὸ ζωτικὸν ἢ τὸ οὐσιῶδες αὐτὸ καὶ τὴν ὕπαρξιν τὴν ἐν αὐταῖς· καὶ τὴν μὲν ἑβδομάδα φῶμεν τοῦ νοεροῦ ... 70 .. ική· τοῦ μ .. 25 .. νιον, ἐπειδὴ δὶς διὰ π[ασῶ]ν .. 8 .. [Ἀθη]νᾶς τὸ ἀθήλυντον, ἐπείπερ [οὔτε ἔκ τι]νος ἀριθμοῦ τῶν πρὸ αὐτῆς ἀλλ' ἢ ἐκ μονάδος μόνης, οὔτ' ἄλλον παράγει τῶν εἴσω δεκάδος. τὴν δὲ τετράδα τῆς ζωῆς εἶναι δύναμιν πρώτην ἐκ δυάδος ὑποστᾶσαν καὶ ταυτότητι καὶ ἰσότητι μετρήσασαν τὴν τῆς δυάδος πρόοδον. καὶ γὰρ ἡ ζωὴ κίνησις· ὁρίζεται δὲ ὑπὸ τῆς τῶν θεῶν δυνάμεως καὶ τὴν ἀπειρίαν περατοῖ τὴν ἑαυτῆς. τὴν δὲ μονάδα μένουσαν ἐν τῇ ἑνώσει τῆς οὐσίας εἶναι τῶν ψυχῶν ὅρον, ὑπ' αὐτῶν ἐνδεδομένον εἰς αὐτὰς τῶν θεῶν· διὸ καὶ τῶν ψυχογονικῶν ἐστιν ἀρχὴ διαιρέσεων καὶ περὶ αὐτὴν οἵ τε διπλάσιοι λόγοι καὶ τριπλάσιοι σχίζονται κατὰ τὴν δημιουργικὴν τῶν ψυχῶν ἀπογέννησιν.

in R.2.193 Συναγάγωμεν οὖν ἐκ τούτων, ὡς ἄρα τὰς ψυχὰς οἱ θεοὶ πρὸ τῶν καθόδων ἐγείροντες εἰς τὴν τῶν ὅλων θεωρίαν, ἀφ' ὧν αὐταῖς οἱ κλῆροι καθήκουσιν, καταλάμπουσιν αὐτῶν καὶ τὸ νοητικὸν καὶ τὸ ζωτικὸν καὶ τὸ οὐσιῶδες, καὶ δυναμώσαντες ἀνακινοῦσιν τὰς ἐννοίας προχειρίζειν καὶ τοὺς λόγους, οὓς ἔχουσιν κατ' οὐσίαν, τῶν εἰδῶν τῆς ζωῆς, καὶ τοὺς προσήκοντας αἱρεῖσθαι βίους· χρεία γὰρ καὶ τῆς νοήσεως εἰς τὴν ἐκλογὴν καὶ τῆς ζωῆς εἰς τὴν ἔφεσιν καὶ τῆς οὐσίας εἰς τὴν προβολήν. οὐσιώδεις μὲν γάρ εἰσιν ἐν αὐταῖς λόγοι τῶν βίων· αἱ δὲ αἱρέσεις δέ[ονται] ... 60 .. ην .. 25 .. βλέψις, καὶ .. 13 .. [τὸ] γνωστικὸν αὐτῶν ἀνε[γείρουσι διὰ

τοῦ] ἑβδομαδικοῦ φωτός, τὸ δὲ προαιρετικὸν διὰ τοῦ τετραδικοῦ, τὸ δὲ οὐσιῶδες διὰ τοῦ μοναδικοῦ. καὶ τελειουμέναις μὲν ἀπὸ νοήσεως διὰ ζωῆς ἐπὶ οὐσίαν ἡ ἄνοδος, κατιούσαις δὲ λοιπὸν ἀπὸ οὐσίας διὰ ζωῆς ἐπὶ γνῶσιν· δεῖ γὰρ προβάλλειν μὲν τὴν οὐσίαν, τὴν δὲ ζωὴν ὀρέγεσθαι τοῦ ἀγαθοῦ, τὴν δὲ κρίσιν σκοπεῖσθαι, τί τὸ ἀγαθὸν ἐν τοῖς προκεχειρισμένοις βίοις. Τοσαῦτα περὶ τούτων εἴχομεν λέγειν· ἔπεται δὲ ζητεῖν, τί ποτέ ἐστιν τοῦτο τὸ φῶς, ὃ δή φησιν καθορᾶν τὰς ψυχὰς ὁ μῦθος. καὶ πρῶτον λάβωμεν, ἵνα πρὸς τεταγμένα ἄττα βλέποντες ποιησώμεθα τὴν περὶ αὐτοῦ ζήτησιν, οἷα περὶ αὐτοῦ φησιν ὁ λόγος τοῦ τεθεᾶσθαι φάσκοντος αὐτὸ φανῶς. λέγει τοίνυν σύνδεσμον μὲν αὐτὸ τοῦ τε οὐρανοῦ καὶ τῆς γῆς ὑπάρχειν, τεταμένον δὲ εἶναι διὰ παντὸς 〈τοῦ〉 οὐρανοῦ καὶ αὐτὸ αὑτῷ συνεχές, χρῶμα δὲ ἔχειν τῇ ἴριδι προσφερές, λαμπρότερον δὲ ὅμως ἐκείνης, ἡδράσθαι δὲ κίονι παραπλησίως, συνέχειν δὲ πᾶσαν τὴν περιφοράν, τὰ δὲ ἄκρα αὐτοῦ τῶν δεσμῶν ἄρχεσθαι ἀπὸ τοῦ οὐρανοῦ καὶ εἶναι τὴν ἀρχὴν ἐκεῖ καὶ ἐκεῖθεν εἰς τὰ κατωτέρω διήκειν.

in R.2.194 ἀνάγκη τοίνυν, τούτων ὑπὸ τοῦ Ἠρὸς σαφέστατα εἰρημένων, ἢ ἀσώματον εἶναι τοῦτο τὸ φῶς καὶ ἀσωμάτως ὁρᾶσθαι παρ' ἐκείνου τοῖς ὄμμα〈σιν〉 τελείωσιν .. η [λαβοῦσιν] .. 15 .. άτη . άπ .. 25 . χον, καὶ ὁρώμεν[α] .. 19 .. πάντα ἀσωμάτως .. 20 .. οἷον τὰ πλάτη καὶ βάθη [τῶν σφαιρῶν] καὶ τὰ χρώματα αὐτῶν· οὔτε τὰ πάντα σωματικῶς, οἷον τὰς Μοίρας καὶ τὴν μητέρα τῶν Μοιρῶν, κἂν συμβολικῶς δοκῇ θεᾶσθαι ταύτας σωματικῶς ἀσωμάτους οὔσας. ἢ οὖν καὶ τοῦτο τὸ φῶς ὁρατὸν ὄντως ὂν ὁρᾷ καὶ σωματικὸν ἢ ἀσώματον μέν, ὡς φαινόμενον δὲ συμβολικῶς ἀφερμηνεύει τὸ ἀσώματον. καὶ τοιοῦτον δὲ εἰ ἔστιν, ὡς ὄντως εἶναι σῶμα καὶ ὁρατὸν σωματικῶς, ἢ τῶν ὁρατῶν ἐστι καὶ τοῖς ἡμετέροις ὀφθαλμοῖς ἢ τῶν ἀοράτων τούτοις γε τοῖς τοῦ ἐνύλου σώματος. τοῦτο μὲν τοίνυν καὶ παντάπασιν ἄτοπον, ὁρατὸν αὐτὸ τοῖς ὄμμασι τούτοις ποιεῖν, εἴπερ οὐδὲ τοῖς ἐν τῷ λειμῶνι διατρίβουσιν ὁρᾶν αὐτὸ δυνατὸν ἦν, ἀλλὰ τεταρταίοις εἰς τὸ ἄνω πορευθεῖσιν. εἰ δὲ τοῦτ' ἀληθές, οἷον πόρισμα ληπτέον, ὡς ἄρα μάτην λέγουσιν οἱ τὸν γαλαξίαν εἶναι τοῦτο εἰπόντες τὸ φῶς ἢ τὸν τῶν ζῳδίων κύκλον· ἐκείνους γὰρ καὶ ἐπὶ γῆς ὄντες ὁρῶμεν, καὶ οὐδὲ διὰ παντός εἰσι τοῦ οὐρανοῦ τεταμένοι καὶ οὐ συνέχουσι τὴν περιφοράν, ἀλλ' ἐν μέρει τινὶ τοῖς ἄλλοις ὁμοίως κύκλοις διέζωσαν τὸν ἀπλανῆ κύκλον. Εἰ δὲ μὴ σωματικὸν μηδὲ ὁρατὸν ἡμῖν τοῖς ἐνταῦθα κατῳκισμένοις εἶναι τὸ φῶς ὑποθήσεταί τις, ἀσώματον δὲ καὶ ἀνιούσαις εἰς τὸ ἄναντες ὁρᾶσθαι ταῖς ψυχαῖς, οἷον ζωήν τινα τοῦ παντὸς ἢ ἄλλο τι τοιοῦτον, οὐδὲ [τοῖς ἐν Φαίδρῳ [p. 247c] ὑπὸ Πλάτων]ος γεγραμμένοις συμφωνήσει· ἐπεὶ πρῶ]τον μὲν χρῶ[μα πᾶν παντελῶς ἀφαι]ρ[εῖ] τῆς ἀσωμάτου [οὐσίας ἀχρω]μάτου καὶ ἀσχηματίστου [καὶ ἀναφο]ῦς ὑπαρχούσης· ἔπειτα εἰ καὶ συμβολικῶς καὶ ἐπὶ τῆς ἀσωμάτου φύσεως ἔλεγεν τὸ χρῶμα παραβάλλειν τὸ συμβολικῶς ῥηθὲν πρὸς τὸ κατ' ἀλήθειαν κεχρωσμένον τὴν ἶριν καὶ λέγειν λαμπρότερον τὸ τοῦ φωτὸς ἐκείνου χρῶμα τοῦ τῆς ἴριδος καὶ καθαρώτερον· ἐν γὰρ τοῖς ὁμογενέσιν αἱ παραβολαὶ καὶ οὐκ ἐν τοῖς παντελῶς ἀλλοίοις καὶ κατά τινα συμβολικὴν ἀφομοίωσιν λεγομένοις.

in R.2.195 λείπεται τοίνυν σωματικὴν μὲν εἶναι τὴν οὐσίαν τούτου τοῦ φωτός, ἀπρόσοπτον δὲ τοῖς θνητοῖς ὄμμασιν καὶ ἀσύμμετρον καὶ μόνοις τοῖς τῶν αὐγοειδῶν ὀχημάτων ὁρᾶσθαι δυνάμενον, καὶ τούτοις ἐκκαθαρθεῖσιν εἰς δύναμιν, ὡς ὅταν γε καὶ ταῦτα τῶν ὑλικῶν ἐφέλκηταί τι περιβλημάτων, οὐδὲ τούτοις εἰλικρινῶς ὁρατὸν ὑπάρχον· διὸ καὶ τοῖς νῦν αὐτὸ θεᾶσθαι λεγομένοις ἐοικὸς τῇ ἴριδι φαίνεται, πλὴν ὅτι λαμπρότερον καὶ καθαρώτερον· ἡ δὲ ἶρις ὅτι συμμιγής ἐστιν τὴν χρόαν, παντί που δῆλον. εἰ οὖν κἀκεῖνο τοιοῦτον ὁρῶσιν, οὐχ ἁπλοῦν, ἀλλ' ὑποσυγκεχυμένον, φανερὸν ὅτι διὰ τὴν τῶν ὁρώντων ἀσθένειαν τοῦτο συμβαίνει καὶ οὐ διὰ τὴν ἐκείνου φύσιν· ἡ δὲ ἀσθένεια διὰ τὴν σύμμιξιν τῶν ἀλλοτρίων πρὸς τὰ συμφυῆ τῶν ψυχῶν ὀχήματα. καθάπερ γὰρ τὰ ἔνυλα ὄμματα καὶ θνητοειδῆ κατεσκεύασται .. 25 .. κατὰ .. 30 . [αὐ]γοειδῆ φύσιν .. 20 . [τρανέ]στερον ὁρᾶν καὶ εἴ τ[ι ἄλλο ὁρατὸν εἴη τῶν] οὐρανίων. ὅλον δὴ

καὶ τοῦτο [βούλεται ὁ] μῦθος ἐκφαίνειν. ὅτι γὰρ τοιοῦτόν τί ἐστι, μάθοιμεν ἂν ἐννοήσαντες πρῶτον μέν, ὅτι παντὸς τοῦ οὐρανοῦ φησιν ἕτερον αὐτὸ εἶναι· τετάσθαι γὰρ διὰ τοῦ οὐρανοῦ παντός· οὔτε οὖν ὅλον ἐστὶν τὸ οὐράνιον, γελοῖον γὰρ τοῦτο λέγειν, οὔτε μέρος τοῦ οὐρανοῦ· τοῦτο γοῦν ἔτι γελοιότερον. πῶς γὰρ ἢ τὸ μέρος διὰ τοῦ ὅλου τετάσθαι δυνατὸν ἢ τὸν ὅλον οὐρανὸν διὰ τοῦ οὐρανοῦ παντός; οὐδὲν γὰρ δι' ἑαυτοῦ τέταται τῶν σωμάτων.

in R.2.196 εἰ δὲ ἕτερόν ἐστιν τοῦ οὐρανοῦ, πότερον κρεῖττόν ἐστιν αὐτοῦ ἢ χεῖρον ἢ σύστοιχον; ἀλλ' ἀδύνατον ἢ χεῖρον εἶναι τοῦ συνεχομένου τὸ συνέχον ἢ σύστοιχον· τὸ γὰρ συνέχον ἀσκέδαστον φυλάττει πᾶν τὸ συνεχόμενον. εἰ οὖν τοῦτο τὸ φῶς πᾶσαν συνέχει τὴν περιφορὰν καὶ συνδεῖ τὰ ὅλα πρὸς ἄλληλα, τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ μεταξὺ δηλαδὴ τούτων πρὸς τὰ ἄκρα, παντὶ δήπου φανερόν, ὡς οὔτε χεῖρόν ἐστιν τῶν συνεχομένων (αὐτὸ γὰρ ἂν ἐδεῖτο τῆς ἀπ' ἐκείνων συνοχῆς) οὔτε σύστοιχον· οὐδὲν γὰρ μᾶλλον ἂν ἦν συνέχον ἢ συνεχόμενον. εἰ οὖν καὶ σωματικόν ἐστιν καὶ τοῦ οὐρανοῦ κρεῖττον, εἰκότως ἐστὶν οὐ πᾶσιν ὄμμασιν ὁρατόν, ἀλλὰ τοῖς ἀϋλοτέροις καὶ καθαρωτέροις· οὐ γὰρ πάντα ὁρατὰ πᾶσιν ἢ διὰ τὴν ἀμυδρότητα τοῦ ἐν αὐτοῖς φωτὸς ἢ διὰ τὴν λαμπρότητα τὴν ἀσύμμετρον τοῖς ὁρῶσιν· .. 20 .. [συν]έχεια[ν] ἐς . 55 ... [ὑπε]ρ[β]άλλουσαν .. 14 .. ἀντερεῖσαν· τὰ δὲ ὄμμα[τα ἡμῶν τὰ ἔ]νυλα δεῖται καὶ ἀντερείσεως καὶ τῆς τοῦ προσβάλλοντος δυνάμεως· πάσχοντα γὰρ ἀντιλαμβάνεται τῶν ὁρατῶν· τὰ δὲ τῶν ψυχικῶν ὀχημάτων ἀπαθῶς, ὁρῶντα μάλιστα φῶτα δι' ἐνεργείας αὐτοῖς συμφυόμενα καὶ οὐ διὰ πάθους. Ἀλλ' ὅτι μὲν τοῦτο τὸ φῶς ἄλλο τι τῶν οὐρανίων ἐστί, δέδεικται διὰ τούτων· τίνα δὲ ἔχον φύσιν, μετὰ ταῦτα ῥητέον. οἶδα μὲν οὖν ὅτι καὶ ὁ φιλοσοφώτατος Πορφύριος ὑπώπτευσεν ὅσα νυνὶ γράφομεν ἡμεῖς, καὶ τῆς κοσμικῆς ψυχῆς ὄχημα πρῶτον εἶναι θέμενος αὐτὸ καὶ ἀνάλογον τῷ αὐγοειδεῖ τῆς ἡμετέρας ἐπὶ τοιαύτης ἐννοίας ἵστατό τινος ὡς σώματος ὄντος τοῦ φωτὸς τούτου πρὸ τοῦ οὐρανίου σώματος ἐξημμένου τῆς τοῦ παντὸς ψυχῆς, ἁπλουστέρου δήπουθεν ἢ κατὰ τὸ σῶμα τὸ οὐράνιον· τάχα καὶ τοῦ ἐν Φαίδωνι μύθου τοῦτο αἰνισσομένου τὸ φῶς, ἡνίκα ἔλεγεν [p.

in R.2.197 109e] τοὺς δυνηθέντας εἰς τὰ ἄκρα τοῦ ἀέρος ἀναπτῆναι καὶ δύναμιν ἐκεῖ μένειν ἔχοντας ἰδεῖν ἂν τὰ ἐκεῖ τρανέστερον, τὸν ἀληθινὸν οὐρανόν, φησίν, καὶ τὴν ἀληθινὴν γῆν. καὶ ἐπὶ τούτοις προστίθησιν καὶ τὸ ἀληθινὸν φῶς, καὶ ἐν ἐκείνοις, ὡς ὁρᾷς, τρία εἰπών, οὐρανὸν καὶ γῆν καὶ φῶς, ὥσπερ ἐνταῦθα σύνδεσμον οὐρανοῦ καὶ γῆς εἴρηκεν εἶναι τὸ φῶς. ἅπερ οὖν ἐξ ὑποθέσεως ἔλαβεν ἐκεῖ, ταῦτα ἐν τούτοις γιγνόμενα παραδέ[δωκε] .. 23 .. καὶ ἀγα[θ] . ν ..... ον ..... καὶ ὁρώσας αὐτὰς ποιήσας οὐρανὸν καὶ γῆν καὶ τὸ φῶς, ἃ μὴ πρότερον ἑώρ[ων], ταύταις νο ... ν. ἀλλ' οὖν, ὅπερ ἔφην, ἔοικεν τοιαῦτα ἄττα καὶ ἐκεῖνος ἐνθυμηθεὶς ἀφορίσασθαι τῆς ὅλης ψυχῆς εἶναι τοῦτο ὄχημα τὸ φῶς, πρώτως αὐτῆς ἐξηρτημένον· δεῖν γὰρ πρὸ τοῦ συνθέτου τὸ ἁπλοῦν εἶναι τῆς ἐν αὐτῇ μετέχον ἀσωμάτου ζωῆς. δεῖ δὲ ἡμᾶς ἔτι τρανέστερον εἰπεῖν ἃ φρονοῦμεν. πάντων τοίνυν τῶν συμπληρούντων τὸν αἰσθητὸν τοῦτον κόσμον σωμάτων ἢ ἑστώτων ἢ κινουμένων, καὶ ἢ ὅλων ἅμα κινουμένων τῶν κινουμένων ἢ καθ' ὅλα μὲν ἑστώτων, κατὰ μέρη δὲ κινουμένων, ἀνάγκη, καθάπερ φασὶν ὅ τε Ἀθηναῖος ξένος [X 893c] καὶ ὁ Τίμαιο ς , καὶ τὰ ἑστῶτα πάντα ἐν ἕδρᾳ τινὶ ἑστάναι καὶ τὰ κινούμενα ἢ ἐν τῇ αὐτῇ ἕδρᾳ κινεῖσθαι, ὅσα καθ' ὅλα ἕστηκεν, ἢ ἀπ' ἄλλης εἰς ἄλλην μεταβαίνειν, ὅσα ἀμείβει τόπον ἐκ τόπου μεταλλάσσοντα ὅλα. τούτου δὲ ἀληθοῦς ὄντος ἀνάγκη καὶ τὸν οὐρανόν, εἴτε ὡς ἑστὼς ὅλος ἐν τῇ αὐτῇ ἕδρᾳ νοοῖτο εἴτε ὡς κινούμενος τοῖς ἑαυτοῦ μέρεσιν μεταβαλὼν τὰς τῶν μερῶν ἕδρας ἐν αἷς ἕκαστον γίνεται, ἕδραν τινὰ ἔχειν ἑτέραν τῶν τε μερῶν καὶ τοῦ ὅλου· τὸ γὰρ ἔν τῳ ἢ μένον ἢ κινούμενόν 〈ἕτερόν〉 ἐστιν ἐκείνου, ἐν ᾧ ἕστηκεν ἢ ἐξ οὗ κινεῖται καὶ εἰς ὃ κινεῖται.

in R.2.198 ταύτην οὖν τὴν ἕδραν τοῦ οὐρανοῦ, ἐν ᾗ ἐστιν, τὸν τόπον δηλονότι χρὴ φάναι τὸν τοῦ σώματος· καὶ .. 25 .. κινεῖται .. 15 .. [ἕτερον] ἐξ ἑτέρου τόπου [ἀεὶ μεταλλάσσω]ν. εἰ οὖν ὁ τόπος τοῦ [ἑστῶτος ἢ κινη]τοῦ κόσμου παντός ἐστίν τι (δεῖ γὰρ οὔσης τῆς κατὰ τόπον κινήσεως εἶναι

καὶ τὸν τόπον καὶ τῆς κατὰ τόπον ἠρεμίας εἶναι καὶ τὴν ἕδραν), ἢ ἀσώματός ἐστιν ἢ σωματικός. ἀλλ᾽ ἀσώματος μὲν οὐδαμῶς εἶναι δύναται· τό τε γὰρ χωριστὸν σώματος ὅλον πανταχοῦ ἐστιν, ὁ δὲ τόπος οὐχ ὅλος πανταχοῦ (οὐ γὰρ ὅλον αὐτὸν κατέχει τὸ κινούμενον κατ᾽ αὐτόν, 〈ἐπεὶ〉 καὶ ἐν ἄλλῳ γίνεται τόπῳ)· καὶ τὸ ἀχώριστον ἕν τινί ἐστιν· τὸ δὲ ἕν τινι ὂν ἐν τούτῳ ἐστίν, ἐν ᾧ καὶ τὸ ἐν ᾧ ἐστιν· ὁ δὲ τόπος τοῦ ἐν αὐτῷ καὶ τὸ ἐν τόπῳ τοῦ τόπου χωρίζεται. λείπεται ἄρα σῶμα εἶναι τὸν τόπον τὸν κοσμικόν· τοῦτο δὲ ἤτοι ἀκίνητον ἢ κινούμενον. ἀλλ᾽ εἰ κινούμενον, δεήσεται τόπου, καὶ περὶ ἐκείνου λόγος ὁ αὐτός, καὶ ἥξομεν εἰς τὸ ἀκίνητον θέσθαι τὸν τόπον. εἰ δὲ ἀκίνητον, ἢ διαιρετὸν ἢ ἀδιαίρετον, ὥσπερ καὶ ἀκίνητον. ἀλλ᾽ εἰ διαιρετόν, ἀνάγκη διαιρούμενον ὑπ᾽ ἄλλου σώματος ἐμπίπτοντος σχίσεις ὑπομένειν καὶ κινεῖσθαι τῷ διαιροῦντι πάντως ἀντιπεριιστάμενον. εἰ δὲ ἀδιαίρετον, ἓν καὶ συνεχὲς ἀεὶ διαμένειν· τοιοῦτον δὲ αὖ ὑπάρχον ἁπάντων εἶναι σωμάτων ἀϋλότατον καὶ θειότατον, τῶν μὲν γινομένων ὡς ἀγένητον, εἴπερ καὶ ἀδιαίρετον, τῶν δὲ ἀϊδίων ὡς ἀκίνητον· εἰ οὖν τὰ θειότατα τῶν κινουμένων φῶτά ἐστιν, πολλῷ δήπου μᾶλλον ἐκεῖνο τὸ σῶμα φῶς ἐστιν. Συλλήβδην [οὖν εἴπωμεν], ὡς ἄρα ὃ [τοῦ οὐ]ρανοῦ καὶ [τῆς γῆς σύνδεσμος εἶναι ὥρι]σται, σῶμά ἐστιν ἀκίνητον [ἀδιαίρετον, οὗ] ἡ οὐσία φῶς. καὶ τούτοις ἐφαρμό[ζωμεν] τὰς τοῦ Πλάτωνος ῥήσεις, τὸ μὲν τεταμένον λαβόντες τῆς ἀδιαιρέτου συνεχείας ἱκανῶς δηλωτικόν· τὸ δὲ κίονι προσεοικὸς τῆς ἀκινησίας σημαντικόν· τὸ δὲ συνεκτικὸν τῆς περιφορᾶς πάσης τοῦ ἕδραν αὐτὸ εἶναι τῆς ὅλης οὐρανίας περιφορᾶς ἑστώσης ἅμα καὶ κινουμένης· τὸ δὲ σύνδεσμον ὑπάρχειν τοῦ τε οὐρανοῦ καὶ τῆς γῆς τοῦ ἓν ὂν πρώτως αὐτὸ καὶ ταῖς μερίσι τοῦ κόσμου τῆς ἑνώσεως αἴτιον προσεχῶς ὑπάρχειν· τὸ δὲ τῇ ἴριδι προσφερὲς εἶναι τοῦ ποικίλον ὁρᾶσθαι διὰ τὰς τῶν ὁρώντων ὄψεις οὐ σθενούσας ἀπαθῶς αὐτῷ προσβάλλειν· ὅσῳ γὰρ ἁπλούστερόν ἐστιν τῶν ἄλλων ὁρατῶν, τοσούτῳ δεῖται τῶν ὁρώντων ἀπαθέστερον αὐτῷ προσβαλλόντων.

in R.2.199 τὸ δὲ ἐκ τοῦ οὐρανοῦ τετάσθαι τὰ ἄκρα αὐτοῦ τῶν δεσμῶν παραστατικὸν εἶναι τοῦ μήτε ὑπερανέχειν τοῦ παντὸς μήτε εἴσω λήγειν· δεῖ γὰρ ὅλον εἶναι τὸν οὐρανὸν ἐν τόπῳ καὶ μηδὲν ἔξω πίπτειν κενόν· εἰκότως οὖν τὰ ἄκρα τῶν δεσμῶν αὐτοῦ, δι᾽ ὧν συνέχει τὴν περιφορὰν ὅλην, ἐκ τοῦ οὐρανοῦ τέταται. 〈ἃ〉 πάντα τοῖς τε πράγμασιν συμβαίνει καὶ τοῖς ῥήμασιν τοῦ πλάσματος, ὥστε θαρροῦντες λέγωμεν ἐνταῦθα δὴ καὶ μάλιστα τὴν οὐσίαν τοῦ τόπου δεδηλῶσθαι παρὰ τοῦ Πλάτωνος, ὅτι φῶς θεῖον οἷον π[άντῃ] διατεῖνον δ .. 20 .. ος· καὶ ὑ .. 12 . [πά]ντα τὰ [κι]νού[μενα] καὶ ἑδρ[άζον] ἐν ἑαυτῷ καὶ συνέχον, ψυχαῖς ὁρατὸν διὰ τῶν αὐγοειδῶν ὀχημάτων. Ἀλλὰ περὶ μὲν τῆς τοῦ τόπου φύσεως καὶ ἰδίᾳ πεπραγματεύμεθα· νῦν δὲ ἐπὶ τὴν τοῦ μύθου λέξιν ἀναδράμωμεν. λείπεται γὰρ τί δηλοῖ τὸ καὶ ἰδεῖν αὐτόθι κατὰ μέσον τὸ φῶς ἐπισκέψασθαι, καὶ τί τὸ οἷον τὰ ὑποζώματα τῶν τριήρων πᾶσαν συνέχον τὴν περιφορά ν . Τὸ μὲν γὰρ οἷον κίονα φανερὸν ἐκ τῶν εἰρημένων, ὡς οὐχὶ σχήματός ἐστιν σημαντικόν, ἀλλὰ τῆς μονίμου καὶ ἀκλινοῦς ἱδρύσεως ἑδραζούσης τὰ κινούμενα ἐν αὐτῇ, καθάπερ οἱ κίονες ἕδραν παρέχονται τοῖς ἐπ᾽ αὐτῶν κειμένοις ἀσφαλῆ. τὸ γὰρ ὑπολαβεῖν, ὡς τῶν πρὸ ἡμῶν τινες, τὸν ἄξονα λέγεσθαι τὸ φῶς καὶ διὰ τοῦτο κίονι προσεικάζεσθαι, παντάπασιν ἄτοπον· ποῖον γὰρ φῶς ὁ ἄξων ἢ πῶς λαμπρότερον ἔχει χρῶμα τῆς ἴριδος δύναμις ἀσώματος ὤν; πρὸς τῷ καὶ μικρὸν ὕστερον ἠλακάτην σαφῶς ὀνομάζεσθαι τὸν ὑπ᾽ ἐκείνων λεγόμενον ἄξονα· πεπλάνηκεν δὲ αὐτοὺς ἴσως ὁ παρὰ Ὁμήρῳ καλούμενος Ἄτλας τῶν κιόνων ἄρχων, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν [Od.

in R.2.200 α 54], ὁμολογουμένως ἐκεῖ τῶν κιόνων τοὺς τῶν παντοίων περιφορῶν ἄξονας αἰνισσομένων. ἀλλ᾽ ἐνταῦθα τοῖς ἄλλοις οὐ συνᾴδει τοῖς περὶ τοῦ φωτὸς εἰρημένοις ἡ τοιαύτη παράδοσις, ἐπεὶ καὶ παρὰ τῷ Τιμαίῳ [p. 40b] διὰ παντὸς μὲν τεταμένος εἴρηται πόλος ὁ ἄξων, οὔτε δὲ χρῶμα ἔχων .. 33 .. Τὸ τοίνυν ἰδεῖν [κατὰ μέσον τὸ φῶς οὐ τὰ] ἄκρα λέγει τῶν δεσ[μῶν τεταμένα κατὰ μέσον] τὸ φῶς. πῶς γάρ, εἴπερ ἐκ τοῦ [οὐρανοῦ τέτα]ται, καθάπερ φησίν; οὐδὲ γὰρ οὕτως

σύνδεσμός ἐστιν οὐρανοῦ καὶ γῆς, ὡς ἐν μέσῳ τεταμένον ἀμφοῖν καὶ τὰ μὲν ἄκρα ἔχον ἐξηρτημένα τοῦ οὐρανοῦ, τὰ δὲ πέρατα συνάπτοντα πρὸς τὴν γῆν· οὐδὲ γὰρ ἂν ἔτι συνέχειν ἐλέγετο τὴν τοῦ οὐρανοῦ πᾶσαν περιφοράν. ἀλλὰ τὰ ὁρῶντα κατὰ μέσον ὄντα τὸ φῶς, ἄνωθεν ἐκεῖνο ἀπὸ τῆς ἄκρας ἀψῖδος τοῦ οὐρανοῦ τεταμένον ἕως τοῦ κέντρου τῆς γῆς, οὕτως τὰ πέρατα αὐτοῦ ἄνωθεν ἠρτημένα ἑώρα, αὐτὰ περιεχόμενα ἐν αὐτῷ κάτωθέν τε καὶ ἄνωθεν. Καὶ τοίνυν καὶ τοῖς ὑποζώμασιν εἰκάζεται τῶν τριήρων, ὡς ἐξ ἀρχῆς εἰς τέλος διατεῖνον· καὶ γὰρ τὰ ὑποζώματα ⟦ τὰ ⟧ ξύλα ἐστὶν ἐκ πρύμνης εἰς πρῴραν διήκοντα. τοῦτο οὖν καὶ ὁ μῦθος ἐνδεικνύμενος, ὅτι ἄρχεταί τε ἀπὸ τῆς ἔξω περιφερείας τὸ φῶς καὶ ὅλον ὑποδέχεται τὸν κόσμον καὶ συνέχει ἐν αὐτῷ, τοῖς ὑποζώμασιν τῶν τριήρων αὐτὸ ὡμοίωσεν. μήποτε δὲ καί, ὡς αὐτὸς ἐπέβαλες, τριήρεσιν ἀπείκασε τὴν περιφορὰν ὑπὸ τῶν τριῶν οἷον ἐρεττομένην Μοιρῶν, καὶ οὕτω τὸ φῶς ἀναλογεῖν ἔθετο τοῖς ὑποζώμασι τῶν τριήρων.

in R.2.201 καὶ ὁρᾷς ὅτι τρισὶν ἐχρήσατο τοῦ φωτὸς εἰκόσιν, τῷ κίονι, τῇ ἴριδι, τοῖς ὑποζώμασιν, δι’ ὧν ἐδήλωσεν ὅτι ἑδραῖον, ὅτι ὁρατόν, ὅτι ὅλου τοῦ κόσμου συνεκτικόν· ἃ δὴ πάντα συλλαβὼν ἔχεις τὰς ἰδιότητας τοῦ κοσμικοῦ .. 60 .. τὸν κόσμον .. 16 .. καὶ οὐ θεωρήσῃς τὴν [διαφοράν, ἀλ]λὰ καὶ τὴν κοινωνίαν καὶ τὴν ὑπεροχήν. κοινὸν μὲν γὰρ τὸ ὁρατόν· διαφέρον δὲ τὸ ἀκίνητον τῶν ἄλλων κινουμένων, ὑπερέχει δὲ ὡς συνέχον τῶν ὑπ’ αὐτοῦ συνεχομένων. τοῦτό μοι δοκεῖ καὶ τὰ λόγια λέγειν τὸ φῶς, ἡνίκα ἂν διδάσκοντα περὶ τῆς ψυχώσεως, ἣν ἡ πηγὴ τῶν ψυχῶν τὰ πάντα ψυχοῖ, λέγῃ δεξιτερῆς μὲν γὰρ λαγόνος περὶ χήραμα χόνδρων πολλὴ ἄδην βλύζει ψυχῆς λιβὰς ἀρχιγενέθλο υ , ἄρδην ἐμψυχοῦσα φάος πῦρ αἰθέρα κόσμου ς . τὰ μὲν γὰρ πάντα διεῖλεν, ὡς εἴωθεν, εἰς τὰ τρία, καὶ προσείρηκεν τὸ μὲν ἀκρότατον πῦρ, τὸ δὲ μέσον αἰθέρα, τὸ δὲ τρίτον κόσμους, πάντας οὕτω καλοῦντα τοὺς ὑλαίους, ὡς μάλιστα τοῦ κοσμεῖσθαι διὰ τὴν ὕλην ⟦ προσήκοντασ ⟧ ἐπιδεεῖς. τὸ δὲ φῶς ἄλλο παρὰ ταῦτα πάντα καὶ πρὸ πάντων εἰπόντα ψυχοῦσθαι παρὰ τῆς πηγαίας ἐκείνης ψυχῆς δῆλον, οἶμαι, πεποίηκεν, ὅτι σῶμά ἐστιν διαφέρον τῶν κόσμων τοῦ αἰθέρος τοῦ πυρός· ψυχούμενον γὰρ σῶμα δήπουθέν ἐστιν· τοῦτο ⟦ το ⟧ γὰρ ἔμψυχον γίνεται. πρωτίστου δὲ τῶν κινουμένων ὄντος τοῦ ἐμπυρίου, δηλονότι τὸ φῶς ὑπὲρ τὸ πῦρ τεταγμένον ἀκίνητόν ἐστιν· καὶ ὡς ὁ αἰθὴρ συνέχει τοὺς ὑλαίους κόσμους καὶ τὸ ἐμπύριον τούς τε ὑλαίους καὶ τὸν αἰθέρα, οὕτω καὶ τὸ φῶς πάντα. ταῦτα δὲ οὐδὲν διαφέρει τῶν ἐνταῦθα γεγραμμένων, ὥστε μίαν ἐξ ἀμφοτέρων εἰρῆσθαι φύσιν καὶ ὠνομάσθαι ἑνὶ ὀνόματι, φῶς.

in R.2.202 Ἐκ δὲ τῶν ἄκρων αὐτοῦ τεταμένον Ἀνάγκης ἄτρακτο ν , δ ι ’ οὗ πάσας ἐπιστρέφεσθαι τὰς περιφοράς · ἕως τοῦ· τὸν δὲ σφόνδυλον μικτὸν ἔκ τε τούτου καὶ ἄλλων γενῶν [p. 616c]. Καὶ διὰ τούτων οἶμαι καταφανὲς εἶναι τῶν ῥημάτων, ὡς ἄρα τὸν οὐρανὸν ὅλον ἐμπεριέχεσθαι βούλεται τῷ φωτί· προειπὼν γὰρ ἐκ τοῦ οὐρανοῦ τὰ ἄκρα αὐτοῦ τετάσθαι τῶν δεσμῶν ἀνάπαλιν ἐν τούτοις ἐκ τῶν ἄκρων αὐτοῦ φησιν τετάσθαι τὸν τῆς Ἀνάγκης ἄτρακτον, ὡς τὰ ἄκρα ἑκατέρων συνάπτειν ἀλλήλοις καὶ συνδιήκειν τῷ τε οὐρανῷ τὸ φῶς καὶ τῷ φωτὶ τὸν οὐρανόν. ἐπειδὴ δὲ ἀκίνητον μὲν ἐθέλει τὸ φῶς εἶναι τῷ οὐρανῷ παρέχον ἕδραν οἷον κίονα, κινεῖσθαι δὲ τὸν οὐρανόν, ἐπήνεγκεν· δ ι ’ οὗ πάσας ἐπιστρέφεσθαι τὰς τοῦ ἀτράκτου περιφοράς · τὸ γὰρ δ ι ’ οὗ τοῦτο δοκεῖ μὲν ἐπάγεσθαι πρὸς τὸ εἰρημένον προσεχῶς, τὸν τῆς Ἀνάγκης ἄτρακτον, γελοῖον δὲ οὕτως ἀκούειν· ὁ γὰρ ἄτρακτος ὁ ἐκ τῶν σφονδύλων ἐστὶ καὶ τοῦ ἄξονος· αἱ δὲ περιφοραί εἰσιν αἱ τῶν σφονδύλων κινήσεις· τὸ οὖν διὰ τοῦ ἀτράκτου, ἀλλὰ μὴ ἐν τῷ ἀτράκτῳ πάσας περιάγεσθαι τὰς περιφορὰς οὐκ ἔστι κατάλληλον. ἀποδέδοται δὲ πρὸς τὸ ὑπὲρ τοῦτο ῥηθὲν περὶ τοῦ φωτός· οἷον τὰ ὑποζώματα τῶν τριήρων πᾶσαν συνέχον τὴν περιφοράν · δι’ οὗ συνέχοντος ὡς μίαν πᾶσαν τὴν περιφοράν (συνέχον γὰρ ἑνίζει πᾶσαν)— διὰ τούτου δὴ οὖν τοῦ φωτὸς πᾶσαι αἱ περιφοραὶ περιστρέφονται· τοῦτο γὰρ ἀκίνητον ὂν κινεῖ πάσας. ἐπειδὴ [δὲ οὐ πρώτως] ἐστὶν κινοῦ[ν], ὥσπερ ἡ ψυχὴ κι .. 15 .. σιν, διὰ τούτου πάσας [λέγει

ἐπ]ιστρέφεσθαι τὰς περιφοράς, ἀλλ᾽ οὐχ ὑπὸ τούτου. τὸ μὲν γὰρ ὑφ᾽ οὗ ταῖς πρωτουργοῖς αἰτίαις εἴωθεν ἀποδιδόναι, τὸ δὲ δι᾽ οὗ ταῖς δευτερουργοῖς.

in R.2.203 Ταῦτα μὲν οὖν δῆλα. τίς δὲ ἡ Ἀνάγκη καὶ τίς ὁ ἄτρακτος; καὶ πρότερόν γε τοῦτον ἐπισκεψώμεθα τὸν ἄτρακτον, ὅντινά φαμεν; εἴτε γὰρ τῷ οὐρανῷ ὁ αὐτός, πῶς μετέλαβεν οὐρανὸν ἔμπροσθεν αὐτὸν ἐπονομάζων εἰς τοῦτο 〈τὸ〉 ὄνομα; δεῖ γὰρ μὴ μάταιον εἶναι τὴν μετάληψιν. εἴτε μὴ ὁ αὐτός, τίς ἡ διαφορότης, σαφῶς τῶν ὀκτὼ σφονδύλων τὰς ὀκτὼ δηλούντων αὐτοῦ περιόδους; λέγω τοίνυν, ὅτι κατὰ μὲν τὸ ὑποκείμενον ταὐτόν ἐστιν ὅ τε οὐρανὸς καὶ ὁ ἄτρακτος, νοεῖται δὲ διχῶς ἕτερος, εἴτε κατὰ τὸ φαινόμενον ἐθέλοις μετιέναι τὴν διαφορὰν αὐτοῖν εἴτε κατὰ τὴν ἀληθεστέραν ἐπιβολήν. Κατὰ μὲν γὰρ τὸ φαινόμενον ἑτέρω ἐστόν, διότι τὸν μὲν οὐρανὸν ὅλον λέγει τὸ κυκλοφορητικὸν καὶ τὴν περιφορὰν πᾶσαν, ἣν συνέχειν τὸ φῶς· τὸν δὲ ἄτρακτον νοεῖ κατὰ τὰς ἀποτομὰς τῶν ὑπὲρ γῆς φαινομένων τοῦ παντὸς οὐρανοῦ τμημάτων, ὡς τούτων μὲν ἀναλογούντων τοῖς σφονδύλοις, τοῦ δὲ ἄξονος τῷ ξύλῳ, περὶ ὃ οἱ σφόνδυλοι, τοῦ δὲ πόλου τῷ ἀγκίστρῳ τῷ περατοῦντι τοῦ σφονδύλου τὴν κυρτὴν ἐπιφάνειαν. καὶ γὰρ ὄντως εἰς τὸ ἄναντες χωροῦντας αὐτοὺς οὕτως εἰκὸς ἦν ὁρᾶν τμήματα σφαιρῶν, ἀλλ᾽ οὐχ ὅλας αὐτάς· διὸ καί φησιν ἄνωθεν τὰ χείλη αὐτῶν φαίνεσθαι κύκλους ὡς ἂν ἐκτετμῆσθαι δοκού[σας ὑπὸ τοῦ ὁρί]ζοντος, ὃν ἐποίουν αἱ ὄψεις ἑκα[σταχόθεν. αἱ] μερίδες οὖν αἱ ὑπερφαινόμ[εναι τοῦ οὐ]ρανοῦ μετὰ τοῦ ἄξονος ποιοῦ[σι τὸν ἄτρα]κτον· οὐρανὸς δὲ ἦν σύμπας ὁ ὄγκος ἐκ πασῶν τῶν σφαιρῶν καὶ ὅλων ἑκάστων συγκείμενος. ὥστε κατὰ τοῦτο διαφέρετον ἀλλήλων, τοῦ ἀτράκτου τὰ μὲν προσλαμβάνοντος, τὸν ἄξονα καὶ τὸν πόλον, τὰ δὲ ἀφαιροῦντος, τὰ κάτω τμήματα τῶν σφαιρῶν. Κατὰ δὲ τὴν ἀληθεστέραν καὶ ἐποπτικωτέραν ἐπιβολήν, ὡς μὲν ὅρος τοῦ κόσμου παντὸς τοῦ ὁρατοῦ καὶ περιέχων πάντα καὶ ὡς δημιούργημα τοῦ δημιουργοῦ καὶ πατρός, οὐρανὸς ἔστιν τε καὶ λέγεται (τὴν γὰρ φύσιν αὐτοῦ καὶ τὸ εἶδος ἥδε ἡ ἐπωνυμία δηλοῖ, καθ᾽ ἣν ὑφέστηκεν ἀπὸ τῆς δημιουργικῆς αἰτίας), ὡς δὲ ἐξημμένος τῶν Μοιρῶν καὶ τῆς Ἀνάγκης ὀνόματι συμβολικῷ κέκληται κατὰ τὸ σχῆμα τῆς θεομυθίας ἄτρακτος· διὸ καὶ τῆς Ἀνάγκης αὐτὸν ὁ λόγος οὗτος προσείρηκεν ἄτρακτον, σαφέστατα διδάσκων ὅτι ὡς ἐκείνης ⟦ ὁ ⟧ ἱερὸς ἄτρακτος ὀνομάζεται καὶ ὡς Μοιραῖος· διὰ γὰρ τούτου πάντα αἱ Μοῖραι καὶ εἴρουσι καὶ ἐπικλώθουσιν τοῖς γινομένοις.

in R.2.204 ὡς οὖν εἴ τις αὐτὸν Ἑλικῶνα προσηγόρευεν μυθολογῶν εἰς τὰς Μούσας ἀναπέμπων ὡς ἐναρμόνιον τόπον Μουσῶν ἀποφαίνων, οὕτως διὰ τὴν ἀπὸ τῶν Μοιρῶν καὶ τῆς Ἀνάγκης εἰς αὐτὸν ποίησιν καὶ δόσιν καὶ ἀπ᾽ αὐτοῦ πάλιν καὶ δι᾽ αὐτοῦ εἰς τὰ μετ᾽ αὐτὸν ὁ παρὼν μῦθος ἄτρακτον αὐτὸν .. 15 .. καὶ κατὰ ταύτην τὴν [ἐπιβολὴν οὐκ ἐθέλ]ει λέγειν οὐρανὸν καὶ [ἄτρακτον τ]ὸν αὐτόν· οὐ γὰρ ἂν εἶπεν ἄτρα[κτον, εἰ τῆς δ]ημιουργίας πέρι τὸν λόγον [ἐποι]εῖτο καὶ τῆς τῶν ἄλλων θεῶν εἰς αὐτὸν ποιήσεως, ἀλλ᾽ ὡς Μοίραις καὶ Ἀνάγκῃ συντεταγμένον οὕτως ἐκάλεσεν. Τὸν μὲν οὖν ἄτρακτον ὅπῃ διαφέρει τοῦ οὐρανοῦ καὶ τῷ σχήματι καὶ τῇ δυνάμει, διὰ τούτων δῆλον πεποιήκαμεν. τὴν δὲ Ἀνάγκην, ἧς ἐξάπτει τὸν ἄτρακτον, τίνα δὴ λέγειν ἄξιον; τὸ μὲν γὰρ ὕλην αὐτὴν τίθεσθαι, καθάπερ ὑπολαμβάνουσί τινες καὶ τὴν μητέρα τῶν θεῶν ὕλην ἐν μυστικοῖς τισιν λόγοις εἰσάγεσθαι φάσκοντες, οὔτε εἰς τὴν Ἀνάγκην οὔτε εἰς τὴν μητέρα τῶν θεῶν θεῖα γράφειν ἐστίν· αἱ γὰρ μητέρες γόνιμοι δυνάμεις εἰσὶν ἀπερίληπτοι τοῖς καταδεεστέροις, εἰς ἑαυτὰς μὲν χωροῦσαι τὰ ἀπογεννώμενα, κλείουσαι τὰς προόδους ἐκείνων ἐν τοῖς ἀπείροις ἑαυτῶν κόλποις, οὐκ οὖσαι δὲ ὑποδοχαὶ τῶν προϊόντων ἀδρανεῖς, οἵαν εἶναι τὴν ὕλην ἅπαντες ὑπειλήφαμεν, ἄγονον καὶ ἀπεψυγμένην καὶ δεομένην ἐκείνων ὧν καλεῖται μήτηρ.

in R.2.205 διὸ καὶ αὕτη μὲν χείρων ἐστὶν ἐκείνων (οὐ γὰρ ἐγεννήσατο τὰ ἥττονα, προελθόντα δὲ ἀπ᾽ ἄλλων ἐνεκολπίσατο μόνον), αἱ δὲ ἐν τοῖς θεοῖς μητέρες καὶ τὴν οὐσίαν καὶ τὰς δυνάμεις αὐταὶ τοῖς γεννωμένοις δοῦσαι κατὰ τὸν τῆς αἰτίας λόγον αὐτῶν ὑπερφέρουσιν. οὕτω καὶ ἡ τῶν

θεῶν μήτηρ πάσης ἐστὶν τῆς δημιουργικῆς σειρᾶς καὶ ζωογονικῆς ὑπερηπλωμένη· παρήγαγεν γὰρ .. 13 .. [ἐ]τελεί[ωσεν]· ὑφίστησι γὰρ τ .. 20 .. διακόσμησιν. οὐ[κ ἄρα ὡς ὑποδοχαί εἰσιν] μητέρες, ἀλλ' ὡς γεννητικαὶ τῶν παραχθέντων· ἐπειδὴ δὲ οὐκ ἔξω ἑαυτῶν γεννῶσιν, ἃ δὴ καὶ λέγονται γεννᾶν, ἐν τοῖς ἑαυτῶν τὰ γεννηθέντα παρ' αὐτῶν κόλποις ἑδράζουσιν, ὥσπερ γῆ πάντα ὅσα βλαστάνει ῥιζώσασα ἐν ἑαυτῇ βλαστάνει, καὶ ὅδε 〈ὁ〉 κόσμος περιέχει τὰ ἑαυτοῦ γεννήματα· πολλῷ γὰρ τούτων μειζόνως αἱ ἀσώματοι δυνάμεις εἴσω τῆς ἑαυτῶν δυνάμεως κατακλείουσιν τὰς τῶν παραγομένων ὑπάρξεις. θεότητες οὖν εἰσιν αἱ μητέρες θεῶν ἄλλων περιληπτικαὶ καὶ χωρητικαὶ καὶ παρακτικαί· καὶ οὐ δεῖ μητέρας ἀκούσαντας εἰς τὴν ὕλην εὐθὺς βλέπειν τὴν ἀλλοτρίων ὑποδοχὴν γεννημάτων, ἀλλ' ἐπέκεινα τιθέναι τὰ γεννῶντα τῶν γεννωμένων ἐν ἐκείνοις. τοῦτο μὲν οὖν καὶ παντάπασιν ἐκβλητέον τῆς ψυχῆς, ὡς ἢ τῆς Ἀνάγκης ἢ τῆς μητρὸς τῶν θεῶν ὕλης οὔσης τῆς ἐν ἐσχάτοις ὑπὸ τῶν θεῶν ἀπερριμμένης. Τὸ δὲ δὴ λέγειν τὴν ἐν Τιμαίῳ [p. 47e] λεγομένην Ἀνάγκην ταύτην εἶναι τὴν μητέρα τῶν Μοιρῶν ἐν τοῖς προκειμένοις ὑμνημένην οὐ λίνον λίνῳ συνάπτειν ἐστίν, τὴν νοῦ καταδεεστέραν καὶ ὑπὸ νοῦ πειθομένην τὰ πλεῖστα τῶν γινομένων ἄγειν κατὰ φύσι ν , καὶ τὴν πάντων ἄρχουσαν τῶν ἐγκοσμίων καὶ τῶν ψυχῶν ἐφεστηκυῖαν τοῖς κύκλοις καὶ ταῖς ἑαυτῆς ἐνεργείαις τὴν ἐναρμόνιον τῷ παντὶ ζωὴν ἀΐδιον παρεχομένην καὶ τῶν κινουσῶν ἐντεταγμένων τ .

in R.2.206 . 27 .. [γ]ε[ν]νῶσα[ν] πάν[τα αὐτ]ῷ τῷ εἶναι κατὰ τὴν [ἐν]οειδῆ .. 10 . ῆς. οὐδὲ γὰρ ἐφάπτεται τοῦ ἀτράκτου οὐδὲ δρῶσά τι παραδέ[δοτ]αι περὶ αὐτόν, ἀλλ' ἐκεῖνος ἐν τοῖς γόνασιν αὐτῆς στρεφόμενος καὶ τὴν τάξιν τὴν ἀνέκλειπτον ἔχων δι' αὐτήν. εἰ οὖν αὕτη μὲν ἡ Ἀνάγκη θεῶν ἄρχει, ψυχῶν νοερῶν ἐπιβέβηκεν, ποδηγεῖ τῇ βουλήσει μόνῃ τὸν κόσμον ἐξῃρημένως, ἐπιτροπεύει τοὺς βίους τῶν μερικῶν ψυχῶν (διὰ γὰρ ταύτην ἔπεται ταῖς αἱρέσεσιν ἐξ ἀνάγκης ὁ βίος ἑκάστης), ἐκείνη δὲ τῶν σωμάτων ἐστὶν κινητικὴ καὶ οὐ τῶν αὐτοκινήτων ὑποστάσεων, καὶ τούτων προεστῶσα μόνων ἐφεστῶτος δεῖται τοῦ νοῦ, καὶ τὸ ἀναγκαῖον οὐκ ἔχει διὰ τὴν πάντων περίληψιν οὐδενὸς αὐτὴν ἀποδρᾶναι δυναμένου, διὰ δὲ τὴν ἀπροαίρετον τῶν ὑπ' αὐτῆς ἀγομένων φύσιν, πῶς ἂν προσήκοι τοσούτοις αὐτὰς διεστώσας ἀπ' ἀλλήλων οἴεσθαι τὰς αὐτὰς εἶναι διὰ τὴν ἐπωνυμίαν κοινὴν οὖσαν; ἀλλὰ μήτε τοῦτο ἡμεῖς ὑπολάβωμεν μήθ' ὅτι τὴν ἐν τῷ Πολιτικῷ [p. 272e] κινοῦσαν καθ' ἑαυτὴν τὸν κόσμον Εἱμαρμένην χρὴ ταύτην εἶναι λέγειν τὴν Ἀνάγκην, ἣν ὁ μῦθος οὗτος ἡμῖν ἐξέφηνεν. ἐκείνη μὲν γὰρ θεῶν κατὰ τὴν μυθικὴν ὑπόθεσιν πάντων ἀφέντων τὰς τοῦ παντὸς μερίδας τῆς αὐτῶν ἐπιμελείας ἄνευ ἐκείνων ἀναστρέφειν λέγεται τὸ πᾶν διὰ τὴν σύμφυτον ἐπιθυμίαν, οὐκ οὖσα θεός· δύο γὰρ, φησί, θεὼ κινεῖν ἐναντίας κινήσεις οὐ δυνατόν, ὡς αὐτὸς ἐν ἀρχῇ τοῦ μύθου διώρισεν [p.

in R.2.207 269e]· ὥστ' εἰ τὴν προτέραν ἐκίνει τὸ πᾶν θεός, τὴν ἐναντίαν ἐκείνῃ τὸ κινοῦν [οὐ]κ ἔ[στι θεῖον. θεὸν] δὲ τὴν Ἀνάγκην [καὶ] μεγίστην εἶναι φήσομεν, ἐπεὶ καὶ τὰς Μοίρας τὰς τῆς Ἀνάγκης παῖδας δηλώ[σει ὁ] προφήτης, τὸν νοῦν τῆς Λαχέσ[εως ἐνδιδοὺς] ταῖς ψυχαῖς, νοερός τις ὢν καὶ αὐτός· ὥστε πολλῷ πλέον νοεραὶ αἱ Μοῖραι· νοεραὶ δὲ οὖσαι καὶ ταῖς ὅλαις ἐφεστῶσαι περιφοραῖς θεαί τινές εἰσιν· ὥστε πολλῷ μειζόνως ἡ Ἀνάγκη 〈ἡ〉 γεννησαμένη τὰς Μοίρας θεός. οὐδ' ἄρα τὴν Εἱμαρμένην καὶ τὴν Ἀνάγκην κατ' αὐτὴν τὴν Πλάτωνος κρίσιν συνάγειν εἰς ἓν δυνατόν, μὴ παντάπασιν ἀπᾴδοντα γράφειν τῶν ἐκείνου θέλοντας. Τίνα οὖν ἡμεῖς τὴν θεὸν ταύτην εἶναι φήσομεν; ἢ δῆλον ὅτι τοῖς ῥήμασιν ἑπόμενοι, μητέρα μὲν αὐτὴν τῶν Μοιρῶν ὑμνουμένην ἀκούοντες, ἡγεμόνα δὲ τῆς κοσμικῆς ἁπάσης τάξεως, τῆς ἐν ψυχαῖς, τῆς ἐν φύσεσιν, συνέχουσαν δὲ ἀκλινῶς τὰ πάντα καὶ ὁρίζουσαν, ὅπου τεθὲν ἕκαστον συμπληρώσει τὸν κόσμον ἐν τῷ πρέποντι σχήματι, ταύτην ἐκείνην εἶναι τὴν παρὰ τοῖς θεολόγοις καλουμένην Θέμιν; ἢν τὸ ὑπερβαίνειν ἐγχειροῦν ἀθέμιτον μὲν εἶναι λέγομεν, ὑπερβαίνειν δὲ ὅμως μὴ δύνασθαι. τίνα γὰρ ἄλλην μητέρα Μοιρῶν ἢ ταύτην ἐκείνων ὑμνούντων ἠκούσαμεν; Οἶδα μὲν οὖν, ὅτι καὶ Μοίρας ἄλλας Ὀρφεύ ς , εἰ καὶ τοῖς αὐτοῖς

ὀνόμασι χρώμενος, ἀπ' αὐτῶν προελθεῖν φησιν τῶν πρωτίστων θεῶν, ἐπέκεινα καὶ τῆς Κρόνου βασιλείας καὶ τῶν νοερῶν ὅλως διακόσμων· ἀλλὰ κἀκεῖνος ἄλλην Ἀνάγκην παρήγαγεν πρὸ τῶν Μοιρῶν, στυγερῶπα τε Ἀνάγκην λέγων προελθεῖν ἀπ' ἐκείνων. τὰς δὲ ἐγκοσμί[ους Μοίρας Ἡσίο δ]ος ἀπὸ τῆς Θέμιδος ἔχω .

in R.2.208 . 15 .. γεννωμένας, ἀφ' ὧν [καὶ τὰς Ὥ]ρας ὑφίστησιν. μήποτε οὖν [ὁ Πλά]των πολλαχοῦ τῷ Ἡσιόδῳ χρώμενος, ὡς ἐκ τοῦ Κρατύλου δῆλον, καὶ τῇ Ἡσιόδου θεογονίᾳ κἀνταῦθα βλέπων εἰς ἐκεῖνον τοὔνομα μόνον ὑπαλλάξας τὴν Θέμιν Ἀνάγκην προσείρηκεν, μητέρα τῶν Μοιρῶν εἰπών, ἵνα ἐνδείξηται τὴν ἐπικράτειαν αὐτῆς τὴν ἐν τῷ κόσμῳ πάντων οὖσαν κρατητικήν, ἀναπόδραστον τάξιν καὶ ἀκλινῆ φρουρὰν ἐπιστήσασαν πᾶσιν· ἣν οὐδὲν ἐκβῆναι δυνατόν, οὐ τῶν πρώτων δι' ὑπεροχήν, οὐ τῶν ἐσχάτων δι' ἔλλειψιν, μιᾷ τῶν πάντων κατειλημμένων προνοίᾳ καὶ τεταγμένων τῶν ἀϊδίων καὶ ταττομένων τῶν γενητῶν ἐν τῇ πρεπούσῃ μοίρᾳ καὶ τῆς ὅλης τοῦ κόσμου πολιτείας διὰ ταύτην οὐδέποτε μετακινουμένης οὐδὲ ἐπεισοδιῶδές τι παραδέξασθαι δυναμένης, δι' ἣν ἐν θεσμοῖς ἀλύτοις τὰ πάντα φρουρεῖται. καὶ γὰρ εἴ με δεῖ τοὐμὸν εἰπεῖν, περὶ πολιτείας τὸν σύμπαντα λόγον ποιησάμενος τοῦδε τοῦ μύθου τῆς κοσμικῆς πολιτείας τὸ παράδειγμα διὰ ταύτης ἐξέφηνεν τῆς μονάδος· δι' ἣν καὶ ὁ δημιουργὸς πολιτικός ἐστιν τῇ Θέμιδι συνών, ᾧ μὴ θέμις δρᾶν ἄλλο τι πλὴν τὸ κάλλιστο ν , φησὶν ὁ Τίμαιος [p. 30a]. τὴν μὲν οὖν Ἀνάγκην θεὸν αἰτίαν τῆς ἐν τῷ παντὶ τάξεως εἶναί φαμεν καὶ ζωῶν τῶν τεταγμένων καὶ διὰ τῶν παίδων κινήσεων ἡγεμόνα παντοίων καὶ περιόδων ὡρισμένων κατὰ μίαν νοερὰν δύναμιν, τὴν συμπεραίνουσαν ἅπ[ασ]αν τὴν τοῦ θείου γενητοῦ περίοδον. Τὴν δὲ ἠλακάτην ὅλ[ην ἐξ ἀ]δάμαντος εἶναι καὶ τὸ ἄγκιστρον τί ποτε δηλοῦν ἡμεῖς οἰόμεθα; τὸν μὲν γὰρ ἄτρακτον [ὅ]τι πᾶν εἶναί φησιν τοῦ οὐρανοῦ τὸ τοῖς ὁρῶσιν αὐτὸν κάτωθεν ὑπὸ τῶν ὄψεων ἀφοριζόμενον τμῆμα μετὰ τοῦ ἄξονος, ἵνα καὶ ἀτράκτῳ παραπλήσιον ᾖ, διὰ τῶν ἔμπροσθεν ὑπεμνήσαμεν· καὶ δῆλον ὡς ἐκείνοις ἕπεται τὸ μὲν ἄγκιστρον τοῦ ἀτράκτου τὸν πόλον εἶναι λέγειν, ὅς ἐστιν ἐπὶ τῆς κυρτῆς περιφερείας τοῦ οὐρανίου τμήματος ὡς τὸ ἄγκιστρον ἐπὶ τῆς τοῦ σφονδύλου· τὴν δὲ ἠλακάτην αὐτὸν τὸν ἄξονα τὸν ἐληλαμένον διὰ τῶν σφονδύλων· ἐντεῦθεν γὰρ αὐτὸν καὶ οὕτως ἐκάλεσεν, ἄλλο τι τῆς ἠλακάτης παρὰ τοῖς πολλοῖς σημαινούσης, περὶ ἣν εἱλεῖται τὸ ἔριον.

in R.2.209 ἀλλ' εἰ μὴ μέλλοιμεν καὶ αὐτοὶ γράφειν ὀνόματα μόνα, τὸν πόλον λέγοντες καὶ τὸν ἄξονα, ῥητέον τι τρανὲς περὶ αὐτῶν καὶ θεολογίᾳ προσῆκον. ἐπεὶ καὶ αὐτὸς εἰπὼν ἐξ ἀδάμαντος ἑκάτερον εἶναι καὶ τὴν οὐσίαν αὐτῶν ἀδάμαντα καλέσας ἔοικεν αἰνίξασθαί τι θεῖον· οὐδὲ γὰρ ἄλλην εἰπὼν ὕπαρξιν αὐτὰ κεκτῆσθαι τῶν συμβεβηκότων τι τὸν ἀδάμαντα ἔθετο, ἵνα καὶ ἡμεῖς εἰπόντες τὸ ἄλυτον δηλοῦν καὶ μόνιμον αὐτὸν διὰ τοῦ συνθήματος τούτου τῶν λοιπῶν ἀντιλαβώμεθα σκεμμάτων, ἀλλὰ τὴν οὐσίαν αὐτὴν τοῦ τε ἀγκίστρου καὶ τῆς ἠλακάτης ἀδάμαντα κέκληκεν, καὶ τὸν σφόνδυλον ἐξ ἀδάμαντος μὲν εἶναι καὶ αὐτόν, ἀλλὰ καὶ ἐξ ἄλλων γενῶν. δεῖ τοίνυν καὶ ἐπὶ τούτων ἰδεῖν, τίς ὁ ἀδάμας, μό[νη αὐτῶν] ὕπαρξις ὤν, καὶ ἐπ' ἐκείνου, τίνα [τὰ ἄλλα] γένη καὶ πῶς ὁ ἀδάμας οὐκέτι μό[νος], ἀλλὰ μετ' ἐκείνων συμπληροῖ τὴν [ὑπ]όστασιν. μὴ οὖν λέγωμεν ἁπλῶς σημαίνειν τὸ ἀπαθὲς τὸν ἀδάμαντα καὶ ἀδάμαστον, ἀλλ' ἐκφήνωμεν, τίς ὁ πόλος ὢν καὶ τίς ὁ ἄξων ἀπαθεῖς εἰσιν, ἵνα καὶ γνῶμεν πῶς ἑκάτερος ἀδάμας προσείρηται συμβολικῶς, ὡς τοῖς θείοις μύθοις ἐστὶν ἔθος τὰ ἀπόρρητα κατακρύπτειν· ἐπεὶ καὶ τὸ πόλον καὶ ἄξονα φάναι μαθηματικευομένων ἐστίν, ἀλλ' οὐ θεολογούντων· γελοῖον γὰρ σημείοις ἀψύχοις καὶ γραμμαῖς πιστεῦσαι. Τὸ πᾶν μὲν οὖν ἀσώματον ἑκάτερον εἶναι παντὶ φανερόν· τίνα δὲ ὄντα συνέχει τὴν περιφορὰν θείαν οὖσαν, εἰ μὴ κενολογεῖν ἐθέλοιμεν, δεῖ δήπου λέγειν ἡμᾶς.

in R.2.210 λέγωμεν τοίνυν, ὅτι τοῦ κόσμου τὸν αὐτὸν ἀεὶ τόπον κατέχοντος καὶ ταύτῃ μένοντος, ἔχοντος δὲ καὶ κίνησιν τὴν ἐν ταὐτῷ κατὰ ταὐτὰ καὶ ἐν τάξει περιαγομένην, ἀνάγκη δήπου καὶ τῆς

μονῆς αὐτοῦ καὶ τῆς ἐν ταὐτῷ περιαγωγῆς εἶναι θείας αἰτίας· πᾶν γάρ, ὅπερ ἂν ἔχῃ, παρ' ἄλλων ἔχει, καὶ πρὸ τῶν ἄλλων τὴν σύστασιν αὐτήν. τοῦ μὲν οὖν ὅλως κινεῖσθαι τὸν οὐρανὸν αὐτὴν αἰτίαν εἶναι θετέον τὴν οὐρανίαν ψυχήν· τοῦ δὲ τὸν αὐτὸν ἀεὶ τόπον κατέχειν καὶ ἕνα τὴν σφαῖραν οὐκ ἄλλο τι χρὴ οἴεσθαι αἴτιον εἶναι πλὴν τοῦ κέντρου· τούτου γὰρ μόνου σαλευθέντος εἰς ἄλλον μεταβήσεται τόπον· ἐπεὶ τῶν γε πόλων κινουμένων καθ' ὑπόθεσιν, οἷον ἐξαιρομένων ἀπὸ τοῦ ὁρίζοντος, δυνατὸν ἔτι μένειν ἐν τῷ αὐτῷ τόπῳ τὸ [κέντρον] .. 14 .. μενον ἐν τῷ .. 20 .. [τμη]μάτων ἑκάτερον. [ὁ δὲ πόλος δίδωσι τῷ κατ'] αὐτὸν τμήματι τὴν περὶ τὸ κ[έντ]ρον [περιφο]ράν. τεκμήριον δέ· οἱ γὰρ ἑκατέραν [ὁρί]ζοντες κύκλοι μιμοῦνται ἑκάτερον μέχρι τοῦ μεγίστου, τῶν μετ' ἐκεῖνον ἐφ' ἑκάστους τὴν ἐναντίαν ἰσχόντων, παρ' ὅσον ἀφίστανται, τῆς κινήσεως δύναμιν. ἐπειδὴ δὲ τῶν πόλων, ὡς εἴρηται, τοῖς τμήμασιν διαιρουμένων ὅρος ὁ μέγιστος κύκλος, ἔδει δέ τινα καὶ τῆς κοινῆς πάντων εἶναι τῶν κύκλων περιαγωγῆς ἐνιαίαν αἰτίαν, ταύτην μοι δοκεῖ προσίστασθαι τὴν αἰτίαν ὁ ἄξων, συνάπτων τὰς τῶν κύκλων πάντων κινήσεις καὶ ἐν ταὐτῷ περὶ ἑαυτὸν πάντας περιάγων.

in R.2.211 Εἰ δὴ ταῦτα ὀρθῶς ἡμῖν διώρισται (μεταβατέον γὰρ ἐπὶ τὰ ὄντα λοιπὸν ἀπὸ τῶνδε τῶν ὀνομάτων), νοῖ μέν εἰσι πάντως οἱ τούτοις ὀνομαζόμενοι τοῖς ὀνόμασιν· νοῦ γὰρ ἴδιον, ὡς ἐν Νόμοις [X p. 898a] ἐδιδάχθημεν, ὡς ψυχῆς τὸ κινεῖν ἔργον, τὸ κατὰ ταὐτὰ καὶ περὶ τὰ αὐτὰ καὶ ἐν τῷ αὐτῷ καὶ ὡσαύτως περιάγειν. καὶ ὁ μὲν κεντρικὸς νοῦς ἐν τῷ αὐτῷ στηρίσας ἔχει τὸ πᾶν, δι' ὃν ὁ αὐτός ἐστιν τοῦ κόσμου τόπος· οἱ δὲ πόλοι νόες τινὲς περὶ τὰ αὐτὰ παρέχοντες τοῖς τῆς περιφορᾶς τμήμασιν τὴν κίνησιν καθ' ἕνα λόγον καὶ μίαν τάξιν, οὓς οἱ ὁμόστοιχοι μιμούμενοι, καθ' ὅσον εἰσὶν ἑκατέρῳ γειτνιάζοντες, δυσκινητότεροι τῶν πορρώτερόν εἰσιν· ὁ δὲ ἄξων νοῦς εἷς συνοχεὺς τῶν κύκλων πάντων ἑνώσας τὰς πάντων περιόδους. τὸ μὲν γὰρ ἀκίνητον αὐτῶν πάντων εἰς τὴν νοερὰν ἡμᾶς οὐσίαν ἀναπέμπει, διὰ ψυχὴν οὐκ ἀκινησίας, [ἀλλὰ] κινήσεως τοὐναντίον ὑπαρχούσης [τῷ] κόσμῳ. δηλοῖ δὲ καὶ αὐτό ς , καὶ ἀφελὼν ἐν Φαίδρῳ ψυχὴν τοῦ κόσμου καὶ στήσας αὐτόν, καὶ ἱσταμένῳ καθ' ὑπόθεσιν ἐν Νόμοις [X p. 895a sqq.] ἐπεισαγαγὼν ψυχὴν καὶ κινήσας ὃν ἔστησεν. εἰ δὲ δεῖ τῶν ἀεὶ ἑστώτων, περὶ ἃ καὶ τὰ κινούμενα κινεῖται, τῶν ἀσωμάτων αἰτιᾶσθαί τι, δηλονότι νοῦν αἰτιατέον, ὃς καὶ τὴν ψυχὴν ἐποίησεν μὴ κινεῖσθαι μόνον, ἀλλ' ὡσαύτως κινεῖσθαι. νόες ἄρα τινὲς ἡμῖν ἀνεφάνησαν οὗτοι, λέγω δὲ 〈ὁ〉 ἄξων καὶ ὁ πόλος· καὶ ὅτῳ διαφέροντες ἀλλήλων τε καὶ τοῦ κεντρικοῦ νοῦ, προείπομεν. Τούτους τοίνυν ὁ μῦθος ὅδε μυστικῶς ἡμῖν αἰνισσόμενος ἀδάμαντας αὐτοὺς προσείρηκεν διὰ τὸ ἀεὶ ὡσαύτως ἐνεργεῖν· καὶ γὰρ τὸ ἄλυτον κυριώτατα τῆς νοερᾶς ἦν ἴδιον οὐσίας.

in R.2.212 δηλοῖ δὲ ὁ ἐν Τιμαίῳ δημιουργὸς μηδὲ τὰς θείας ψυχὰς πάμπαν ἀλύτους εἶναι συγχωρῶν· καὶ πῶς γὰρ ἔμελλον ἕξειν τοῦτο, μεταξὺ τῆς ἀμερίστου γεγονυῖαι καὶ τῆς μεριστῆς οὐσίας; ὅπου γὰρ τὸ μεριστόν, ἀνάγκη λύσιν ἐπινοεῖσθαι κατὰ τὸν μερισμόν· αὐτοῖς ἄρα τοῖς νοῖς, οἷς τὸ ἀμέριστον, προσήκει μόνοις τὸ ἄλυτον. εἰ οὖν τὸν ἀδάμαντα σύνθημα τῆς ἀλύτου οἰητέον οὐσίας (οὐ γάρ ἐστιν οὐδὲ πυρὶ λυτός), ταὐτὸν ἂν εἴη νοῦν τε θεολογοῦντας λέγειν καὶ ἀδάμαντα μυθολογοῦντας. ἀλλ' ὁ μὲν πόλος καὶ ὁ ἄξων, νοῦς ἑκάτερος ὢν μόνον, διὰ τὴν μόνιμον καὶ ἀμέριστον ζωὴν οὕτως ἀδάμας ἐστίν· ἐν δὲ τῷ [οὐρανῷ] πάντως μέν ἐστιν καὶ νοῦς (κύκλ[ῳ γὰρ κι]νεῖται, φησὶν ὁ Πλωτῖνος [II 2, 1], ὅτι νοῦν μιμεῖ[ται]), πρὸς δὲ τῷ νῷ καὶ ψυχὴ καὶ σῶμα· διὸ [καὶ] εἰκότως αὐτὸν ἔκ τε ἀδάμαντος εἶναί φησιν καὶ ἐξ ἄλλων γενῶν, τῶν τε ψυχικῶν λέγων καὶ τῶν σωματικῶν. καὶ συμβαίνει πάντα τοῖς τε πράγμασι καὶ ἀλλήλοις, τὰ ἀμερῆ τοῖς ἀμερέσιν, τὰ ἀκίνητα τοῖς ἀκινήτοις, τὰ κινούμενα τοῖς κινουμένοις, τὰ μεμιγμένα τοῖς συμμίκτοις αἰτίοις. Εἰ δὴ ταῦτα διηρθρωμένως νοήσαιμεν, ἔξομεν καὶ τὰ τούτων ἀπορρητότερα νοεῖν, ἐπειδὴ κατὰ τὸν Τίμαιον [p. 37c] ἄγαλμα τῶν ἀϊδίων ἐστὶν θεῶν ὅδε ὁ κόσμος, τελεστὴν μὲν εἶναι τοῦ ἀγάλματος τούτου τὸν δημιουργόν, ὃς ἔπνευσεν εἰς αὐτὸν ζωὴν ἀμήχανον ὅσην καὶ ἐποίησεν ἄγαλμα ἔννουν χρηματίζον διὰ τῆς αὐτοῦ κινήσεως τοῖς

ὁρᾶν δυναμένοις καὶ διὰ τῶν ἐν οὐρανῷ σημείων τὰ ἐσόμενα λέγον· τῷ δὲ τῆς ψυχῆς χαρακτῆρι καὶ ταῖς περιφοραῖς, αἷς ὀνόματα αὐτὸς ἔθηκεν, περιέλαβεν αὐτὸ καὶ συνέδησεν· φυλακτήρια δὲ αὐτῷ περιῆψεν καὶ ἐν μέσοις ἥδρασεν τοῖς κόλποις τοὺς εἰρημένους νόας, οἷον αὐτῶν, εἰ βούλει, τῶν ἰΰγγων συνθήματα τῶν ἀτόμων καὶ ἑνοειδῶν· εἰ δὲ μὴ ἐκείνων ὡς ξενικωτέρων, ἀλλὰ τῶν γε προσεχῶν αὐτοῦ θείων αἰτίων.

in R.2.213 τοῦ μὲν Κρόνου τὸν πόλον εἶναί φασι σύμβολον· διὸ καὶ ἄγκιστρον οἰκείως εἴρηται, τὸν ἀγκυλομήτην ἐκεῖνον ὡς ἀληθῶς μιμούμενον νοῦν· τῆς δὲ ζωογόνου θεᾶς ὁ ἄξων, πρόοδον ἀποτυπούμενος μένουσαν ἀκλι[νῶς, καὶ] αὐτοῦ τοῦ δημιουργοῦ λοιπὸν [εἰκὼν ὁ σ]φόνδυλος, σχῆμα ἔχων τοῦ εἰδοπο[οῦντος τ]ὴν κίνησιν περὶ ἑαυτὸν καὶ τὸν ἄξονα, τοῦ πρὸς ἑαυτὸν ἐπεστραμμένου καὶ πρὸς τὰς αἰτίας ἀφ' ὧν προῆλθεν. καὶ μέχρι τούτων ἡμῖν ὁ περὶ τούτων λόγος ἐχέτω τέλος. Τὴν δὲ τοῦ σφονδύλου φύσιν εἶναι τοιάνδε · τὸ μὲν σχῆμα οἵαπερ ἡ τοῦ ἐνθάδε · μέχρι τοῦ· ἐκείνην δὲ διὰ μέσου τοῦ ὀγδόου διαμπερὲς ἐληλάσθαι [p. 616de]. Τὸν σφόνδυλον ὅτι ἀνάλογον λαμβάνει τῷ τοῦ οὐρανοῦ τμήματι τῷ ἄνωθεν φαινομένῳ τῶν ὁρώντων, φανερὸν καὶ εἴρηται πολλάκις· ἀπεικάζει δὲ αὐτὸν κατὰ τὸ σχῆμα τοῖς τῇδε σφονδύλοις, διότι καὶ οὗτοι τὸ μὲν ἔχουσι κυρτὸν ἔξωθεν τὸ πρὸς τῷ ἀγκίστρῳ, τὸ δὲ ἔνδοθεν ἐπίπεδον· τμήματα γάρ εἰσι καὶ οὗτοι σφαιρικά. πλὴν ὅτι τὸν σφόνδυλον ἐκεῖνον οὐκ εἶναι ναστόν, ἀλλὰ σύνθετον ἐκ πολλῶν ἀλλήλοις ἐγκειμένων, καὶ τῶν μὲν μειζόνων ἐγκολπισαμένων τοὺς ἐλάσσονας καὶ περιεχόντων ταῖς κοίλαις αὐτῶν ἐπιφανείαις, τῶν δὲ ἐλασσόνων ἐνηρμοσμένων ἐκείνοις κατὰ τὰς κυρτάς. ἐκγεγλύφθαι γὰρ τοὺς μείζονας διαμπερές φησιν, χώραν παρέχοντας τοῖς ἐλάσσοσιν· διαμπερὲς δέ, ὡς δι' ὅλων ἑαυτῶν τοῦτο πεπονθότας, ἵνα καθ' ἕκαστον αὐτῶν οἱ διορίζοντες κύκλοι τὰ βάθη τῶν σφονδύλων, ἃ δὴ χείλη προσείρηκεν, αὐτοῖς ὁμόκεντροι ὦσιν· μὴ γὰρ ὄντων ὁμοκέντρων οὐκ ἔχει χώραν τὸ διαμπερές, ἀνομοίων ὄντων καὶ ἀνίσων τῶν βαθῶν ἢ χειλῶν.

in R.2.214 οὕτω δὲ καὶ ἐν Τιμαίῳ πάντας ὁμοκέντρους ἐποίησεν τοὺς τῆς ψυχῆς κύκλους· ἀφ' ὧν λάβοιμεν ἂν ἀμφοτέρων, τῶν τε ἐνταῦθα κἀκεῖ λεγομένων, ὡς ἄρα οὔτε τοὺς ἐκκέντρους προσίεσθαι Πλατωνικόν ἐστιν οὔτε τὰς ἀνελιττούσας· καὶ γὰρ τὸ πλῆθος ὁρίζων τῶν τε κύκλων καὶ τῶν σφονδύλων καὶ ἕνα πασῶν ἄξονα ποιῶν ὡς ⟦ δὲ ⟧ διαμπερὲς ἐκγεγλυμμένων δῆλός ἐστιν ἐκείνων ἀπογιγνώσκων τῶν ὑποθέσεων. Πλὴν θαυμάζειν ἄξιον, πῶς ἐν Τιμαίῳ μὲν περὶ ψυχῆς λέγων κύκλους ἐποίει μόνον ἀβαθεῖς, ἐνταῦθα δὲ περὶ σώματος σφονδύλους τίθεται βάθος ἔχοντας· ἔδει γὰρ συμβολικοῖς ὀνόμασιν χρώμενον ὅπου μὲν χρῆσθαι τοῖς ἀσωματωτέροις, ὅπου δὲ τοῖς σωματικοῖς. καὶ οὕτως ἄμεινον τὴν μεσότητα νοεῖν τῶν ψυχῶν τῆς ἀμεροῦς οὐσίας καὶ μεριστῆς, ἐν κύκλῳ αὐτὰς ποιοῦντας καὶ διὰ τούτων ἐνδεικνυμένους τὸ μέσον τῶν ἀμεγέθων καὶ τῶν πάντῃ διεστώτων μεγεθῶν, ἢ κρίκους τινὰς διαμηχανωμένους στερεοὺς τοὺς ψυχικούς, παντὸς κρίκου τῶν σφαιρικῶν ὄγκων συνθετωτέραν ἰδέαν εἰληχότος καὶ διὰ τοῦτο τῆς ψυχικῆς οὐσίας ἀπᾴδοντος, ἥτις ἦν ἁπλουστέρα τῶν σωμάτων 〈καὶ τῶν〉 σφαιρικῶν ὄγκων. Εἰ δὲ διαμπερὲς ἐληλάσθαι διὰ πάντων φησὶν τὴν ἠλακάτην, συντόμως καὶ τὴν αἰτίαν ἐξέφηνεν, δι' ἣν ἠλακάτην τὸν ἄξονα προσείρηκεν, καὶ ὅτι παρὰ τὸ ἐληλάσθαι. πάντων δὲ τῶν σφονδύλων μίαν ἠλακάτην ἐχόντων, περὶ ἣν κινοῦνται, πάντας ὁμοκέντρους ἀνάγκη φάναι· καὶ τοῦτο δηλοῖ τὸ τὴν ἠλακάτην ἐληλάσθαι διαμπερές, ὅτι δι' ὅλων αὐτῶν εἷς ἐστιν ἄξων πεφοιτηκώς, περὶ ὃν ἡ κίνησις, περιαγομένων τε τῶν ἔνδον ὑπὸ τῶν ἐκτὸς καὶ τὴν ἰδίαν κίνησιν περὶ τὸν αὐτὸν ἄξονα ποιουμένων.

in R.2.215 Εἰ δὲ κύκλους ἄνωθεν τὰ χείλη φαίνουσιν οἱ ὀκτὼ σφόνδυλοι, καὶ διττοὺς ἕκαστος τοὺς ἑκάστου τὸ βάθος ὁρίζοντας καὶ διὰ τοῦτο διττὰ χείλη δεικνύντας, δῆλον δήπουθεν ὅτι οἱ ὁρῶντες αὐτοὺς πάντων ἦσαν κατωτέρω καὶ οὕτως ἄνωθεν ἐκείνων ἑώρων τὰ χείλη κύκλους.

ὥστε ὑπὸ τὴν σελήνην ἦσαν κἀκεῖθεν ταῖς ὄψεσιν ἐποιοῦντο τὰς ἀποτομὰς τῶν ὅλων καὶ τελείων τοῦ οὐρανοῦ σφαιρῶν· εἴτε γὰρ κατωτέρω τοῦ αἰθέρος, οὐκ ἂν μόνας ἀποτομὰς ἑώρων ὀκτώ, ἀλλὰ πλείους (καὶ γὰρ τῶν κατωτέρω τοῦ οὐρανοῦ σφαιρῶν)· εἴτε ὑπὲρ σελήνην, ἐλάσσους ἂν ἑώρων ⟦ ΛΖ ⟧ τῶν ὀκτὼ ἀποτομῶν. ὥστε ἀνάγκη ἐπ' ἄκρας αὐτοὺς ὄντας ὁρᾶν τῆς αἰθερίας ἀψῖδος μόνας τὰς πασῶν τῶν τοῦ οὐρανοῦ σφαιρῶν ἀποτομάς. Καὶ μὴν καὶ τὸ ἕκαστον σφόνδυλον ἐκγεγλυμμένον εἶναι δηλοῖ τὸ μὴ ναστὸν ἕκαστον ὑπάρχειν, ὥσπερ τῶν ἄστρων ἕκαστον καὶ αὐτὸν τὸν ἥλιον, ἀλλ' οἷον ἀψῖδα σφαίρας ὑπάρχειν. καίτοι γε τοῦτο ἀτελέστερον εἶναι δοκεῖ· πῶς οὖν, ὃ ταῖς ὅλαις σφαίραις οὐχ ὑπάρχει, τοῦτο τοῖς ἄστροις ὑπῆρξε παρὰ τοῦ πατρός; μήποτε οὖν δεῖ λέγειν, ὅτι τοῦ κόσμου παντὸς καὶ σφαιροειδοῦς ὄντος 〈ὡσ〉 μηδενὶ ἐλλείπειν καὶ πάντα περιέχοντος ὡς ἑαυτοῦ πληρώματα, τοῖς ἐν αὐτῷ μεμερισμένως ὑπάρχειν ταῦτα· τοῖς μὲν τὸ μηδενὶ ἐλλείπειν εἰς τὸ σφαίρας εἶναι καθάπερ τοῖς ἄστροις, τοῖς δὲ τὸ περιέχειν τὰ ἄλλα καθάπερ ταῖς ὅλαις σφαίραις. καὶ γάρ ἐστιν τῆς κατὰ τὸ σχῆμα τελειότητος ἡ κατὰ τὴν περιοχὴν τῶν ἐντὸς θεοπρεπεστέρα· δύναμιν γὰρ ἐμφαίνει κρατητικὴν τῶν λοιπῶν πάντων· διὸ ταύτην μὲν τὴν τελειότητα ταῖς ὅλαις σφαίραις ἀποδέδωκεν ὁ γεννήσας αὐτὰς πατήρ, ἐκείνην δὲ τοῖς ἐν αὐταῖς περιεχομένοις ἄστροις καὶ ὑπ' αὐτῶν κινουμένοις.

in R.2.216 Τούτοις δὲ ἑπομένως εἴρηται καὶ τὸ τοῖς κάδοις ἐοικέναι τοῖς εἰς ἀλλήλους ἐντεθεῖσιν τοῖς ἐλάττοσιν εἰς τοὺς μείζονας· τοιαύτη γάρ ἐστιν καὶ ἡ τῶν σφονδύλων ἔνθεσις καὶ τὸ νῶτον αὐτὴν ἓν συνεχὲς ποιεῖν. μηδενὸς γὰρ ὄντος κενοῦ μεταξὺ τῶν ἐνηρμοσμένων σφονδύλων ἀλλήλοις ἕν που γίνεται συνεχὲς νῶτον ἀπὸ τῆς κυρτῆς τῆς ἐνδοτάτω πάντων ἐπιφανείας ἕως τοῦ ἐξωτάτω κειμένου πάντων· τοῦτο γὰρ ὅλον τὸ βάθος νῶτον ἐκάλεσεν καὶ οὐχὶ τὴν ἐκτὸς μόνην ἐπιφάνειαν τοῦ μεγίστου τῶν σφονδύλων· οὐδὲ γὰρ ἡ ἐνάρμοσις τῶν σφονδύλων ἐκείνην ἐποίησεν μίαν, ἀλλ' ἡ συνέχεια τῆς ἐναρμόσεως διὰ τὸ μὴ παρεμπίπτειν κενὸν συνεχὲς ποιεῖ τὸ ἐκ πάντων νώτων ἐννοούμενον νῶτον ἀπὸ κυρτῆς εἰς κυρτὴν διῆκον, ἀπὸ τῆς ἐσχάτης ἐπὶ τὴν πρωτίστην. Εἰ δὲ καὶ τοῦτο ζητοίημεν, τί δήποτε τοσοῦτοι τὸ πλῆθός εἰσιν οἱ σφόνδυλοι, λέγω δὲ ὀκτὼ τὸν ἀριθμόν, ἵνα μὴ μόνον τοῦ σχήματος αὐτῶν τὴν αἰτίαν γιγνώσκωμεν, ἀλλὰ καὶ τοῦ πλ[ήθους], διαιρετέον ⟦ εἶναι ⟧ πρῶτον αὐτοὺς ἀπ' ἀλλήλων, ᾗ καὶ διῄρηνται, καὶ ῥητέον, ὡς ἑνὸς καὶ [ἑπτὰ] τούτων ὄντων ἀναφέρεται μὲν καὶ ἐπὶ τὴν ψυχὴν ἡ τοῦ πλήθους αἰτία. καὶ γὰρ μία ἦν ἐκείνη καὶ ἑβδομαδική· μία μὲν κατὰ τὸ φύραμα τῆς οὐσίας καὶ τῆς ταυτότητος καὶ τῆς ἑτερότητος, ἐξ ὧν ἐφυράθη καὶ ἓν ὅλον ὑπέστη παρὰ τοῦ πατρός, ἑβδομαδικὴ δὲ κατὰ τὰς ἑπτὰ μοίρας, εἰς ἃς αὐτὴν διεῖλεν. τῆς μὲν οὖν ὁλότητος αὐτῆς εἰκὼν ὁ εἷς σφόνδυλος, περιέχων τε πάντας καὶ περιάγων· τῶν δὲ ἐκεῖ μοιρῶν ἑπτὰ οὐσῶν οἱ ἑπτὰ σφόνδυλοι φέρουσιν εἰκόνας.

in R.2.217 ὥστε πάσης οὕτως ὁμοῦ τῆς ψυχῆς οἷον ἄγαλμά ἐστιν ἐμφανὲς ὁ σύμπας σφόνδυλος· καὶ ἔστιν ὁ τοιόσδε τῆς ἀποδόσεως τρόπος Πλατωνικός, τοῖς ἐν Τιμαίῳ λόγοις ἑπόμενος καὶ ταῖς τῶν κύκλων ἐκείνων καὶ τῶν μοιρῶν διαιρέσεσιν. οὐ μὴν ἀλλ' ἔμοιγε καὶ οἱ θεολογικώτεροι τῶν λόγων προσᾴδουσιν, λέγοντες τὸν δημιουργὸν καὶ πατέρα τοῦ οὐρανοῦ, μοναδικόν τε ὄντα καὶ ἑβδομαδικόν (μοναδικὸν μέν, ὡς πάσης ἑνιαίως ἡγεμόνα τῆς δημιουργικῆς σειρᾶς, ἑβδομαδικὸν δέ, ὡς τὴν νοερὰν ὅλην συμπληροῦντα καὶ χαίροντα μετὰ τῶν ἄλλων τῷδε τῷ ἀριθμῷ προσήκοντι ταῖς νοεραῖς προόδοις) ἀμφοτέρων εἰκόνας ἐνθεῖναι τῷ οὐρανῷ, τῆς τε μονάδος καὶ τῆς ἑβδομάδος, τῆς μὲν τὸν ἕνα κύκλον, τῆς δὲ τοὺς ἑπτά, τὸν μὲν μιμούμενον τὸ ἑνιαῖον αὐτοῦ κράτος, τὸν δὲ τὴν ἑπταπλασιαζομένην ὑφ' ἑαυτῆς πρόοδον. ταῦτα δὲ ὅπως [ἔχει τῆς ἀ]ληθείας ἴσασιν οἱ τῆς θεοπαραδότου μετασχόντες μυσταγωγίας· οὗς ἀρκεῖ καὶ ταῦτα ἀναμνῆσαι τῶν νοερωτέρων ἐπιβολῶν περὶ τῆς εἰς τὰς ὀκτὼ σφαίρας τοῦ παντὸς οὐρανοῦ διαιρέσεως. Τὸν μὲν οὖν πρῶτόν τε καὶ ἐξωτάτω σφόνδυλον πλατύτατον τὸν τοῦ χείλους

κύκλον ἔχειν · ἕως τοῦ· ὄγδοον δὲ τὸν τοῦ δευτέρου [p. 616e]. Τίς μὲν 〈ἡ〉 εἰς ἀλλήλους τῶν σφονδύλων ἔνθεσις, εἴρηται διὰ τῶν ἔμπροσθεν· ἐν δὲ τούτοις ὅτι μὲν τὰ βάθη βούλεται τῶν σφαιρῶν ἐπεκδιηγήσασθαι, δῆλον· τὸ γὰρ πλατύτατον εἶναί τινα τοῦ χείλους κύκλον καὶ ἕτερον ἧττον πλατὺν καὶ ἄλλον τούτων ἔτι ἧττον οὐδὲν ἄλλο παρίστησιν ἢ πῶς ἔχουσιν βάθους οἱ σφόνδυλοι· πλάτος γὰρ αὐτῶν καλεῖ τὸ βάθος ὡς ἐν ἐπίπεδον νοῶν διὰ τὰς ἀποτομὰς ὁριζόμενον δυσὶ κύκλοις, τῷ τε ἐκτὸς ἑκάστου σφονδύλου καὶ τῷ ἐντός, καὶ ὅλον τὸ μέσον ἀμφοῖν κύκλον τοῦ πλάτους ὀνομάζων.

in R.2.218 διττὴ δ' ἐστὶν ἡ γραφὴ τῆς ταῦτα τὰ βάθη διοριζούσης λέξεως. καὶ ἡ μὲν προτέρα καὶ ἀρχαιοτέρα τοῖς μεγέθεσιν ἀκολουθεῖ τῶν καθ' ἑκάστην σφαῖραν ἀστέρων, τῆς μὲν μείζονα περιεχούσης μεῖζον τὸ βάθος λέγουσα, τῆς δὲ ἐλάσσονα ἔλασσον. οἷον μετὰ τὸν ἐξωτάτω σφόνδυλον, ὅς ἐστιν ὁ τῆς ἀπλανοῦς, περιέχων τοσοῦτον πλῆθος ἄστρων κατεσπαρμένον κατὰ πᾶν αὐτοῦ τὸ βάθος, ὧν ἕκαστον ἀποδείκνυσιν ὁ λόγος μείζονα τῆς γῆς, ὡς οὐ φαινόμενον ἀπὸ τῆς γῆς οἷον σημεῖον, ἀλλ' ἐν ταῖς ἀνατολαῖς καὶ δύσεσιν κατὰ μέρη δύεσθαι καὶ ἀνατέλλειν ὁρώμενον, τῆς γῆς πρὸς ἐκεῖνον τὸν κύκλον σημείου καὶ κέντρου λόγον ἐχούσης, ὡς δηλοῖ [τὸ] πανταχόθεν τὸ ἥμισυ τοῦ ζωδιακοῦ θεωρεῖσθαι ὑπὲρ γῆς ὄν—μετὰ τοῦτον δ' οὖν τὸν ἀπλανῆ κύκλον πλατύτατον ὄντα διά τε τὰ μεγέθη καὶ τὰ πλήθη τῶν ἄστρων οὐδὲ ἐπὶ μιᾶς ἐπιφανείας ὄντων, ὡς ἔστιν δῆλον καὶ τοῦτο καὶ ἐκ τῶν διπλῶν φαινομένων ἀστέρων, τὸν τοῦ ἡλιακοῦ σφονδύλου τῶν λοιπῶν ἕβδομον ὄντα τῷ πλάτει διαφέρειν, ἐπειδὴ καὶ ὁ ἥλιος τῶν πλανωμένων φαίνεται μείζων· ἔπειτα 〈τὸν〉 τοῦ σεληνιακοῦ (καὶ γὰρ αὕτη πρὸς αἴσθησιν τῶν πέντε μείζων· καίτοι τόν γε τῆς Ἀφροδίτης τινὲς μείζονά φασιν εἶναι τῆς γῆς, ὡς ἱστόρησεν ὁ Κάρπος) , καὶ ἐπὶ τούτῳ τὸν τῆς Ἀφροδίτης (μείζων γὰρ καὶ αὕτη τῶν λοιπῶν φαίνεται), καὶ ἐπὶ τούτῳ τὸν τοῦ Ἀρεϊκοῦ (καὶ γὰρ τὸν Ἄρεά φασιν ἐν τοῖς περιγείοις ὄντα μείζονα τοῦ Διὸς ὁρᾶσθαι), καὶ ἐπὶ τούτῳ τὸν τοῦ Διΐου σφονδύλου καὶ ἑξῆς τὸν τοῦ Κρονίου, καὶ τελευταῖον εἶναι τὸν τοῦ Ἑρμαϊκοῦ· καὶ ἁπλῶς κατὰ τὰ μεγέθη τῶν ἀστέρων καὶ τὸν σφόνδυλον ἔχειν τὸ πλάτος. Ἡ δὲ δευτέρα καὶ νεωτέρα, κρατοῦσα δὲ ἐν τοῖς κεκωλισμένοις ἀντιγράφοις, μετὰ τὸν ἐξωτάτω σφόνδυλον (κοινὸν γὰρ ἀμφοτέραις τοῦτο διὰ τὴν προειρημένην αἰτίαν, τὴν ὑπεροχὴν τούτου πάντως ἔχοντος πρὸς πάντας τοὺς ἐντός) εἶναι δεύτερον κατὰ τὸ πλάτος τὸν τοῦ ἕκτου· τοῦτον δὲ εἶναι τὸν τῆς Ἀφροδίτης· καὶ τρίτον τὸν τοῦ τετάρτου, τοῦτον δὲ εἶναι τὸν τοῦ Ἄρεως· καὶ τέταρτον τὸν τοῦ ὀγδόου, τὸν δὲ τῆς σελήνης εἶναι τοῦτον· καὶ πέμπτον τὸν τοῦ ἑβδόμου, τοῦτον δὲ αὖ εἶναι τὸν ἡλιακόν· καὶ ἕκτον τὸν τοῦ πέμπτου, τοῦτον δὲ εἶναι τὸν τοῦ Ἑρμοῦ· καὶ ἕβδομον τὸν τοῦ τρίτου, τοῦτον δὲ εἶναι τὸν τοῦ Διός· καὶ ὄγδοον τὸν τοῦ δευτέρου, δηλαδὴ τὸν τοῦ Κρόνου, λοιπὸς γὰρ οὗτος.

in R.2.219 καὶ ἴσως οἱ οὕτως λέγοντες ἔβλεψαν εἰς τὰ ἀπόγεια καὶ περίγεια κινήματα τῶν ἀστέρων, καὶ ἐφ' ὧν πλείονα τὴν διαφορὰν εὗρον, ἐπὶ τούτων τὸ βάθος ἔθεντο πλεῖον τῶν σφαιρῶν· τὸ γὰρ μᾶλλον ἀπόγειον ἐλάσσονα κινεῖται, ὥστε τὸ ἔχον πλείω διαφορὰν τῶν ἀπογείων κινημάτων πρὸς τὰ περίγεια μᾶλλον γίνεται ἀπόγειον· τούτῳ δὲ ἕπεται τὸ βάθος εἶναι πλέον τῆς σφαίρας, ἐν ᾗ τὸ ἑκάστου τῶν ἀστέρων ἐστὶν ἀπόγειον καὶ περίγειον· ὥστ' ἔχομεν ἀμφοτέρων τῶν ἐπιβολῶν τὰς ἀφορμάς. —Εἴτε δὲ τὴν προτέραν εἴτε τὴν δευτέραν ἐγκρίνοι τις γραφήν, οὐ πάνυ συνᾴδουσιν ταῖς τῶν μετὰ ταῦτα τηρήσεσιν· μᾶλλον δὲ ὅμως ἡ μὲν δευτέρα συμβαίνει πῃ τοῖς τὰς ἀνελιττούσας εἰσαγαγοῦσιν, ἡ δὲ προτέρα τὸ αὐτοφυὲς ἔχει, τοῖς μεγέθεσιν ἀποδιδοῦσα τῶν ἐνδεδεμένων ἐν ταῖς σφαίραις ἀστέρων τὰς ἐν τοῖς βάθεσι διαφοράς, πλὴν ὅτι τῆς σελήνης ἡ Ἀφροδίτη μείζων, εἰ καὶ τὸ φαινόμενον ἀπ' ἐναντίας ἔχει· παντελῶς τῶν κατ' ἐκεῖνον τὸν χρόνον ἀστρονόμων τοῖς φαινομένοις ἀκολουθησάντων ὡς τὸ εἰκὸς καὶ ταύτῃ καὶ τὰ βάθη διαστησάντων ἀπ' ἀλλήλων. ἔοικεν δ' οὖν ὁ Πλάτων ἀκολουθῆσαι τοῖς καθ' ἑαυτὸν ἀστρονόμοις· ᾧ καὶ δῆλον ὅτι οὐ πάντα ὁ τοῦ μύθου διήγγειλεν ὡς ἰδὼν αὐτὸς τούτου πατήρ,

ἀλλὰ καὶ αὐτὸς προσέθηκεν, ὅσα τοῖς κατ’ αὐτὸν εὐδοκιμωτάτοις ἤρεσεν· ὥσπερ δὴ καὶ τὸ τὸν ἥλιον ἕβδομον ἀπὸ τῆς ἀπλανοῦς εἶναι καὶ προσεχῶς ὑπὲρ σελήνην· οὐ γὰρ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν Τιμαίῳ [p.

in R.2.220 39b] τοῦτο φαίνεται λέγων. καίτοι γε οἶδα καὶ αὐτὸς ὅτι καὶ τοῖς μέσον τῶν ἑπτὰ τὸν ἥλιον εἰποῦσιν ἀστρονόμοις οὐ πάνυ δι’ ἀναγκαίων τοῦτο δέδεικται λημμάτων· ὅπως δὲ ὅλως ἐπεχείρησαν, εἴπομεν ἐν τοῖς εἰς Τίμαιον [p. 257f sqq.] ἱκανῶς· ἀλλὰ τῶν παρὰ Χαλδαίοις θεουργῶν ἀκούσας, ὡς ἄρα ὁ θεὸς ἐμεσεμβόλησεν τὸν ἥλιον ἐν τοῖς ἑπτὰ καὶ ἀνεκρέμασεν ἀ π ’ αὐτοῦ τὰς ἔξ ἄλλας ζώνα ς , καὶ τῶν θεῶν αὐτῶν, ὅτι τὸ ἡλιακὸν πῦρ κραδίης τόπῳ ἐστήριξε ν , καὶ δεδοικὼς μή πῃ κατὰ τὸν Ἴβυκον παρὰ θεοῖς ἀμπλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψωμαι, τοῦτο δὴ τὸ καὶ ὑπὸ τοῦ Σωκράτους [Phaedr. 242d] ῥηθέν, ἕπομαι μὲν τοῖς ἐκ τῶν θεῶν πεφασμένοις, λέγω δὲ ὅτι τῇ καθ’ ἑαυτὸν ἀστρονομίᾳ περὶ τούτων ὁ Πλάτων συμφέρεται· καὶ γὰρ Ἀριστοτέλης τοῦτον οἴεται τὸν τρόπον, ἑπόμενος τοῖς περὶ Κάλλιππον ἀστρονόμοις. Εἰ δὲ δὴ κρατοίη τὸν μὲν ἥλιον ἐν τῷ μέσῳ τάττειν τῶν ἑπτά, καθάπερ οἱ θεουργικοὶ λόγοι καὶ θεοί φασιν, τὸν δὲ Ἑρμῆν ὑπὲρ σελήνην, σκόπει τὴν τάξιν, ὅπως ἐστὶ προσήκουσα τοῖς τῆς γενέσεως ὅλης προστάταις. ὁ μὲν γὰρ ὡς καὶ τῶν ὁρατῶν πάντων βασιλεὺς καὶ τὰς δημιουργικὰς δυνάμεις διὰ τῶν τοῦ φωτὸς ἀκτίνων ἀπομιμούμενος ὑπὸ πάντων δορυφορεῖται τῶν κοσμοκρατόρων, γενν[ῶν τε καὶ] ζωῆς πληρῶν 〈καὶ〉 ἀνανεάζων τὰς γενέσεις· ἀνωτέρω δὲ αὖ τρεῖς ἀρρενωποὶ δραστηρίους ποιήσεις ἐπιδεικνύμενοι κατὰ πάντα τὸν τῆς γενέσεως κύκλον, ὁ μὲν συγκρίνων ὁ μέγιστος Κρόνος, ὁ δὲ διακρίνων ὁ μέγιστος Ἄρης, ὁ δὲ συγκεραννὺς τὰς ἀμφοτέρων δυνάμεις καὶ κινήσεις· διὸ καὶ σύμμετρος ἡ τοῦ Διὸς ποίησις τοῖς θνητοῖς, αἱ δὲ τῶν ἄκρων ὑπερβολαὶ δι’ αὐτὴν τὴν μονοειδῆ ποίησιν ἀσύμμετροι τοῖς συνθέτοις εἰσίν, ἁπάσης μὲν τῆς γενέσεως διὰ συγκρίσεών τινων καὶ διακρίσεων ἐπιτελουμένης, τῶν δὲ συνθέτων ἀμφοτέρων τούτων μεμετρημένως δεομένων.

in R.2.221 κατωτέρω δὲ ἄλλοι τρεῖς, ὧν οἱ ἄκροι θήλεις, μέσος δὲ ὁ Ἑρμῆς κοινὸς ὢν αὐτῶν, διότι δὴ τὸ γόνιμον μιμοῦνται τῶν αἰτίων τοῦ κόσμου καὶ παντοίων αὐξητικὸν ⟦ ἢ ⟧ προόδων. ἀλλ’ ἡ μὲν ἐνίζουσα διὰ τῆς ἐναρμονίου τῶν ἐναντίων κράσεως· ἡ δὲ πληθύουσα διὰ τὰς παντοίας κινήσεις καὶ τὴν ποικιλίαν τῶν σχηματισμῶν καὶ τῶν ἀναβατικῶν δρόμων· ὁ δὲ δὴ μέσος ἀμφοῖν συνάγων τὰς ἀμφοτέρων δυνάμεις, ὅσαι τε τὴν φύσιν πρυτανεύουσιν, ὡς αἱ τῆς σελήνης, καὶ ὅσαι περὶ τὸ ὄντως καλὸν ἀνεγείρουσιν, ὡς αἱ τῆς Ἀφροδίτης. ἡ μὲν γὰρ εἰδοποιεῖ τὰ ἔργα τῆς φύσεως, ἡ δὲ πληροῖ κάλλους καὶ ἀνακινεῖ πρὸς τὸ γεννᾶν· Μοῖρα γά ρ , φησὶν ὁ Σωκράτης [symp. p. 206d], καὶ Εἰλείθυια ἡ καλλονή ἐστιν ἐν τῇ γενέσε ι . διὰ δὲ τῶν Ἑρμαϊκῶν λόγων κοινοῦνται μὲν αἱ τῆς φύσεως ποιήσεις, κρατεῖ δὲ τὰ καλλοποιὰ δῶρα τῆς Ἀφροδίτης τῶν ὑλικῶν· διὸ καὶ ἄρρην οὗτος, ἐπιρρωννὺς τὰς ἑκατέρας δόσεις καὶ δυναμῶν. Ἀλλὰ περὶ τούτων ἄλις· ἐκεῖνο δὲ προσθέντες ἐπὶ τὰ ἑπόμενα χωρῶμεν, ὅτι τῶν μὲν προειρημένων γραφῶν ἡ προτέρα, καθάπερ εἴπομεν, εἰς τὰ μεγέθη τῶν περιεχομένων ἐν τοῖς πλάτεσιν ἀστέρων βλέπει καὶ οὐδὲ τὰ τούτων μεγέθη διώρισεν ὡς τοῖς ὕστερον ἔδοξεν· ἡ δὲ τῶν μετὰ ταῦτα τήρησις τοῖς ἀπογείοις αὐτῶν ἐχρήσατο καὶ περιγείοις εἰς δήλωσιν τοῦ πλάτους τῶν σφονδύλων, οὐδὲ τοῖς ὕστερον τῆς τούτων καταλήψεως ἱκανῶς πιεσθείσης.

in R.2.222 ἔστω μὲν γὰρ οἷων ἡ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου Ξ , τοιούτων ἡ ἐκ κέντρου τοῦ ἐπικύκλου· ἐπὶ μὲν Κρόνου ς καὶΛ · ἐπὶ δὲ Διὸς ΙΑ καὶΛ · ἐπὶ δὲ Ἄρεως ΛΘ καὶΛ · ἐπὶ δὲ ἡλίου Β καὶΛ · ἐπὶ δέ γε Ἀφροδίτης ΜΓ καὶΙ · ἐπὶ δὲ Ἑρμοῦ ΚΒ καὶΛ · ἐπὶ δὲ σελήνης ς καὶ Κ . ἀλλὰ τῶν ἐκκέντρων διαφόρων ὄντων (ἄλλος γὰρ καθ’ ἕκαστον) καὶ δηλονότι μειζόνων τῶν ὑψηλοτέρων καὶ αἱ ἐκ κέντρου καθ’ ἕκαστόν εἰσιν ἄδηλοι τῶν τε ἐκκέντρων καὶ τῶν ἐπικύκλων· ὅπου καὶ τούτων δοθέντων οὔπω δῆλον ἑκάστης σφαίρας ἐστὶ τὸ βάθος ὅσον, διὰ τὸ μὴ πάντως ἀκολουθεῖν τοῖς μεγέθεσιν τῶν ἐπικύκλων τὰ βάθη τῶν σφαιρῶν ἐν αἷς εἰσιν, εἴπερ μηδὲ τοῖς μεγέθεσιν τῶν

ἀστέρων ἢ τῶν ἐπικύκλων ἢ τῶν σφαιρῶν ἀναγκαῖον τὸ βάθος ἔπεσθαι· δυνατοῦ ὄντος καὶ μείζονα ἐπίκυκλον ἐν ἐλάσσονι βάθει κινεῖσθαι καὶ ἀνάπαλιν καὶ ἀστέρας ὡσαύτως. Ἀλλ' ἐπὶ τὰ ἑπόμενα χωρῶμεν, τοσοῦτον εἰπόντες, ὅτι οὐδὲ κωλύεται ταῖς τότε τηρήσεσιν ἑπόμεν[ον τῶν περιγείων] καὶ ἀπογείων τοιαύτας [ἀφορίζειν τὰς κα]τὰ τὸ βάθος τῶν ἑπτὰ σφα[ιρῶν διαφο]ρότητας. Καὶ τὸν μὲν τοῦ [μεγίστ ο]υ ποικίλο ν , τὸν δὲ τοῦ ἑβδόμου λαμπρότατον · ἕως τοῦ· δεύτερον δὲ λευκότητι τὸν ἕκτον [p. 616e—617a]. Μετὰ τὸν περὶ τοῦ πλάτους τῶν σφονδύλων λόγον περὶ τῶν χρωμάτων διαλέγεται τῶν ἐν αὐτοῖς περιεχομένων, λέγω δὴ τοῖς πλάτεσιν, ἀστέρων· καὶ φησὶ ποικίλον μὲν εἶναι τὸν τοῦ μεγίστου διὰ τὴν τῶν ἀπλανῶν ἀστέρων ἐν ἐκείνῳ τῷ κύκλῳ ποικιλίαν· τὸν δὲ τοῦ ἑβδόμου σφονδύλου λαμπρότατον, τοιοῦτος γὰρ ὁ ἥλιος· τὸν δὲ τοῦ ὀγδόου παρὰ τοῦ ἑβδόμου φωτίζεσθαι, τὴν σελήνην δηλαδὴ λέγων· ἔχει γὰρ αὕτη τὸ λάμπον ἀεὶ πρὸς ἥλιον, καὶ ἔστιν ἀμφοτέροις οἰκεῖον τὸ λαμπρόν, ἀλλὰ τῷ μὲν κατ' οὐσίαν, τῇ δὲ κατὰ μετουσίαν.

in R.2.223 τὸν δὲ τοῦ δευτέρου, τὸν Κρόνον ἐνδεικνύμενος, καὶ τὸν τοῦ πέμπτου ξανθόν πως ἔχειν τὸ χρῶμα· καὶ οὐδὲ ἁπλῶς ξανθόν, ἀλλ' ἐκείνων τῶν λαμπρῶν ξανθότερον, ὅτι τὸ λαμπρὸν τῷ ἐρυθρῷ καὶ λευκῷ κιρνάμενον γέγονεν ξανθόν, ὡς ὁ Τίμαιος [p. 68b] διώρισεν, ὥστε μίξει λευκοῦ καὶ ἐρυθροῦ πρὸς τὸ ξανθότερον ἀνεῖται τὰ τούτων χρώματα. τὸν δὲ τοῦ τρίτου καὶ τοῦ ἕκτου κοινὸν ἔχειν τὸ λευκόν, εἰ καὶ ἧττον εἶναι λευκόν φησιν τὸν ἕκτον· ὑπερέρυθρον δὲ τὸν τέταρτον, οἷον δὴ καὶ ὁρῶμεν ὄντα τὸν τοῦ Ἄρεως. οὐκοῦν κατὰ δυάδας μὲν τῶν ἄλλων ἡ ἀπαρίθμησις, ἡλίου καὶ σελήνης ὡς λαμπρῶν, Κρόνου δὲ καὶ Ἑρμοῦ δευτέρων ὡς ξανθοτέρων, Δι[ὸς δὲ καὶ Ἀφρο]δίτης ὡς λευκῶν [τρίτων·] .. 16 .. ὑπερέρυθρον χρῶμα .. 16 .. πρέπει γὰρ τῷ μὲν [ὡς] χαί[ροντι] διακρίσεσιν καὶ τῇ ἑτερότητ[ι τὸ] ..... ὸν καὶ τὸ χωρὶς ἄλλων ἔχειν τὴν ἰδιότητα τῆς χρόας καὶ τὸ εἶδος μέντοι πολὺ τὸ πυρῶδες ἔχον καὶ πρὸς τὸ ὀξὺ καὶ διαιρετικὸν ἐπιτήδειον· τοῖς δὲ ἁρμομονίας καὶ συγκράσεως αἰτίοις τὸ λευκόν, ἀποκρύπτον τὸ σκοτῶδες πᾶν μετὰ τῆς πρὸς τὴν ὄψιν συμμετρίας ἁπλήκτως προσβάλλον, ὡς ὅταν γε λάμπῃ διαφερόντως, ἀνύποιστον γίνεται πρὸς αὐτήν· τοῖς δὲ συγκρίνειν καὶ συνάγειν ἐφιεμένοις τὸ ξανθόν, συναγωγὸν ὂν καὶ τοῦτο πλειόνων ἰδεῶν εἰς μίαν καὶ πασῶν τῶν ἄλλων, λαμπρότητος λευκότητος ἐρυθρότητος· τοῖς δὲ πάντων ἡγεμόσιν τὸ λαμπρόν, ἄλλο εἶδος ὂν πυρὸς καὶ ἀρκοῦν ἑαυτῷ μόνον εἰς τὸ ὁρᾶσθαι· τὰ μὲν γὰρ ἄλλα χρώματα φαίνεται διὰ τὸ λαμπρόν, τοῦτο δὲ ὁρατόν ἐστι δι' ἑαυτὸ μόνον· προσῆκον οὖν χρῶμα τοῖς τῶν ὁρατῶν αἰτίοις καὶ οἷον πατράσιν ἦν τὸ τοιόνδε χρῶμα, μόνον αὔταρκες ὑπάρχον, μόνον εἰκόνα φέρον τοῦ νοητοῦ φωτός.

in R.2.224 Ὅτι δὲ τεσσάρων ὄντων τῶν ἁπλῶν χρωμάτων, λευκοῦ μέλανος ἐρυθροῦ λαμπροῦ, τὸ μέλαν μόνον οὐκ ἔσχεν χώραν ἐν ἐκείνοις ἐμπυρίοις οὖσιν, αὐτὸ διὰ τὴν πρὸς τὸ γήϊνον τοῦ πυρὸς μῖξιν ὑφιστάμενον, εὔδηλον· ἀλλ' ἀντὶ τοῦ μέλανος τὸ ξανθὸν συγγενὲς ὂν τοῖς τρισὶν ἀποδέδωκεν ἐκείνοις ἡ φύσις τοῖς συναγωγοῖς, πρέπον Κρόνῳ μὲν διὰ τὴν σύγκρισιν, ἧς ἐστιν αἴτιος, ὡς καὶ τὴν .... εἰς αὐτὸν ἀναπέμπεσθαι τῶν συγκρίσεων ἐσχάτην οὖσαν ταύτην, Ἑρμῇ δὲ ὡς τὰ ἄκρα πανταχοῦ συνδεῖν ἐθέλοντι διὰ τὴν ἰδιότητα τὴν διαπορθμευτικὴν εἰς τὸ κοινωνικὸν λόγοις δή τισιν καὶ συμβολαίοις, 〈ὃ〉 τελευταῖόν ἐστιν εἶδος ἐνεργείας. Οὕτω μὲν οὖν τὰ τέσσαρα ταῦτα χρώματα διῄρηται ἀπ' ἀλλήλων· ἔχουσιν δὲ καὶ οἱ κατ' αὐτὰ συνεζευγμένοι τὴν προσήκουσαν σύζευξιν, ὡς εἴπομεν, ὁ ἥλιος μὲν καὶ ἡ σελήνη τὴν πατρὸς καὶ μητρὸς ἔχοντες πρὸς ἀλλήλους σύνταξιν, Ζεὺς δὲ καὶ Ἀφροδίτη τὴν τῶν τελεσιουργῶν αἰτίων ὧν ἐκεῖνοι γεννῶσιν καὶ ζωοποιῶν, Κρόνος δὲ καὶ Ἑρμῆς τὴν τῶν τὰς γνώσεις προξενούντων· ὁ μὲν γὰρ νοερᾶς, ὁ δὲ λογικῆς γνώσεως χορηγός· καὶ ὁ μὲν τῶν ζωοποιῶν τῆς γεννητικῆς ζωῆς, ὁ δὲ τῆς ἐπιστρεπτικῆς αἴτιος· καὶ ὁ μὲν τῶν δημιουργικῶν τῆς εἰδοποιΐας, ὁ

δὲ τῆς κατὰ τὴν ὕλην ποικιλίας ὑποστάτης· ἐν δὲ τούτοις τὰ πάντα, τῷ εἶναι τῷ ζῆν τῷ γιγνώσκειν, οὐ μόνον ἐν τοῖς γενητοῖς, ἀλλὰ καὶ ἐν τοῖς ἀϊδίοις.

in R.2.225 τῆς δὲ τούτων ἑτερότητος καὶ διαιρέσεως εἷς αἴτιος, μιμούμενος τὴν νοερὰν πηγὴν τῆς τῶν ὄντων ἀπ' ἀλλήλων διακρίσεως, ἣν ὑπεζωκότα καλεῖν ἐστιν ἔθος τοῖς ἐκ τῆς βαρβάρου θεοσοφία ς , ἑτερότητα δὲ τοῖς Πλάτωνος φίλοις. καὶ τῷ μὲν εἶναι τὸ λαμπρὸν χρῶμα συγγενές, πρώτως ὂν ὁρατόν, ὡς τὸ εἶναι πρῶτον ἀνάγκη παρεῖναι τοῖς οὖσιν· δι' ἐκεῖνο γὰρ καὶ τὸ ζῆν ἐστιν καὶ τὸ γιγνώσκειν· τῷ δὲ ζῆν τὸ λευκὸν πρὸς τὸ λαμπρὸν οἰκείως ἔχον καὶ τῆς ἐκ τῆς ἀζωίας ἐγγιγνομένης μελαίνης καὶ σκοτώδους χρόας καθαρεῦον· τῷ δὲ γιγνώσκειν τὸ ξανθὸν φίλον, συμμιγὲς ὂν ἐκ πάντων· καὶ γὰρ ἡ γνῶσις καὶ τοῦ ὄντος ἐπορέγεται καὶ τῆς ζωῆς, διότι κίνησίς τίς ἐστιν, καὶ τῆς ἑτερότητος, διακρίνειν ἐθέλουσα τὰ ὄντα καὶ οὐ μόνον ἐκ πολλῶν ἕν, ἀλλὰ καὶ πολλὰ ποιεῖν ἐξ ἑνός. Τὰ μὲν οὖν χρώματα τούτων εἰκόνες· εἰ δὲ μὴ παντάπασιν ἐν τοῖς ὁρωμένοις ταῦτα τοιαῦτα φαίνεται, μάλιστα μὲν καὶ εἰς τὰς ἰδέας φήσομεν τῶν ἀστέρων ἀπιδόντα τὸν Πλάτωνα καὶ τὰς δυνάμεις τῶν ἀστέρων ταύτας οὕτως αὐτοῖς διανεῖμαι τὰς χρόας. εἰ δὲ μὴ τοῦτο παραδέχοιτό τις, ἐκεῖνό γε οὐκ ἄδηλον, ὅτι τοῖς ἐγγύθεν ὁρῶσιν ἢ τοῖς πόρρωθεν ἀλλοιότερα τὰ χρώματα φαντάζεται· θαυμαστὸν οὖν οὐδὲν καὶ τὸ ἐκεῖθεν ὁρώμενον λευκὸν διὰ τὴν σύμμιξιν τοῦ ἀέρος ἡμῖν μὴ φαίνεσθαι λευκόν, καὶ μάλιστα ἐν νυκτὶ θεωμένοις· ἢ τὸ ξανθὸν μὴ ὁρᾶσθαι ξανθόν· καὶ γὰρ παρ' ἄλληλα τιθέμενα τὰ χρώματα φαντάζεται οὐχ οἷά ἐστιν· εἰ δὲ παρ' ἄλληλα, καὶ δι' ἀλλήλων ὡσαύτως ἑτεροῖα προσπίπτει τοῖς ὄμμασιν ἡμῶν. Ἀλλ' ἐπὶ τὰ ἑπόμενα χωρῶμεν, ἱκανῶν ὄντων 〈τούτων〉 πρὸς τὴν ἐκ τῶν χρωμάτων ὡς ἀπ' εἰκόνων περὶ τῆς ποιήσεως τῶν ἀστέρων θεωρίαν. Κυκλεῖσθαι δὲ στρεφόμενον τὸν ἄτρακτον ὅλον μὲν τὴν αὐτὴν περιφοράν · ἕως τοῦ· στρέφεσθαι δὲ αὐτὸν ἐν τοῖς τῆς Ἀνάγκης γόνασιν [p.

in R.2.226 617ab]. Περὶ τῆς κινήσεως ἐν τούτοις ὁ λόγος τῶν ὀκτὼ σφονδύλων, οὐκέτι τῶν χρωμάτων· ταῦτα γὰρ τῶν ἀστέρων ἢ τῶν ἐν τοῖς σφονδύλοις, αἱ δὲ κινήσεις τῶν σφονδύλων. καὶ γὰρ τὴν βραδύτητα καὶ τὴν ταχύτητα πρὸς τὰς τούτων κινήσεις ἀποβλέποντες διορίζομεν· ἐπεὶ οἵ γε ἀστέρες αὐτοὶ περὶ τὰ ἑαυτῶν κέντρα κινοῦνται, καὶ ὅπως ἔχουσιν τάχους ἢ βραδύτητος πρὸς ἀλλήλους, ἐκ τῆς ὄψεως ἄδηλον· ἀλλ' ὅταν λέγωμεν τοὺς μὲν θᾶττον ἀποκαθίστασθαι, τοὺς δὲ βραδύτερον, εἰς τὰς τῶν σφονδύλων, ἐν οἷς εἰσιν, ἀφορῶμεν περιόδους· οὗτοι γὰρ περιάγουσι τοὺς ἀστέρας. καὶ ἡ μὲν ἀπλανὴς πάντας, καὶ τοὺς ἐν αὐτῇ περιεχομένους καὶ τοὺς ἐν ταῖς ἄλλαις περιόδοις· διὸ δὴ λέγεται μίαν εἶναι τὴν τοῦ ὅλου σφονδύλου περιφοράν, τῶν ἑπτὰ περιαγομένων ὑπὸ τοῦ ἐξωτάτου κατὰ τὴν ἐπὶ δεξιὰ κίνησιν. ἑκάστη δὲ τῶν ἄλλων περιόδων τὸν ἐν αὐτῇ περιάγει κατὰ τὴν ἑαυτῆς κίνησιν ἀστέρα· καὶ ἡ μὲν διὰ πλείονος χρόνου, καθάπερ ἡ Κρονία περίοδος, ἡ δὲ δι' ἐλάσσονος, καθάπερ ἡ τῆς σελήνης· αἱ δὲ ἄλλαι τούτων εἰσὶν ἀνὰ μέσον, τριῶν μὲν ἰσοδρόμων οὐσῶν, τῆς ἡλίου τῆς Ἑρμοῦ τῆς Ἀφροδίτης, τριῶν δὲ ἀνίσων πρός τε ταύτας καὶ ἀλλήλας, τῆς Ἄρεως τῆς Διὸς τῆς Κρόνου. ταῦτα μὲν οὖν μυριόλεκτα· πρὸς τούτοις δὲ κἀκεῖνο δῆλον, ὅπως εἴρηται τὸ ἠρέμα περιάγεσθαι τὰς ἐντός· πασῶν γὰρ τούτων ἡ τοῦ ὅλου κίνησίς ἐστι θάττων· καὶ ὅπως ἐπανακυκλεῖσθαι τὸν τ[έταρτον] .. 50 .. τοῦ .. 22 . τὸν ὅλον σφόν[δυλον. ὅτι] δὲ ἐν τοῖς γόνασιν στρέφεται τῆς Ἀ[νάγκης, ὥσπ]ερ ὑπὸ τῶν χειρῶν τῶν Μοιρῶν, σαφῶς αὐτοῦ διορίζοντος, λάβοις ἂν καὶ ἐντεῦθεν, ὅσην οἴεται τὴν ὑπεροχὴν εἶναι τῆς Ἀνάγκης πρὸς τὰς Μοίρας.

in R.2.227 αἳ μὲν γὰρ δι' ἐνεργείας ἔξω προϊούσης κινοῦσιν, ἣν συμβολικῶς ἡ διὰ τῆς χειρὸς ἐπαφὴ τοῦ κινουμένου παρίστησιν, ἣ δὲ πρὸ ἐνεργείας· οὐδὲν γὰρ αὐτῆς πραττούσης ἀψόφῳ κελεύθῳ μένων ἐν τοῖς γόνασιν αὐτῆς ὁ ἄτρακτος κινεῖται. καὶ εἰ τοῦτο, οὐκ ἂν εἴη κατὰ τὴν ὕλην Ἀνάγκη τῶν Μοιρῶν μήτηρ, οὐδ' οὕτως, ὡς εἰώθασι τὰς ὑποδοχὰς μητέρας καλεῖν, ἀλλ' ὡς γεννητικὴ δύναμις ἐκείνων καὶ μονὰς τῆς ὅλης αὐτῶν τριάδος. 〈πρὸσ〉 τούτοις γε μὴν αὐτὸ τὸ ἐν τοῖς γόνασιν κινεῖσθαι δίδωσιν αὐτῷ τὴν τοῦ κινεῖσθαι δύναμιν· καὶ γὰρ τὰ γόνατα

σύμβολα κινητικῶν ἐστιν παρὰ τοῖς θεοῖς δυνάμεων· ὅθεν καὶ τοῖς ποιηταῖς εἴωθεν λέγεσθαι τό· θεῶν ἐν γούνασι κείσθ ω , περὶ ὅτου ἂν τύχωσι τοῦτο λέγοντες, ὡς εἰς τὰς ἐκείνων ποιήσεις καὶ κινήσεις ἀναφέροντες τὴν αἰτίαν τοῦ γινομένου· καὶ γὰρ ἐν τοῖς ἡμετέροις σώμασι ταύτην ἔχει τὰ γόνατα τὴν χρείαν τῇ φύσει, καμπῆς τοῦ σκέλους καὶ ἐκτάσεως ἕνεκα γεγονότα παρ' αὐτῆς. καὶ τοίνυν τῆς Ἀνάγκης τὰς δυνάμεις ἐνδιδούσης τῷ παντί, τὴν εἰς τὸ αὐτὸ συναγωγὴν τῶν κινήσεων καὶ τὴν ἀπὸ τοῦ αὐτοῦ διάκρισιν καθ' ἕνα λόγον καὶ μίαν τάξιν .. 55 .. ν τά .. 30 . τῷ ἐπιδέξια .. 20 . εἰκότως ἀμφοτέροις ἐνέθηκεν [τὸν ἄτρα]κτον, ἐγκόλπιον αὐτὸν τῆς [θεοῦ ποιήσας]. Ἀλλὰ περὶ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα· δεῖ δὲ ἐφιστάνειν, ὅπως ὥρισε μὲν τὸ πλῆθος τῶν ὀκτὼ σφονδύλων, ἕνα δὲ διὰ πάντων ἐλάσας ἄξονα καὶ κινεῖσθαι περὶ τὸν αὐτὸν ἄξονα πάντας λέγων χώραν οὔτε ταῖς ἀνελιττούσαις δίδωσιν οὔτε τοῖς ἐκκέντροις οὔτε τοῖς ἐπικύκλοις οὔτε ὅλως ταῖς μεμηχανημέναις ταύταις ὑποθέσεσιν. εἰκότως· οἱ μὲν γὰρ τὰς ἐκκέντρους ὑποθέμενοι σφαίρας κινοῦσιν αὐτὰς περὶ ἄλλο κέντρον ἢ τὸ τῆς ἀπλανοῦς, ἵνα τὰ ἀπόγεια κινήματα καὶ τὰ περίγεια διαφυλάξωσιν.

in R.2.228 ἀναγκαῖον οὖν ἢ κενὸν εἶναι μεταξὺ τῶν σφαιρῶν μὴ ἐναρμοζομένων ἀλλήλαις διὰ τὴν τῶν κέντρων παράλλαξιν, ἢ τὰς σφαίρας ἐπισυγχεῖσθαι ἀλλήλαις, μὴ διωρισμένων τῶν ἐπιφανειῶν, ἵνα ἡ κατωτέρω μηδὲν ἀπολείπῃ μεταξὺ τῆς ἀνωτέρω καὶ ἑαυτῆς, καθ' ὃ μὲν ἐλάσσονα ἔχει τὴν ἐκ τοῦ κέντρου, ἐναρμοζομένη, καθ' ὃ δὲ μείζονα, χωροῦσα δι' ἐκείνης· ἀλλ' ἀνίσων τῶν κινήσεων οὐσῶν ἐν τῷ τῆς μείζονος ἔσται ἡ ἐλάσσων, καὶ ἔσται καὶ οὕτω κενόν. εἰ δὲ τοῦτο ἀδύνατον, ἔσται τι ἄλλο σῶμα μεταξὺ τῶν δύο σφαιρῶν· καὶ εἰ μὲν ἠρεμοῦν, ἄλογον μέσον εἶναί τι σωμάτων φύσιν ἀεικίνητον ἐχόντων σῶμα ἠρεμοῦν τὸν ἅπαντα χρόνον· εἰ δὲ κινούμενον, εἰ μὲν συνεπισπώμενον ταῖς περιε[χούσαις] .. 14 . οἰσθήσεται· τοῦ .. 20 . ὁμαλές· ὥσθ' ἵνα .. 17 . ἔσται τι μεταξὺ ἐκείνων [ἀνωμ]άλως φερόμενον. εἰ δὲ καθ' αὑτὸ φερόμενον, εἰ μὲν κύκλῳ, πῶς οὐκ ὂν σφαιροειδὲς κινεῖται κύκλῳ κατὰ φύσιν; εἰ δὲ μὴ κύκλῳ, πῶς ἐν ἐκείνοις ἐστίν, ⟦ ἢ ⟧ μὴ 〈ὂν〉 ὁμοειδὲς ἐκείνοις καὶ δηλονότι φθαρτόν; πᾶν γὰρ σῶμα κινούμενον ἐπ' εὐθείας, στοιχεῖον δὲ ὅλως ὄν, οὐκ ἀΐδιόν ἐστι. καὶ μὴν καὶ εἰ ἑκάστης τῶν σφαιρῶν ἴδιόν ἐστι κέντρον, εἰ μὲν καὶ τῆς τοῦ ἀέρος σφαίρας καὶ τῆς γῆς, ἀλλὰ τὰ κέντρα διορίζειν οὐκέτι δυνατὸν τὴν μὲν ἀπὸ τοῦ μέσου κίνησιν, τὴν δὲ ἐπὶ τὸ μέσον· ἑνὸς γὰρ μὴ ὄντος τοῦ μέσου ταῦτα πάντα ἄλογα· πρὸς γὰρ ἓν τὸ μέσον ὁ τούτων διορισμός. εἰ δὲ τὰ στοιχεῖα τὰ τῇδε κατὰ τὸ τοῦ παντὸς μέσον ὥρισται ταῖς κινήσεσιν, πῶς τούτων μὲν αἱ κατὰ φύσιν κινήσεις πρὸς ἐκεῖνο γίγνονται τὸ μέσον, αἱ δὲ τῶν σφαιρῶν τῶν θειοτέρων οὐ περὶ ἐκεῖνο; καὶ γὰρ εἰ μὲν κράτιστον τὸ περὶ κέντρον κινεῖσθαι τοῦ παντός, πῶς αἱ οὐράνιαι σφαῖραι ἄλλοις χρῶνται κέντροις; εἰ δὲ μὴ κράτιστον, πῶς ἡ ἀπλανὴς περὶ ἐκεῖνο στρέφεται, κρείττων οὖσα τῶν ἐντὸς καὶ περιάγουσα τὰς ἄλλας; εἰ δὲ τοῦτο μὲν τῆς ἀπλανοῦς μέσον, ἄλλο δὲ τὸ τοῦ παντός, πῶς οὐκ ἐκεῖνο τὰς θέσεις ὁρίζει τῶν σωμάτων τὰς κατὰ φύσιν καὶ τὰς κινήσεις; ὡς γὰρ μένει πάντα κατὰ φύσιν, οὕτω καὶ κινεῖται κατὰ φύσιν· καὶ εἰ μένει περὶ τὸ τοῦ παντὸς μέσον, καὶ κινεῖται περὶ αὐτὸ κατὰ φύσιν· καὶ εἰ κινεῖται, καὶ μένει.

in R.2.229 Καὶ μὴν καὶ τὸ τοὺς ἐπικύκλους ὑποτίθεσθαι παντάπασιν ἄτοπον ἐ . ή .. 20 . οὐκ ἔοικεν δὲ μηχανήματι ἡ .. 12 . ησις, ἀλλ' αὐτοφυὴς ὄντως ἐστίν. οἱ δὲ ἐ[πίκυ]κλοι πολλὴν εἰσάγουσι τὴν τῶν μηχανημάτων ἔννοιαν· εἴτε γὰρ κυκλίσκους νοήσαιμέν τινας, ἐφ' ὧν οἱ ἀστέρες ἔνεισι, κινουμένους ἐπὶ τῶν ὁμοκέντρων, πολλὴ ἀλογία κύκλους ἐν οὐρανῷ ποιεῖν ἀντὶ σωμάτων δινουμένους· εἴτε σώματα ἄττα σφαιροειδῆ ταῖς σφαίραις ἐνδεδεμένα καὶ δι' αὐτῶν φερόμενα καὶ τὰ ἄστρα ἐπὶ τούτων, ἔτι ἀδυνατώτερον καὶ πλασματωδέστερον· οὐδὲν γὰρ ἀπέοικεν τοῦ ποιεῖν ἐπὶ δή τινων ὀχημάτων φερομένους τοὺς ἀστέρας ὡς αὐτοὺς οὐ δυναμένους κινεῖσθαι καὶ τῆς ἐφ' ἑτέρων ὀχήσεως ὄντας ἐπιδεεῖς. γελοῖον δὴ τοὺς τὴν κίνησιν ὁμαλῆ φυλάξαι προθυμουμένους οἴεσθαι τοῦτο ποιεῖν, εἰ τὰ κινούμενα διπλασιάσαιεν· ἔπειτα διὰ τίνα αἰτίαν ὁ

μὲν ἥλιος καὶ ἡ σελήνη ὧδε ἐπὶ τῶν ἐπικύκλων κινοῦνται, οἱ δὲ πέντε πλάνητες ἑτέρως; οἳ μὲν γὰρ τὴν ἄνω τοῦ ἐπικύκλου περιφέρειαν ἐναντίως τῷ ἐπικύκλῳ, τὴν δὲ κάτω, φασίν, ἐπὶ τὰ αὐτά· οἱ δὲ πλάνητες ἀνάπαλιν, τὴν μὲν ἄνω ἐπὶ τὰ αὐτά, τὴν κάτω δὲ ἐναντίως. οἱ μὲν οὖν ἀπὸ τῶν μαθημάτων ἐροῦσιν, ὅπως τὰ φαινόμενα διασώσωνται, τοιαύτας λαμβάνειν ὑποθέσεις· οἱ δὲ εἰς φιλόσοφον Μοῦσαν βλέποντες τὸ μηδὲν ἀλόγως γίνεσθαι χρῆναι διαφυλάττειν· ἐν οἷς μάλιστα μηδὲν εἰκῇ μηδ' ὡς ἔτυχεν, ἀλλὰ πάντα κατὰ λόγον· .

in R.2.230 . 55 .. ανον καὶ .. 22 . [σ]ωμάτων φύ[σει]. τῶν μὲν [γὰρ] Πυθαγορείων παρακέλευσμα ἦν ..... δι' ἐλαχίστων καὶ ἁπλουστάτων ὑποθέσεων χρῆναι τὴν φαινομένην ἀνωμαλίαν τῶν οὐρανίων ἀπευθύνειν εἰς ὁμαλότητα καὶ τάξιν· οἱ δὲ ταῖς ἀνελιττούσαις χρώμενοι πολλοῦ δέουσιν τοῦτο ποιεῖν, πολλαπλασίας ὑποθέσεις τῶν φαινομένων λαμβάνοντες καὶ σφαίρας δημιουργοῦντες ἀμυθήτους καὶ κόσμον κατασκευάζοντες ποικίλον, ἵνα μηχανήσωνται τάξιν ἑνὸς ἀστέρος ἁπλῆν, καὶ οὔτε τοῦ πλήθους οὔτε τῆς ποικιλίας δημιουργίᾳ πρέπουσαν αἰτίαν φράζοντες· πρὸς τῷ καὶ τὰς ὑποθέσεις αὐτὰς ἐληλέγχθαι παρὰ τῶν ὕστερον, ὡς μήτε πάντα τὰ φαινόμενα σώζειν δυναμένας μήθ' ὅσα καὶ σῴζουσιν ἀρκούντως ἀποδεικνύσας. Ταῦτα μὲν οὖν καὶ ὁ Πτολεμαῖος ἐν τοῖς τῶν ὑποθέσεων βιβλίοις ἐπραγματεύσατο· πολλῶν δὲ ὄντων καὶ ἄλλων, ὅσα λέγεσθαι δυνατὸν πρὸς τὰς τοιαύτας ἀρχὰς τῆς περὶ τῶν οὐρανίων θεωρίας, τοσοῦτον ἡμεῖς τοῖς εἰρημένοις προσθέντες ἐπὶ τὰ προκείμενα χωρῶμεν, ὅτι πολλῷ βέλτιον αὐτοῖς διδόναι τὴν κίνησιν τοῖς ἄστροις μεταξὺ τῶν ἀπλανῶν τεταγμένοις καὶ τῶν ὑπὸ σελήνην σωμάτων, τῶν μὲν ἁπλῆν καὶ τεταγμένην κινουμένων κίνησιν, τῶν δὲ ποικίλην καὶ ἄτακτον, αὐτοῖς τεταγμένην ἅμα καὶ ποικίλην. τὸ μὲν γὰρ τεταγμένον οἰκεῖον σώμασιν θείοις, ὧν ἐστιν ψυχὴ κατὰ νοῦν .. 32 .. ο .. ιαταυτ .. 24 .. χρωμένην ψυχὴν ἁπλ[ῆν μὲν οὐκ οὖσαν, ἀλ]λὰ ὀρθὴν καὶ ἔμφρονα καὶ τεταγμένην, [ἧς] εἰκὼν ἡ τάξις. τὸ δὲ ἁπλοῦν οὐ[κ ἦν] πάντως σώμασιν οἰκεῖον· σώματος γὰρ φύσις μεταβολῆς οὐκ ἄμοιρος, ὡς ἐν Πολιτικῷ [p. 269d] μεμαθήκαμεν· ὁπόταν οὖν τὰ σώματα μὴ τῶν πρωτίστων, ἀλλὰ τῶν δευτέρων ᾖ καὶ συνθέσεως οὐκ ἀμοίρων, ἀνάγκη δήπου καὶ τὴν κίνησιν αὐτῶν εἶναι τὴν κατὰ φύσιν τοιαύτην.

in R.2.231 Εἰ οὖν ἐν τοῖς πλανᾶσθαι λεγομένοις τάξιν μὲν εἶναι δεῖ πάντως ἐν ταῖς περιόδοις, ἁπλότητα δὲ τῶν μὲν ὑπ' αὐτὰ μᾶλλον, τῶν δὲ πρὸ αὐτῶν ἧττον, τοῦτο δεῖ σκοπεῖν, εἰ καὶ ἀνωμαλίας οὔσης ἡ τάξις ἐστὶν καὶ τὰς δοκούσας ἀνομοιότητας ἐν χρόνοις ἔχει τεταγμένοις, ὡς καὶ εἰς μυριοστὸν ἔτος δύνασθαι περὶ αὐτῶν εἰπεῖν, ὅπως ἕκαστα καὶ οἵας ἕξει τὰς ἀνελίξεις τῶν τοιούτων ἀνωμαλιῶν. εἴτε οὖν θᾶττον κινοῖτο καὶ βραδύτερον τεταγμένως, εἴτ' ἐπὶ τἀναντία προσθέσεις ποιεῖται καὶ ἀφαιρέσεις, εἴτ' ἐπὶ τὸ ἀπόγειον ἢ περίγειον ἐν ὡρισμένοις χρόνοις φυλάττοντα τὴν τάξιν, οὐδὲν ἡμεῖς ἀνάξιον ἡγούμεθα τῶν κατὰ νοῦν κινουμένων θείων σωμάτων ὁρᾶν. τὸ γὰρ κατὰ ταὐτὰ καὶ ὡσαύτως καὶ περὶ τὰ αὐτά, καθ' ὅσον κινουμένοις δυνατόν, ἔστιν ὁρᾶν καὶ ἐν τούτοις· ἄλλο γὰρ τὸ ὡσαύτως καὶ τὸ κατὰ ταὐτὰ καὶ τὸ περὶ τὰ αὐτὰ τῶν τε πρώτων ἐστὶ καὶ τῶν μέσων καὶ τῶν τελευταίων· τοῖς γὰρ μέσοις ἕκαστον τούτων ἀποδοτέον με[τὰ] .. 17 .. ἀνομοιότητος· ἐπεὶ [ἀνάγκη] τῶν ὑπ[ὸ σε]λήνην εἶναι τὰ οἷον πα[ραδείγ]ματα κ[ιν]ήσεων ἐν τοῖς προσεχῶς [αὐτῶν] ὑπερκειμένοις κύκλοις· οἷον τῶν [ἐν]αντίων κινήσεων, τῶν ἐπὶ τὸ ἄνω καὶ κάτω, τῶν θαττόνων καὶ βραδυτέρων. πασῶν δὲ τῶν ἐνταῦθα κατὰ φύσιν ἄλλων ἄλλοις **** ἐκεῖ κατὰ φύσιν ἐν τοῖς αὐτοῖς, οὔτε δι' ἀσθένειαν τῆς ταχύτητος ἢ τῆς βραδύτητος ἐπεισιούσης οὔτε διὰ ζωῆς μεταβολὴν τῆς εἰς τὸ ἀπόγειον ἢ περίγειον οὔτε στάσει τῆς προσθέσεως καὶ ἀφαιρέσεως διειργομένης, ἀλλὰ πανταχοῖ φερομένων τῶν ἐκεῖ σωμάτων διὰ τὴν τῶν ψυχῶν τῶν κινουσῶν πρὸς ἄλλα καὶ ἄλλα νόησιν ἀπὸ τῆς αὐτῆς δυνάμεως, διὰ βούλησιν ἀφομοιουσῶν τὰς ἐμφανεῖς κινήσεις τοῖς νοουμένοις· καὶ γὰρ σχήματα πολυειδῆ τῶν ἀστέρων ἐστὶν πρός τε ἀλλήλους καὶ τοὺς τοῦ οὐρανοῦ τόπους καὶ φύσεις ποικίλαι τὰς ἀφανεῖς ἀπογραφόμεναι τῶν εἰδῶν δυνάμεις.

in R.2.232 καὶ αἱ μὲν προσθέσεις ἐκεῖ καὶ ἀφαιρέσεις τῶν ὑπὸ σελήνην ἐπιδόσεων εἰς τὴν ζωὴν καὶ ὑφέσεών εἰσιν αἴτιαι καὶ τὸ εἶναι καὶ τὴν εἰδοποιΐαν· αἱ δὲ βραδύτητες καὶ αἱ ταχύτητες τῶν δυσκινήτων καὶ εὐκινήτων μεταβολῶν καὶ τῶν ἠρεμαιοτέρων καὶ ὀξυρροπωτέρων ζωῶν· αἱ δὲ εἰς τὸ ἄνω καὶ κάτω κινήσεις τῶν ἀνωφόρων ἢ κατωφόρων καὶ πρὸς τὸ μέσον ἢ ἀπὸ τοῦ μέσου φορῶν, ἐπεὶ καὶ τὰς αὐξήσεις καὶ μειώσεις τὰς τῆς σελήνης καὶ τὰς ἐκλείψεις ἀρχετύπους εἶναι τῶν ὑπ' αὐτήν φαμεν αἰτίας ἢ γενέσεων ἢ φθορῶν. ἀλλ' ἐπὶ ταύτης μὲν διὰ τοῦ φωτὸς τὸ παράδειγμα θεωροῦμεν καὶ τῶν κατὰ τὸ φῶς σχηματ[ισμῶν ὧν] ἀποτελεῖ· παρὰ δὲ τοῖς πέντε διὰ τῶν προσθέσεων καὶ ἀφαιρέσεων. ἥλιος δὲ διὰ τὴν πρὸς πάντας ὑπεροχὴν ἀμφοτέρων μὲν τούτων ἄδεκτος, διὰ δὲ τῆς θάττονος καὶ βραδυτέρας κινήσεως δείκνυσι τῶν ἐναντιώσεων τῶν ἐν τῇ γενέσει περιέχων τὴν αἰτίαν, ἀνώμαλον ὁμαλότητα καὶ ἀνόμοιον ὁμοιότητα καὶ αὐτὸς ἔχων καὶ τῆς κινήσεως ἐλαχίστην παράλλαξιν ποιούμενος· πάντες δὲ τῶν ἁπλῶν περιόδων καὶ τῶν ποικίλων, ἅτε ἐν μέσῳ τεταγμένοι, τὴν ἀνάλογον τάξιν διαφυλάττοντες. Καὶ τὰς μὲν ὅλας σφαίρας τῶν πλανωμένων οἰητέον κατὰ μίαν ἁπλῆν κινεῖσθαι φοράν· εἴρηται γοῦν ἐν Τιμαίῳ [p. 36c] πάσας ὁ δημιουργὸς περιάγειν κατὰ διάμετρον καὶ ἐπ' ἀριστεράν, τὴν δὲ ἀπλανῆ ἐπὶ δεξιὰ καὶ κατὰ πλευράν· τοὺς δὲ ἀστέρας ἐπ' αὐτῶν κινεῖσθαι κατά τε πλάτη καὶ βάθη περὶ τὰ κέντρα μὲν τὰ ἑαυτῶν κινουμένους (πᾶν γὰρ σῶμα θεῖον κινεῖται κυκλικῶς), φέρεσθαι δὲ καὶ περὶ αὐτὴν λοιπὸν τὴν οἰκείαν ἕκαστον σφαῖραν οὐχ ἁπλῆν φοράν, ἀλλὰ ποικίλην, πλέον ἢ ἔλασσον παρεξιόντα τὸν ἀκριβῆ λοξὸν καὶ εἰς ὕψος αἰρόμενα καὶ εἰς βάθος κατιόντα, τινὰ δὲ καὶ εἰς τὸ πρόσω καὶ εἰς τὸ ὀπίσω φερόμενα κατὰ τὴν αὐτῶν βούλησιν, οὐδαμοῦ τῆς περὶ τὰ οἰκεῖα κέντρα κινήσεως ἀφιστάμενα.

in R.2.233 καὶ οὕτω δὴ καὶ τὴν αὐτῶν κινεῖσθαι κίνησιν τὴν κυκλικὴν καὶ τῶν ὑπὸ σελή[νην] πασῶν κινήσεων προ[ειληφέ]ναι τὰς αἰ[τίας τ]ῶν κατ' εὐθεῖαν, ἐν τῷ κυκλίζεσθαι [τῶν εὐθυ]πόρων τὰς ἰδιότητας φορῶν ἐπιδεικνυμένους, τῆς ἄνω τῆς κάτω, τῆς εἰς δεξιὰ τῆς εἰς ἀριστερά, τῆς πρόσω τῆς ὀπίσω. τὰ μὲν οὖν ὑπὸ σελήνην σώματα μερικὰ κινεῖται προηγουμένως ἐπ' εὐθείας, ἔχει δὲ τὸ κύκλῳ κατὰ μέθεξιν διὰ τῆς ἀνταποδόσεως τῶν ἐναντίων κινήσεων, τὰ δὲ ἄστρα ἔχει μὲν τὴν κυκλοφορίαν οἰκεῖον, κινεῖται δὲ καὶ κατὰ τὰς τῶν ἐπ' εὐθείας κινήσεων ἰδιότητας, ἄνω κάτω πρόσω ὀπίσω, διότι προείληφεν ἐκείνων τὰς αἰτίας. ὥστε τὰ μὲν εὐθυπορικῶς κυκλίζεται, τὰ δὲ κυκλοφορικῶς εὐθυπορεῖται, μέσην ἔχοντα τάξιν καὶ κίνησιν τῶν τε μόνως κυκλοφορουμένων καὶ τῶν μόνως εὐθυπόρων, οἷόν ἐστιν ἕκαστον τῶν ἐνταῦθα σύνθετον. Ταῦτα ἡμεῖς ἐφιστάντες γράφομεν, θαυμάζοντες μὲν τὸν Πλάτωνα τῆς φιλοσόφου θεωρίας, ἀφελόντα τῶν οὐρανίων τὰς μεμηχανημένας αἰτίας τῶν κινήσεων, ἔχοντες δέ τι καὶ ὑπὲρ τῶν χρωμένων ταῖς ὑποθέσεσιν ἐκείναις λέγειν. ἐπειδὴ γὰρ ἠβούλοντο μαθηματικῶς σκοπεῖν καὶ ἐπὶ δακτύλων, ποῦ θᾶττον ἢ ποῦ βραδύτερον ἐκεῖνα φέρεται, καὶ λογίζεσθαι τοὺς χρόνους, ηὑρήκασιν ὑποθέσεις, καθ' ἃς εὐεφόδευτος αὐτοῖς γίνεται τῶν χρόνων τῆς ἀνωμαλίας ἡ κατάληψις, οὐκ ἐκείνων οὕτω κινουμένων, ἀλλ' ἡμῶν μὴ δυναμένων ἄλλως θηρᾶσαι τὴν κίνησιν ἢ τοιαύτας ὑποθέσεις κατασκευασαμένων, δι' ὧν τὰς ὁμαλεῖς λαβόντες κινήσεις κατ' ἐπισύνθεσιν δυνάμεθα τὰς ἀνωμάλους .

in R.2.234 ..... ἵν .. 20 .. χρόνου[ς], ὥσπερ ἂν εἰ 〈περὶ〉 κ[ύλινδρ]ον κιν[ουμένου μύρμη]κος ἑλικοειδῶς ἡμ[εῖς] τὴν ..... θ[έλον]τες λαβεῖν ἐνοήσαμεν [εὐθεῖαν] ἐν τῷ κυλίνδρῳ τινὰ ὀρθὴν καὶ περὶ αὐτὸν στρεφομένην, σημεῖον δὲ ἐπὶ τῆς εὐθείας ἄνωθεν καταφερόμενον, εἶτα τὴν ἕλικα ἐξ ἀμφοῖν ποιοῦμεν ἐκ δυεῖν κινήσεων τὴν μίαν, οὐ τοῦ μύρμηκος ὡς δύο κινουμένου κινήσεις, ἀλλ' ὡς μίαν τὴν ἐξ ἀμφοῖν. οὕτω γὰρ οἶμαι καὶ οἱ ἐκ τῶν μαθημάτων τὴν ἀνώμαλον ἐξ ὁμαλῶν ποιοῦσιν, ἵν' ὅπερ εἴπομεν αὐτοὶ δύνωνται τοὺς ἀριθμοὺς εὑρίσκειν τῆς ἀνωμαλίας διὰ τῶν ὁμαλῶν ὄντας καταληπτοὺς μόνως, ἐκείνων τοιούτων οὐσῶν καθ' αὑτὰς ἀσυνθέτων, οἵας οὗτοι ποιοῦσι διὰ συνθέσεως. καὶ γὰρ οἱ τὰ παραπήγματα κατασκευάζοντες λογισμοῖς

χρώμενοι μιμοῦνται τὴν πρὸ λογισμῶν καὶ ἐπινοιῶν ἐκεῖνα δημιουργήσασαν φύσιν· καὶ οἱ χρυσὸν ποιεῖν φάσκοντες ἐκ μίξεώς τινων εἰδῶν, τῆς φύσεως πρὸ μίξεως ὧν οὗτοι λέγουσιν τὸ εἶδος ἓν τοῦ χρυσοῦ ποιούσης· καὶ ἐπ' ἄλλων πολλῶν οὗτος ὁ τρόπος, τῆς ἀνθρωπίνης ψυχῆς ταῖς εὐμηχάνοις ἐπιβολαῖς τὰ ἔργα τῆς φύσεως θηρᾶν ἐφιεμένης καὶ ζητούσης, πῶς ἂν ἐγένετο, εἴπερ ἐγίνετο, καὶ ὡς δυνατὸν εὑρισκούσης. ἐπὶ δὲ τῶν ἀστέρων καὶ πρόφασιν αὐτοῖς ἡ ζήτησις ἔχει καὶ κατόρθωσιν οὐ τὴν τυχοῦσαν ἡ εὕρησις, ὅπως ἀποδείξωσιν ὁμαλῶς πάντα κινούμενα τὰ ἐγκυκλίως φερόμενα· τοῦτο γάρ φασι θείοις σώμασιν προσήκειν. καὶ ἔγωγε φαίην ἂν καὶ αὐτὸς ἄλλ[οι]ς μὲν τὸ ὁμαλὲς μόνως, ἄλλοις [δὲ πάλιν τ]ὸ ἀνωμάλως ὁμαλές, ἄλλοις δὲ [τοῖς ἐ]ν γενέσει μόνοις τὸ ἀνώμαλον μό[νως].

in R.2.235 μήποτε γὰρ οὐδὲ ἀνωμαλίαν χρὴ λέγειν, ἐφ' ὧν αἱ ἀνταποδόσεις ὁμαλεῖς καὶ τάξιν ἔχουσαι πάντως ἀναγκαίαν. Ἀλλὰ τοῦτο μὲν παντός ἐστιν συλλογίσασθαι· τὸ δὲ καὶ τὴν ἀπλανῆ κινεῖν ἐπὶ τὰ ἑπόμενα καὶ μοῖραν μίαν ἐν ἔτεσιν ἀπλέτοις, οὐδὲ τοῦτο δήπου τῷ Πλάτωνι προσῆκεν, σαφῶς λέγοντι τὰς ἐναντίας εἶναι κινήσεις ἐν τῇ ἀπλανεῖ καὶ τῇ πλανωμένῃ· καὶ γὰρ ἦν δέον καὶ τῶν ἐναντίων δυναστευόντων κατὰ τὴν γένεσιν ἐκεῖ προϋπάρχειν τὸ παράδειγμα, καὶ τῆς ἐν τοῖς νοητοῖς ταυτότητος καὶ ἑτερότητος πρῶτον μετέχειν τὸν οὐρανόν· ἄλλης δὲ οὔσης ἐκεῖ κινήσεως διὰ τῆς κατὰ τόπον μονῆς ἐν ταύτῃ θεωρεῖσθαι τὴν ἐναντίωσιν· Μουσῶν δὲ τὸν ὅλον οὐρανὸν συνεχουσῶν συμφωνίαν εἶναι τῶν ἐναντίων κινήσεων καὶ ὁμολογεῖν τῇ ἑτέρᾳ τὴν ἑτέραν. ἐπεὶ ὅτι γε καὶ ἡ περὶ τῆς ἀπλανοῦς δόξα ψευδὴς ὡς κινουμένης ἐπὶ τὰ αὐτὰ ταῖς πλανωμέναις, δῆλον· ἔδει γὰρ εἴπερ μάλιστα περὶ τὸν τοῦ ζῳδιακοῦ κινεῖται πόλον, πολλὰ τῶν ἀφανῶν ἄστρων ἐμφανῆ γεγονέναι καὶ τῶν ἐμφανῶν ἀφανῆ· τούτου δὲ ὄντος ἀδυνάτου μηδὲ τὴν ἀπλανῆ κινεῖσθαι περὶ τὸν τοῦ ζῳδιακοῦ πόλον· εἰ δὲ περὶ τὸν τοῦ παντὸς πόλον ἐκινεῖτο, τῶν ἐπὶ τοῦ διὰ μέσων ὁρωμένων ἔμπροσθεν ἄστρων ἐκβεβηκέναι τινὰ τὸν διὰ μέσων ἔδει κύκλον, ὅπερ ἐστὶ καὶ αὐτὸ παντελῶς ψεῦδος· εἰ δὲ τὰς πολυθρυλήτους ἐπανατείνοιντο τηρήσεις ὡς μαρτυρούσας [τῇ ἐπὶ τὰ ἑπόμε]να κινήσει τῆς ἀπλανοῦς, καὶ ἡμ[εῖς τῶν Χαλ]δαίων ἕξομεν τηρήσεις λέγειν πά[νυ ἐναργῶς] παραδούσας ἐξ ἀμυθήτων χρόνων, πο[ῖαι] καὶ ὅλων κοσμικῶν περιόδων καὶ ἀπ[οκα]ταστάσεων ἦσαν ἱστορίαι· προσθήσω δὲ Χαλδαίοις καὶ Αἰγυπτίους.

in R.2.236 καὶ τί δεῖ Χαλδαίους καὶ Αἰγυπτίους λέγειν; ἀλλὰ πρὸ τούτων αἱ τῶν θεῶν φῆμαι σαφῶς τὰ αὐτῶν εἰδότων καὶ οἱ χρησμοὶ τήν τε ἀπλανῆ κινεῖσθαί φασιν οὕτως, ὡς καὶ ὁ Πλάτωνος λόγος, περιάγουσαν τὸν ὅλον οὐρανὸν ἐπὶ δυσμάς, καὶ πρὸς τούτοις ἑπτὰ μόνας εἶναι τὰς λοιπὰς περιόδους, ἀλλ' οὐκ ἐπικύκλους οὐδὲ ἀνελισσούσας οὐδ' ἄλλον τινὰ τοιοῦτον κύκλων ὄχλον· οἷς χρὴ πειθομένους τὰς εἰρημένας ἐπιβολὰς κρατύνειν, τοῖς μηχανήματα βουλομένοις ἱστάνειν ἐπὶ τὸν οὐρανὸν παραχωρήσαντας ὡς χρείας ἕνεκα καὶ ἀνθρωπίνων λογισμῶν ταῖς ὑποθέσεσι ταύταις χρωμένοις· εἰ δ' ὡς πειθόμενοι ταῦθ' οὕτως ἔχειν λέγουσιν, οὐχ ἡμεῖς γε προσησόμεθα τοὺς λόγους. Ἐπὶ δὲ τῶν κύκλων αὐτοῦ ἄνωθεν ἐ φ ' ἑκάστου βεβηκέναι Σειρῆνα συμπεριφερομένη ν , φωνὴν μίαν ἱεῖσα ν , ἕνα τόνον · ἐκ πασῶν δὲ ὀκτὼ οὐσῶν μίαν ἁρμονίαν συμφωνεῖν [p. 617b]. Τίς μὲν ὁ Μοιραῖος ἄτρακτος καὶ ὁποίας ἔχει τῶν σφονδύλων διαφοράς, εἴρηται διὰ τῶν ἔμπροσθεν· ἐν δὲ τούτοις εἰσάγει λοιπὸν τὰς ἐφεστηκυίας τῇ κινήσει τοῦ ἀτράκτου θείας καὶ ἀσωμάτους ὑποστάσεις, καὶ τούτων τὰς Σειρῆνας πρώτας λέγων ἐφ' ἑκάστου κύκλου μίαν βεβηκέναι καὶ συμπεριφέρεσθαι τῷ κύκλῳ τῷ .. 22 .. ἑμ .. 27 .. ὁ τόνος οὐ[χ ἥκιστα πρέπων τοῖ]ς μουσικοῖς λόγοις .. 12 . [σ]ημαίνει τὸν ἕνα φθόγγον καὶ τὸν ἁπλούστατον ἦχον· ἡ μὲν γὰρ μία φωνὴ δηλοῖ τὴν ἀμετάβολον τοῦ τῆς ἐνεργείας εἴδους εἰς ἄλλο καὶ ἄλλο μέλος ὕπαρξιν, ὡς ἑκάστης Σειρῆνος ἀεὶ τὴν αὐτὴν ἱείσης φωνήν· ὁ δὲ εἷς τόνος τὴν ποιὰν φωνὴν ἐδήλωσεν εἰς ἑνὸς ἀπήχησιν φθόγγου τελοῦσαν· παρὰ γὰρ τὴν τάσιν καὶ ὁ φθόγγος καλεῖται τόνος.

in R.2.237 καὶ τέλος ὀκτὼ τῶν κύκλων καὶ τῶν Σειρήνων οὐσῶν μίαν ἁρμονίαν ἐκ πάντων ἀποτελεῖσθαί φησιν, οἷον τὴν διὰ πασῶν, ἐν ὅροις μὲν ὀκτὼ θεωρουμένην, ἑπτὰ δὲ διαστήμασιν, ὡς τῶν Σειρήνων τὰς ἐνεργείας εἰκάσθαι φθόγγοις, ἐξ ὧν ἡ διὰ πασῶν ἡ κατακορεστάτη τῶν συμφωνιῶν, καὶ κατὰ τὴν τάξιν αὐτῶν εἶναι τὰ διαστήματα τῶν φθόγγων, ἀρχόμενα ἀπὸ τῆς νήτης κάτωθεν καὶ τελευτῶντα εἰς τὴν ὑπάτην ἀνωτάτω οὖσαν· δεῖ γὰρ τὰ ἀνωτέρω κινεῖσθαι θᾶττον, κἂν δοκῶσιν αἱ ἀποκαταστάσεις εἶναι πολυχρονιώτεραι τῷ μείζονα λόγον ἔχειν τοὺς κύκλους αὐτοὺς τοῖς μεγέθεσι πρὸς τοὺς κύκλους ἢ τὰς κινήσεις αὐτῶν πρὸς ἀλλήλας· τοῦτο γὰρ δοκεῖ συμπεφωνῆσθαι παρὰ πᾶσιν. Τούτων δ' οὖν οὕτως αὐτῷ διατεταγμένων, ὡς εἴρηται, τίνας εἶναι ῥητέον τὰς Σειρῆνας ταύτας; τὸ μὲν οὖν δὴ λέγειν τὰς Μούσας εἶναι καὶ παρ' ἡμῶν ἡμᾶς προστιθέναι τὴν λοιπήν, ἵνα τὸν τῆς ἐννεάδος συμπληρώσωμεν ἀριθμόν, οὐκ ἔστιν ἑπομένων ταῖς ῥήσεσιν· πρὸς τῷ καὶ τὸ συμπεριφέρεσθαι τοῖς κύκλοις τὰς Σειρῆνας καταδεε[στέρας] εἶναι τῶν Μουσῶν .. 20 .. α . ειδ .. 20 .. ψυχικῆς σωματικ .. 16 . φωναῖς τῶν Μουσῶν εἶν[αι]· διὸ καὶ ἐναρμ[ονίους] ἔχειν κινήσεις καὶ τοῖς κύκλοις οἷς ἐ[πιβε]βήκασιν προξενεῖν τὴν ἔρρυθμον κίνη[σιν] πανάληθες. τίνα οὖν οὐσίαν καὶ τάξιν ἐχούσας; ὅτι μὲν δὴ πρὸ σωμάτων οὔσας ἀναγκαῖον καὶ προσεχῶς ἐφεστώσας τοῖς κύκλοις εἶναι ψυχὰς αὐτάς, δῆλον, ἐπεὶ καὶ τὸ συμπεριφέρεσθαι τοῖς κύκλοις κινεῖσθαι δήπου μεταβατικῶς αὐτὰς ἀναδιδάσκει.

in R.2.238 καὶ εἰ μὴ μῦθος ἦν, εἶπεν ἂν ταῖς Σειρῆσιν τοὺς κύκλους συμπεριάγεσθαι· νῦν δὲ ὡς φιλοῦσιν οἱ μυθοπλάσται ποιεῖν, ἀνέστρεψε τὴν τάξιν καὶ τοῖς κύκλοις εἶπεν συμπεριφέρεσθαι τὰς Σειρῆνας. εἰ δ' οὖν κινοῦνται καὶ αὐταὶ κυκλικῶς κατὰ τὴν ἀσώματον κίνησιν, ἀνάγκη δήπου ψυχάς τινας αὐτὰς εἶναι νοερῶς ζώσας· νοῦ γὰρ εἰκὼν ἡ περιφορά, καθάπερ ὁ Ἀθηναῖος ξένος ἐδίδαξεν [leg. X 897c], καὶ ψυχαὶ περιάγονται διὰ νοῦν. εἰ δὲ ταῦτα ἀληθῆ, συνᾴδει ταῦτα τοῖς ἐν Τιμαίῳ [p. 35a sqq.] περὶ τῶν θείων ψυχῶν πεφιλοσοφημένοις, ὡς ἄρα ἐκ τῶν ἁρμονικῶν ὑφεστήκασι λόγων· εἰ γὰρ τὴν κίνησιν αὐτῶν ἐναρμόνιον εἶπεν, ἔχοιεν ἂν κατ' οὐσίαν τοὺς λόγους τοὺς ἁρμονικούς, ὡς καὶ ἐκεῖνος εἶπεν· καὶ εἰ περιφέρονται, καὶ αὐταὶ κύκλοι τινές εἰσιν, ὥσπερ φησὶ καὶ ὁ Τίμαιος [p. 36c]. καὶ εἰ μίαν φωνὴν ἀφίησιν ἑκάστη καὶ ἕνα τόνον, λογικαὶ πάντως εἰσὶ κατ' οὐσίαν, ἁπλαῖς χρώμεναι καὶ ἀσυνθέτοις ἐνεργείαις καὶ οὐχ οἵαις αἱ ἡμέτεραι, συλλογιζόμεναι, καὶ [εἰκά]ζ[ουσ]αι ἄλλ[οτε] ἄλλως, ἵνα τὰ ὄντα γνῶσιν· π[άλιν] δὲ εἰ μίαν συμπληροῦσιν ἁρμονίαν, οἷ[ον χορεύουσ]ιν πᾶσαι περὶ ἕνα κορυφαῖον τὴν [τοῦ ὅλου] κόσμου ψυχήν. Σειρῆνας μὲν οὖν αὐτὰς ἐκάλεσεν, ἵνα ἐνδείξηται τὴν ἁρμονίαν σωματοειδῆ πάντως οὖσαν, ἣν αὗται τοῖς κύκλοις ἐνδιδόασιν· οὐρανίας δὲ Σειρῆνας, ἵνα τῶν γενεσιουργῶν διακρίνῃ ταύτας Σειρήνων, ἃς δὴ καὶ αὐτὸς ἀλλαχοῦ [Phaedr. 259a] συμβουλεύει κατὰ τὸν Ὁμηρικὸν ἐκεῖνον Ὀδυσσέα παραπλεῖν. ἀλλ' ἐκεῖναι μὲν ἀπὸ δυάδος ἄρχονται· λέγει γοῦν ὁ ποιητής· φθογγὴν Σειρήνοιϊ ν , ὡς ἂν δυεῖν οὔσαιν· αὗται δὲ ἀπὸ μονάδος· ἡ γὰρ τοῦ ἑνὸς κύκλου τοῦ ἐξωτάτου προηγεῖται τῆς ἑβδομάδος. ὥστε κἀκείνῃ τῇ δυάδι πλῆθος οἰκεῖον ὑπεστρῶσθαι πάντως εἰκός· καὶ εἰ τῇ οὐρανίᾳ μονάδι ἑβδομαδικόν, τῇ γενεσιουργῷ δυάδι πάντως δὶς ἑβδομαδικόν, οὕτω καὶ τῶν θεολόγων πολλαχοῦ τὰς οὐρανίας ζώνας διπλασιαζόντων ἐν τοῖς ὑπὸ σελήνην.

in R.2.239 εἰσὶ δὲ ἄρα τινὲς καὶ ἐν Ἅιδου Σειρῆνες, περὶ ὧν αὐτὸς εἶπεν ἐν Κρατύλῳ [p. 403d] σαφῶς, ὡς οὐδὲ ἐκείναις ἀπολείπειν τὸν Ἅιδην φίλον, θελγομέναις ὑπὸ τῆς τοῦ Πλούτωνος σοφίας. ὥστε τριττὰ γένη κατ' αὐτὸν Σειρήνων· οὐράνια Διός, γενεσιουργὰ Ποσειδῶνος, ὑποχθόνια Πλούτωνος· κοινὸν δὲ πάντων τῶν γενῶν ἁρμονίαν ὑφιστάνειν σωματοειδῆ, τῶν Μουσῶν τὴν νοερὰν ἁρμονίαν μάλιστα δωρουμένων, διὸ καὶ κρατεῖν λέγονται τῶν Σειρήνων καὶ τοῖς πτεροῖς αὐτῶν στεφανοῦσθαι· καὶ γὰρ ἐκείνας ἀνάγουσιν ἑαυταῖς τε συνάπτουσιν, τὰς ἀναγωγοὺς αὐτῶν δυνάμεις ἐξάπτουσαι τῆς ἑαυτῶν νοήσεως. Ἄλλας δὲ καθημένας πέριξ [δ ι '

ἴσ ο]υ τ [ρεῖ ς , ἐν θρόνῳ ἑκάστη ν , θυγατέρας τῆς Ἀνάγ [κης Μοίρα ς] · ἕως τοῦ· τὴν δὲ Λάχεσιν ἐν μέρει [ἑκατέρα ς] ἑκατέρᾳ τῇ χειρὶ ἐφάπτεσθαι [p. 617b—d]. Μετὰ τὰ[ς Σειρῆ]νας, ἃς εἴπομεν τὰς θείας εἶναι τῶν ὀκτὼ κύκλ[ων] ψυχάς, ὧν καὶ ἡ οὐσία καὶ ἡ ζωὴ ἐναρμόνιος καὶ ἡ ἐνέργεια νοερὰ κύκλῳ κινουμένων (ἐν γὰρ ἀσωμάτοις ἡ κύκλῳ κίνησις νοερὰν ἐμφαίνει πάντως ἐνέργειαν) ἡ τῶν Μοιρῶν παραδέδοται τριὰς ὑπὲρ τὰς Σειρῆνας, ἄνωθεν ἐποχουμένη ταύταις τε καὶ ταῖς ὅλαις περιόδοις, ἁπτομένη τε αὐτῶν καὶ οὐχ ἁπτομένη (τοῦτο γὰρ τὸ διαλείπειν), οἷον ὑπερκόσμιός τε ἅμα καὶ ἐγκόσμιος οὖσα· τὸ μὲν γὰρ ἅπτεσθαι κοινωνίαν δηλοῖ πρὸς τὰς περιφοράς, τὸ δ’ αὖ μὴ ἅπτεσθαι χωριστὴν ζωὴν ἀπὸ τούτων ἀσύναπτον πρὸς αὐτάς. καὶ ὁρᾷς πῶς καὶ τῆς Ἀνάγκης ὑφεῖνται τῆς ἑαυτῶν μητρὸς αἱ Μοῖραι καὶ τῶν Σειρήνων ὑπερκάθηνται· θρόνοι μὲν γὰρ ἀποδέδονται παρὰ τοῦ μύθου καὶ αὐταῖς, ὥσπερ τῇ Ἀνάγκῃ· καὶ γὰρ τοῦ τῆς Ἀνάγκης θρόνου μεμνήσεται διὰ τῶν ἑπομένων· καὶ καθῆσθαι λέγονται καθάπερ ἡ μήτηρ, ἀλλ’ οὐ συμπεριφέρεσθαι τοῖς κύκλοις, ὥσπερ αἱ Σειρῆνες.

in R.2.240 ἀλλ’ ἡ μὲν οὐκ ἐφάπτεται τοῦ ἀτράκτου ταῖς χερσίν, ἀλλ’ ἔγκειται τοῖς γόνασιν αὐτῆς ὡς ἡδρασμένος ἐν αὐτῇ μονίμως, αἱ δὲ χρῶνται ταῖς χερσὶν καὶ κινοῦσι διὰ τούτων, ὡς ἂν προσεχέστεραι τοῖς κινουμένοις· καὶ αὗται μὲν ἔξω τῶν κύκλων οὖσαι καὶ ἡδρασμέναι κινοῦσιν· αἱ δὲ Σειρῆνες ἐπιβεβηκυῖαι τῶν κύκλων καὶ συμπεριφερόμεναι αὐτοῖς· ὥστε τῶν Μοιρῶν καὶ ταύτας κινου[σῶν] .. 85 .. [ἐ]ντὸς περιφορὰς ..... γὰρ κινοῦσιν· ἡ δὲ ἐκ τῶν περι[φορῶν] εἰς τὰ ἐπ’ εὐθείας κινούμενα· ταῦτα γὰρ πάντα δουλεύει ταῖς ἐκείνων περιόδοις. καὶ οὕτως ὁ κόσμος ἅπας ἐστὶν Μοιραῖος, τῶν μὲν ἀκυροτέρων κινήσεων εἰς τὰς κυριωτέρας ἀνηρτημένων, τούτων δὲ εἰς τὰς Μοίρας· τῶν δὲ Μοιρῶν κατὰ τὴν βούλησιν τῆς μητρὸς κινουσῶν, καὶ ὅσον ἐκείνη τῷ εἶναι, τοσοῦτον τῷ ἐνεργεῖν τούτων εἰς τὸ πᾶν παρεχουσῶν. ἀλλ’ ὅτι μὲν αἱ Μοῖραι διὰ τῶν περιόδων τούτων πάντα τὰ ἐν τῷ κόσμῳ κατευθύνουσι, δῆλον, ἑκάστοις ἀπομερίζουσαι τὸ προσῆκον, καὶ ψυχαῖς καὶ ζώοις καὶ φυτοῖς, καὶ ἐπικλώθουσαι τὴν ὀφειλομένην μοῖραν. διὸ καὶ τὰς περιόδους ἀτράκτῳ καὶ σφονδύλοις προσείκασεν, ἐπεὶ κἀν ταῖς ἱεροποιΐαις συνθήματα ταῦτα τῶν Μοιρῶν εἰώθασι παραλαμβάνειν, ἠλακάτας ἀτράκτους νήματα· διὰ γὰρ τούτων δηλοῦται τὸν ἄνωθεν εἱρμὸν μέχρι τῶν τελευταίων διήκειν, τῆς μὲν ἐν τῇ συνηθείᾳ καλουμένης ἠλακάτης τὴν ἐν ταῖς Μοίραις περιεχομένην αἰτίαν δηλούσης, ἧς εἰς τὸ πᾶν ἐντιθέασιν ἀπ’ ἐκείνης ζωῆς· τοῦ δὲ ἀτράκτου τοῦ ἀπ’ ἐκείνης τὸ νῆμα δεχομένου τὴν εἰς τὸ πᾶν ἐνδεδομένην· τοῦ δὲ νήματος τὸν εἱρμὸν τῆς τε μενούσης καὶ τῆς προελθούσης.

in R.2.241 οὐ γὰρ δεῖ νομίζειν, ὅτι τάττουσαι τὰ πάντα καὶ κινοῦσαι χωρὶς τοῦ ζωὴν ἐνδιδόναι κινοῦσιν· οὐδὲ γὰρ οἱ τὰ τῇδε ἀγάλματα ἐλλάμποντες ἄνευ ζωῆς ἐλλάμπουσιν· ἀλλὰ τῆς ζωῆς ἰδιότης ἄλλη ἄλλης, καὶ ὡς μὲν ζωὴ κ ..... δ .. 25 . εἶται .. δ .. 25 . Μοῦσαι μὲν ἐναρμόνιον προξενο[ῦσι, Μοῖ]ραι δὲ εἰρόμενον εἶδος τῷ κόσμῳ καὶ [ἄλλος] ἄλλο τι τῶν θεῶν. Τίς δέ ποτε ἄρα τάξις .... Μοιρῶν καὶ τίνα τὰ ἀπὸ τῆς θεομυθίας αὐταῖς ἀποδοθέντα σύμβολα, οἱ θρόνοι τὰ στέμματα ἡ λευκὴ ἐσθὴς ἡ ὑμνῳδία αἱ χεῖρες; ἕκαστα γὰρ τούτων δεῖται νοερῶν ἐπιστάσεων. καὶ ὅλως πρὸ τούτων, πῶς ἑώρα καθημένας καὶ σχήματα ἐχούσας αὐτὰς καὶ ἤκουεν ὑμνουσῶν; καὶ τί τὸ τὴν μὲν ἄλλα ὑμνεῖν, τὴν δὲ ἄλλα, καὶ μεμερίσθαι τὰς ὑμνήσεις τοῖς τοῦ χρόνου μορίοις; τί γὰρ πρὸς ἐκείνας χρόνος; εἰ μὲν γὰρ ἦσαν ψυχαί, τάχ’ ἂν καὶ χρόνος αὐταῖς διέφερεν· καίτοι καὶ εἰ τοῦτο ἀληθές, ἡ κατὰ μέρη τοῦ χρόνου διαίρεσις δεῖται λόγου τινός. — Τὸ μὲν τοίνυν τὰ ἀσώματα σωματοειδῆ θεωρεῖν καὶ τὰ ἔξω τόπου παντὸς ὡς ἐν τόπῳ τινὶ ὄντα καὶ διαστήματι καὶ τῶν ἔξω κινήσεως διὰ κινήσεως ἀντιλαμβάνεσθαι θαυμαστὸν οὐδέν· πάλαι καὶ τῶν θεουργῶν ἡμᾶς διδαξάντων, ὅτι τὰς αὐτοφανείας τῶν θεῶν μεμορφωμένας τῶν ἀμορφώτων καὶ ἐσχηματισμένας τῶν ἀσχηματίστων ἀνάγκη γίνεσθαι, τῆς ψυχῆς καὶ τὰ ἀτρεμῆ καὶ τὰ ἁπλᾶ φάσματα τῶν θεῶν κατὰ τὴν ἑαυτῆς φύσιν ὑποδεχομένης μεριστῶς καὶ μετὰ φαντασίας σχῆμα καὶ μορφὴν συναγούσης τοῖς θεάμασιν. πᾶσα γὰρ μέθεξις τήν τε τοῦ μετεχομένου καὶ τὴν τοῦ

μετέχοντος ἰδέαν διασώζει, μέση πως οὖσα τούτων ἀμφοτέρων· καὶ οὔτε τὴν τοῦ μετεχομένου μόνον, οὐ γὰρ ἂ[ν ἐδίδου τι] τῷ μετέχοντι· οὔτε τὴν τοῦ με[τέχοντος, οὐ γ]ὰρ [ἂν ἐξ]ήρτητο τοῦ μετεχομέ[νου.

in R.2.242 ὄντων] οὖν θείων τῶν μετεχομένων ἔ[χει τὰ πα]ρ' αὐτῶν προτεινόμενα φάσμα[τα] τὸ φωτοειδὲς τὸ ἄχραντον τὸ ἀχρόνως παρὸν τὸ ζωτικόν, πᾶν εἴ τι τοιοῦτον, τῶν δὲ μετεχόντων τὸ διαστατὸν τὸ μεμορφωμένον τὸ ἐσχηματισμένον· ταῦτα καὶ τῶν θεῶν εἰπόντων πρὸς τοὺς θεουργούς· ἀσωμάτων γὰρ ὄντων, φασίν, ἡμῶν σώματα τοῖς αὐτόπτοις φάσμασιν ὑμῶν εἵνεκεν ἐνδέδεται · διὰ γὰρ τοὺς μετέχοντας σωματοειδῆ φαντάζεται τὰ ἀσώματα ἐν τῷ αἰθέρι φαινόμενα διαστατῶς. εἰ οὖν τοῖς θεουργοῖς τοῦτον αὐτοπτεῖται τὸν τρόπον τὰ θεῖα, θαυμαζέτω μηδείς, εἰ καὶ ὁ τῶν θεαμάτων τούτων ἄγγελος, ὡς ψυχὴν εἰκὸς ἦν μερικὴν φαντασίᾳ χρωμένην καὶ ἔτι σώματος ἔννοιαν ἔχουσαν, οὕτω τῶν ἀσωμάτων ἐφήπτετο καὶ ἑώρα ἐν τῷ αἰθερίῳ σώματι τὰς τῶν ἀσωμάτων ὑπάρξεις σωματικῶς, καὶ ἀντὶ μὲν τῆς ζωῆς τῆς θείας καὶ ἀΰλου χιτῶνας λευκοὺς καὶ λευχείμονας τὰς Μοίρας· ἀντὶ δὲ τῆς σταθερᾶς καὶ μονίμου καταστάσεως καθημένας· ἀντὶ δὲ τῆς διωρισμένης ἀπὸ τῶν ἄλλων θεῶν ἰδιότητος μεριστὰς καὶ τοπικὰς περιγραφάς· συνθήματα γὰρ τὰ ἐμφανῆ τῶν ἀφανῶν ἐστιν δυνάμεων, τῶν ἀμορφώτων τὰ ἐν μορφαῖς ὁρώμενα διαστataῖς. ταῦτα μὲν οὖν, ὅπερ ἔφην, διὰ τῶν ἱερατικῶν ἔργων γνώριμα τοῖς μὴ παντάπασιν ἐκείνων ἀνηκόοις· ἐπεὶ καὶ τὸ φωνῆς ἀκούειν ἐμμελοῦς καὶ ὕμνων γέ τινων σύνηθες τοῖς .. 20 . [ἀσω]μάτων .. 20 . [αὐτο]φάνειαν, οὔτε φωνῇ [καὶ σωματικοῖς ὀρ]γάνοις οὔτε πληγαῖς καὶ [ἤχοις δρών]των, ἀλλ' ἀσωμάτως ἐνεργούντων· τῆ[ς] ἐν ἐκείνοις ἀπαθοῦς ἐνεργείας ἐν τῷ μετέχοντι κατὰ τὴν ἐκείνων βούλησιν παθη[τι]κὴν ὑφιστάσης κίνησιν· ἐπεὶ καὶ τῆς ψυχῆς αἰδουμένης ἢ φοβουμένης ὠχρότης ἢ ἔρευθος ἐν τῷ σώματι συμβαίνει, μὴ ὄντος ἐν ἐκείνῃ θατέρου τούτων, ἀλλ' ἀπὸ τῆς ἐν ἐκείνῃ κινήσεως τῆς ἀχρωμάτου περὶ τὸ σῶμα τῆς κατὰ τὸ χρῶμα διαθέσεως ὑφισταμένης.

in R.2.243 Μὴ οὖν οἰέσθω τις ἀδύνατον εἶναι τῶν Μοιρῶν ὑμνουσῶν νοερῶς εἰς αἴσθησιν ἐκπίπτειν τὰς νοήσεις αὐτῶν παρὰ τοῖς ἀμφὶ τὸν Ἥρα καὶ ἦχον ἀποτελεῖσθαι τὴν ἄνευ ἤχου κίνησιν καὶ διὰ πληγῆς ἐνεικονίζεσθαι τὴν ἄπληκτον ζωὴν καὶ ἀπὸ τῆς κατὰ νοῦν συναισθήσεως ἐκφοιτᾶν εἰς τὴν δι' ἀκοῆς ἀντίληψιν. οἷον γὰρ τὸ γνωστόν, τοιαύτη καὶ ἡ γνῶσις· εἰ μὲν νοητόν, νόησις· εἰ δ' ἀκουστόν, ἄκουσις· τοῦ δὴ νοητοῦ γεγονότος δι' ἐμφάσεως ἀκουστοῦ καὶ ἡ νόησις ἄκουσις γέγονεν καὶ ἤκουεν ὧν ἐνόει πρότερον. ἀλλὰ τοῦτο μὲν φανερόν, ὅπερ εἴπομεν, καὶ ἀπὸ τῆς παρ' ἡμῖν ἱερατικῆς· καὶ προσθετέον ὡς ἄλλον μὲν τρόπον ἄγγελοι θεῶν ἐπήκοοι γίγνονται, δαίμονες δὲ ἄλλον, ψυχαὶ δὲ ἀνθρώπων ἄλλον· οἱ μὲν νοερῶς τῶν νοερῶν, οἱ δὲ λογικῶς, οἳ δὲ καὶ αἰσθητικῶς, ἕκαστοι δὲ κατὰ τὰ μέτρα τῆς ἑαυτῶν ἐπιτηδειότητος ὑποδεχόμενοι τὴν τῶν θεῶν γνῶσιν καὶ ἐνέργειαν εἰς ἑαυτοὺς προϊοῦσαν. καὶ .. 85 .. ς ὅταν τῆς συνθέ[σεως ἐν ταῖ]ς διανοήσεσι καθαρεύσωμεν· [τότε] ἀμορφώτως αὐτῶν ἕξομεν συναίσθησιν [πα]ρόντων, ὅταν φαντασίαν ἀποσκευασώμεθα· τότε τὰ φθέγματα αὐτῶν διὰ νοῦ γνωσόμεθα μόνως, ὅταν σιγήσωμεν πάσαις ἡμῶν ταῖς σωματικαῖς αἰσθήσεσιν. Τούτων δ' οὖν ὑπεμνησμένων τί χρὴ λέγειν πρῶτον περὶ τῆς τῶν Μοιρῶν τάξεως, ἴδωμεν· τίς πρώτη τούτων ἐστίν, τίς δὲ τρίτη, τίς δὲ μέσην ἔχουσα δύναμιν; οἳ μὲν γὰρ τῶν πρὸ ἡμῶν τὴν Λάχεσιν τρίτην ἔθεντο καὶ φασὶν ὡς ὑφειμένην ἑκατέρᾳ χρῆσθαι ταῖν χειροῖν, καὶ τὰ παραδείγματα τῶν κλήρων ἀπὸ ταύτης ὡς ὑφειμένης λαμβάνειν τὸν προφήτην, πασῶν ὄντα καταδεέστερον, ἀπὸ τῆς ἑαυτῷ προσεχοῦς.

in R.2.244 οἳ δὲ μέσην αὐτὴν τάττουσιν ἀμφοτέρων καὶ ὡς συνεφαπτομένην ταῖς ἄκραις οὕτως ἐνεργεῖν, μετὰ μὲν Κλωθοῦς τῇ δεξιᾷ, μετὰ δὲ Ἀτρόπου τῇ ἀριστερᾷ· διὸ καὶ ἐκείνων ἑκατέραν χρόνον διαλείπειν, οἷον χώραν τῇ μέσῃ παρεχομένας, καὶ διὰ τοῦτο ταύτην ἔχειν παραδείγματα τῶν κλήρων ὡς ἐν ἑαυτῇ διὰ τὴν μεσότητα τὴν τριάδα τὴν Μοιραίαν δεικνύουσαν, καὶ ὡς τῇ μεσότητι τῶν ψυχῶν προσήκουσαν. οἱ δὲ δὴ τρίτοι πρεσβυτέραν ἀμφοῖν ὑπώπτευσαν εἶναι τὴν

Λάχεσιν καὶ οὕτως ἀμφοτέραις κινεῖν τὸν ἄτρακτον, ὡς καὶ τὸ ἀπλανὲς ἐπιστρέφουσαν καὶ τὸ πλανώμενον καὶ ἁπλῶς ὅλον τὸν οὐρανόν· καὶ τὰ παραδείγματα τῶν κ[λήρων] .. 35 . δ .. 22 . μετὰ δὲ τὴν αἵρεσιν τὰ .. 10 . [τὴν δευ]τέραν καὶ διὰ τοῦτο καλεῖσθαι [Κλωθώ·] .... νωσαν καὶ αὐτὴν ἐμπεδοῦν τὴν Ἄτροπ[ον, τόν] τε βίον λέγω καὶ τὰ ἐπικεκλωσμένα, καὶ [διὰ] τοῦτο Ἄτροπον ὀνομάζεσθαι. —Τούτων δὴ διαφερομένων ἡμεῖς τῷ Πλάτωνι χρώμεθα κριτῇ λέγοντι μὲν ἐν Νόμοις ἐν τῷ δωδεκάτῳ [p. 960c] σαφέστατα, ὡς ἄρα πρώτην μὲν Λάχεσιν ὑπολαμβάνειν δεῖ, Κλωθὼ δὲ δευτέραν, Ἄτροπον δὲ τρίτην ἀμετάστροφα τὰ κλωσθέντα ἀποτελοῦσαν· λέγοντι δὲ καὶ ἐν τούτοις, ὡς ἄρα ὁ λαχὼν ἑκάστην ψυχὴν δαίμων ἄγει πρῶτον μὲν ὑπὸ τὴν Λάχεσιν καὶ τὴν ἐκείνης ἐπιστροφήν, δεύτερον δὲ ὑπὸ τὴν τῆς Κλωθοῦς, τρίτον δὲ ὑπὸ 〈τὴν〉 τῆς Ἀτρόπου· κἀκεῖθεν ἐπὶ τὸ πεδίον ἔρχονται πᾶσαι τῆς Λήθης καὶ τὸν Ἀμέλητα ποταμόν. εἰ οὖν ἡ κάθοδος ἄνωθεν, δῆλον ὡς ἡ Λάχεσις πρεσβυτάτη πασῶν ἐστιν καὶ οὕτως ἑκατέρᾳ κινεῖ ταῖν χειροῖν, ὡς καὶ τὴν ἐπὶ δεξιὰ καὶ τὴν ἐπ' ἀριστερὰ κινοῦσα τοῦ ἀτράκτου περιφοράν.

in R.2.245 Τούτου δὲ ἡμῖν ἀπ' αὐτῶν δειχθέντος τῶν Πλατωνικῶν ῥήσεων τὰ ἑπόμενα τούτοις σύμβολα διασκεψώμεθα. τὸ μὲν οὖν θυγατέρας λέγεσθαι τὰς Μοίρας τῆς Ἀνάγκης δείκνυσιν τὸ μὲν ἑνοειδὲς κράτος τῇ Ἀνάγκῃ προσῆκον ὡς πάντα συνεχούσῃ κατὰ μίαν αἰτίαν, ἣν ἀποδρᾶναι τῶν ἐγκοσμίων οὐδενὶ θεμιτόν, οὐ τῶν οὐρανίων, οὐ τῶν ὑπὸ σελήνην, οὐ τῶν ὁλικῶν, οὐ τῶν μερικῶν· μία γάρ ἐστιν αὕτη πάντων φρουρὰ τῶν τοῦ .. 14 . [τὰς] δὲ Μοίρας κατα[τάσσει ὑπὸ τὴν ταύτης βα]σιλείαν, ὡ[ς] ἐκείνην [τῶν δόσεων τῶν Μοιρ]αίων καὶ τῶν ἐπικλωθο[μένων καὶ] τῆς πάντων ἀναγκαίας ἀκολου[θία]ς εἶναι δεσπότιν. τὰς δὲ Μοίρας ἄλλην [ἄ]λλο τι δρᾶν μερισαμένας τὰ ἔργα τῆς μονάδος· καὶ διὰ τοῦτο λέγεσθαι θυγατέρας, ὡς τήν τε πρόοδον καὶ τὴν οὐσίαν καὶ τὰς δυνάμεις καὶ τὰς ἐνεργείας ἀπ' ἐκείνης διακληρωσαμένας· ἐν γὰρ τοῖς θεοῖς τὰ αἴτια καὶ τὰ αἰτιατὰ τούτοις διαφέρει, τῷ ἡνωμένῳ καὶ πεπληθυσμένῳ, τῷ ὁλικωτέρῳ καὶ μερικωτέρῳ, τῷ ἐξῃρημένῳ καὶ προσεχεστέρῳ τοῖς διοικουμένοις. κἀνταῦθα τοίνυν προηγεῖται μὲν ἡ μονὰς καὶ ἐξῄρηται πάντῃ τῶν ἐγκοσμίων καὶ ἔστιν ὅλη καὶ μία, ταύτης δὲ ἡ τριὰς ἀνῆπται, μεριζομένη περὶ τὴν τοῦ ἀτράκτου περιφορὰν καὶ προάγουσα εἰς ἐμφανὲς τὴν τῆς μονάδος πρόνοιαν. ὅθεν καὶ Μοῖραι τὴν φήμην ἔσχον αὗται καλεῖσθαι, οὐ μόνον ὡς μερίζουσαι τὰ ὀφειλόμενα τοῖς γιγνομένοις πᾶσιν, ἀλλὰ καὶ ὡς μερισάμεναι τὴν τῆς μητρὸς ἡνωμένην ποίησιν· ἐκείνη δὲ Ἀνάγκη, ὡς κρατοῦσα πάντων ἀραρότως καὶ ἀναποδράστως, ὧν αὗται διῃρημένως. τῶν μὲν γὰρ ἔξω γενέσθαι δυνατὸν κατά τινα ἐνέργειαν, οἷον τῆς Λαχέσεως κατὰ τὴν πρὸ τοῦ κλήρου ζωήν· πρῶτος γὰρ ἡμᾶς ὁ κλῆρος ὑποτάττει τῇ Λαχέσει καὶ τὸ λαχεῖν οἷόν ποτε κλῆρον· τῆς δὲ Ἀνάγκης κατ' οὐδεμίαν· διὸ κυρίως Ἀνάγκη πάντα περιλαβοῦσα τοῖς ἑαυτῆς ἀκλινέσιν ὅροις.

in R.2.246 Τὸ δὲ δὴ λευχείμονας λέγεσθαι πάντως παρίστησιν, [ὅτι κ]αὶ νοερὰν εἰλήχα[σι ζωήν·] καὶ τοῦ θείου φωτ[ὸς μὲν ἡ ἐνάργεια καὶ ἡ ὄψις] ἡ αὐτοφανὴς σύνθη[μα, τῆς δὲ ἐν οὐρανῷ] ζωῆς τὸ φωτεινὸν καὶ διαυγὲς ο[ἰκείως ἔ]χον τοῖς οὐρανίοις, ὥσπερ τὸ μέλαν τοῖς [χθο]νίοις· τῆς γὰρ λαμπρότητος τῆς ἐν τῷ φωτὶ συγγενὲς τὸ λευκόν. ὅτι δὲ τὰς ἐσθῆτας οἱ μῦθοι σύμβολα παραλαμβάνειν εἰώθασιν τῶν ἀσωμάτων ζωῶν, ὅστις παρηκολούθηκεν ταῖς θεομυθίαις, πάντως που γιγνώσκει· καὶ γὰρ αἱ ζωαὶ τὰς τῶν θεῶν ὑπάρξεις ἀποκρύπτουσιν προβεβλημέναι καὶ αἱ ἐσθῆτες τὰ σώματα· καὶ ὡς αὗται περιέχουσιν ἐν ἀφανεῖ τὸ χρώμενον, οὕτω καὶ ἐκεῖναι τὰς θείας ἑνώσεις. ἐπεὶ δὲ αἱ ὑπάρξεις ἄλλων ἄλλαι, καὶ τὰς ἐσθῆτας τῶν μὲν λευκάς, τῶν δὲ μελαίνας, τῶν δὲ χρυσᾶς, τῶν δὲ τοιαύτας ἄλλας παραλαμβάνουσιν, καὶ πάντα ἁπλῶς τὸν ἔξωθεν κόσμον ταῖς ἔνδον καὶ ἐγκρυφίοις δυνάμεσιν ἐοικότα κατὰ σχήματα καὶ χρώματα περιβάλλουσιν αὐτοῖς. ἐπεὶ καὶ ἐν τοῖς ἱεροῖς διὰ ταῦτα τοῖς ἀγάλμασιν ἄλλοις ἄλλα περιέκειτο συνθήματα, τῶν κρειττόνων συνᾴδοντα τοῖς ἀγάλμασιν· καὶ οἱ τῶν θεῶν ἱεροὶ καὶ οἱ κλήτορες

καὶ οἱ δοχεῖς πολυειδέσιν ἐχρῶντο χιτῶσιν καὶ καταζώσεσιν, μιμούμενοι τὰς θείας ζωάς, εἰς ἃς ἀνῆγον τὴν ἑαυτῶν πραγματείαν. προσήκει τοίνυν καὶ ταῖς Μοίραις τὸ φανὸν ὡς τὰς οὐρανίας ζωὰς προβεβλημέναις, δι' ὧν κινοῦσι τὸν οὐρανόν· καὶ γὰρ τὸ ἀμιγὲς καὶ καθαρὸν αὐταῖς οἰκεῖον· διὸ καὶ νηφάλια σπένδειν θεμιτὸν Μοίραις καὶ πᾶν τὸ χθόνιον .

in R.2.247 . 25 . μαι[ς] αὐ .. 15 . [Τὸ δὲ στέμμ α]τα ἐπὶ τῶν [κεφαλῶν αὐτὰς ἔ]χειν τῷ θείῳ φωτὶ καὶ [νοητῷ περιλά]μπεσθαι δηλοῖ τὰς ἀκροτάτας αὐτῶν ὑπάρξεις· οὐ γὰρ ἀπὸ φυτῶν τὸ στέμ[μα] γίνεσθαί φασιν, ἀλλ' ἀπὸ ἐρίων. καὶ ἔστι καὶ τοῦτο πρέπον ταῖς ἱερατικαῖς ζωαῖς· στρόφια γὰρ καὶ τοῖς ἱερεῦσιν τοῖς τῶν ἄλλων ὑψηλοτέρας ἱερωσύνας φέρουσιν ἔχειν προστέτακτο καὶ μέγα ἦν τὸ στροφίου κύριον εἶναι· τοῦτο δὴ οὖν ἀποτυποῦται τὰ στέμματα τὰ Μοιραῖα, συμβολικῶς περικείμενα ταῖς κεφαλαῖς αὐτῶν. αἱ μέν γε κεφαλαὶ τῶν θειοτάτων εἰκόνες εἰσὶν καὶ ὑψηλοτάτων ἐν αὐταῖς δυνάμεων, ἐπεὶ καὶ ἐφ' ἡμῶν τοῦ θειοτάτου τῆς ψυχῆς εἰσιν οἰκήσεις. Τὰ δὲ στέμματα ζωὴν θείαν καὶ γόνιμον ἐνδείκνυται, συνάπτουσαν αὐτῶν τὰς ἀκρότητας ταῖς ὑπερτέραις αἰτίαις, ὡς τὰς ἱερατικὰς ζωὰς τοῖς θεοῖς οἷς καθιέρωτο τὰ στρόφια συνάπτειν ἐπεπίστευτο. καὶ ὁρᾷς ὅπως ὁ τῆς κεφαλῆς κόσμος τοῦ περὶ τὸ ἄλλο πᾶν σῶμα ὡς αἴτιος προϋπάρχων ἀναφαίνεται· τῆς γὰρ ἐσθῆτος τὸ ἔριον οἷον αἴτιόν ἐστιν, ὥστε εἰ καὶ ἑκάτερον ζωῆς σύμβολον, ἀλλὰ τὸ μὲν θειοτέρας καὶ αἰτιωτέρας, τὸ δὲ καταδεεστέρας καὶ ἀπ' ἐκείνης ἀπορρεούσης. —Καὶ μὴν καὶ τὸ ἐπὶ θρόνων καθῆσθαι πέριξ καὶ δ ι ' ἴσου πᾶσαν αὐτῶν ἀναφαίνει τὴν τάξιν ἀεὶ ὡσαύτως ἔχουσαν καὶ περιέχουσαν πανταχόθεν τὸν ὅλον οὐρανὸν καὶ τὴν πρὸς ἀλλήλας αὐτῶν ἀξίαν καθ' ἕνα λόγον ἑστῶσαν διαφυλάττουσαν. τὸ μὲν γὰρ δ ι ' ἴσου θαυμαστῶς ἐνεδείξατο πῶς ἔχουσι πρ[ὸς ἀ]λλή[λας] .. 20 . ην .. 24 .. [ἀπὸ τῆς αὐ]τῆς προελθοῦσαι μον[άδος] .. 10 .. ἀλλήλαις, καὶ οὐχ ὡς τὰ αἴ .. 12 . μόνον ὑπεροχὴ καὶ ὕφεσίς ἐστιν ἐν αὐταῖς.

in R.2.248 καὶ τοῦτο σημαίνει τὸ δι' ἴσου πάσας τῶν ἄλλων διεστάναι, καὶ τὴν Λάχεσιν τῆς Κλωθοῦς καὶ τῆς Ἀτρόπου ταύτην καὶ τὴν Ἄτροπον τῆς Λαχέσεως, οἷον ἐν ἰσοπλεύρῳ τριγώνῳ τεταγμένας. τοῦτο δὲ ὅπερ εἴπομεν τὴν σύνταξιν αὐτῶν σημαίνει τὴν ὡς ἀπὸ μιᾶς αἰτίας πάσας ὑποστάσας κατὰ μίαν ἰσότητα συντάττουσαν. τὸ δὲ δὴ πέριξ τὴν ἔξωθεν περικαλύπτουσαν τὸν ἄτρακτον ζωήν· περιέχουσι γὰρ ὅλον ἐν ἑαυταῖς καὶ οἷον περικάθηνται τῷ σφονδύλῳ πανταχόθεν· οἷον εἰ νοήσειας ἐπὶ τῆς κυρτῆς ἐπιφανείας τρίγωνον ἐκ περιφερειῶν ἴσων καὶ κατὰ τὰς γωνίας ἱδρυμένας ἐπὶ θρόνων τὰς Μοίρας. οὕτω γὰρ καὶ δι' ἴσου καὶ πέριξ ταύτας νοήσεις ἐφιδρυμένας τῷ παντί, καὶ ἅμα μὲν ἀλλήλαις ὁμοταγεῖς, ἅμα δὲ τῷ οὐρανῷ περιβαλλούσας τὴν ἑαυτῶν φυλακήν. Τοὺς δὲ δὴ θρόνους, ἐφ' ὧν αὐτοπτικῶς αὐτὰς ἐκεῖνος ἑώρα καθημένας, τίνας ἂν φαῖμεν ἢ δυνάμεις εἶναι αὐτὰς ὑποδεχομένας αὐτῶν τὴν μόνιμον καὶ σταθερὰν ἵδρυσιν; ἐπειδὴ γὰρ καὶ μένουσιν οἱ θεοὶ ἐν αὐτοῖς καὶ προΐασι διὰ πάντων καὶ ἐπιστρέφουσιν εἰς τὰ πρὸ αὐτῶν, καὶ οὔτε τὸ μένειν χαλῶσιν διὰ τὸ προϊέναι καθάπερ αἱ ψυχαί (ταύταις γὰρ ἡ εἰς τὸ κάτω πρόοδος ἀποφοιτώσαις μὲν τῶν αἰτίων, ἐξισταμέναις δὲ γίνεται ἑαυτῶν) οὔ[τε τὸ] προιέναι [ἐπέ]χουσιν διὰ τὸ μένειν (.. 20 . ἐν τῷ κατὰ φύ[σιν] .... π ..ʿ. α κινητά ἐστιν), ἀλλ' ἅμα τὸ [συν]αμφότερόν ἐστιν παρ' αὐτοῖς καὶ τὸ ἐπιστρέφεσθαι μετὰ τούτων, τὰς μὲν ζωὰς ἁπάσας τὰς τὴν μονὴν αὐτῶν ὑποδεξαμένας θρόνοις εἰκάζουσιν, τὰς δὲ ταῖς προόδοις ὑπηρετούσας ἢ ἐπιστροφαῖς ὀχήμασίν τισιν· καὶ ταῦτα παραπετάσματα γίνεται τοῖς σοφοῖς μύθοις τῆς περὶ θεῶν ἀληθείας. καὶ τοίνυν καὶ τῶν Μοιρῶν τὰς ἐξῃρημένας τοῦ οὐρανοῦ ζωὰς τὰς τῶν μονίμων ἐν ἑαυταῖς δυνάμεων ὑποδοχάς, ἐν αἷς ἱδρυμέναι καὶ τὸν οὐρανὸν ἐν ἑνὶ τόπῳ μένοντα διαφυλάττουσιν, θρόνους ὑπολαβεῖν χρὴ λέγεσθαι, καθάπερ ἐν Φαίδρῳ θεῶν ὀχήματα *** ταῖς τε πορείαις αὐτῶν συνεξορμώσας· ἐλαύνων γάρ, φησίν [p.

in R.2.249 246e], ὁ Ζεὺς πτηνὸν ἅρμα πορεύεται πρῶτος · καὶ ἑξῆς φησιν [p. 247b], ὅτι τὰ τῶν θεῶν ὀχήματα ἰσορρόπως εὐήνια ὄντα πορεύεται ι , τὰ δὲ ἄλλα μόγι ς . καὶ γὰρ ἐκεῖ οἱ ἡνίοχοι τῶν

ὀχημάτων ἕτεροι καὶ ἐνταῦθα αἱ ἐντεθρονισμέναι τῶν θρόνων, ὑποδοχαὶ δὲ ἄμφω ταῦτα ἀμφοῖν, ἀλλ᾽ αἳ μὲν κινουμένων, αἳ δὲ μενόντων. εἰ δὲ δὴ καὶ τὸν τόπον νοήσαις, ἐν ᾧ κεῖσθαι δεῖ φαντασθῆναι τοὺς θρόνους, ἐκεῖνο τὸ φῶς τὸ τῷ κίονι παραπλησίως ἀκλινές, καὶ ἐν ἐκείνῳ τὰς Μοίρας ἱδρυμένας λέγειν ἐκεῖθεν τὸν σφόνδυλον κινεῖν ἐν τῷ αὐτῷ, τάχ᾽ ἂν δυνηθείης κἂν τὴν φαντασίαν ἀποπλῆσαι διαστηματικὴν τούτων ἔννοιαν λαβεῖν ἐφιεμένην· εἰ γὰρ ἔξω τοῦ οὐρανοῦ κάθηνται καὶ εἰ ἐν τόπ[ῳ ἐστὶν ἑκά]στη, δι᾽ ἴσου διεστῶσαι ἀπ᾽ ἀλλήλων, π[οῦ ἀλ]λαχοῦ ἢ ἐν ἐκείνῳ νοήσεις αὐτῶν τ[ὴν] ἵδρυσιν, ἐν ᾧ πάντα ἥδρασται μένοντ[α κα]τὰ τὰ αὐτά· τοιοῦτος δὲ ὡς ἐδείκνυμεν ἐκεῖνος ὁ τόπος, ὃν εἶπεν εἶναι τὸ φῶς, ὡς καὶ τοῦτο οὐκ ἀμυδρῶς δέδεικται διὰ τῶν ἔμπροσθεν. Μέχρι μὲν δὴ τούτων ὅσα κοινὰ παραδέδοται θεάματα περὶ τῶν Μοιρῶν· ἔστιν δὲ ταῦτα τὸ θυγατέρας εἶναι πάσας τῆς Ἀνάγκης, τὸ δι᾽ ἴσου καθῆσθαι, τὸ πέριξ, τὸ στέμματα ἐπὶ τῶν κεφαλῶν ἔχειν, τὸ λευχειμονεῖν, τὸ ἐπὶ θρόνων δή τινων ἱδρῦσθαι. λοιπὸν δὲ ἐντεῦθεν τὰς διαφερούσας αὐτῶν ἐνεργείας ἐκφαίνει καὶ ταύτας διαιρεῖ, τὰς μὲν γνωστικὰς τιθέμενος αὐτῶν, τὰς δὲ κινητικάς. αἱ μὲν γὰρ ὑμνῳδίαι τῶν γεγονότων καὶ ὄντων καὶ ἐσομένων· καὶ πῶς ἡ μὲν ὑμνεῖ τὰ γεγονότα μόνως, ἡ Λάχεσις, ἡ δὲ τὰ παρόντα μόνον, ἡ Κλωθώ, ἡ δὲ τὰ μέλλοντα μόνως, ἡ Ἄτροπος; δυνατὸν μὲν οὖν λέγειν, ὅτι τὴν τάξιν ἠθέλησεν τῶν Μοιρῶν ποιῆσαι γνώριμον διὰ τῶν τριῶν τοῦ χρόνου μορίων· ὧν ἡγεῖται μὲν τὸ γεγονός, ὡς ἡ Λάχεσις ταῖν δυεῖν· δεύτερον δὲ τὸ παρόν, ὡς ἡ Κλωθὼ δευτέρα· τρίτον δὲ τὸ ἐσόμενον, ὡς ἡ Ἄτροπος.

in R.2.250 γελοῖον γάρ, εἴ τις οἴοιτο τοῖς χρόνοις ὄντως διῃρῆσθαι τὰς ὑμνήσεις, ἀλλὰ μὴ συμβολικῶς σημαίνεσθαι διὰ τούτων πρώτην καὶ μέσην καὶ τελευταίαν νοήσεων ἐνέργειαν, πασῶν μὲν ὑπὲρ χρόνον οὐσῶν, τοῦ δὲ μύθου διὰ τῶν χρονικῶν ὀνομάτων τὴν ἐξαλλαγὴν τῶν ἀχρόνων νοήσεων σημαίνοντος. .. 22 . ου κάτ .. 20 . [οὐ γὰ]ρ κατὰ τὴν ἀξί[αν τὸν ὕμνον πρὸς] τὴν τῶν Σειρήνων ἁρμονί[αν συ]νᾴδειν ἀναστρέψας εἶπεν ὁ μῦθος τὴν τάξιν. τὴν γὰρ ἁρμονίαν ἔπεσθαι δεῖ τῇ ᾠδῇ, καθάπερ ἐν τοῖς Νόμοις ἐδιδάχθημεν, μέλει μὲν ἀκολουθεῖν ῥυθμόν, ᾠδῇ δὲ μέλος· καὶ 〈εἰ〉 ἐνταῦθα τοῦτο κατὰ λόγον ἐστίν, πολλῷ πρότερον ἐν τῷ παντὶ τοῦτο κατὰ φύσιν. δεῖ τοίνυν καὶ ταῖς ὑμνήσεσι τῶν Μοιρῶν ἕπεσθαι τὰς ἁρμονίας τῶν Σειρήνων· ὃ δὲ δι᾽ ἐπίκρυψιν ἔμπαλιν ἀπεφήνατο τὰς Μοίρας ὑμνεῖν πρὸς τὴν ἁρμονίαν τῶν Σειρήνων, οὐχ ὡς ἑπομένην ἐκείνῃ προτέραν οὖσαν, ἀλλ᾽ ὡς ὅρον αὐτῇ καὶ μέτρον ἐπάγουσαν. τοῦτο μὲν τοίνυν σαφὲς οὑτωσὶ γέγονεν ἡμῖν· εἰ δὲ βούλει, καὶ καθ᾽ ἕτερον τρόπον 〈δυνατὸν〉 σκόπει τῶν χρονικῶν ὕμνων τὴν ἐξήγησιν. αὐτὸ μὲν γὰρ ὅλως τὸ ὑμνεῖν δηλοῖ τὴν ἐνέργειαν αὐτῶν εἶναι τὴν νοερὰν εἰς τὰς ὑπερτέρας αἰτίας ἐπεστραμμένην· αἱ γὰρ ὑμνήσεις τῶν θεῶν κρειττόνων εἰσίν, ἀλλ᾽ οὐ χειρόνων. δῆλον οὖν ὅτι νοοῦσιν τὰς ἐν τῇ μητρὶ τῶν πάντων αἰτίας καὶ εἰσὶν ὄντως ὑμνῳδοὶ τῆς μητρός, ἐπειδὴ δὲ ἡ μὲν τῆς Λαχέσεως νόησις περιέχει τὰς τῶν ἄλλων, ἡ δὲ τῆς Κλωθοῦς τὴν τῆς λοιπῆς, τὰ χρονικὰ ὀνόματα συνθήματα παρείληπται τῆς περιοχῆς· τὰ μὲν γὰρ γεγονότα μέλλοντα καὶ παρόντα γέγονε πρότερον, τὰ δὲ παρόντα 〈μέλλοντα μὲν γέγονε,〉 γεγονότα δὲ οὔπω· τὰ δὲ μέλλοντα μέλλοντα ἄρα μόνον ἐστίν, οὔτε δὲ παρόντα πώς ἐστιν οὔτε πολλῷ μᾶλλον γεγονότα.

in R.2.251 περιεκτικώτερα οὖν τὰ γεγονότα μὲν τῶν λοιπῶν, παρόντων καὶ μελλόντων, τὰ παρόντα [δὲ τῶν μελλόντων μόνων.] ὥστ᾽ εἶναι δῆλον ἐκ [τούτων, ὅτι αἱ μὲν τῆς Λα]χέσεως νοήσεις ὁλικώτεραι τῶ[ν ἐν ταῖς ἄλ]λαις εἰσὶν νοήσεων, ἡ δὲ τῆς Κλωθ[οῦς με]ρικωτέρα μὲν τῆς ἐν τῇ Λαχέσει, περιληπτικωτέρα δὲ τῆς ἐν τῇ Ἀτρόπῳ (καὶ γὰρ οὔπω μὲν τὸ παρόν ἐστιν γεγονός, μέλλον δὲ πρότερον ἦν), ἡ δὲ τῆς Ἀτρόπου μερικωτέρα ἐκείνων, εἴπερ τὸ μέλλον οὔπω παρόν ἐστιν, ἀλλ᾽ οὐδὲ γεγονός. εἰ οὖν αἱ νοήσεις αὐτῶν ὡς εἰς τὰ θειότερα ἐπεστραμμέναι ὑμνήσεις προσηγορεύθησαν, ὑμνοῦσι δέ που καὶ νοοῦσιν, ὁλικώτερα μὲν ἡ Λάχεσις νοητά, μερικώτερα δὲ ἡ Ἄτροπος, μέσα δὲ ἡ Κλωθώ, τούτῳ δηλαδὴ καὶ τὴν τῶν νοήσεων ἱκανῶς δηλοῖ καὶ τὴν

τῶν νοούντων ἐξαλλαγήν. Καὶ μὴν καὶ τὰς κινητικὰς αὐτῶν ἐνεργείας τῇ τῶν γνώσεων τάξει συμβαινούσας ἀκούομεν· ἡ μὲν γὰρ Κλωθὼ τῇ δεξιᾷ χειρὶ κινεῖ καὶ δῆλον ὅτι τὴν ἐπὶ δεξιὰ περίοδον, ἡ δὲ Ἄτροπος τῇ ἀριστερᾷ καὶ δῆλον δὴ ὅτι καὶ αὕτη τὴν ἐπ᾽ ἀριστερὰ περιφοράν, ἡ δὲ Λάχεσις ἑκατέρᾳ ταῖν χειροῖν ὡς τὰς συναμφοτέρας περιάγουσα. πάλιν οὖν ἡ μὲν Λάχεσις ὁλικωτέρα ταῖν δυεῖν, ἡ δὲ Κλωθὼ προηγεῖται τῆς Ἀτρόπου τὴν κρείσσονα κινοῦσα περίοδον, τρίτη δὲ ἡ Ἄτροπος, ὑφειμένη τῆς μὲν τῷ μοναχῇ κινεῖν, τῆς δὲ τῷ τὴν καταδεεστέραν· κρείττων γοῦν ἡ ἐπὶ δεξιὰ τῆς ἐπ᾽ ἀριστερὰ περιαγωγῆς, ᾗ τὰ δεξιὰ τῶν ἀριστερῶν δυνατωτέραν ἔχει τάξιν.

in R.2.252 ἐκεῖνο δὲ τούτων ἀληθεστάτων οὐσῶν ἄξιον μὴ παραδραμεῖν, ὅτι καὶ τὴν Κλωθὼ καὶ τὴν Ἄτροπον κινεῖν [εἰπὼν προσέθ]η[κ]εν ἐφ᾽ ἑκατέρας· διαλεί [που σ]αν χρόνο ν , ὡς ἐπὶ τῶν ὑμνήσεων τὸ πρὸς τ[ὴν] τῶν Σειρήνων ἁρμονίαν, οὕτως ἐπὶ τῶν κινήσεων τὸ διαλείπειν χρόνον ἄλλο τι δεόμενον ἐπιστάσεως. τί οὖν δηλοῖ τὸ διαλείπειν χρόνον; ἢ πρὸς μὲν τὸ πλάσμα τῆς θεομυθίας, ἵνα καὶ ἡ Λάχεσις ἔχῃ χώραν ἑκατέραν ταῖν περιόδοιν κινεῖν, ὅταν ἐκεῖναι διαλείπωσιν, πρὸς δὲ τὴν ἀλήθειαν, εἰς ἔνδειξιν τοῦ μὴ εἶναι τὰς ἀπ᾽ αὐτῶν κινήσεις ἑτεροκινήτων; ἔστησαν γὰρ ἂν αἱ περίοδοι τούτων διαλειπουσῶν· τὸ οὖν αὐτοκίνητον αὐταῖν ὁρᾷς, εἰ διαλιπούσας ταύτας λάβωμεν. — Αἱ δὲ δὴ χεῖρες αἱ τῶν Μοιρῶν τίνας ποτὲ δηλοῦσι δυνάμεις; ἢ ὡς αἱ κεφαλαὶ τὰς θειοτάτας, οὕτως αἱ χεῖρες τὰς δευτερουργούς· καὶ ὡς ἐκεῖναι τὰς νοερωτάτας, οὕτως αὗται τὰς ποιητικάς· καὶ γὰρ αἱ μὲν κεφαλαὶ γεγόνασιν ἀρχαὶ τῶν ζῴων, αἱ δὲ χεῖρες ἀντιλήψεως ἕνεκα καὶ ἀμύνης καὶ ὅλως τοῦ δρᾶν. καὶ λάβοις ἂν καὶ ἐκ τούτων, ὅπως καὶ θεολόγοι χεῖράς τινας ἀποκαλοῦσι θεότητας ἢ τῆς ζῳογόνου Ῥέας ἢ τοῦ βασιλέως Ἡλίου· καὶ αὖ ὅπως τὰς ὑπερκοσμίους θεότητας ἅπτεσθαί φασι καὶ μὴ ἅπτεσθαι τοῦ οὐρανοῦ, καὶ τοῦ Σωκράτους ἀκούσας ὑμνοῦντος τὰς Μοιραίας χεῖρας καὶ λέγοντος αὐτὰς ἅπτεσθαι καὶ μὴ ἅπτεσθαι τῶν κινουμένων. οὕτω δὲ ἄρα δυνάμεών εἰσιν αἱ χεῖρες σύμβολα θειοτάτων, ὡς καὶ ἐν τοῖς ὑπὲρ τὸν δημιουργὸν θεοῖς Ἑκατόγχειρας ὑμνεῖσθαί τινας φρουρητικοὺς ὄντας τῶν νοερῶν βασιλέων· τριῶν γὰρ τούτων .. 30 .. ἀντοχῆς. Τοσα[ῦτα κ]αὶ περὶ [τούτων. τὸ δὲ τὴν] Λάχεσιν ἐν μέρει ἑκατέρας ἐφά[πτεσθαι ση]μαίνει δήπου τὸ δυνάμεις ἔχειν .

in R.2.253 . 8 .. , δι᾽ ὧν συνεφάπτεται ταῖς ἄλλαις τῶν κινήσεων, ὥσπερ ἡ Ἀνάγκη κατὰ μίαν ἕνωσιν τὴν κοινὴν πᾶσιν ἐνδίδωσι κίνησιν. δοκεῖ δέ, ὡς εἴπομεν, καὶ τῷ πλάσματι χώραν παρέχειν· εἰ γὰρ ἐκεῖναι διαλείπουσιν χρόνον κινοῦσαι, αὕτη εἰκότως ἐν μέρει ἑκατέρᾳ χειρὶ κινεῖ· οἷον ἐν ᾧ μὲν ἡ Κλωθὼ διαλείπει, τῇ δεξιᾷ κινοῦσα μόνῃ, ἐν ᾧ δὲ ἡ Ἄτροπος, τῇ ἀριστερᾷ, ἵνα τὸ πᾶν ἀεὶ μὲν ὑπό τινος κινῆται καθ᾽ ἑκατέραν ταῖν περιόδοιν, μηδέποτε δὲ ὑπὸ δυεῖν· τοῦτο δέ, ὃ καὶ πρότερον εἴπομεν, ἔνδειξιν ἔχει τοῦ τὰ ἀφ᾽ ἑκάστης ἐνδιδόμενα τῷ κόσμῳ διάφορα εἶναι, καὶ μετέχειν τὰς περιφορὰς οὐ τῶν αὐτῶν παρά τε τῆς μιᾶς καὶ ταῖν δυεῖν· τῷ γὰρ χρόνῳ διεῖλεν τὰ τῇ τάξει διῃρημένα, καθάπερ καὶ ἐπὶ τῶν ὑμνήσεων διήλθομεν· ἐπεὶ καὶ τοῦτο τῶν θεομυθιῶν ἴδιον, μεταλαμβάνειν τὰς ἀχρόνως συνούσας ἐνεργείας, διαφερούσας δὲ ἀλλήλων, εἰς χρονικὴν τάξιν καὶ ἐξαλλαγὴν ὑπὲρ τοῦ κατιδεῖν διωρισμένως τὰς ἰδιότητας αὐτῶν. Σφᾶς οὖ ν , ἐπειδὴ ἀφικέσθα ι , εὐθὺς δεῖν ἰέναι πρὸς τὴν Λάχεσιν · ἕως τοῦ· ἀναβάντα ἐπί τι βῆμα ὑψηλὸν εἰπεῖν [p. 617d]. Τὸ μὲν ἐπὶ τὴν Λάχεσιν ἀφικνεῖσθαι πρώτην τὰς ψυχὰς οὔτε εἰς τὸν οὐρανὸν αὐτὰς μεθίστησιν οὔτε πολλῷ πλέον ἐπέκεινα ποιεῖ τοῦ οὐρανοῦ. πῶς γὰρ εἰκὸς τοῦτο πάσχειν ἢ τὰς ἐξ οὐρανοῦ πεσούσας ἢ τὰς μόλις ἐκ .. 60 .. ἄλλα μορ[φ] .. 17 . ἐσχηματισμένως, οὕ[τω καὶ ἐν ταῖς] ψυχαῖς ἑώρα τῇ Λαχέσει προ[σιούσαις·] ἢ[ν] ἑώρα καθημένην ἐφ᾽ ἑνὸς τῶν τριῶν θρόνων· αἱ δὲ ψυχαὶ προσῄεσαν ὡς ἐκείνης πρὸ τῶν ἄλλων κινούσης αὐτὰς ἐπὶ τὰς αἱρέσεις τῶν δευτέρων βίων. οὐκ ἔστιν οὖν ἡ προσέλευσις συναφὴ πρὸς αὐτήν, ἀλλὰ δι᾽ ὧν ὥρμων ἐπὶ τοὺς βίους, οἰκείωσις πρὸς αὐτήν, καὶ εἰ ὑπὸ σελήνην ἦσαν·

ὅπου γὰρ ἂν ᾖ τὸ τὴν ἐνέργειαν προβάλλον, κατ' αὐτὴν τὴν προβολὴν πρόσεισιν τῷ τῆς ἐνεργείας ἐφόρῳ.

in R.2.254 Τοῦτο μὲν οὖν τὸ προσϊέναι δηλοῖ τῷ μύθῳ πρὸς τὴν Λάχεσιν· τὸ δὲ δὴ προφήτην τινὰ πρῶτον ἐν τάξει διϊστάνειν τὰς ψυχὰς ἐναργῶς παρίστησιν, ὡς ἄρα οὐκ ἔστιν ἡ αὐτὴ τῶν ψυχῶν ἀξία πασῶν· ἀλλ' αἳ μὲν κρείττους εἰσίν, αἳ δὲ χείρους τῶν αἱρησομένων τοὺς βίους, καὶ ἡ ἐν τάξει διάστασις τὴν κατὰ τάξιν αὐταῖς παρέχεται διάκρισιν, οὐ τοπικὴν οὖσαν, ἀλλὰ ζωτικήν. ὡς ἂν οὖν αὐτῶν μὲν οὐκ εἰδυιῶν τὴν ἐν ἀλλήλαις ἀξίαν, ἐκείνου δὲ καὶ εἰδότος καὶ διορίζοντος κατὰ ταύτην αὐτὰς ἀπ' ἀλλήλων, οὕτως εἶπεν ὅτι διέστησεν ὁ προφήτης αὐτὰς ἐν τάξει, τὰς μὲν εὐμοιροτέρας ὁρῶν, τὰς δὲ δυσμοιροτέρας· οὐ γὰρ κατ' οὐσίαν αὐτὰς διέστησε (τοῦτο γὰρ εἶχον ἐκ τῆς δημιουργικῆς αἰτίας), ἀλλὰ κατὰ τὴν ζωὴν τὴν παροῦσαν, ἔχουσαν τὴν διαφορὰν περὶ τὴν τῶν κλήρων διανομὴν τῶν τε δοκούντων εὐμοιροτέρων εἶναι καὶ τῶν ἥσσονα τὴν εὐμοιρίαν ἐχόντων· τὸ δὲ εὔμοιρον ἢ ἐναντίον ἐν τοῖς κλήροις ἐστίν. κατα .. 9 .. τα κινήσεως .. 9 .. βίων, ἀφ' ὧν 〈αἱ〉 αἱρέσεις, εὐμοιρότ[ερον τὸ ἐξ ἀ]φθονωτέρων εἶναι τὴν αἵρεσιν [ἢ ἐξ ἐλαττό]νων, καὶ τὸ ἐξ ἀμεινόνων ἢ χειρόνων. ἀλλὰ τα[ῦτα] μὲν καὶ εἰς ὕστερον ἔσται φανότερα πάντως· νυνὶ δὲ τίς ἐστιν οὗτος ὁ προφήτης λέγωμεν καὶ πρῶτον ἐπιστήσωμεν, ὅτι προφήτην αὐτὸν οὐχ ἁπλῶς εἶπεν, ἀλλὰ τινὰ προφήτην, ὡς ὄντων δήπου καὶ ἄλλων, ἀφ' ὧν εἷς οὗτός ἐστιν, εἰς τὴν προφητικὴν ταύτην τελούντων σειράν. ἔπειτα ὅτι τῆς Λαχέσεως αὐτὸν ἐκφαντορικὸν εἶναι τῶν λόγων φησίν· οὐ γὰρ ἑαυτοῦ λέγειν λόγους, ἀλλὰ τῆς κόρης τῆς θυγατρὸς οὔσης ἐκείνης τῆς Ἀνάγκης, καὶ τέλος εἶπεν, ὅτι τῆς Λαχέσεως· καὶ γὰρ 〈καὶ〉 αἱ λοιπαὶ θυγατέρες ἦσαν ἐκείνης.

in R.2.255 καὶ τρίτον, ὅτι διαλέγεται πρὸς τὰς ψυχὰς περὶ μιᾶς δή τινος εἰς γένεσιν καθόδου καὶ ἑνὸς αἱρέσεως βίου, καὶ ὡς τὸν δαίμονα αὐτὸς ἐφίστησι ταῖς ἑλομέναις. Ἐκ δὴ τούτων οὔτε νοῦν σεληνιακόν, ὡς Πορφύριος ὑπέλαβεν, αὐτὸν ἡμεῖς εἶναι φήσομεν· θεῖος γάρ ἐστιν καὶ ὁ σεληναῖος νοῦς καὶ δημιουργικὴν ἔλαχεν τάξιν, ἀλλ' οὐχ ὑπηρέτης ἐστὶ τῶν Μοιρῶν, καὶ πᾶσαν κυβερνᾷ τὴν γένεσιν· οὔτε τὸν δημιουργὸν τοῦ παντός, ὡς Θεόδωρος ὁ Ἀσιναῖος · ἐκεῖνος γὰρ οὐ περὶ μιᾶς γενέσεως δημηγορεῖ πρὸς τὰς ψυχὰς οὐδὲ μιᾶς Μοίρας ἀπαγγέλλει τινὰς λόγους, ἀλλὰ πάντας ἐγγράφει τοὺς εἱμαρμένους νόμους ταῖς οὐσίαις τῶν ψυχῶν καὶ περὶ πάσης διαλέγεται τῆς ἀπὸ τοῦ νοητοῦ περιόδου πασῶν εἰς τὸ νοητόν. ἀλλ' ἐπειδὴ δεύτερος μέν ἐστι τῶν Μοιρῶν, καὶ ἐκ[φαντο]ρικὸς τῶν νοήσεων τῆς Λαχέσεως, τοῦ [δὲ λα]γχάνοντος τὰς ψυχὰς δαίμονος ὑπέρ[τερο]ς (τῆς μὲν γὰρ ἀπαγγέλλει τοὺς λόγους, τὸν δὲ ἐφίστησιν ἑκάστῃ τῶν ψυχῶν), ἀγγελικῆς αὐτὸν εἶναι θετέον τάξεως· οἱ γὰρ ἄγγελοι τίνες εἰσὶν ἢ οἱ ἄλλων λόγους ἐκφαίνοντες; τίνες δὲ καὶ οἱ θεῶν μὲν ὑπηρέται, δαιμόνων δὲ ἐπιστάται πλὴν τῶν ἀγγέλων; καὶ οὐ ξενικὸν τὸ ὄνομα καὶ βαρβάρου θεοσοφίας μόνης, ἀλλὰ καὶ Πλάτων ἐν Κρατύλῳ [p. 407e. 408b] τὸν Ἑρμῆν καὶ τὴν Ἶριν θεῶν ἀγγέλους εἶναί φησιν, καὶ παρὰ τὸ εἴρειν αὐτῶν τὰ ὀνόματα γενέσθαι λέγει σαφῶς. ἀλλ' ἐκεῖνοι μὲν ἄρχοντές εἰσι καὶ κατὰ τοὺς ἄλλους Ἑλλήνων θεολόγους τῆς ἀγγελικῆς σειρᾶς, ὃ μὲν τῆς ἄρρενος, ἣ δὲ τῆς θηλείας, καὶ ὑπουργοῦσιν τοῖς δημιουργοῖς τοῦ παντός· ἡ δὲ προφητικὴ τάξις Μοιραία μέν ἐστιν, ἐφέστηκεν δὲ ταῖς εἰς γένεσιν καθόδοις τῶν ψυχῶν, ἐκ τοῦ ἀφανοῦς αὐτὰς εἰς τὴν ἐμφανῆ παραπέμπουσα ζωήν, καὶ δαιμόνων ἡγεῖται τῶν καλουμένων ἀγγελικῶν, ὅσοι τοὺς τῇδε βίους ἡμῶν ἐπιτροπεύουσιν, εἰληχότες ἡμᾶς μετὰ σωμάτων ζῶντας.

in R.2.256 Ἄλλοτε δὲ ἄλλων ψυχῶν συγκλήρων γινομένων, ἃς ὁ τῶνδε τῶν λόγων μηνυτὴς ἑώρα, τούτων προφήτης τὶς προειστήκει· θαυμαστὸν γὰρ οὐδὲν ἄλλον ἄλλαις ψυχαῖς διανέμειν τοὺς κλήρους. εἰ δὲ δὴ καὶ τὸ ὄνομα τοῦ προφήτου σκοποίης, ὡς αὐτὸς ἐν Τιμαίῳ [p. 72a] διώρισεν, ἑρμηνευτικὸν τῶν μαντέων ὂν καὶ ὧν ἐνθεάζοντες ἐκεῖνοι λέγουσιν ἐξηγητικὸν διὰ νοερᾶς ἐπιστάσεως, ἔσται σοι δῆλον, ὅπως καὶ οὗτος ὁ ἐν τῷ παντὶ προφήτης τῶν ἐν τῇ Λαχέσει θείων

ἐστὶ νοήσεων ἐκφαντικός, νοῦς μὲν ὤν, ἀλλὰ τὶς νοῦς, ἀλλὰ Μοιραῖος νοῦς, τεταγμένος δὲ οὐκ ἐν σελήνῃ, καθάπερ φησίν τις, ἀλλ᾽ ἐν τῷ αἰθέρι· τοῦτον γὰρ τὸν τόπον ἀρχὴν εἶναι τῆς γενέσεως οἰόμεθα· θνητῆς δὲ περιόδου προστάτης ὁ προφήτης καὶ οὐκ ἀνόδων εἰς οὐρανόν, ἀλλὰ καθόδων εἰς τὴν γένεσιν. ἐπειδὴ δὲ τῶν κληρουμένων ὑπερίδρυται ψυχῶν, νοῦς αὐτὸς ὢν γενεσιουργὸς τῶν εἰς γένεσιν πεμπομένων ἄρχων, οὐχ ἁπλῶς αὐτόν φησι δημηγορεῖν εἰς τὰς ψυχὰς ταύτας τὰς συγκλήρους, ἀλλ᾽ ἀναβάντα ἐπί τι βῆμα ὑψηλόν, ἵνα καὶ συντεταγμένος ᾖ ταῖς ψυχαῖς, ὡς λόγων χορηγός, καὶ ἐξῃρημένος ἀπ᾽ αὐτῶν, ὡς ἐπὶ βήματος λέγων. Τί οὖν δή ἐστιν τουτὶ τὸ βῆμα, λέγωμεν· οὐ γὰρ ὡς ἔτυχεν τοῦτο παρέρριψεν ὁ μῦθος οὐδὲ πλάσας αὐτὸς νοῦν ἐπὶ βήματος δημηγόρον· ἀλλ᾽ ὥσπερ οἱ λόγοι μεταδόσεις εἰσὶν ἐνεργειῶν εἰς τὰς ψυχάς, κινητικαὶ μὲν αὐτῶν εἰς τὴν γένεσιν, ἐγερτικαὶ δὲ εἰς τὰς τῶν βίων προβολάς, ἐρεθιστικαὶ δὲ τῶν φαντασιῶν εἰς τοὺς ὀφειλομένους κλήρους, ἵνα ἕκασται λαβοῦσαι τὸν οἰκεῖον ἐκλέξωνται τοὺς βίους, οὕτω καὶ τὸ βῆμα σύμβολόν ἐστιν μυθικὸν τοῦ ὀχήματος τοῦ προφητικοῦ, δι᾽ οὗ κυβερνᾷ τὰ ὀχήματα τῶν ψυχῶν.

in R.2.257 ἐφ᾽ οὗ βεβηκὼς ὄντως αὐτὸς ἐπιστατεῖ ταῖς κατιούσαις, μένων ἐν τῇ ἑαυτοῦ τάξει καὶ οὐκ ἀφιστάμενος τοῦ αἰθέρος· πᾶς γὰρ ἐγκόσμιος νοῦς ἔχει τι πάντως ἐγκόσμιον ὄχημα, δι᾽ οὗ συμπληροῖ τὸ πᾶν καὶ μέρος ὢν τοῦ παντὸς ἐγκόσμιος ἀποκαλεῖται. καὶ δὴ καὶ ὁ [παρ]ὼν νοῦς ἔχει τοιοῦτόν τι σῶμα ἀίδιον, ᾧ ἐποχούμενος ἐνεργεῖ τὰ ἐκ .. τοῦ[το] ἐννοῶν ὁ τοῦ μύθου τοῦδε μηνυτὴς βήματι χρῆσθαι τὸν προφήτην εἶπεν ὑψηλῷ· διότι γὰρ ἐν τῷ ὕψει τοῦ αἰθέρος αὐτὸ ἐθεᾶτο, διὰ τοῦτο ὑψηλὸν αὐτὸ προσεῖπεν. εἰ δὲ ἀναβαίνειν εἶπεν τὸν ἀεὶ ἐφεστῶτα καὶ ποτὲ λέγειν τὸν ἀεὶ λέγοντα, καὶ εἴ τι ἄλλο τοιοῦτον χρονικόν ἐστιν, τῆς τοῦ ὁρῶντος αὐτὸ χρονικῆς θεωρίας οἰητέον εἶναι συνεισαγούσης ἀφ᾽ ἑαυτῆς καὶ δι᾽ ἑαυτὴν χρόνον τοῖς ἀϊδίοις, ὥσπερ καὶ τόπον τοῖς ἔξω τόπου παντὸς καὶ σχήματα τοῖς ἀσχηματίστοις. οὕτω δὲ καὶ ἐν τῷ Φαίδωνι [p. 113d] περὶ τῶν ψυχῶν λέγων χρωμένων ἔξω τῶν σωμάτων τούτων ἄλλοις ὀχήμασιν ἀναβᾶσα ι , φησίν, ἃ δὴ αὐταῖς ὀχήματά ἐστι ν , ὥσπερ καὶ ἐν τούτοις τὸν προφήτην ἐπί τι βῆμα ἀναβαίνειν εἴρηκεν. ἀλλ᾽ οὐχὶ τὸν ἐν Τιμαίῳ [p. 41a] δημιουργὸν πρὸς τὰς ψυχὰς διαλεγόμενον βήματος εἶπεν δεῖσθαί τινος· ὑπερκόσμιος γὰρ ἦν καὶ παντελῶς ἐξῃρημένος τῶν ψυχῶν, ὁ δὲ προφήτης καὶ θνητῶν περιόδων κῆρυξ καὶ ἐγκόσμιος. Τοὺς μὲν οὖν λόγους τοὺς προφητικοὺς ὕστερον διασκεψόμεθα· νυνὶ δὲ τίνες οἱ κλῆροι καὶ τίνες οἱ βίοι λέγωμεν πρότερον, καὶ τίνα τὰ παραδείγματα τῶν βίων, καὶ διὰ τί ταῦτα ἀπὸ τῶν τῆς Λαχέσεως δέχεται γονάτων, ἀλλ᾽ οὐκ ἀπὸ τῶν ἄλλων Μοιρῶν ἢ ἀπὸ τῆς μητρὸς τῶν Μοιρῶν· ἄξια γὰρ ταῦτα θεωρίας.

in R.2.258 τούτων δὴ προκειμένων εἰς ἐπίστασιν δύο ταῦτα μάλιστα χρὴ προλαβεῖν, ἵν᾽ ὁ σύμπας λόγος ἡμῖν γένηται καταφανής· ἓν μὲν ὅτι τὸ ἐφ᾽ ἡμῖν οὐ μάτην λέγεται παρὰ τοῖς Στωικοῖς, ἀλλ᾽ ἔστιν καὶ μάλιστα ἐν ταῖς ἔξω σωμάτων ψυχαῖς οὐδὲ ταῖς σωματικαῖς ἀνάγκαις κατειλημμέν[αις. δεύ]τερον δὲ ἕτερον τὰς τοῦ κόσμου περιόδους δρᾶν εἰς τὰ θνητὰ πάντα καὶ πολλὰ γ[ίγνε]σθαι καὶ ἐκεῖθεν εἰς ἡμᾶς ὡς ἐν αὐτῷ περιεχομένους. τούτων γὰρ προληφθέντων [εὐ]μαρὴς ὁ περὶ τῶν κλήρων ἔσται καὶ τῶν βίων ἡμῖν λόγος. τὸ μὲν οὖν τὰς κοσμικὰς περιφορὰς διαβαίνειν καὶ μέχρις ἡμῶν καὶ τῶν ἄλλων θνητῶν ζῴων ὑπομνηστέον ἐκ τῆς τοῦ κόσμου συμπαθείας· ταύτην δὲ αὖ ἀποδεικτέον ἡμῖν ἐκ τοῦ ζῷον ἓν εἶναι τὸ πᾶν. εἰ γάρ ἐστι ψυχὴ μία συνέχουσα τὸν ὅλον κόσμον, ἀνάγκη δήπου συμπάθειαν εἶναι τῶν ἐν αὐτῷ μερῶν πρὸς ἄλληλα· καὶ γὰρ τῶν τῇδε ζῴων ἕκαστον αὐτὸ πρὸς ἑαυτὸ συμπαθές ἐστιν οὕτως, ὥστε ἀπ᾽ ἄλλων μορίων ἄλλων κατάδηλον γίνεσθαι διάθεσιν. εἰ δὲ τὸ μερικὸν οὕτως ἀμυδροτέραν ἔχον τοῦ παντὸς ζωὴν ὅμως ἔχει τὴν τῶν μερῶν διὰ ταύτην συμπάθειαν, πολλῷ μᾶλλον ὁ κόσμος· ἡ γὰρ τοῦ παντὸς ζωὴ καὶ δυνατωτέρα πάντως ἐστὶν τῶν μερικῶν καὶ ζωὴ ἐπὶ ζωαῖς οὖσα μειζόνως συνδεῖ πάντα πρὸς τὴν ἀλλήλων κοινωνίαν καὶ τὴν ἀπ᾽ ἄλλων εἰς ἄλλα

ποίησιν. εἰ δ' οὖν ζῷον ἕν ἐστιν ὁ κόσμος, ἔστιν ἐν αὐτῷ ζωὴ μία πασῶν συναγωγὸς τῶν ἐν αὐτῷ ζωῶν· εἰ δὲ τοῦτο, συμπαθὴς ὁ κόσμος πρὸς ἑαυτόν· εἰ δὲ τοῦτο, δύνανται πάντως αἱ ἄλλων κινήσεις εἰς ἄλλα διαβαίνειν καὶ ποιεῖν εἰς ἐκεῖνα, κἂν ὁπωσοῦν ἔχῃ διαστάσεως· εἶναι γὰρ τὴν μίαν ζωὴν τὴν διαπορθμεύουσαν τὰς ποιήσεις ἀπὸ τῶν δυναμένων ποιεῖν εἰς τὰ δυνάμενα πάσχειν. εἰ δὲ ταῦτα ἀληθῆ, τῶν δὲ ἐν τῷ κόσμῳ μορίων τὰ μέν ἐστι κυριώτερα, τὰ δὲ ἀκυρότερα, καθάπερ καὶ ἐν ἑκάστοις τῶν θνητῶν [ζῴ]ων, δῆλον δήπουθεν, ὅτι τὰς τῶν κυριωτέρων δυνάμεις εἰς τὰ ἀκυρότερα δρᾶν ἀναγκαῖον καὶ τὰς ἀπὸ τῶν δυνάμεων κινήσεις καὶ τούτοις τὰς κινήσεις προξενεῖν.

in R.2.259 εἰ δὲ τοῦτο, κυριώτερα δὲ τὰ ἀΐδια τῶν θνητῶν καὶ τὰ τεταγμένως κινούμενα τῶν ἀτάκτων, ἀπ' ἐκείνων ἄρα διαβαίνουσιν αἱ κινήσεις εἰς ταῦτα καὶ ταῦτα ἐκείνοις ἕπεται, τὰ θνητὰ τοῖς ἀθανάτοις τοῦ κόσμου μέρεσιν. εἰ δὲ τοῦτο, φοραὶ καὶ ἀφορίαι ζῴων θνητῶν ἀπὸ τῶν οὐρανίων περιόδων ἀθανάτων οὐσῶν ἐπιτελοῦνται καὶ φθοραὶ καὶ γενέσεις καὶ βίοι τῶν τῇδε ζῴων, οἱ μὲν πολυχρονιώτεροι, οἱ δὲ ὀλιγοχρονιώτεροι, καὶ κατὰ σώματα καὶ κατὰ ψυχὰς διαθέσεις χείρους καὶ βελτίους. Τὸ μὲν οὖν τὴν κοσμικὴν περιφορὰν δρᾶν εἰς ἡμᾶς διὰ τούτων ὑπομνηστέον, ὡς 〈ἐν〉 ἑνὶ ζῴῳ τῷ παντὶ τῶν μὲν ποιούντων, τῶν δὲ πασχόντων· τοῦτο δὲ δῆλον, εἰ ζῷον ὁ κόσμος· τοῦτο δὲ δῆλον ἀπὸ τοῦ κρεῖττον εἶναι πανταχοῦ τὸ ὅλον τοῦ μέρους, μηδαμοῦ δὲ τὸ ἄζων τοῦ ζῶντος καὶ τὸ ἀνόητον τοῦ νοῦν ἔχοντος· ὥστ' εἰ ἔστιν τι τοιοῦτον ἐν τῷ παντὶ ζῶν καὶ νοοῦν, πολλῷ μᾶλλον τὸ πᾶν τοιοῦτον· νοῦ δὲ ὄντος ἐν τῷ παντὶ καὶ ζωῆς μιᾶς ὁ τῆς συμπαθείας ἐναργὴς ἤδη λόγος. Ὅτι δὲ ἔστιν καὶ τὸ ἐφ' ἡμῖν καὶ κύριοί τινών ἐσμεν αὐτοὶ καὶ ἑλέσθαι καὶ πρᾶξαι κατὰ τὰς αἱρέσεις, δῆλον, εἰ μὴ μάτην βουλευτικοὶ γεγόναμεν, τῆς φύσεως οὐδὲν ποιούσης μάτην. βουλευόμεθα δὲ ὡς ἐφ' ἡμῖν ὄντος ἑλέσθαι τάδε πρὸ τῶνδε· καὶ γὰρ εἰ μηδέν ἐστιν ἐπὶ ταῖς ἡμετέραις αἱρέσεσιν, ἄλλο τι ἂν εἴη τῶν πραττομένων κύριον καὶ οὐχ ἡμεῖς ὧν πράττομεν. εἰ δὲ τοῦτο, οὐκέθ' ἡμᾶς αἰτιατέον ὧν κατορθοῦμεν ἢ ἁμαρτάνομεν, ἀλλὰ τὸ κύριον· καὶ εἰ μὲν μηδ' ὅλως ἐστὶν ἁμαρτήματα, ταῦτα μηδὲν αὐτὰ διαφέρειν τῶν κατ' ἀρετὴν γινομένων, ἀλλ' εἶναι πάντα ἀδιάφορα, τὸ σωφρονεῖν, τὸ ἀκολασταίνειν, ἕκαστα τῶν τοιούτων· εἰ δέ ἐστιν ἁμαρτήματα ἐναντία τοῖς τῆς ἀρετῆς ἔργοις, εἰ μὴ ἡμεῖς αἴτιοι τούτων, αἴτιον εἶναι τὸ χρώμενον ἡμῖν ⟦ τούτων ⟧ οἷον ὀργάνοις· ὅταν δὲ ᾖ τὸ μὲν ὄργανον, τὸ δὲ χρώμενον, οὔτ' ἀγαθὸν οὔτε κακόν ἐστίν τι τοῦ ὀργάνου παντελῶς, ἀλλὰ τοῦ χρωμένου.

in R.2.260 μετοίσομεν οὖν τὰ ἁμαρτήματα τῶν πράξεων εἰς τὰ πρὸ ἡμῶν, καὶ τὰ ἀγαθὰ τοίνυν ὡσαύτως· καὶ οὔτε ἐπαινεσόμεθά τινας οὔτε ψέξομεν. καὶ εἰ μὲν ἐκεῖνο καὶ ἁμαρτάνον καὶ κατορθοῦν αἱρεῖται τούτων θάτερον, ἐκεῖνο ἔχει τὸ ψυχῆς ἔργον· ἐκεῖνο γὰρ ἔσται τὸ προαιρούμενον· καὶ ἐκεῖνο οὐκέτι ἔσται αἴτιον ἁπλῶς, ἀλλὰ δεήσεται τοῦ κρίνοντος καὶ ἐπανάγοντος εἰς τὸ ἀγαθόν. εἰ δὲ ἠναγκασμένον κἀκεῖνο ταῦτα ποιεῖ, πάλιν εἰς ἄλλο τὸ ἀναγκάζον ἥξομεν, καὶ τοῦτο εἰς ἄπειρον. πῶς δὲ καὶ ἑνὸς ὄντος τοῦ πάντα ἀναγκάζοντος εἰσίν τινες οἱ λέγοντες ἡμῶν, ὅτι οὐ πάντα ἠνάγκασται, εἴτε σφάλλονται τοῦτο λέγοντες εἴτε κατορθοῦσιν; εἰ μὲν γὰρ τοῦτό γε τὸ τοῦτο λέγειν ἐπ' αὐτοῖς, ἔστιν τι πάλιν τὸ ἐφ' ἡμῖν· εἰ δὲ μηδὲ τοῦτό φασιν ὡς ἐπ' αὐτοῖς ὄν, ἀλλ' ἀναγκαζόμενοι καὶ τοῦτο λέγουσιν, πῶς τι τῶν αἰτίων ἐν τοῖς ἀποτελουμένοις ὑπεναντίαν ⟦ ἐν αὐτῷ ⟧ κατέλειπεν κίνησιν [ᾗ] αὐτὸ ἐπιφέρει; παντάπασιν γὰρ τοῦτο ἄλ[ογ]ον καὶ ὅμοιον, ὡς εἴ τις ἰατρεύειν διδάσκων ὑπεναντία τοῖς ἑαυτοῦ ἔργοις διδάξειεν λέγειν τὸν διδασκόμενον. εἰ μὲν οὖν βούλεται λέγειν ἡμᾶς, ὅτι οὐ πάντα ἠνάγκασται, ταύτην τὴν βούλησιν ἄτοπον ἔχει καὶ οὐδαμῶς αἰτίῳ προσήκουσαν· οὐ γὰρ φύσεως τὸ παρὰ φύσιν ποιεῖν οὐδ' ὅλως τοῦ αἰτίου τὸ τῷ αἰτίῳ μαχόμενον. εἰ δὲ μὴ βούλεται, ποιεῖ δὲ ὃ μὴ βούλεται, πάλιν εἰς ἄλλην ἀναγκάζουσαν δύναμιν ἀναθήσει τὴν τοῦ ἀβουλήτου ποίησιν.

in R.2.261

Τοσαῦτα καὶ περὶ τοῦ δευτέρου τῶν ζητουμένων εἴχομεν σπέρματα καταβάλλεσθαι τῶν ὑπομνήσεων· τούτων δὲ προειλημμένων ἀναγκαῖον ὄντος μὲν τοῦ ἐφ' ἡμῖν εἶναι κυρίους ἡμᾶς αἱρέσεως, δρώσης δὲ εἰς ἡμᾶς τῆς περιφορᾶς διαβαίνειν τι καὶ ἀπ' ἐκείνης εἰς ἡμᾶς. ἀμφοτέρων δὲ ὄντων ἀληθῶν ἢ προκατάρχει μὲν ἡ περιφορὰ τοῦ παντός, ἕπεται δὲ ἡ αἵρεσις τῶν ψυχῶν, ἢ ἀνάπαλιν ἡμεῖς μὲν προκατάρχομεν, ἕπεται δὲ ἡ περιφορὰ διδοῦσα τὰ ἀκόλουθα ταῖς αἱρέσεσιν ἡμῶν. ἀλλ' εἰ ἡμεῖς προκατάρχομεν, τὸ δὲ πᾶν δίδωσιν οἷς εἱλόμεθα συμβαίνοντα, πρῶτον μὲν ἄτοπον μέρεσι τοῦ παντὸς ἡμῖν οὖσιν ἕπεσθαι τὸ πᾶν· οὐ γὰρ τὸ ὅλον τοῖς μέρεσιν, ἀλλὰ τὸ μέρος ἕπεσθαι τῷ ὅλῳ προσήκει· εἴπερ τὸ μὲν μέρος ἕνεκα τοῦ ὅλου, τὸ δὲ ὅλον οὗ ἕνεκα τῶν μερῶν, ἕκαστον δὲ τῶν ἕνεκά του δεῖ τῷ οὗ ἕνεκα ἀκολουθεῖν, ἀλλ' οὐ τῷ ἕνεκά του τὸ οὗ ἕνεκα· τὸ γὰρ οὗ ἕνεκα τέλος. ἔπειτα καὶ τοῦ ἐφ' ἡμῖν ἀτάκτου ὄντος καὶ ἀσταθμήτου διὰ τὴν προαιρετικὴν ζωὴν φερομένην ἄλλοτε ἐπ' ἄλλα κατὰ τὴν ὄρεξιν τὴν ἑαυτῆς, τῇ δὲ προαιρέσει τῶν ψυχῶν ἑπομέν[ων τῶ]ν κοσμικῶν ποιήσεων εἰς ἡμᾶς, ἀνάγκη [μηδένα] ὅρον ἐν τοῖς ἑπομένοις εἶναι μηδὲ τάξ[ιν· τὸ] γὰρ τῷ ἀτάκτῳ ἐπακολουθεῖν ἐθέλον καὶ αὐτὸ μεταλαγχάνει τῆς ἐκείνου πως ἀταξίας. ὥστε συμβήσεται τὴν τοῦ παντὸς τάξιν μεθαρμόζεσθαι ταῖς ἡμετέραις ἀστάτοις ὁρμαῖς· πρὸς δὲ τούτοις οὐδὲ τὸν τῆς προνοίας ἔτι διασώσασθαι λόγον ἔσται δυνατόν· προνοίας μὲν γὰρ τὴν ἑκάστου πανταχοῦ διαφυλάττειν ἀξίαν, τῶν τε ὅλων καὶ τῶν μερῶν, καὶ συντάττειν πάντα πρὸς ἄλληλα καὶ πρὸς ἓν τὸ ἀγαθὸν ἀναπέμπειν. εἰ δὲ ἐπιτρέψοι τοῦ παντὸς ἡμῖν ἐπακολουθεῖν τὴν περιφοράν, οἰχήσεται μὲν ἡ τῶν ὅλων τάξις, ἐπεισοδιωδῶν πολλῶν γιγνομένων διὰ τὰς ἡμετέρας ὁρμάς· τὸ δὲ ἀπὸ τῆς προνοίας ἀγαθὸν οὐκέτι τῶν πάντων ἔσται κρατητικόν· οὐ γὰρ ἀγαθὸν τοῖς χείροσιν ἀκολουθεῖν τὸ κρεῖττον.

in R.2.262 ἀνάγκη τοίνυν προκατάρχειν μὲν τὴν περιφορὰν ἐκ τούτων, ἕπεσθαι δὲ τὸ ἐφ' ἡμῖν τοῖς ἐκεῖθεν προκατηργμένοις. Εἰ δὲ τοῦτο, δῆλον ὡς ἕνα μόνον προτείνειν βίον ἑκάστῃ ψυχῇ τὸ πᾶν διὰ τῆς περιφορᾶς δεῖ πάντως ἢ πάντας ἑκάστῃ, καὶ ἄλλην ἄλλης κατὰ τοῦτο διαφέρειν μηδέν, ἢ διῃρημένως τινὰς μὲν ἄλλαις, τινὰς δὲ ἄλλαις. ἀλλ' εἰ μὲν εἷς μόνος ἑκάστῃ προτείνοιτο βίος, οὐκ ἔσται τὸ ἐφ' ἡμῖν πάλιν ἐν ταῖς αἱρέσεσιν· ἐκ γὰρ ἑνὸς αἵρεσις οὐδαμῶς ἐστιν, ἀλλ' ἐκ δυοῖν τοὐλάχιστον· πᾶσα γὰρ προαίρεσις ἄλλο ἄλλου προτίθησιν. ἠναγκασμένως οὖν ὁ μὲν ἕξει βίον ἄλλον, ὁ δὲ ἄλλον. καὶ εἰ μὲν μηδὲ ἐνταῦθα κύριοί τινός ἐσμεν, ἐκβέβληται πάντῃ τοῦτο δὴ τὸ ἐφ' ἡμ[ῖν· εἰ δ]ὲ ἐνταῦθα μὲν τινός, ἐκεῖ δὲ οὐδενός, ἄτο[πο]ν σώματος μὲν ἐκτὸς ὄντας μηδεμίαν ἔχειν προαιρετικὴν κίνησιν, ἐν σώμασι δὲ γενομένους· καίτοι τῆς μὲν ἐξουσίας κατὰ φύσιν οὔσης, οἷς τὸ εἶδος τῆς ζωῆς προαιρετικόν ⟦ δὲ ⟧ , τῆς δὲ ἀνάγκης παρὰ φύσιν· ἐν δὲ σώμασι τῆς ψυχῆς παρὰ φύσιν ζώσης μᾶλλον ἢ ἔξω σωμάτων. Εἰ δὲ πάντες οἱ βίοι πάσαις ἐκ τῆς περιφορᾶς προτείνονται ταῖς ψυχαῖς, ἔσται τὸν αὐτὸν τρόπον ἀταξίας πλῆρες τὸ πᾶν· πᾶσα γὰρ ψυχὴ φιλόπρωτος οὖσα πάντων αὐτῇ προτεινομένων τῶν βίων ἐπιτρέχουσα φανήσεται ταῖς τυραννίσιν καὶ ταῖς δυναστείαις, καὶ οἱ ἀμείνους τῶν βίων ἀφανεῖς ἔσονται καὶ τὰ τῆς δίκης ἔργα μάτην θρυληθήσεται, πάντων ⟦ μάτην ⟧ ὁμοίας ἐξουσίας ἀπολαυουσῶν ψυχῶν, σωφρόνων ἀκολάστων, ὁσίων ἀνοσίων, ἐμφρόνων ἀφρόνων. εἰ δὲ εὐνομεῖται τὸ πᾶν μᾶλλον ἢ ἄλλο τι τῶν ἐντὸς τοῦ παντός, οὐδὲν δὲ τοῦτο θεμιτὸν ἐν ταῖς εὐνομουμέναις πολιτείαις ἴσης ἐξουσίας μετεῖναι πᾶσιν, οὐδ' ἂν ἐν τῷ παντὶ πολλῷ πρότερον εἴη ἄν τι τοιοῦτον· συγχυθήσονται γὰρ οἱ τῆς ἀξίας ὅροι τῶν αἱρουμένων, 〈εἰ〉 ἀπὸ τῶν αὐτῶν καὶ πάντων αἱ αἱρέσεις ἑκάστοις.

in R.2.263 Λείπεται τοίνυν μήτε ἑνὸς προτεινομένου πάσαις μήτε πάντων πάσαις τοὺς προτεινομένους βίους τινὰς εἶναι ταῖς ψυχαῖς καὶ ἄλλους ἄλλαις· οὐ γάρ που τοὺς αὐτούς, εἰ καὶ τινὰς πάσαις. διαφέρει γὰρ οὐδὲν τοῦτο λέγειν καὶ πάντας πάσαις· ὧν γὰρ αἱ ἕξεις ἀνόμοιοι, τούτων δεῖ καὶ τὰς ἐξουσίας ἀνίσους εἶναι, πάντως κατὰ δίκην διανεμομένας τοῖς ἀνομοίοις· οὕτω γοῦν καὶ ὁ Ἀθηναῖος Ξένος [leg. VI 757b] Διὸς κρίσιν εἶπεν τὴν γεωμετρικὴν μεσότητα, τοῖς ἀνίσοις ἄνισα

νέμουσαν κατὰ τὴν ἑκάστων ἀξίαν. εἰ δ' οὖν ἄλλαις ἄλλοι προτείνονται βίοι ψυχαῖς, ἑκάστῃ δὲ οὐχ εἷς οὐδὲ δὴ πάντες, ὡς δεδείχαμεν, φανερὸν ἤδη τίς μέν ἐστιν κλῆρος ἑκάστης, τίς δὲ βίος· κλῆρος μὲν γάρ ἐστιν σύμπας ὁ ἀριθμὸς τῶν βίων, ὧν ἑκάστῃ προτείνει τὸ πᾶν διὰ τῶν ἑαυτοῦ περιφορῶν, βίος δὲ ἕκαστος τῶν ἐν τῷ κλήρῳ περιεχομένων, εἶδος ὧν τι ζωῆς ἕν, ὅπερ δεῖ ψυχὴν ἑκάστην ἐν τῇ γενέσει βιῶναι μετὰ τῶν ἐκ τοῦ παντὸς ἀπονεμομένων. λέγω δὲ οἷον εἴ τῳ προτείνονται βίοι τρεῖς, βασιλικὸς ἐρωτικὸς πολεμικός, ὥσπερ τῷ Ἀλεξάνδρῳ φασὶν οἱ μῦθοι τὴν μὲν προτεῖναι τὸν βασιλικὸν τὴν Ἥραν, τὴν δὲ τὸν ἐρωτικὸν τὴν Ἀφροδίτην, τὴν δὲ τὸν ἀνδρεῖον καὶ πολεμικὸν τὴν Ἀθηνᾶν· προσκείσθω δὲ ἑκάστῳ καὶ οἷα δὴ βασιλεύοντι ἢ ἐρωτικῷ ὄντι ἢ πολεμικῷ γινομένῳ παρὰ τοῦ παντὸς ὑπάρξαι, πλοῦτον ἢ πενίαν, νόσον ἢ ὑγείαν, περιστάσεις ἢ ἀπερίστατον τύχην, καὶ ἕκαστα τῶν λοιπῶν. ὁ μὲν τοίνυν ἀριθμὸς τῶν τριῶν βίων κλῆρός ἐστιν ὁμοῦ πάντων εἷς, καὶ εἰ τέτταρες ἦσαν καὶ εἰ πλείους ὡσαύτως· ἕκαστον δὲ εἶδος ζωῆς βίος· ὃν ἑλομένην ἔδει τὴν ψυχὴν ἢ βασιλικὴν ἢ ἐρωτικὴν ἢ πολεμικὴν γενέσθαι.

in R.2.264 καὶ ἐκ τούτων ἡ αἵρεσις, ὧν ὁ κλῆρος περιεῖχεν, ἀλλ' οὐκ ἄλλων, τὴν ἄστατον φορὰν τοῦ παντὸς ἀποκλείσαντος καὶ εἰς ὅρον τῶν βίων ὧν ἐστιν ἀξία περιαγαγόντος ἑκάστῃ τὴν αἵρεσιν· ὅσα δὲ πάλιν ἑλομέναις προστίθησιν τὸ πᾶν, κλῆροι δεύτεροι μετὰ τὴν αἵρεσιν, οἷον πατέρων τωνδὶ γενέσθαι καὶ τύχας τοιάσδε ἔχειν καὶ ὅσα ἄλλα προσήρτηται τοῖς βίοις. διττὸς οὖν ὁ κλῆρος, ὁ μὲν πρὸ τῆς αἱρέσεως, ὁ δὲ μετὰ τὴν αἵρεσιν· ὁ μὲν ὁλότης ὢν τῶν βίων, οὗ μέρος ἕκαστος βίος, ὁ δὲ ὁλότης τῶν ἑκάστῳ βίῳ παρακολουθούντων, ὧν ὁ κόσμος ἀπονέμει· καὶ ἑκάτερος ἀπὸ τοῦ παντός, ἐν μέσῳ δὲ αὐτῶν ἡ αἵρεσις τῆς ψυχῆς καὶ οὕτω δὴ μένει μὲν ἡ αὐτεξούσιος φορά, σώζονται δὲ τῆς δίκης ὅροι, τὴν ἀξίαν διανέμοντες ταῖς ψυχαῖς, οὐχ ὧν εἵλοντο μόνον, ἀλλὰ καὶ ὧν αἱρήσονται· προκατάρχει δὲ τὸ πᾶν καὶ ἐπακολουθεῖ ταῖς αἱρέσεσιν· πάντα δὲ εὐνομίας μεστὰ τῶν προτεινόντων, τῶν αἱρουμένων, τῶν ἀπονεμόντων, τῶν ἀπονεμομένων. Ἐπειδὴ οὖν οὔτε εἷς τις μιᾷ βίος ἀπονέμεται τῶν ψυχῶν οὔτε πάντες ὁμοίως πάσαις, ἀλλὰ τινὲς τισίν, ἀνάγκη δήπουθεν ἢ κατὰ τὸ ποσὸν ἴσους ἀπονέμεσθαι βίους ταῖς ἀνομοίαις, τῷ δὲ ποιῷ μόνον διαφέροντας, ἢ κατὰ τὸ ποιὸν τοὺς ὁμοίους, πλείους δὲ ἄλλους ἄλλαις μετὰ τῶν ὁμοίων, ἢ κατ' ἄμφω διαφέροντας. ἀλλ' αἱ μὲν σύγκληροι δῆλον ὅτι κατὰ τὸ ποσὸν διοίσουσιν, οἵας ὁρῶν ἀπήγγειλεν ὁ τοῦ μύθου τούτου διαθέτης· κωλύει δὲ οὐδὲν ἐν ἀλλοίαις περιόδοις ἀπ' ἴσων μὲν τῷ ἀριθμῷ βίων γίνεσθαι τὰς αἱρέσεις, τῇ δὲ ποιότητι διαφερόντων· οἷον τριῶν μὲν προτεινομένων τῇδε τῇ ψυχῇ βίων, τριῶν δὲ τῇδε, μὴ τῶν ὁμοίων δὲ ἢ πάντων ἢ τινῶν. καὶ τοῦτο μὲν δῆλον· αἱ γὰρ τῶν ψυχῶν ὁμοιότητες καὶ ἀνομοιότητες παντοίας εἰσάγουσι καὶ τῶν βίων ἐξαλλαγάς. Κατίδωμεν δὲ καὶ ἐν τούτοις τοῖς παροῦσιν, ὅσα δυνατὸν ἐπὶ τῶν συγκλήρων ψυχῶν· λέγονται δὲ σύγκληρ[οι] ψ[υ]χαὶ .

in R.2.265 .. [αἱ κατ]ὰ τ[ὸν] αὐτὸν τῆς περιόδου χρόνον ποιούμεν[αι τὰς] καθόδους καὶ ἅμα δεχόμεναι καὶ μετ' [ἀλλή]λων τοὺς κλήρους τοὺς τῶν βίων περιεκτικούς. οὐκοῦν ἓν μὲν λέγεται περὶ αὐτῶν, ὅτι μιᾶς ψυχῆς εἷς ἐστιν κλῆρος. οὐ γάρ ἐστι κλήρων αἵρεσις ἀλλὰ διανομή, κατὰ τὴν ἀξίαν ἑκάστης τὸν αὐτῇ προσήκοντα δεχομένης. δεύτερον δὲ ἕτερον τὸ πάντα κλῆρον πλειόνων ἑνὸς εἶναι βίων περιοχήν· ἢ πῶς εἰς τὸν οἰκεῖον ἀποβλέπουσα κλῆρον αἱρεῖται βίον ὃν 〈ἂν〉 ἐθέλῃ ἑκάστη τῶν ψυχῶν; τρίτον, ὅτι οἱ κλῆροι περιέχουσιν οἱ ἕτεροι τοὺς ἑτέρους, οἱ τῶν πρώτων κληρουμένων τοὺς τῶν δευτέρων· ἢ πῶς ἡ ἐσχάτη κληρωθεῖσα ψυχή φησιν τοῦτον ἂν ἑλέσθαι βίον, ὃν εἵλετο, καὶ πρώτη ⟦ ἡ ⟧ κληρωθεῖσα, εἰ μὴ περιείχοντο καὶ οἱ ταύτῃ δοθέντες εἰς αἵρεσιν ἐν τῷ πρωτίστῳ τῶν κλήρων; τέταρτον σαφηνίζει τοῦτο ἐξηγούμενος τὸ πρῶτος δὲ ὁ λαχὼν πρῶτος αἱρείσθω βίον [p. 617e], ὅτι τὸν πρῶτον καὶ δεύτερον καὶ τρίτον κλῆρον, οὓς προτείνει τὸ πᾶν διὰ τῶν περιφορῶν, ὁρίζουσιν αἱ ἀνατέλλουσαι μοῖραι· πῶς γὰρ ψυχή τις ἔλαχεν εἰκοστὴ μετὰ τὴν πρώτην καὶ πρὸ ἄλλων ψυχῶν, εἰ μὴ τῆς μὲν ὁ κλῆρος περιεῖχεν

τοσῶνδε μοιρῶν ἢ σημείων ἁπλῶς τῆς περιφορᾶς ἀνατολήν, τῆς δὲ ἐλασσόνων, εἴπερ οἱ δεύτεροι περιέχονται ἐν τοῖς πρὸ αὐτῶν. πέμπτον ἐπὶ τούτοις, ὅτι πᾶς βίος περιείληφεν μετὰ τοῦ εἴδους τῆς ζωῆς καὶ ὁπόσα αὐτῷ συνήρτηται τοῦ παντὸς ἀπονείμαντος· οὕτω γὰρ ὁ πρῶτον λαβὼν κλῆρον ἑνορᾷ ἐν τῷ βίῳ ὃν εἵλετο συμφοράς τινας ἐνούσας καὶ ἀποθρηνεῖ μετὰ τὴν αἵρεσιν ὡς ἐνιδὼν ἐν αὐτῷ τὰ ἑπόμενα δράματα, δέον ἁπάντων πρὸ τῆς αἱρέσεως γίνεσθαι κριτήν.

in R.2.266 ἕκτον, ὅτι πᾶς βίος προστάτην ἔχει δαίμονα καὶ ἀπο[π]ληρωτήν. τοῦτο γάρ ἐστιν τὸ ὑμεῖς δαίμονα αἱρήσεσθε [p. 617d]· κλῆρον μὲν τοῦ προφήτου ποιοῦντος, βίον δὲ ἕνα τοῦ δαίμονος, τῆς δὲ Λαχέσεως ἀμφότερα περιεχούσης, καὶ τοῦ δαίμονος τὴν ἐπιτροπείαν καὶ τοῦ προφήτου τὴν διακλήρωσιν. ἕβδομον, ὅτι πᾶς βίος ἀναγκαῖός ἐστι ταῖς ψυχαῖς μετὰ τὴν αἵρεσιν· ὃ δὴ καὶ ὁ προφήτης δηλοῖ λέγων ᾧ συνέσται ἐξ ἀνάγκης [p. 617e]. δεῖ γὰρ ἑκάστην ψυχὴν ὃν εἵλετο βιῶναι πάντως ἐλθοῦσαν εἰς τὴν γένεσιν καὶ ἀποπληρῶσαι τὰς ἑαυτῆς ὁμολογίας πρὸς τὸ πᾶν. ὄγδοον, ὅτι μετὰ τοῦ δαίμονος καὶ τύχην ἕκαστος εἵληχεν βίος, τοῦ μὲν δαίμονος τὸ τῆς ζωῆς εἶδος εἰληχότος, τῆς δὲ τύχης τὰ ἐκ τοῦ παντὸς ἑκάστοις ἀπονεμηθέντα ζωῆς εἴδη κατὰ καιρὸν ἀποπληρούσης. διὸ καὶ τὸν ὅλον βίον εἰλήχατον ἄμφω, περιέχοντα καὶ τὸ εἶδος τῆς ζωῆς καὶ τὰς τοῦ κόσμου δόσεις. ἔνατον, ὅτι παντοδαπὰ τὰ εἴδη τῶν βίων ἐστίν, ἢ ἀπὸ λογικῶν εἰς λογικὰ τῆς μεταβάσεως τῶν ψυχῶν ἡμῶν γιγνομένης, ἢ ἀπὸ ἀλόγων εἰς ἄλογα, ἢ ἀπὸ ἀλόγων εἰς λογικά, ἢ ἀπὸ λογικῶν εἰς ἄλογα. καὶ γὰρ τῶν λογικῶν καὶ τῶν ἀλόγων ἐστὶν κύκλος τις καὶ ἀπονέμει τινὰ καὶ τούτοις τάξιν τὸ πᾶν. δέκατον, ὅτι τὸ αὐτεξούσιον οὐκ ἀφῃρήμεθα καὶ ἐν τῇ γενέσει καὶ μετὰ τὴν αἵρεσιν. εὖ γὰρ ἢ κακῶς διαθεῖναι δυνάμεθα ἑαυτοὺς καὶ ἐν παντὶ ζωῆς εἴδει πράττειν ὁσίως καὶ προσκατασκευάζειν ἑαυτοῖς ἀμείνω τοῦ βίου τοῦ νῦν παρόντος. Ταῦτα μὲν οὖν ἠθροίσαμεν ἐκ τῶν ἐν αὐτῷ τῷδε τῷ μύθῳ γεγραμμένων· τούτων δὲ διηριθμημένων ἐκεῖνο πάντως ὑπόλοιπον ἰδεῖν, πῶς ἐν τοῖς γόνασι τῆς Λαχέσεως εἶναί φησιν τούς τε κλήρους καὶ τὰ παραδείγματα τῶν βίων διότι μὲν οὖν οὐκ ἐν τῇ Ἀνάγκῃ ταῦτα ἔθετο, ῥᾴδιον τὴν αἰτίαν συνιδεῖν.

in R.2.267 οὐ γὰρ ἐκίνει τὸν σφόνδυλον Ἀνάγκη, εἰ καὶ ἐν τοῖς γόνασιν αὐτῆς ἐκινεῖτο. τῆς οὖν περιφορᾶς τοὺς κλήρους νεμούσης εἰκότως οὐκ εἰς ἐκείνην αὐτοὺς ἀνήγαγεν, ἀλλὰ τὴν ὅλον αὐτὸν κινοῦσαν ταῖν χεροῖν, καὶ οὔτε εἰς τὴν Κλωθώ (οὐ γὰρ ἀπὸ τῆς ἀπλανοῦς μόνης ὁ κλῆρος καὶ ὁ βίος) οὔτε εἰς τὴν Ἄτροπον· οὐ γὰρ ἀπὸ τῆς πλανωμένης μόνης· ἀπ᾽ ἀμφοτέρων οὖν ἡμῖν ἀπονεμομένους εἰς τὴν ἀμφοτέρων ἀνήγαγεν κινητικὴν τὴν Λάχεσιν. καὶ γὰρ τοῦ μὲν ἀεὶ τὴν τάξιν εἶναι ἡ Ἀνάγκη αἰτία, τοῦ δὲ ἄλλην καὶ ἄλλην ἀεὶ αἱ Μοῖραι, 〈ἀφ᾽ ὧν〉 οἱ κλῆροι ἀεὶ ἄλλοι καὶ ἄλλοι· ἀλλὰ μὴν καὶ ἀπὸ παντὸς τοῦ οὐρανοῦ καὶ οὐκ ἐκ τῆς ἑτέρας ταῖν περιόδοιν· δεῖ ἄρα τὴν Λάχεσιν αὐτῶν περιειληφέναι τὰς αἰτίας. Τοῦτο μὲν οὖν δεδεῖχθαι φῶμεν. εἰ δὲ ἔστιν ἐν τῇ Λαχέσει παραδείγματα τῶν βίων, δῆλον ὅτι πεπερασμένα ταῦτά ἐστιν· τῶν γὰρ καθ᾽ ἕκαστα πάντως ἀπείρως ἐξαλλαττομένων ἀνάγκη τὰ παραδείγματα πεπεράνθαι. καὶ εἴ με δεῖ τοὐμὸν εἰπεῖν, ὥρισται ταῦτα ταῖς τοῦ θείου γενητοῦ περιόδοις, καὶ πάντων τῶν βίων ὧν πᾶσαι ψυχαὶ ζῶσιν ἐν μιᾷ τοιᾷδε περιόδῳ προϋπάρχει τὰ παραδείγματα, καὶ τὰ αὐτὰ ἀνελίσσεται καθ᾽ ἑκάστην περίοδον· καὶ ὡς ὁ ἀριθμὸς τοῦ χρόνου τῶν ὀκτὼ περιόδων ὁ αὐτὸς ἀεί, καὶ ἄλλος καὶ ἄλλος τῷ πά[λ]ιν καὶ [πάλιν, οὕτω] καὶ τὰ εἴδη τῶν βίων τὰ αὐτὰ [ἀεὶ μένει κα]τὰ πᾶσαν κοσμικὴν περίοδον καὶ ἄλλ[α κ]αὶ ἄλλα τῷ πάλιν καὶ πάλιν· καὶ γὰρ ἀδύνατόν τι προστεθῆναι τῇ τοῦ θείου γενητοῦ περιόδῳ ζωῆς εἶδος· ἢ οὐκ ἂν ἦν ἡ προσλαβοῦσά τι τελέα· καθάπερ οὖν αἱ τῶν κύκλων ἀποκαταστάσεις ἐν τῇ περιόδῳ συμπεραίνονται πάντων, κατὰ τὰ αὐτὰ δὴ καὶ αἱ περίοδοι τῶν ψυχῶν αἱ κατὰ πάντας βίους· καὶ ἐν οὐδεμιᾷ περιόδῳ ζῇ ψυχὴ βίον ὃν μὴ ἔζηκε πρότερον.

in R.2.268

λεκτέον τοίνυν, ἐπειδὴ καὶ δέδεικται, θαρρούντως, ὅτι τὰ παραδείγματα τῶν βίων καὶ πολλῷ πρότερον τῶν κλήρων τοσαῦτά ἐστιν, ὅσα περιέχει μία τοῦ κόσμου περίοδος, συναποκαθισταμένων τῶν ψυχικῶν βίων τοῖς κοσμικοῖς κύκλοις. τῶν οὖν παραδειγμάτων πάσης ὄντων τῆς περιόδου δαιμονίως εἶπεν [p. 617d], ὅτι ἔλαβεν κλήρου ς , ὡς τινὰς λαβόντος, καὶ παραδείγματα βίω ν , ἀλλ᾽ οὐχὶ τῶν βίων ἁπλῶς. κατὰ τινὰ γὰρ εἰσίασιν εἰς τὴν γένεσιν αὗται, περὶ ὧν ὁ λόγος, ἀπεριλήπτων ὄντων ἀνθρωπίνῃ διανοίᾳ πάντων· διὰ τοῦτο δὲ ἄρα καὶ τὶς προφήτης ἐστὶν ὁ ταῦτα διακληρῶν καὶ προτείνων, ἀλλ᾽ οὐχ ἁπλῶς ὁ προφήτης· ὡς πολλῶν μὲν ὄντων τοιούτων, ἄλλων δὲ κατ᾽ ἄλλα παραδείγματα τὴν διανομὴν ποιουμένων, τῆς δὲ Λαχέσεως ἐνοειδῶς τὰ πλήθη τῶν παραδειγμάτων περιεχούσης καὶ ἐκείνων περὶ αὐτὴν μεριζομένων καὶ μεριζόντων τὰ ἀπ᾽ ἐκείνης ταῖς ψυχαῖς. εἰ δὲ ὡς ἡ Ἀνάγκη τὸν σφόνδυλον ἐν τοῖς γόνασιν εἶχεν, οὕτω καὶ αὕτη τὰ παραδείγματα τῶν βίων καὶ τοὺς κλήρους, φανερὸν ὅτι τε τὴν μητρῴαν ἀξίαν ἔχει πρὸς τὰς ἄλλας Μοίρας καὶ ὅτι αὐτῷ τῷ εἶναι καθάπερ ἐκείνη κυβερνᾷ τὰς ψυχικὰς [περιόδους ὡς ἐκ]είνη [τὰς] κ[οσ]μικάς, καὶ οὐ [διὰ] δή τινος ἐνεργείας, [ἀλλ]ὰ [τ]αῖν χεροῖν τ[ὴν] τοῦ ἀτράκτου περιφορά[ν. ση]μαίνει γὰρ ἡ διὰ τῶν γονάτων εἰκὼν τὸ ἕδραῖον καὶ συναγωγὸν εἰς ἓν τῶν πολλῶν, καὶ ὅσα ἄλλα περὶ τῆς Ἀνάγκης προείπομεν· τὰ γὰρ ὅμοια καὶ ἐπὶ τῆς Λαχέσεως κατατείνειν δυνατόν. Ἀνάγκης θυγατρὸς κόρης Λαχέσεως ὅδε λόγος · ψυχαὶ ἐφήμερο ι , ἀρχὴ ἄλλης περιόδου θνητοῦ γένους θανατηφόρο υ . μέχρι τοῦ αἰτία ἑλομένο υ , θεὸς ἀναίτιος [p. 617de]. Πανταχοῦ μὲν ὁ Πλάτων νοῦν ἡγεμόνα προστησάμενος ὧν φθέγγεται νοερῶν ὄντως ἐπάξια φθέγγεται θεαμάτων· ὅταν δὲ καὶ τοὺς κρείττονας ἡμῶν ἀπεικονίζηται, σαφῶς ἐνθεάζοντι προσέοικεν καὶ τοὺς φοιβολήπτους μιμεῖται, ῥήματα ἀφιεὶς ὥσπερ βέλη νοῦ γέμοντα καὶ ὑψηλῶν ἐπιβολῶν· συνεξορμώσης δὲ αὐτῷ τῆς ἑρμηνείας ταῖς νοήσεσιν ἀκαλλωπίστως συνεστραμμένοις μὲν χρῆται φθέγμασιν, ἀπολελυμένα δὲ ἀπ᾽ ἀλλήλων αὐτὰ διίστησιν τὴν ἀπόλυτον μιμούμενος θέαν τῆς ψυχῆς ἀπ᾽ ἄλλων ἐπ᾽ ἄλλα πηδῶσαν.

in R.2.269 οἷα καὶ διὰ τούτων ἐργάζεται τῶν τοῦ προφήτου λόγων, ἐν ἐλαχίστοις μὲν ἀπεριήγητα νοήματα συλλαβών, ἀσύνδετα δὲ τὰ πλεῖστα φθεγξάμενος, συστρέψας δὲ τὰ κῶλα τοῖς αἰνίγμασιν παραπλησίως. σκόπει δὲ ἐς δύναμιν ἕκαστον τῶν κώλων. Ἀνάγκη ς , φησί, θυγατρὸς κόρης Λαχέσεως ὅδε λόγο ς . ἤρξατο μὲν οὖν ἀπὸ τῆς Ἀνάγκης ἐνδεικνύμενος, ὡς ἄρα καὶ ἡ Λάχεσις καὶ πᾶς ὁ μοιραῖος διάκοσμος τῶν θεαινῶν καὶ αὐτὸς ὁ προφητικὸς εἰς μονάδα μίαν ἐκείνην ἀνατείνονται· πᾶσα γὰρ τάξις ἀπ᾽ ἐκείνης, τῶν οὐρανίων τῶν χθονίων, τῶν ψυχῶν τῶν ὅλων τῶν μερικῶν. τῆς δὲ Λαχέσεως εἰπὼν ἐκφαντικὸς εἶναι διαφερόντως δέδωκεν ἡμῖν ἐννοεῖν, ὡς ἄρα καὶ αὐτὸς ἡγεμονικὴν ἀξίαν ἔχει πρός τινας ἄλλους προφήτας, ὡς ἡ Λάχεσις πρὸς τὰς λοιπὰς Μοίρας, καὶ μετὰ τῶν προφητῶν ἴσως τοὺς δαίμονας οὓς ἐφίστησι ταῖς ψυχαῖς. τὴν δὲ δὴ Λάχεσιν αὐτὴν κόρην ἀνυμνῶν ἄχραντον αὐτὴν δήπου καὶ ἀμιγῆ πρὸς πάντα τὰ διοικούμενα καὶ ἀκμῆς μεστὴν εἶναι καὶ δυνάμεως ἀύλου καὶ καθαρᾶς αἰνίσσεται. τὸ γὰρ κόρον τοιοῦτον εἶναι καὶ αὐτὸς ἡμᾶς ἐν τῷ Κρατύλῳ [p. 396b] παρὰ τοῖς θεοῖς ἐδίδαξεν, οὐχὶ πλησμονὴν ἀλλὰ καθαρότητα σημαῖνον.

in R.2.270 οὕτω δὲ καὶ ἐν Νόμοις [VII p. 796b] τὴν πολιοῦχον κόρην ἅμα καὶ δέσποιναν ἡμῶν προσείρηκεν, ὡς ἀχράντῳ δυνάμει διαλάμπουσαν. τὸν δὲ αὖ λόγον εἰπὼν εἶναι τῆς Λαχέσεως, ὃν μέλλοι ταῖς ψυχαῖς ἐκφαίνειν, σαφέστατα τάξιν ἀγγελικὴν ἑαυτῷ πρὸς τὴν Λάχεσιν ἀποδέδωκεν· ἄλλου γὰρ ἀπαγγέλλων λόγους ἄγγελός ἐστι δήπουθεν αὐτὸς ἐκείνου διαφερόντως, οὗ τῶν λόγων ἐστὶ μηνυτής. ὥστε συντόμως καὶ ὅστις ἐστὶν ἐξέφηνεν, ὅτι τῶν μοιραίων ἀγγέλων τις, κλήρων διανομεύς, βίων ἐκφαντορικός, τῶν εἰληχότων ἡμᾶς δαιμόνων ἐπιστάτης. ἀλλ᾽ ὅπως μὲν ἔχει πρὸς τὰ πρὸ αὐτοῦ, διὰ τούτων ἐδίδαξεν, ἃ δὲ πρὸς τὰ μετ᾽ αὐτὸν ἀποτείνεται σκοπήσωμεν ἑπομένως. Ψυχα ί , φησίν, ἐφήμερο ι , τὰς μὲν ἀνθρωπίνας ψυχάς,

οὔτι γε πάσας, ἀλλὰ τὰς γενέσεως ἐπορεγομένας ἤδη καλῶν ἐφημέρους, ὡς θνητῶν καὶ ἐφημέρων ἁπτομένας. καὶ διὰ ταῦτα ἄρα πολλοῦ δεῖ ὁ αὐτὸς εἶναι τῷ [δη]μιουργ[ῷ τῷ] τὴν ἀίδιον οὐσίαν τῶν ψυχῶν ἐνεργὸν [ποιοῦ]ντι, τὴν ἐφήμερον αὐτῶν ζωὴν αὐτὸς ἐπισκοπῶν. Ἀρχὴ δὴ οὖν ἑξῆς φησιν ἄλλης περιόδου θνητοῦ γένους θανατηφόρου · ταῦτα τοῦ πρὸ αὐτῶν ἀποστήσας κώλου, καθάπερ καὶ ἐκεῖνο τοῦ πρώτου ῥηθέντος. ὡς γὰρ νοεῖ μεταβατικῶς, οὕτω καὶ φθέγγεται, καὶ τῆς μεταβάσεως εἰκὼν ἡ τοιάδε διάστασις. εἰ δὲ θνητοῦ γένους εἰς ἀρχὴν ἄγει τὰς ψυχάς, πρόδηλον ὡς οὐ πάσης ἐστὶν προστάτης τῆς περιόδου τῶν ψυχῶν, ἀλλὰ τῆς ἀπὸ γενέσεως ἐπὶ γένεσιν· τὸ γὰρ θνητὸν καὶ θανατηφόρον γένος τοῦτό ἐστιν, ὅσον συμπληροῖ τὴν γένεσιν. θνητὸν μὲν οὖν ἐστιν εἰς ὃ κάτεισιν ψυχή, θανατηφόρος δὲ ἡ περίοδος τῶν ψυχῶν αὐτῶν οὐ μόνον ὅπῃ φησὶν Ἡράκλειτο ς , ‘ θάνατος ψυχαῖσιν ὑγραῖσι γενέσθαι ‘ λέγων, ἀλλὰ καὶ ᾗ πολλάκις αὐτὸς εἶπεν ὁ Πλάτων ζῆν ἡμᾶς ἐν τῇ γενέσει κατὰ τὸ πολὺ τῷ θνητῷ τῆς ψυχῆς ἑπομένους· πᾶν οὖν τὸ θνητὸν ἐπιδεὲς ὂν τῆς τοιαύτης ζωῆς (ὑπὸ ταύτης γὰρ διασώζεται προσεχῶς) θάνατον ἐπιφέρει ταῖς ἄνωθεν ἡκούσαις· καὶ διὰ τοῦτο θανατηφόρος ἐστὶν ἡ γενεσιουργὸς τῶν ἀθανάτων ψυχῶν καὶ ἐφ’ ἑαυτῶν ἀθάνατα διανοουμένων.

in R.2.271 Καὶ μὴν καὶ τὰς ψυχὰς αἱρήσεσθαι τὸν δαίμονα φησίν, ἀλλ’ οὐχὶ τὸν δαίμονα λήξεσθαι τὰς ψυχάς· ἐκεῖνο θαυμαστῶς διδάσκων, ὡς ἄρα εἰ καὶ εἰλήχασιν οἱ δαίμονες τὰ εἴδη τῶν βίων καὶ εἰσὶν ἄλλοι δι’ ἄλλων ἐπίσκοποί τινες, ἀλλ’ οὐκ ἀναγκάζουσιν τὰς ψυχὰς εἰς τόνδε τὸν βίον χωρεῖν ἢ ἕτερον· ἀλλ’ ἡ ἐκείνων αἵρεσις, ὥσπερ εἰς βίον αὐτάς τινα προάγειν ..... καὶ .... 30 .... προστάτην· ἅμα γὰρ αἱρεῖται βίον καὶ συντάττεται ἐφόρῳ τοῦ βίου πάντως. οὐδὲν γὰρ ἄναρχον ἐν τῷ κόσμῳ τῶν πάντων, [οὐ] βίος οὐ λῆξις οὐκ ἄνοδος οὐ κάθοδος· ἀλλὰ πάντα δέδοται ταῖς οἰκείαις ἐπιστασίαις· καὶ ὡς αὐτὸς εἶπεν ἐν Νόμοις [X p. 903b], εἰς τὸν ἔσχατον ἥκει μερισμὸν ἡ πρόνοια τῶν ὅλων ὑποδιαιροῦσα ἑαυτὴν καὶ γεννῶσα προνοίας ἐξ ἄλλων ἄλλας, ἐκ τῶν ὁλικωτέρων τὰς μερικωτέρας, ἐκ τῶν θειοτέρων τὰς δαιμονιωτέρας. εἰσὶν οὖν καὶ τῶν γενεσιουργῶν βίων ἔφοροι δαίμονες, οἳ τὰς ψυχὰς ἐπιτροπεύουσιν τὰς κατὰ τούτους διαζώσας τοὺς βίους· καὶ εἰώθασιν τούτους ἀγγελικοὺς καλεῖν, ἀντιδιαστέλλοντες τοῖς πρὸ τούτων θείοις δαίμοσιν, οἵτινες αὐτὰς τὰς ὑπάρξεις τῶν ψυχῶν συνδέουσι πρὸς τοὺς ἡγεμόνας αὐτῶν θεούς. εἰς οὕς μοι δοκεῖ καὶ ὁ προφήτης ἀποβλέπων εἰπεῖν πρὸς τὰς ψυχάς· οὐχ ὑμᾶς δαίμων λήξετα ι , τὴν διαφορὰν τούτων τῶν γενεσιουργῶν καὶ μοιραίων πρὸς τοὺς οὐσιώδεις ἡμῶν ἐφόρους ἐνδεικνύμενος. ἐκεῖνοι γὰρ αὐτοὶ τῷ ὄντι λαγχάνουσι τὰς ψυχάς, πρὸ αὐτῶν διαιρεθέντες περὶ τοὺς θεοὺς καὶ τὰς ψυχὰς ἑαυτοῖς συνδιανείμαντες, ἐπειδὴ κατ’ οὐσίαν αὐτῶν εἰσιν ἡγεμόνες· οἱ δὲ μοιραῖοι διά τινα βίον αὐτῶν ἄρχουσιν, οὗ ἡ αἵρεσις ἐπ’ αὐταῖς.

in R.2.272 ἐπ’ ἐκείνων μὲν οὖν ἤρχθημεν, ἵνα ὑποστῶμεν, ἐπὶ τούτων δὲ εἱλόμεθα τοιῶσδε ζῆν, ἵνα ἀρχθῶμεν. καὶ γὰρ ἔοικεν ἐκεῖνος μὲν ὁ δαίμων, ἅτε οὐσιώδης ὤν, ἄνωθεν ἡμᾶς οἷον ἐκ πρύμνης διοικεῖν ἀπ’ αὐτῆς τῆς οὐσίας ἡμῶν ἀρχόμενος· καὶ δι’ ἐκεῖνον ἡ ψυχὴ καὶ πεσοῦσα ἀνιέναι πά[λ]ιν ... 14 .... τα τὴν πρὸς τὸ[ν οἰκεῖο]ν αὐτῆς θεὸν σύν[ταξιν. οὗτος δὲ τίς ἄλλος ἢ] ὁ τῆς ἐνταῦθα μονῆς ἡμῶν ἐπιμελὴς καὶ [νεύ]σεως ἔφορος ὑπάρχων τῆς πρὸς τὴν γ[ένεσιν]. ὅσῳ δὴ οὖν ὁ δεσμὸς τοῦ δεσμοῦ διενήν[οχεν], ὁ πρὸς τὰ ἄνω λέγω τοῦ πρὸς τὰ κάτω, καὶ ἡ οὐσιώδης ἀρχὴ τῆς κατὰ σχέσιν, τοσούτῳ καὶ ἐκεῖνος ὁ δαίμων τούτου διέστηκεν. ὅθεν εἰ καὶ ἐκείνου λήξεις ἐσμέν, οὐκέτι καὶ οὗτος ἡμᾶς λαγχάνει· πρὸ γὰρ τῆς αἱρέσεως οὐκ ἐσμὲν ὑπ’ αὐτόν, ἑλόμενοι δὲ τὸν ἀρχόμενον ὑπ’ αὐτοῦ βίον καὶ ἡμεῖς γιγνόμεθα τῶν ἀρχομένων, καθ’ ὃ τὴν ζωὴν ἐκείνην ζῶμεν. ὅτι δὲ ὁ δαίμων οὗτος ἐν λογικαῖς ὑπάρξεσιν οὐσίωται μειζόνως, εἴπερ καὶ ἡμεῖς ὧν ἐστι προστάτης, καὶ ὅτι πολλῶν εἷς ἄρχει τῶν ὁμοειδῶς ζώντων, οὐδὲν οἶμαι δεῖν ὑπομιμνήσκειν. γελοῖον γὰρ εἰ, ὅταν ἀπολείπωμεν τὸν αὐτῷ προσήκοντα βίον, εὐθὺς ἄλλη ψυχὴ τὸν αὐτὸν αἱρεῖται βίον, ἢ ἐκεῖνος οὐδενός ἐστιν ἄρχων· τὸ μὲν γὰρ πλασματῶδες, τὸ δὲ τῆς δαιμονίας οὐσίας ἀνάξιον. δεῖ γὰρ αὐτοὺς ἄρχειν ἀεὶ ταύτην οὐσίαν

ἔχοντας, δεῖ δὲ καὶ ψυχῶν ἡγουμένους πολλῷ μᾶλλον ἐν λογικῇ ζωῇ τὴν ὑπόστασιν ἔχειν, καὶ ταύτῃ τελείᾳ καὶ κατὰ νοῦν ἐνεργούσῃ, δι' ἣν καὶ ἡμεῖς ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὴν ἑαυτῶν ἀνεγειρόμεθα τελείωσιν. καὶ γὰρ ἄρχει τῶν ἔνδον διαφερόντως, ὥσπερ ἡ τύχη τῶν ἔξω μᾶλλον.

in R.2.273 διὸ καὶ αὐτὸς ἐν τῇ αἱρέσει τῆς ζωῆς ὑποτάττεσθαί φησιν ἡμᾶς τῷ δαίμονι, τύχης δὲ οὐ πεποίηται μνήμην· ἀλλ' ὅταν τὸν ὅλον βίον ἐπισκοπῶν ὁ πρῶτος κληρωθείς, ὃν εἵλετο, καὶ 〈τὰ〉 ἑπόμενα τῷ τυραννικῷ βίῳ θεωρῇ, τότε αὐτὸν τὸν δαίμονα αἰτιᾶσθαι καὶ τύχην. Ἐπὶ δὴ τούτοις παρακελεύεται τὸν πρῶτον αἱρεῖσθαι βίον, τὴν ὑποδοχὴν τοῦ κλήρου δηλῶν διὰ τοῦ πρῶτον λαχεῖν· διότι πάντες οἱ κλῆροι παρὰ τῆς Λαχέσεως ἐνδίδονται καὶ τὸ λαχεῖν οὐκ ἄλλο τι σημαίνει ἢ τὸ κληρωθῆναι. καὶ δῆλον ὅτι κατὰ δίκην τῶν κλήρων διανεμομένων τὸ πρῶτον λαχεῖν ἐστιν τὸ εὐμοιρότερον εἶναι περὶ τὸν κλῆρον, ἐξ ἀφθόνων ποιούμενον τὴν αἵρεσιν. δέδεικται δὲ ἡμῖν, ὅτι τῶν συγκλήρων ψυχῶν αἱ πρῶται κληρωθεῖσαι τοὺς τῶν ἐξῆς περιέχουσι βίους μετὰ ἄλλων, καὶ αἱ δεύτεραι τοὺς τῶν ἑξῆς· ὥστε τὸ πρῶτόν ἐστι κληρωθῆναι τὸ πλείστων βίων ἐν ἐξουσίᾳ γενέσθαι αἱρέσεως. τοῦτον οὖν κελεύει καὶ αἱρεῖσθαι πρῶτον. Ὅτι δὲ τὸ πρῶτον ἐν τούτοις καὶ δεύτερον εἰς τὴν τοῦ οὐρανοῦ φορὰν ἀποβλέποντα δεῖ νομίζειν ἀφορίζειν τὸν παρόντα λόγον, εἴπομεν ἤδη πρότερον. καὶ γὰρ συγκλήρους ταύτας εἶναί φαμεν, ὅσαι κατὰ τὸ συνεχὲς τμῆμα τοῦ ζῳοφόρου ποιοῦνται τὰς αἱρέσεις· οἷον τοῦ μὲν πρώτου κλήρου δεκαμοιρίαν ἔχοντος εἰς αἵρεσιν τῶν ἐν ταῖς ἀνατολαῖς τῆς δεκαμοιρίας βίων, τοῦ δὲ δευτέρου πᾶσαν οὐκέτι τὴν δεκαμοιρίαν, ἀλλ' ἐν ἐλάττοσι ταύτης τὴν ἐξουσίαν ἔχοντος, τοῦ τρίτου δὲ ἔτι μᾶλλον ἐν ἐλάττοσιν, καὶ ἀεὶ τοῦτο, μέχρις ἂν εἰς ἐλάχιστον πλῆθος ἡ αἵρεσις καταλήξῃ τὸν αἱρούμενον ἀποστενώσασα. καὶ οὐ δεῖ θαυμάζειν, πῶς δὴ τοῦτο δυνατὸν ἀποροῦντας· οὐ γὰρ δὴ λέγοντός τινος ἀκούουσιν ἀπὸ τῶνδε χρῆναι τὸν βίον ἑλέσθαι, οὐδ' εἰ καὶ λέγοι τις, πᾶσα ψυχὴ δύναται τὸ πᾶν ὁρᾶν, οἷόν ἐστι καὶ ὅσων οἰστικόν.

in R.2.274 τοῦτο μὲν γὰρ ταῖς ἔξω σωμάτων οὔσαις ψυχαῖς οὐκ ἀδύνατον, τοσοῦτον πλέον ἔχειν τῶν ἐν σώμασ[ιν, ὡς] δύνασθαι συννοεῖν τὴν οὐρανίαν φοράν· ὅπου γε καὶ ἐνταῦθά τινες τἆλλα μέν εἰσιν οἱ τυχόντες, ἔχουσι δὲ συστοίχως εἰς κατανόησιν τῶν ἐκ τῆς φορᾶς ἀποτελουμένων. Οὐ μὴν οὐδὲ ἐκεῖνο θαυμαστόν, ἐκ τῶν ὅλων ἡμᾶς κινεῖσθαι πρὸς τάδε μᾶλλον ἢ τάδε, πρὸς ἃ πεφύκαμεν ἢ ὧν ἐσμεν ἄξιοι, καὶ τὰς φαντασίας ἡμῶν ἐρεθίζεσθαι πρὸς αἱρέσεις τῶνδε μᾶλλον ἢ τῶνδε τῶν ἡμῖν οἰκειοτέρων. καὶ γὰρ ἐν τοῖς σώμασιν ὄντας ἡμᾶς ἀνατολαὶ πολλάκις ἀστέρων καὶ σχηματισμοὶ κινοῦσι καὶ προθύμους ποιοῦσιν ἐνεργεῖν ἃ μὴ πρότερον, καὶ ἄλλα παρασκευάζουσιν εἰς ὄκνον τῶνδε τῶν ἐνεργημάτων. εἰ δὲ καὶ κατὰ συνήθειάν εἰσιν ὡς τὰ πολλὰ τῶν προτέρων βίων αἱρέσεις καὶ τοῖς προμελετηθεῖσιν ἐπιτρέχομεν, αὐτόθεν δήπου φανερόν, ὅτι καὶ τῶν ὅλων ταῖς ὡς εἰς μέρη ποιήσεσιν διεγειρόντων καὶ ἡμῶν ἤδη προκεκινημένων διὰ τὴν συνήθειαν αἱ πρὸς τάδε γίγνονται ῥοπαὶ μᾶλλον ἢ τάδε τὰ οἰκεῖα καὶ τῷ κινοῦντι, διότι τούτων οἰστικὸν εἰς ἡμᾶς, καὶ τῷ κινουμένῳ, διότι τούτων ἐν ἕθεσιν ἐγεγόνει πρότερον. Τί δὴ οὖν μετὰ τὴν αἵρεσιν τοῦ βίου φησὶν ὁ προφήτης, ᾧ συνέσται ἐξ ἀνάγκη ς ; ἀναπόδραστος γὰρ μετὰ τὴν αἵρεσιν λοιπὸν ὁ βίος, καὶ δεῖ διαβιῶναι τὴν ψυχὴν ὃν εἵλετο βίον· καὶ τό τε πᾶν κυροῖ τὴν αἵρεσιν, καὶ ἡ ψυχὴ πᾶσα πρὸς ἓν εἶδος ῥέψασα ζωῆς συμπλέκει τὸ ἐπ' αὐτῇ τῷ ἐκ τοῦ παντός, οἷον μερικήν τινα πρότασιν καθολικῇ, καὶ συνάγει συμπέρασμα ἐξ ἀνάγκης ἑπόμενον τὸν τῇδε βίον κατὰ τὴν αἵρεσιν καὶ τὴν φοράν. ὡς εἰ λέγοι τοιόνδε ἀνάλογον· τόνδε τὸν βίον εἱλόμην· ὃν δὲ εἱλόμην, τὰ ὅλα κυροῖ· τόνδε ἄρα τὸν βίον τὰ ὅλα κυροῖ.

in R.2.275 πρὸς δὲ τοῦτο καὶ ὁ ἀποπληρωτὴς δαίμων ἐφέστηκεν τὴν πρὸς τὸ ὅλον τῆς ψυχῆς ὁμολογίαν ἀπαιτῶν, ὥστ' ἐξ ἀνάγκης συνεῖναι τῷ αἱρεθέντι βίῳ, ὁποῖος ἂν τυγχάνῃ ὁ βίος ὤν. εἰ δ' ἐξ ἀνάγκης, δῆλον διότι τὸ κῦρος ἄνωθεν ἀπὸ τῆς Ἀνάγκης ἔχομεν μάλιστα. καὶ γὰρ πᾶν τὸ

ἀναγκαῖον παρ’ ἐκείνης ὑπάρχει τοῖς ἐγκοσμίοις θεοῖς τε καὶ τοῖς μετὰ θεούς· ἀλλ’ ὅπου μὲν τὸ ἀναγκαῖον καθ’ ὕπαρξίν ἐστιν ἀναγκαῖον, ὡς ἐπὶ τῶν κρειττόνων ἡμῶν ἀεὶ ὡσαύτως καθ’ ἕνα λόγον ζώντων καὶ τάξιν μίαν, ὅπου δὲ κατὰ ἀκολουθίαν, ὡς ἐφ’ ἡμῶν· τὸ γὰρ ἐφ’ ἡμῖν ἅστατον ὂν ἔχει κατὰ τὸ ἀκόλουθον ἀνάγκην, εἰ μὲν τάδε ἑλοίμεθα, ταδὶ πάντως ἀκολουθήσειν, εἰ δὲ τάδε, ταδί. καθάπερ καὶ ἐνταῦθα· τόνδε γὰρ ἑλόμενοι τὸν βίον συνεσόμεθα αὐτῷ ἐξ ἀνάγκης· ἁπλῶς δὲ οὐκ ἐξ ἀνάγκης· ἐνεδέχετο γὰρ καὶ ἄλλον βίον ζῆν, ἀλλὰ πρὸ τῆς αἱρέσεως, μετὰ δὲ τὴν αἵρεσιν ἀδύνατον. καὶ οὕτως ἔοικεν καὶ πᾶν τὸ ἐνδεχόμενον εἰς ἀναγκαίαν μεταπίπτειν δύναμιν διὰ τῆς ἀκολουθίας, καὶ τῶν ἐνδεχομένων ἀναγκαίως ἐνδεχομένοις ἄλλοις ἑπομένων. τὸ μὲν οὖν ἀναγκαῖον ἐν τοῖς βίοις ἡμῶν τοιόνδε χρὴ νοεῖν. ἐπειδὴ δὲ οἱ βίοι πολυειδεῖς ὄντες ἔννοιαν παρεῖχον, μήποτε οὐ πᾶς βίος δεκτικὸς ἀρετῆς, ἀλλ’ ὄντως ἠναγκασμένοις ἐοίκαμεν εἰς ἄλλους ἄλλοι καὶ τὸ εὖ ἡμῖν οὐκ ἀφ’ ἡμῶν, ἀλλὰ καὶ τοῦτο τὴν ἀνάγκην ἠρτημένην ἀλλαχόθεν ἔχει καὶ μεμοιραμένην, ὅρα τί ποτέ φησιν αὐτὸς ὁ τὰς μ[οι]ραίας δόσεις εἰς [ἡμᾶς ἀ]γγέλλων προφήτης· ἀρετὴ δὲ ἀ [δέσποτ]ον · καὶ πῶς ἀδέσποτον ἐδίδαξεν· ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει · δυνατὸν οὖν ἢ πλέον ἢ ἔλασσον μετέχειν ἀρετῆς ἡμᾶς κατὰ τὰ μέτρα τῆς περὶ αὐτὴν τιμῆς. ἀλλ’ ὁ γενναῖος Ἀμέλιος οὐδέν φησι θαυμαστὸν ἀδέσποτον εἶναι τὴν ἀρετήν· καὶ γὰρ τὴν κακίαν ἀδέσποτον, εἴπερ καὶ τὴν ἀρετήν· τῶν γὰρ ἐναντίων ἡ αὐτὴ προαίρεσις.

in R.2.276 ἡμεῖς δὲ φήσομεν ἀδέσποτον μὲν εἶναι καὶ τὴν κακίαν, ἀλλ’ ὡς ἐφ’ ἡμῖν οὖσαν μόνον· ἀδέσποτον δὲ τὴν ἀρετήν, ἀλλ’ οὐ διὰ τὸ ἐφ’ ἡμῖν μόνον, ἀλλὰ διότι τὴν ψυχὴν ἐλευθέραν ἀποτελεῖ τῶν πικροτάτων δεσποτῶν, οἷς ἡ δουλεύουσα τῶν ἀγαθῶν στέρεται πάντων. δουλεύει γὰρ θυμοῖς, ἐπιθυμίαις, φαντασίαις, αἰσθήσεσιν, δαίμοσιν ὑλαίοις, ἀνθρώποις τοῖς τῶν παθῶν πορισταῖς· ὧν ἀρετὴ πέφυκεν ἐλευθεροῦν. καὶ ἀδέσποτον οὖν μόνην αὐτὴν ὅσιον καλεῖν, ἀλλ’ οὐ τὴν κακίαν τὴν δουλοπρεπῆ καὶ δούλην ποιοῦσαν τὴν ψυχήν. ὡς οὖν οἱ θεοὶ πάντων δεσπόζοντές εἰσιν ἀδέσποτοι, οὕτω καὶ ἡ ἀρετὴ δεσπόζουσα, ὧν δεῖ δεσπόζειν, ἀδέσποτός ἐστιν ὑπὸ τῶν ἐχόντων τὴν κακίαν. εἰ δὲ δὴ ταύτην ἡ ἀρετὴ κέκτηται τὴν δύναμιν, [[καὶ]] οὐ μόνον ἐστὶν ἀδέσποτον, ἀλλὰ καὶ μόνον τῶν ἐν ἡμῖν δεσποτικὸν δεῖ νομίζειν καὶ πάντα βίον αὐτῆς πλέον ἢ ἔλασσον μετέχειν. μὴ γὰρ οὐδὲ δυνατὸν ᾖ βίον ἕνα πάσης ἀρετῆς ἄμοιρον γενέσθαι καὶ τοὐναντίον πάσης ἀρετῆς μέτοχον· ἀλλ’ ὃ μέν τις μᾶλλον ὃ δὲ ἧττον ἀρετῆς μέτοχός ἐστιν, ἥκιστα δὲ ἢ μάλιστα ἀδύνατον. αὐτὸς γοῦν ἐστιν ὁ λέγων ἐν Φαίδωνι [p. 66bc] φρόνησιν ἡμῖν τελέαν [ἐνταῦθα] μὴ ἂν παραγενέσθαι διὰ τὰς μυρίας [ἀποῦ]σαν ἀσχολία ς , ἃς τὸ σῶμα παρέχει ταῖς ψυχαῖς καὶ ἡ ἐξημμένη γένεσις ἡμῶν. εἰ δὲ διὰ τὴν τοῦ ἀλλοτρίου προσθήκην κωλυόμεθα τελέαν ἔχειν τὴν οἰκείαν ἀρετήν, ἀνάγκη καὶ διὰ τὴν οἰκείαν ἡμῶν οὐσίαν νοερὰν οὖσαν μηδέποτε παντελῆ τὴν κακίαν ἡμᾶς ὑπομένειν ἀλλοτρίαν οὖσαν· φύσει γὰρ ἡ ψυχὴ πρὸς τἀγαθὸν ᾠκείωται μᾶλλον ἢ τὸ ἐναντίον· καὶ τάχα ἂν εἰ παντελῆ κακίαν ἔσχεν, ἐφθάρη ἄν, εἴπερ τὸ κακὸν ἑκάστου φθαρτικόν· νῦν δὲ διαστρέφονται μὲν αὐτῆς οἱ κύκλοι, φησὶν ὁ Τίμαιος [p.

in R.2.277 36d], οὐ μέντοι παντελῶς· ὥστε οὐδ’ ἡ κακία παντελής. εἰ δὲ ταῦτα δέδεικται, πᾶς βίος ἀρετῆς δύναται μετέχειν, καθ’ ὅσον ἕκαστος αὐτὴν νομίζει τίμιον, καὶ οὐκ ἀπεστερήμεθα τοῦ μετέχειν ἀρετῆς διὰ τὴν ἐν τοῖς βίοις μετὰ τὰς αἱρέσεις ἀνάγκην. Τέλος τοίνυν ἐφ’ ἅπασι τοῖς εἰρημένοις ἐπήνεγκεν ὁ λόγος· αἰτία ἑλομένο υ , θεὸς ἀναίτιος · σαφέστατα διαμαρτυρόμενος, ὡς ἄρα τῶν ἀποβαινόντων κακῶν οὐ θεὸν αἰτιᾶσθαι προσῆκεν, ἀλλ’ ἡμᾶς αὐτούς. ὃ μὲν γὰρ κυρίους ἡμᾶς κατέστησεν ἀμεινόνων καὶ χειρόνων αἱρέσεων, ἡμεῖς δὲ μὴ κρίνοντες ἀφ’ ὧν δεῖ τὰς αἱρέσεις ἐπιτρέχομεν ταῖς χείροσιν ἀντὶ τῶν ἀμεινόνων. ἐνταῦθα δὴ καὶ μάλιστα διωρίσθαι προσῆκεν, τίνα τὰ κριτήρια τῶν πραγμάτων τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν, καὶ τίνα τὰ ὡς ἀληθῶς ἀγαθὰ καὶ τίνα τὰ ὄντως κακά, καὶ τίνα ἀδιάφορα μὲν ἀγαθὰ δὲ φανταζόμενα τοῖς πολλοῖς. κριτήρια

μὲν γὰρ ἅπταιστα λόγος καὶ νοῦς, ἐπταισμένα δὲ φαντασία καὶ αἴσθησις· καὶ ὁ μὲν ἐκείνοις χρώμενος γιγνώσκει τὸ ὂν καὶ τὸ τούτῳ ἐναντίον τὸ μὴ ὄν, ὁ δὲ τούτοις ἐνηλλαγμένως καταψηφίζεται μὲν τῶν ὄντων ὡς μὴ ὄντων, ἀποδέχεται δὲ τὰ μὴ ὄντα ὡς ὄντα. τὰ γὰρ οἰκεῖα προτίθησιν ἑκάτερα, κυριώτερα δὲ τὰ ἀυλότερα τῶν ἐνυλοτέρων εἰς κρίσιν, καὶ τὰ ἑαυτὰ καὶ τὰ ἕτερα γιγνώσκοντα τῶν μήτε ἑαυτὰ μήτε θάτερα διεγνωκότων. νοῦς μὲν οὖν καὶ λόγος οἶδεν καὶ ἑαυτὸν καὶ φαντασίαν καὶ αἴσθησιν, φαντασία δὲ ἄρα καὶ αἴσθησις οὔτε ἑαυτὰς γιγνώσκειν οὔτε νοῦν καὶ λόγον πέφυκεν. πάλιν ἀληθινὰ μὲν ἀγαθά, δι' ὧν ψυχὴ τελειοῦται καὶ ζῇ κατὰ φύσιν, κακὰ δὲ ὄντως, δι' ὧν ἑαυτήν τε εἰς τὸ ἔσχατον ἄγει καὶ τὰ ἑαυτῆς· ἀδιάφορα δὲ ὅσα μηδέτερα τούτων ὄντα τῶν ἀγαθῶν ἕνεκα ζητεῖν εἰώθαμεν.

in R.2.278 ὅταν τοίνυν ἀντὶ μὲν νοῦ ψυχὴ φαντασίαν ἐφέλκηται πρὸς τὰς αἱρέσεις τῶν βίων, ἀντὶ δὲ λόγου τὴν αἴσθησιν, τὰ μὲν ἀναγκαῖα τίμια νομίζουσα, τὰ δὲ ἀληθινῶς ἀγαθὰ παρορῶσα, περιπετὴς γίνεται τοῖς ὄντως κακοῖς· καὶ οὕτω δὴ τὰς ἑαυτῆς ὀφείλει κρίσεις αἰτιᾶσθαι τῶν μοχθηρῶν αἱρέσεων, μὴ ζητοῦσα τοὺς βίους ἐν οἷς τὸ ἀγαθὸν ⟦ πασων ⟧ , ἀλλ' ἐν οἷς τὰ ἀδιάφορα, πλοῦτοι καὶ δυνάμεις καὶ σώματα ῥωμαλέα, μηδὲ φεύγουσα τοὺς ἔχοντας ἑπομένην τὴν χείρονα ζωήν, ἀλλὰ τοὺς πενίας φέροντας ἢ ἀσθενείας σωμάτων ἢ ἀτιμίας. οὐκοῦν ἑαυτὴν αἰτιᾶσθαι προσήκει τὴν ψυχήν, ὡς μὴ χρησαμένην οἷς ἔχει κριτηρίοις ἀψεύστοις, ἀλλὰ τοῖς μοχθηροῖς κανόσι τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων, καίτοι θεόθεν λαβοῦσα τὰ ὄντως κριτήρια τῶν ὄντων καὶ ἐν τούτοις μὲν ἔχουσα τὸ εἶναι, τοῖς δὲ χείροσιν ὡς ὑπηρετοῦσιν ἐν οἷς δεῖ χρωμένη. τὴν οὖν [τά]ξιν ἀνατρέψασα καὶ τὰ ὄργανα [τῶν χ]ρ[ω]μένων προτ[ι]θεῖσα μὴ θεὸν ἀλλ' ἑαυτὴν αἰτιάσθω. τί γὰρ ἂν καὶ εἴποι θεοῦ λέγοντος· τὰ μὲν ἐποίησα τῶν κριτηρίων ἐν σοί, τὰ δὲ μετὰ σέ· καὶ σὺ τὰ ἐν σοὶ παντελῶς ἀτιμάσασα τοῖς μετὰ σὲ τὴν πᾶσαν ἀπονέμεις μοῖραν, ἀποτυφλώσασα δι' ἐκείνων τὰ ἐν σοὶ κατ' οὐσίαν ἐνόντα. ταῦτα γὰρ ἐναργέστατα θεὸν μὲν ἐξαιρεῖ πάσης αἰτίας κακῶν, ἐπ' αὐτὴν δὲ ἀναφέρει τὴν ψυχὴν ὧν ἁμαρτάνει τὴν αἰτίαν, μὴ χρωμένην τοῖς οἴκοθεν κριτηρίοις, ἀλλὰ τοῖς σωματικοῖς ἀντὶ τῶν ψυχικῶν καὶ τοῖς ἐνύλοις ἀντὶ τῶν ἀύλων, ὧν αἱ γνώσεις ἐσκιαγραφημέναι καὶ ἄλλων ἀντιλαμβανόμεναι τοιούτων καὶ εἴδωλα γιγνώσκουσαι τῶν ἀγαθῶν ἀντὶ τῶν ἀληθινῶν. οὔτ' οὖν τὴν Λάχεσιν οὔτε τὴν μοιραίαν τάξιν οὔτε θεὸν ὅλως αἰτιατέον ὧν αἱρούμεθα μοχθηρῶς· ἔξεστι γὰρ καὶ ἐν ταῖς αἱρέσεσιν τοὺς ἀμείνους ἀντὶ τῶν χειρόνων, ὡς ἐγχωρεῖ, βίους ἐκλέγεσθαι, καὶ εἴ τῳ ὁ κλῆρος ἔσχατος εἴη, καὶ δι' ἥντινά ποτε αἰτίαν τοῖς χείροσιν ἐνισχόμενον μὴ ἀμελεῖν ἀρετῆς· εἴπερ ἀδέσποτος ἡ ἀρετὴ καὶ ἐν οὐδενὶ τῶν βίων ἀποκέκλειται τὸ ὀπωσοῦν τιμᾶν ἀρετὴν καὶ πλέον αὐτὴν τιμῶντα πλείονος αὐτῆς μεταλαγχάνειν.

in R.2.279 Τοσαῦτα τὴν πρώτην ἐχρησμῴδησεν ταῖς ψυχαῖς ὁ προφήτης, οὔπω διανείμας αὐταῖς τοὺς κλήρους. τὰ δὲ δὴ τοῖς λόγοις ἑπόμενα ἔργα θεωρήσωμεν, ὅσα προστίθησιν ἅμα λέγων ταῦτα διὰ τῶν ἑφεξῆς· ταῦ τ ' εἰπόντα ῥῖψαι ἐπὶ πάντας τοὺς κλήρους ἕως τοῦ πολὺ πλείω τῶν παρόντων [p. 617e]. Ὁμοῦ μὲν τοῖς λόγοις ἀποδίδωσι τὴν τῶν κλήρων διανομήν, εἰς ἐναργῆ δήλωσιν τοῦ καὶ τὰς νοήσεις τῶν κρειττόνων ἡμῶν ποιήσεις τινὰς εἶναι καὶ οὔτε ποίησιν παρ' ἐκείνοις ἄνευ νοήσεως ὑπάρχειν (φύσεως γὰρ τοῦτο ἴδιον) οὔτε νόησιν ἄνευ ποιήσεως (ψυχῆς γὰρ εἶναι τοῦτο μερικῆς)· ἅμα οὖν νοῶν καὶ ἃ νοεῖ ποιῶν εἰκότως λέγων ῥιπτεῖ τοὺς κλήρους. ὑπολείπονται γοῦν ἔτι τινὲς τῶν προφητικῶν λόγων. ἡ δὲ ῥῖψις τῶν κλήρων τὴν ἀπὸ τῶν οὐρανίων περιφορῶν καὶ τῶν κινουσῶν ταύτας αἰτιῶν διὰ μέσου τοῦ προφήτου καθήκουσαν εἰς τὰς ψυχὰς αὐτῶν διανομὴν παρίστησιν· ἅμα δὲ δηλοῖ καὶ ὅτι περιείχοντο μὲν ἐνιαίως ἐν ἐκείνῳ, διεσπείροντο δὲ ἐν τοῖς ὑποδεχομένοις, ἄλλης ψυχῆς ἄλλον κλῆρον λαγχανούσης. καὶ γὰρ τὰ ἅμα ῥιπτούμενα πρόεισιν οὕτως εἰς πλῆθος ἀφ' ἑνὸς τοῦ ῥίψαντος· ἕκαστος γοῦν λαμβάνει τοῦτον, ὡς φησίν, ὃς παρ' αὐτὸν ἔπεσεν. καὶ δόξειεν μὲν ἂν αἰτιᾶσθαι τύχην ὁ μῦθος τῆς τοιαύτης πτώσεως· ἔστι δὲ κατὰ δίκην ἡ παρ' ἕκαστον τοῦ προσήκοντος αὐτῷ κλήρου

πτῶσις· πῶς γὰρ οὐ μέλλει κατὰ δίκην εἶναι καὶ οὐκ ἀλόγως γίνεσθαι, κατὰ νοῦν γινομένη τοῦ τε προφήτου καὶ τῆς Λαχέσεως; καὶ ὁ μὲν προφήτης ἐνεργεῖ κινῶν τὰς ψυχὰς εἰς τὴν τῶν κλήρων ὑποδοχὴν καὶ τῶν βίων τὴν ἐκλογήν, ἐκεῖναι δὲ κινοῦνται ὑπ' αὐτοῦ καὶ κατὰ τὸν λόγον καὶ κατὰ τὴν φαντασίαν εἰς ἄμφω ταῦτα.

in R.2.280 οὐδὲ γὰρ ἄλλως ἐνεργοῦσιν εἰς ἡμᾶς οἱ κρείττους ἡμῶν ἢ ἔνδοθεν, ἅτε προηγούμενοι τῆς οὐσίας ἡμῶν· τῇ δ ' ἄρ ἐπὶ φρεσὶ θῆκε θεά [Il. A 55], καὶ φᾶρος μέν μοι πρῶτον ἐνέπνευσεν μέγα δαίμων [Od. τ 138]· οὐ δι' ἀκοῆς οὖν εἰσδέχονται τοὺς λόγους οὐδὲ κατ' αἴσθησιν τοὺς κλήρους, ἀλλ' ἀνεγειρόμεναι πρὸς τὰ οἰκεῖα ἕκασται εἴδη διὰ τῶν προφητικῶν ἐνεργειῶν τῶν τε γνωστικῶν, ὧν οἱ λόγοι εἰκόνες, καὶ τῶν κινητικῶν, ὧν αἱ ῥίψεις. Ἑκάστου τοίνυν τὸν προσήκοντα λαβόντος κλῆρον (τοῦτο γὰρ δηλοῖ τὸ τὸν παρ' αὐτὸν πεσόντα ἀνελέσθαι, τῆς τοπικῆς σχέσεως τὴν κατ' ἀξίαν καὶ ὀφειλομένην ἐνδειξαμένης σύνταξιν καὶ τὴν τοῦ δεδομένου πρὸς τὸ δεξάμενον οἰκείωσιν) μόνος οὐ συγχωρεῖται λαβεῖν ὁ τούτων ἄγγελος· οὐ γὰρ ἤλλαττεν τὸν παρόντα βίον οὐδ' εἰς ἄλλην ἔμελλεν εἰσδύεσθαι γένεσιν· ὥστε ἤνυεν ἔτι τὸν αὐτὸν κλῆρον. καὶ γὰρ τὸ τούτων αὐτὸν τῶν θεαμάτων τυχεῖν μέρος ἦν ἐκείνου τοῦ κλήρου, καὶ περιείχετο ἐν αὐτῷ 〈τὸ〉 τοιόνδε τρόπον χωρισθέντα σώματος αὐτόπτην γενέσθαι τῶν ἐν Ἅιδου πραγμάτων. Εἰ δὲ ὁ ἀνελόμενος πᾶς εὐθὺς γιγνώσκει πόστος ἔλαχεν, τί ἄλλο διὰ τούτου παρίστησιν ἢ ὅτι πᾶσα ψυχὴ βλέπουσα εἰς τὸ πᾶν, ὅθεν αὐτῇ καὶ ὁ κλῆρος ἀποδίδοται, γιγνώσκει πόσων τε βίων ἐστὶν κυρία καὶ ποίαν ἔχει πρὸς τὰς συγκλήρους τάξιν, οἷον γράμματα ὁρῶσα ἐν τῇ περιφορᾷ γεγραμμένα ταῦτα, ὅσα ἑκάστῃ προτείνεται; καὶ ὃ πολλάκις εἴπομεν, οὐ χρὴ θαυμάζειν, εἰ πρὸ τῶν σωμάτων αἱ ψυχαὶ πολλὰ καθορῶσιν τῶν ἐν τῷ παντὶ γιγνομένων, ὅσα μὴ δύνανται καθορᾶν τὸν παχὺν τοῦτον περιτειχισάμεναι δεσμόν· καὶ γὰρ ἡ ἐκ τῆς γενέσεως λήθη δεινὴ καὶ τὸ νέφος τὸ ἐπιπροσθοῦν ἐκ τῆς σωματικῆς παχύτητος ἀφόρητον.

in R.2.281 τοῦτο μὲν τοίνυν ὑπέμνησται πλεονάκις. Μετὰ δὲ τοῦτ ο , φησίν, βίων παραδείγματα εἰς τὸ πρόσθεν σφῶν ἔθηκεν πολὺ πλείω τῶν παρόντων [p. 618a]· ὡς τῶν κλήρων ἴσων ὄντων τοῖς παροῦσιν, πλείω δὲ τὰ παραδείγματα τῶν βίων, ἵνα ἐκ πλειόνων ἑκάστοις ἡ αἵρεσις ᾖ. καὶ γὰρ ὁ τελευταῖος οὕτως εὑρήσει βίους πλείους ἑνός, ἀφ' ὧν ποιήσεται τὴν ἐκλογήν. εἰ γὰρ εἶεν αἱ αἱρούμεναι ψυχαὶ ὀκτὼ αἱ σύγκληροι καὶ οἱ βίοι τοσοῦτοι, τῇ μὲν πρώτῃ ἀπὸ τῶν ὀκτὼ ἡ αἵρεσις, τῇ δὲ δευτέρᾳ, εἰ τύχοι, ἀπὸ τῶν ἑπτά, καὶ τῇ τρίτῃ ἀπὸ τῶν ἕξ, τῇ δὲ τετάρτῃ ἀπὸ τῶν πέντε, καὶ τῇ πέμπτῃ ἀπὸ τῶν τεττάρων, καὶ τῇ ἕκτῃ ἀπὸ τῶν τριῶν, καὶ τῇ ἑβδόμῃ ἀπὸ τῶν δύο· λοιπὴ δὲ ἡ ὀγδόη αἵρεσιν οὐχ ἕξει, ἑνὸς ὑπολειφθέντος μόνου, τῆς δὲ αἱρέσεως ἐκ πλειόνων ἢ ἑνὸς οὔσης. καὶ γὰρ εἰ λέγει [p. 620c], ὅτι ἡ τελευταία ψυχὴ τὸν ἠμεληκένον ὑπὸ τῶν ἄλλων εἵλετο βίον, οὐχ ὅτι μόνος ἦν, τοῦτο ἔοικεν λέγειν, ἀλλ' ὅτι μόνος ὑπὸ πάντων ἠμεληκένος· διὸ καὶ ἐπήγαγεν, ὅτι καὶ εἰ πρώτη ἔλαχεν, τοῦτον ἂν εἵλετο, καὶ ταῦτα πολλῶν αὐτῇ προταθέντων. Εἰ δὲ ἐπὶ γῆν προτίθησι ταῦτα καὶ ἔμπροσθεν σφῶν, γνῶσίν τε ἔχουσιν τῶν βίων εἰκότως, ἵνα καὶ ἕλωνται ἀφ' ὧν γιγνώσκουσιν, καὶ οἱ βίοι πάντως εἰς γένεσιν ἄγουσιν. ὡς γὰρ ἤδη τῶν ψυχῶν κάτω βλεπουσῶν οὕτως εἶπεν καὶ εἰς γῆν καὶ ἔμπροσθεν αὐτῶν ταῦτα τίθεσθαι. ταύταις γοῦν πρόσω μὲν ἡ γένεσις, ὄπισθεν δὲ τὰ θεῖα· καὶ γὰρ ταῦτα μὲν ἀπολιμπάνουσιν, ὁρμῶσιν δὲ εἰς τὴν γένεσιν. Δεῖ δὲ καὶ τοῖς ῥήμασιν ἐπισημαίνεσθαι τοῖς μυθικοῖς, ῥῖψιν μὲν λέγουσιν ἐπὶ τῶν κλήρων, θέσιν δὲ ἐπὶ τῶν βίων (ἡ μὲν γὰρ δηλοῖ τὴν ἐξ ὁλικωτέρων αἰτίων καὶ ὑψηλοτέρων διανομήν, ἡ δὲ τὴν ἐκ μερικωτέρων καὶ χαμαιζηλοτέρων), καὶ ταῦτα πρὸς τὰς ψυχὰς ἀναφέρειν.

in R.2.282 [ὁ μὲν] γὰρ κλῆρος ἐκ τῆς περιφορᾶς [ἦκεν, ὁ δὲ βίος] ἐκ τῆς τῶν ψυχῶν αἱρέσεως. [καὶ] οὐδὲ θαυμαστόν, ὅτι τὸ παράδειγμα ἐπὶ τῶν βίων εἴωθεν τάττειν, καὶ τοῦτο εἰκότως· τῶν γὰρ ἐμφανῶν οἱ ἀφανεῖς ἀρχέτυποί εἰσιν, κλήρου δὲ ἐμφανὴς οὐκ ἔστιν ἀποτύπωσις· οὐδὲ γὰρ

δυνατόν, εἴπερ πλειόνων ἐστὶ βίων περιληπτικός. μετὰ τοὺς κλήρους δ' οὖν ἴσους ὄντας τοῖς λαγχάνουσιν τὰ παραδείγματα τῶν βίων ὄντα πολὺ πλείω τῶν παρόντων. Ὅτι δὲ ὁ βίος οὐ μόνον τὸ εἶδος ἔχει τῆς ζωῆς, ἀλλὰ καὶ τὰ ἀκόλουθα ἑκάστῳ παρὰ τοῦ παντὸς ἀπονεμόμενα, πολλάκις ἤδη προείπομεν. καὶ τούτῳ διαφέρουσιν οἱ βίοι τῶν ἐν Φαίδρῳ [p. 248de] βίων ἐκείνων ζωῶν ἰδέας ἐχόντων· ἀλλὰ καὶ περὶ τούτων ἐν τοῖς εἰς τὴν παλινῳδίαν διήλθομεν. Εἶναι δὲ παντοδαπά · ζῴων τε γὰρ πάντων βίους καὶ δὴ καὶ ἀνθρωπίνους ἕως τοῦ τὰ δὲ καὶ μεσοῦν τούτων [p. 618ab]. Τὰς πολυειδεῖς τῶν βίων ἐξαλλαγὰς διὰ τούτων, ὁποῖαί τινες, ὁ μῦθος ἐμφανίζων καὶ ἅμα δηλῶν, ὅτι τοῖς εἴδεσιν ἐν τούτοις τῶν ζωῶν καὶ τὰ ἐκ τοῦ παντὸς ἐπικλωθόμενα συμπέπλεκται, τοὺς μὲν εἶναί φησιν ἐν τοῖς παραδείγμασιν ἐκείνοις τοῖς εἰς γῆν τεθεῖσιν ἔμπροσθεν τῶν κληρωσαμένων ζῴων πάντων βίους τῶν ἄλλων, τοὺς δὲ ἀνθρωπίνους. καὶ τοῦτο μὲν εἰς δήλωσιν τῶν κατ' εἶδος διεστώτων· λοιπὸν δὲ τὰς ἄλλας προστίθησιν διαφοράς, οἷον τυραννίδων ἢ διὰ βίου σωζομένων ἢ μεταξὺ διακοπτομένων κατὰ διαφόρους περιπετείας, καὶ εὐδοκίμων ἄλλων βίων, ἐν εὐγενείαις, ἐν σωμάτων κάλλεσιν, ἐν [εὐμαθίαις.

in R.2.283 ὅτ]αν δ' οὖν λέγῃ ζῴων π[άντων τοὺς βίους ἐν τοῖς] παραδείγμασιν [ἐνεῖναι, πότερον ἐνδείκνυ]ται καὶ τοῖς ἄλλοις γ[ένεσιν εἶναι προκειμ]ένους εἰς αἵρεσιν βίους, ἅ[μα πάσαις] εἰπόντος τοῦ προφήτου τὰ προειρημένα ῥήματα ὁμοίως ὡς ταῖς ἀνθρωπίναις ψυχαῖς οὕτως καὶ ταῖς τῶν ἄλλων ζῴων; ἢ ὅτι μόνως μὲν οἱ λόγοι πρὸς τὰς ἀνθρωπίνας καὶ τὰ παραδείγματα τῶν βίων πρόκειται ταύταις, ἔνεισι δὲ ἐν τούτοις ἀνθρώπινοί τε βίοι τῶν λογικῶν ψυχῶν καὶ ζῳώδεις εἰς ἐκεῖνα τὰ ζῷα μεθισταμένων, καὶ ὁμοίως εἰς πάντα καὶ μέχρι τῶν ἐσχάτων; ὅτι μὲν οὖν καὶ ἐκ τῶν ἀλόγων εἰσὶν τῶν ψυχῶν μετατάξεις εἰς ἄλογα, τῶν ἀγρίων εἰς τὰ ἥμερα καὶ τῶν ἡμέρων εἰς τὰ ἀγριώτερα, καὶ ἐκ λογικῶν εἰς ἄλογα καὶ ἐξ ἀλόγων εἰς λογικά, καθάπερ καὶ ἐκ λογικῶν εἰς λογικά, τετραχῶς πλεκόμεναι, μικρὸν ὕστερον αὐτοῦ λέγοντος ἀκουσόμεθα σαφῶς. εἰ δὲ τοῦτο ἀληθές, κἀνταῦθα τούς τε τῶν πάντων βίους ζῴων καὶ τοὺς ἀνθρωπίνους λέγεσθαι φήσομεν ἀντιδιεσταλμένως· ὡς τῶν τε ἀλόγων κατ' εἴδη διαφέροντα παρὰ τοῦ παντὸς ὑφισταμένων καὶ τῶν ἀνθρώπων καθ' ἕτερα, καὶ τούτων ἀμφοτέρων ἐν ταῖς κοσμικαῖς περιφοραῖς περιεχομένων καὶ τοῦ προφήτου προτιθέντος ἑκάτερα, διότι καὶ ψυχαῖς ἀνθρωπίναις ἐστὶν ἀπὸ τῶν ἀνθρωπίνων εἰς τοὺς ἐκείνων βίους μετάστασις· καὶ τούτων οὖν παραδείγματα προκεῖσθαι ταῖς ἡμετέραις μόναις ψυχαῖς, αἷς καὶ ἔμπροσθεν διελέγετο καὶ ὧν προὐκαλεῖτο τὰς αἱρέσεις. ὥστε πρόκεινται μὲν ἀλόγων βίοι καὶ λογικῶν, ἀλλ' ἕνεκα τῆς τῶν λογικῶν αἱρέσεως, ἢ ἀπὸ τῶν ἀνθρωπίνων βίων ποιουμένων τὰς αἱρέσεις ἢ ἀπὸ τῶν ἀλόγων ζῴων.

in R.2.284 [ὁρμὰς] μὲν γὰρ ἐν τοῖς ἀλόγοις δυνατὸν ἐνεῖναι, αἱρέσεις δὲ ἀδύνατον· εἴπερ ἡ αἵρεσις ἐπίκρισίς ἐστιν πλειόνων εἰς ἑνὸς ἐκλογήν. εἰ δὲ καὶ τὸν Τίμαιον [p. 41cd] συμπαραλάβοι τις διὰ μόνης τῆς λογικῆς ψυχῆς καὶ τοῖς ἀλόγοις πᾶσιν διδόντα τὴν ψύχωσιν, ἔτι μᾶλλον ἂν πεισθείη πάντα τὰ παραδείγματα καὶ ἀλόγων καὶ λογικῶν ψυχαῖς προκεῖσθαι λογικαῖς, ἢ λογικῶς ζησομέναις καὶ σωσούσαις τὸν ἄνθρωπον ἢ ἀλογωθησομέναις καὶ ἐκπεσουμέναις εἴς τι τῶν χειρόνων ζῴων. Ἀλλὰ τοῦτο μὲν διαίτης ἔτυχεν ἀρκούσης πρὸς τὸ παρόν· εἰ δὲ δὴ καί φησι· ψυχῆς δὲ τάξιν μὴ ἐνεῖναι διὰ τὸ ἀναγκαίως ἔχειν ἄλλον ἑλομένην βίον ἀλλοίαν γενέσθαι [p. 618b], φανερὸν οἶμαι καὶ διὰ τούτων ἐστίν, ὡς ἄρα περὶ τῆς ἡμετέρας ἐστὶ ψυχῆς ὁ λόγος ὡς κατὰ τὰς ἑαυτῆς αἱρέσεις μετατattομένης εἰς βίους ἄλλους καὶ ἄλλους, ἀνθρωπίνους ἢ ἀλόγους, βελτίους ἢ χείρονας. ποῦ γὰρ αἵρεσις ἐν τοῖς ἀπροαιρέτως ζῶσιν, ποῦ δὲ προαίρεσις ἐν τοῖς ὀρέξεσιν ἀλόγοις χρωμένοις; Σκοπεῖν δὲ χρὴ καὶ ὅπως τάξιν ἐν ταῖς προαιρετικῶς ζώσαις οὐκ εἶπεν μὴ εἶναι (καὶ γὰρ ἔστιν κατ' οὐσίαν αὐτὰς διορίζουσα τάξις, ἣν ἡ δημιουργία πάσαις ἐνέθηκεν), ἀλλ' ἐνεῖνα ι , τὴν ἀπὸ τῆς προαιρέσεως τάξιν ἐνδεικνύμενος μὴ οὖσαν

ὡρισμένην. τὸ γὰρ ἐνεῖναι τὴν ἔξωθεν ἐφήκουσαν δηλοῖ τάξιν καὶ ἐπισυμβαίνουσαν ἐκ τῆς προβολῆς τῶν τοιῶνδε τῆς ζωῆς εἰδῶν, ἃ ὁ παρὼν χαρακτηρίζει βίος. κ[ωλ]ύει γὰρ οὐδὲν τὴν [κρ]είττον[α ψυχὴν] τὸν χείρονα βίον προχειρίσασθαι, καὶ [κατὰ ταὐτὸ τὴν] χείρονα κρεῖττον εἶδος ζωῆς [ἑλέσθαι καὶ] προστήσασθαι. τὸν μὲν δὴ βίον ἀλη[θὲς ἔπ]εσθαι ταῖς αἱρέσεσιν· τὰ δὲ ἄλλα (ταῦτα δ[έ] ἐστιν, ὅσα μετὰ τὰς αἱρέσεις ἐκ τοῦ παντὸς διανέμεται ταῖς ἑλομέναις) μεμῖχθαι· τὰ μὲν πλούτοις καὶ πενίαις, ἅ ἐστιν τῶν ἐκτός· τὰ δὲ νόσοις καὶ ὑγείαις, ἅ ἐστιν τῶν δευτέρων μετὰ τὰ ψυχῆς ἀγαθὰ καὶ κακά· τὰ δέ φησι καὶ μεσοῦν τούτων [p.

in R.2.285 618b], ἃ δὴ καὶ εἶναι πάντων ἀσφαλέστατα. τῶν γὰρ ἄλλων αἱ μὲν ὑπερβολαὶ χαυνοῦσιν, αἱ δὲ ἔνδειαι ταπεινοῦσιν, τὸ δὲ ἐν ἐκείνοις μέτριον καὶ ταῖς ἀρεταῖς μετριότησιν οὔσαις ἐναρμονίως σύνεστιν, καὶ γίνεται ἡμῶν ὁ βίος ἅπας κατὰ πάντα μέτριος, τὰ ψυχικά, τὰ σωματικά, τὰ ἐκτός. διὰ μὲν οὖν πλούτου καὶ πενίας ἐδήλωσεν πάντα ὁπόσα σώματος ἐκτός, τιμὰς ἀτιμίας, δυνάμεις ἀδυναμίας, ἀρχὰς ἰδιωτείας· διὰ δὲ ὑγείας καὶ νόσου πάντα τὰ σώματος, ἰσχῦς ἀσθενείας, κάλλη αἰσχρότητας, εὐαισθησίας δυσαισθησίας· ὧν ἑκάστων τὸ μέσον οἰκεῖόν ἐστιν ταῖς ψυχαῖς ἡμῶν καὶ προσήγορον. ἐν οὖν ταῖς αἱρέσεσιν μακρῷ ἄμεινον τὰς μετριότητας ἐν τούτοις πᾶσι διώκειν, τῶν ἀκροτήτων ὡς ἐπὶ τὸ πλεῖστον εἰς κακίαν παρακαλουσῶν τὰς ψυχάς. εἴρηται δὲ τὸ αἴτιον, καὶ ὅτι ταῖς τε ψυχαῖς μέσην λαχούσαις οὐσίαν συμφυὲς τὸ τῆς ἀρετῆς εἶδος ἐν μεσότητι θεωρούμενον καὶ τῇ ἀρετῇ τὸ τῶν ὀργάνων αὐτῆς μέτριον ὑπάρχον συγγενές. ταῦτα μὲν οὖν μυριόλεκτα. Τὰ δὲ ἑπόμενα τούτοις … 23 … [Ἔνθ α] δὴ ὡς ἔοι [κε ν , ὦ φίλε Γλαύκω ν , ὁ πᾶς κ]ίνδυνος ἀνθρώ [πῳ ἕως τοῦ οὕτ ω] γὰρ εὐδαιμονέστατος γί [γνεται ἄνθρωπος [p. 618b—619a]. Τοῖς μυθικοῖς πλάσμασιν ἠθικὰ παραγγέλματα μιγνύμενα σαφέστατ[α] δείκνυσιν, ὁποῖόν ἐστιν τὸ εἶδος τῶν Πλατωνικῶν μύθων, καὶ ὅτι πολιτικόν τε καὶ παιδευτικόν. καὶ δὴ καὶ ἐν τοῖς προκειμένοις εἴρηται μέν, ὅτι τοῖς εἴδεσι τῆς ζωῆς παντοδαποῖς οὖσιν μίγνυται τά τε σωματικὰ καὶ ὅσα ἐκτὸς ἀγαθά τε καὶ κακὰ καὶ ὅσα μέσα τούτων καὶ τὴν ἀπέραντον ποικιλίαν παρέχεται τῶν βίων· τούτοις δὲ ἑπομένως ἄρα παρακελεύεται μάλιστα σκοπεῖν, πῶς ἂν ἕκαστος ἡμῶν ἀξιόχρεως γένοιτο κριτής, ἢ μαθὼν παρ’ ὅτου δυνατὸν μαθεῖν ἢ εὑρών (διτταὶ γὰρ αἱ εἰς ἐπιστήμην ὁδοί, μάθησις καὶ εὕρεσις, ὡς καὶ ὁ ἐν Ἀλκιβιάδῃ [p.

in R.2.286 106d ss.] Σωκράτης ἐδίδαξεν), τῶν ἀμεινόνων καὶ χειρόνων βίων, μὴ εἰς τὰ ἔξω βλέπων καὶ παραγόμενος ὑπ’ αὐτῶν καὶ καταπληττόμενος, ἐὰν πλοῦτοι καὶ τιμαὶ διαφέρουσαι προτείνωνται καὶ δυνάμεις καὶ ἀρχαὶ πόλεων καὶ ἐθνῶν, καὶ εὐγένειαι καὶ σωμάτων ῥῶμαι καὶ πάντα τὰ τοιαῦτα, δι’ ὧν αἱ πολλαὶ ψυχαὶ πάντως ἁλισκόμεναι πάντα τὰ ἄλλα παρορῶσιν. σκοπεῖν γὰρ δεῖν μὴ τὰς τούτων πλεονεξίας καὶ τὰς τῶν ἐναντίων ἐλαττώσεις, ἃς δὴ διαδιδράσκουσιν ἅπαντες ὡς εἰπεῖν, ἀλλ’ ὅ τι καὶ ἀλλήλοις ταῦτα μιγνύμενα καὶ μετὰ τῶν ἕξεων τῶν ψυχικῶν ἀποτελεῖ· λέγω δὲ μετ’ ἀλλήλων μέν, οἷον κάλλος πενίᾳ ἢ πλούτῳ, ψυχικαῖς δὲ ἕξεσιν, ἀρετῇ ταῦτα καὶ μοχθηρίᾳ. δῆλον γὰρ ὅτι καὶ … 30 … πολλάκις βίος … 20 … μένου διὰ πενίαν … 20 … τος διὰ πλοῦτον. καὶ πανταχοῦ [τῶν ἕξε]ων ἀλλοίων οὐσῶν ἀλλοῖα φαίνεται· μετὰ μὲν [εὐ]μαθείας καὶ ἀγχινοίας ἕκαστα τούτων ἐστὶν σφαλερά, μετὰ δὲ δυσμαθείας ἧττον. τοιαῦτα μὲν οὖν ἐστιν καὶ ὅσα τοιαῦτα φύσει περὶ ψυχήν (γινόμεθα γὰρ εὐμαθεῖς φύσει καὶ δυσμαθεῖς)· ἐπακολουθεῖ δὲ ἡμῖν ἔξωθεν πάντα ὅσα προείπομεν ἢ σωμάτων ἢ τῶν ἐκτὸς πλεονεκτήματα ἢ ἐλαττώματα. δεῖν οὖν ἐπειδὴ τὸ χρώμενόν ἐστι ψυχή, τὰ δὲ ἄλλα ὄργανα ταύτης, εἰς τὴν ταύτης ἀποβλέπειν φύσιν καὶ εἰδότα αὐτήν, ὧν μὲν ἄρξαι δύναται, ταῦτα αἱρεῖσθαι συμμεμιγμένα τῷ εἴδει τῆς ζωῆς, ὧν δὲ οὐκ ἔχει τὴν χρησομένην ἕξιν, ταῦτα μὴ ἐπιδιώκειν, ἀλλὰ χαίρειν ἐᾶν, ἀεὶ τὸ πρόσφορον ὄργανον τῇ ἑαυτοῦ δυνάμει ζητοῦντα καὶ ἐκλεγόμενον, μὴ πρὸς τὸ πλέον βλέποντα τῶν ἄλλων, ἀλλὰ πρὸς τὸ ἑαυτῷ σύμμετρον.

in R.2.287 τίς οὖν ἡ ἀρίστη δόξα περὶ τούτων, ἣν ἀξιοῖ μένειν ἐν ἡμῖν ἀσάλευτον καὶ ὡς εἶπεν ἀδαμαντίνην καὶ εἰς Ἅιδου πορευθεῖσιν [p. 619a]; ὅτι τὸ μέσον ἐστὶν ἀσφαλέστερον ἐν ἅπασι τοῖς ἐκτός, ὑγείας νόσου, ῥώμης ἀσθενείας, κάλλους αἴσχους, πλούτου πενίας, δυνάμεως ἀδυναμίας, τιμῆς ἀτιμίας, καὶ πρὸς τοῦτο ποιεῖσθαι τὴν ἐκλογὴν τῶν βίων ἀνέκπληκτον ὑπὸ τῶν τυραννίδων, ἀνάλωτον ὑπὸ τῶν φαινομένων ἀγαθῶν, ἀχείρωτον ὑπὸ τῶν σωματικῶν ὄντα δυνάμεων, τὰς ὑπερβολὰς ἐκτρεπόμενον πανταχοῦ καὶ τὰς ἐνδείας· καὶ τέλος [προιστάμενον οὐ τ]ῶν ὀργάνων τὴν περι[εργίαν], ἀ[λλὰ τοῦ χρ]ωμένου τελείωσιν· αἱ γὰρ ἔν[δειαι καὶ αἱ πλεο]νεξίαι γίνονται μὲν αἴ[τιαι τοῦ] δρᾶν μεγάλα κακά, πολλάκις δὲ ἔχο[υσι] καὶ πάθη μείζονα τῶν ποιήσεων. πολλοὶ γοῦν τῶν τυράννων ἀνεσταυρώθησαν, οἳ δὲ εἰς πτωχείαν ἤλασαν, οἳ δὲ εἰς φυγὴν διὰ βίου παντὸς κατέστησαν· πολλοὶ δὲ καὶ τῶν πλούτοις ἢ κάλλεσιν χρησαμένων κακῶς εἰς παντοίας ἐκπεπτώκασι συμφοράς· πολλοὺς δὲ καὶ πενίαι καὶ αἴσχη σωμάτων ἀγεννῆ καὶ ταπεινὰ καὶ δουλοπρεπῆ φρονεῖν ἠνάγκασαν, καὶ ἐμπόδια τῆς ἑαυτῶν ἐπιμελείας τισὶν καὶ ταῦτα γεγένηται· καὶ μεσταὶ τούτων αἱ ἱστορίαι τῶν τε παλαιῶν καὶ τῶν νέων καὶ καθ’ ἡμᾶς. δεῖν οὖν τὰ ἑκατέρωσε ὑπερβάλλοντα φεύγειν, εἵς τε τὰ χείρονα δοκοῦντα εἶναι καὶ τὰ ἀμείνονα φαινόμενα τοῖς πολλοῖς. Καὶ προσέθηκεν· οὕτω γὰρ εὐδαιμονέστατος ἄνθρωπος γίνεται · γινόμενος μὲν γὰρ πᾶσι χρήσεται δεόντως καὶ ταῖς ὑπερβολαῖς καὶ ταῖς ἐνδείαις.

in R.2.288 πάντα γὰρ ὄργανα τῆς ἀρετῆς, καθ’ ἣν ὁ εὐδαίμων ἐστὶν εὐδαίμων, καὶ πάντα ἀδιάφορα πρὸς ἐκείνην. ἵνα δὲ εὐδαίμων γένηται, τῶν μέσων, ἀλλ’ οὐχὶ τῶν ἄκρων δεήσεται· τὰ γὰρ ἄκρα πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς ἐμπόδια, τὰ μὲν βαπτίζοντα τὴν ψυχὴν καὶ κατακλύζοντα, τὰ δὲ ἀγεννῆ ποιοῦντα καὶ ἀνελεύθερον. Καὶ δὴ καὶ τότε ὁ ἐκεῖθεν ἄγγελος ἤγγελλε τὸν μὲν προφήτην οὕτως εἰπεῖν ἕως τοῦ μήτε ὁ τελευτῶν ἀθυμείτω [p. 619b]. Τὴν μὲν αἰτίαν, δι’ ἣν τοὺς τοῦ προφήτου λόγους μεταξὺ διέτεμεν, ἔκ τε ὧν πρότερον εἴπομεν δεῖ λαμβάνειν (τοῖς γὰρ λόγοις αὐτὸν τὰ ἔργα σύνδρομα παρεχόμενον ἐπιδεῖξαι προθυμούμενος, ἅμα λέγοντα καὶ ῥιπτοῦντα τοὺς κλήρους καὶ τὰ παραδείγματα προτιθέντα τῶν βίων ἀπομιμούμενος, αὐτὸς δὲ παρὰ μέρος ἑκάτερον διδάσκων εἰκότως τοῖς ἔργοις διέτεμεν μεταξὺ τοὺς λόγους)· καὶ δὴ καὶ νῦν τρόπον ἕτερον ῥητέον, ὅτι ταῖς μερικαῖς ψυχαῖς οἰκεία πώς ἐστιν ἡ τῶν λόγων διαίρεσις, οὐ δυναμέναις πᾶσαν ὁμοῦ τὴν τῶν κρειττόνων νόησιν ὑποδέξασθαι, μεριζούσαις δὲ τὸ ἐκείνης ἡνωμένον καὶ διακοπτούσαις τὸ συνεχὲς ταῖς ἑαυτῶν μέσαις παρεμφαινομέναις ἐνεργείαις. ἃ δὴ καὶ ὁ Πλάτων ἀποτυπούμενος τοὺς ἠθικοὺς κανόνας παρεμβέβληκεν τοῖς τοῦ προφήτου λόγοις· οἱ δὲ ἠθικοὶ κανόνες ψυχῆς ἦσαν ἐπιστρεφούσης εἰς ἑαυτὴν καὶ ἑαυτὴν ἀσφαλεστέραν περὶ τὰς αἱρέσεις ποιούσης· ταῖς δ’ οὖν ἐπιστάσεσιν ταύταις τὴν συνέχειαν τῆς ἀπὸ τῶν κρεισσόνων ἐνεργείας εἰς ἑαυτὴν διατέμνειν εἴωθεν· καὶ τοῦτο μιμεῖται τῶν προφητικῶν ῥημάτων ἡ διαίρεσις. εἰ δὲ συνάψαις τῷ τέλει τῶν ἔμπροσθεν εἰρημένων ταυτὶ τὰ νυνὶ λεγόμενα, μάλιστα θεάσῃ τὸ συνεχὲς τῶν λόγων· αἰτία ἑλομένο υ , θεὸς ἀναίτιος · καὶ τελευταίῳ ἐπιόντι σὺν νῷ ἑλομένῳ συντόνως ζῶντι κεῖται βίος ἀγαπητό ς , οὐ κακός [p.

in R.2.289 617e. 619b]. εἰ γὰρ αἱ αἱρέσεις αἴτιαι τῶν ἀμεινόνων καὶ χειρόνων βίων, δυνατὸν καὶ ἔσχατον ἐπιόντα πρὸς τὴν αἵρεσιν, σὺν νῷ ποιησάμενον τὴν αἵρεσιν ἐκ τῶν παρόντων τὸν ἀμείνω προελέσθαι βίον· τῷ δὲ ἑλομένῳ σὺν νῷ ζωὴ προστεθεῖσα σύντονος ποιεῖ τὸν βίον ἀγαπητόν, οὐ κακόν· οὐδὲ γὰρ πάντως ἀγαθόν, εἰ μὴ εἶχεν ὁ κλῆρος τοιοῦτον … 30 …. γε … 30 …. ῆς … 27 …. καὶ αἱρέ[σε … 17 … μᾶλλον συντελοῦν … 12 … [προσ]τεθέντος βίου συντόνου· τὸ [γὰρ ἀσθενι]κῶς ἀντιλαβέσθαι τοῦ ἀμείνονος ἀν[αιρεῖ τ]ὸ ἐν αὐτῷ ἀγαθόν· προστίθησι δὲ ἡ συντονία καὶ τῷ μὴ ἄκρῳ πάμπολυ πρὸς τὴν εἰς ἀρετὴν ὁδόν. καὶ ἔοικεν καὶ τούτων τὸ μὲν εἰς τὴν κρίσιν ἀναφέρεσθαι τῆς ψυχῆς, ἡ ἐκλογὴ τοῦ τῶν προτεινομένων ἀμείνονος βίου, τὸ δὲ εἰς τὴν τῆς ζωῆς ῥώμην, ἡ σύντονος ἀντίληψις τοῦ ἐκλεγέντος. ἐξ ἀμφοτέρων δὲ ἐπιτήδειοι

γιγνόμεθα πρὸς τὸ τυχεῖν μείζονος ἐκ τοῦ παντὸς εὐμοιρίας· ὁ γὰρ τοῖς δοθεῖσι χρησάμενος ὀρθῶς προκαλεῖται μειζόνων ἀγαθῶν εἰς ἑαυτὸν παρουσίαν· ὥσπερ τὴν ἁμαρτητικὴν χρῆσιν τῶν ἐκ τοῦ παντὸς ἀγαθῶν φαμεν ἐν πολλαῖς δή τισιν ἑξῆς περιόδοις στερίσκειν ἡμᾶς τῆς ἐκεῖθεν εὐμοιρίας, ἀναξίους ὀφθέντας ὧν ἐτύχομεν ἔμπροσθεν. Τί δὴ οὖν ἐπὶ τούτοις φησὶν ὁ προφήτης, τέλος ἐπάγων ἅπασι τοῖς ἑαυτοῦ λόγοις, οὓς ἐξέφηνεν ταῖς ψυχαῖς; μήτε ὁ ἄρχων αἱρέσεω ς , φησίν, ἀμελείτω μήτε ὁ τελευτῶν ἀθυμείτω [p. 619b]· θείως, ὡς ἐμοὶ δοκεῖ, διὰ τούτων τῶν παραγγελμάτων ἐνδειξάμενος, ὡς ἄρα τὸ πᾶν ἐπὶ ταῖς ψυχαῖς ἐστιν καὶ τὴν εὐμοιρίαν ἡ αἵρεσις ἀφανίζει καὶ τὴν δυσμοιρίαν ἐπανορθοῖ.

in R.2.290 τὸν μὲν γὰρ ἄρχοντα τῆς αἱρέσεως ἐκεῖνον λέγει τὸν πρῶτον αἱρούμενον καὶ κληρωθέντα πρῶτον, ὃς διὰ μοχθηρὰν αἵρεσιν θρηνήσει μικρὸν ὕστερον ἑαυτόν, τὸν δὲ τελευτῶντα τοῦτον ἐκεῖνον εἶναί φησιν, ὃς σωφρονήσει περὶ τὴν αἵρεσιν το[ῦ τε προ]κληρωθέντος, καὶ ταῦτα ἔσχατος ἐπὶ τὴν αἵρεσιν [ἐλθών, πρ]άξει κάλλιον, ἐκ τῶν ἐνόντων [τὸν κράτιστον] ἑλόμενος βίον. οὔτε τοῦτον οὖν ἀθυμεῖν πρ[οσῆ]κεν ὡς ἔσχατον, ἐὰν ἔχῃ καὶ τὸν τυχόντ[α] νοῦ[ν], τοῖς δοθεῖσιν μετὰ νοῦ χρώμενον, οὔτε τὸν πρῶτον διὰ τὴν εὐμοιρίαν ῥᾳθυμεῖν· ἡ γὰρ ῥᾳθυμία πολλοῖς ἀφανῆ ποιεῖ τὰ ἐκ τῆς εὐμοιρίας ἀγαθὰ διὰ μοχθηρὰν τῶν ἐκ τοῦ παντὸς ὑπαρξάντων χρῆσιν. ταῦτ’ οὖν σφραγῖδα τοῖς λόγοις ἐπέθηκεν ἱκανὰ μὲν ὄντα τοὺς ἀξίους ἐπιστρέψαι πρὸς τὴν μετὰ κρίσεως ὀρθῆς αἵρεσιν, τοῖς δὲ ἀναξίοις ἱκανώτερα μείζονα ποιῆσαι τὴν συμφοράν· οἵ γε καὶ τοῦ προφήτου λέγοντος ἀπερισκέπτως πεποίηνται τὴν αἵρεσιν. μάλιστα μὲν οὖν καὶ ὁ ἐν τῷ παντὶ προφήτης ἐστὶν τῶν τοιῶνδε λόγων δημηγόρος· ἔστι δὲ καὶ ἐν ἑκάστῃ ψυχῇ προφήτης τις ταῦτα βοῶν καὶ διαμαρτυρόμενος κατ’ οὐσίαν, ὥσπερ καὶ δίκη καὶ νόμος. ἀλλ’ ἡ μὲν καὶ πείθεται τῷ ἐν αὐτῇ προφήτῃ καὶ γίνεται ἐπιστατικωτέρα περὶ τὴν ἐκλογήν, ἡ δὲ ἀπειθήσασα μικρὸν ὕστερον μεταμελείας ἀναπίμπλαται καὶ κακῶν, ἐπιδραμοῦσα διὰ πάθος τούτοις, ὧν ὁ ἐν αὐτῇ προφήτης ἀνέστελλεν. Εἰπόντος δὲ ταῦτα τὸν πρῶτον λαχόντα ἔφη εὐθὺς ἐπιόντα τὴν μεγίστην τυραννίδα ἑλέσθαι μέχρι τοῦ ἔθει ἄνευ φιλοσοφίας ἀρετῆς μετειληφότα [p. 619bc]. Τοὺς μὲν λόγους τοῦ προφήτου δι’ αὐτῶν ἐπιδείκνυσιν τῶν ἔργων ἐναργεστάτους ὄντας ἔκ τε τῶν ἀπερισκέπτως ἐπιτρεχόντων ταῖς αἱρέσεσιν διὰ τὰς προφαινομένας δυνάμεις καὶ ἐκ τῶν διὰ κρίσιν καὶ λογισμὸν ἀκριβῆ μενόντων ἀμεταβλήτων ἐφ’ οἷς εἵλοντο βίοις· πολλὴν δὲ προσέθηκεν ἡ τοῦ μύθου σκηνὴ τοῖς λόγοις ἔμ[φ]α[σι]ν, εἰπόντος τὸν ἐκ τοῦ πρώτου κλήρου προσελθόντα τῇ αἱρέσει τοιούτοις σφάλμασι περιπεσεῖν καὶ ἐπεισαγαγόντος τραγικὰ πάθη τῇ ἐπιστάσει καὶ θρήνους καὶ κοπετούς, οἰμωζούσης τὰ αἱρεθέντα τῆς ψυχῆς καὶ πρὸ τῶν ἐκβάσεων ἀνακλαομένης καὶ οὐκ ἐχούσης ἀναδῦναι τὰ αἱρεθέντα· προείρηται γὰρ τὴν ἑλομένην ἐξ ἀνάγκης τῷ βίῳ συνέσεσθαι, καὶ τοῦ παντὸς ἀπαιτοῦντος καὶ τοῦ δαίμονος ἀποπληροῦντος τὴν αἵρεσιν.

in R.2.291 τὰ μὲν οὖν αἴτια τῆς τοιαύτης τραγῳδίας εἶναί φησιν ἀφροσύνην καὶ λαιμαργίαν, ὧν ἡ μέν ἐστι τῆς γνωστικῆς δυνάμεως τύφλωσις, ἡ δὲ τῆς ὀρέξεως ἀπέραντος ἔκτασις· τῆς μὲν ἐπιτρεχούσης τῇ φαινομένῃ δυνάμει, τῆς δὲ οὐκ ἐώσης ἰδεῖν τὰ ἑπόμενα τῷ αἱρεθέντι βίῳ δράματα. τὰ μὲν οὖν αἴτια ταῦτα· μετὰ δὲ τὴν ἐπίσκεψιν τοῦ βίου τὰ ἑπόμενα τίνα ἐστίν; μεταμέλεια δεινὴ καὶ αἰτίασις οὐχ ἑαυτοῦ (δέον γὰρ ἦν ἑαυτὸν καταμέμφεσθαι τῆς τε ἀφροσύνης καὶ τῆς λαιμαργίας), ἀλλὰ τῆς τύχης καὶ τοῦ δαίμονος καὶ πάντων μᾶλλον. ἐπεὶ γὰρ ὁ μὲν δαίμων ἐπιστατεῖ τοῖς ἔνδον ἡμῶν κινήμασιν, ἡ δὲ τύχη τὰ ἑπόμενα τούτοις ἀποπληροῖ κατὰ καιρόν, τούτους αἰτιᾶται τῆς κατὰ τὸν βίον ὅλον ἀτοπίας, οὐχ ἑαυτόν, καίτοι τῆς μὲν αἱρέσεως ἐπ’ αὐτῷ κειμένης, τούτοιν δὲ τοῦ μὲν ἀποπληροῦντος τὴν τῆς ψυχῆς ὁμολογίαν πρὸς τὸ πᾶν, τῆς δὲ ἀνάπαλιν ἀποπληρούσης τὴν τοῦ παντὸς πρὸς τὴν ψυχήν. ἡ μὲν γὰρ ζήσεσθαι τ[οι]όνδε ζωῆς εἶδος ὁμολογοῦν πρὸς τὸ πᾶν, τὸ δὲ ζωῇ το[ιαύτῃ καὶ τὰ] τοιάδε

πάντως ἐπικλώσειν· ὧν τὸ μ[ὲν ὁ δα]ίμων ἐφέστηκεν ἀπαιτῶν, τὰ δὲ [ἡ τύχη πάντως ἡμῖν] ἀποδώσουσα.

in R.2.292 τούτους οὖν ἄτοπον αἰτιᾶσθαι τὸν σύνδεσμον ἡμῶν πρὸς τὸ πᾶν συνέχοντας καὶ τοῦ παντὸς πρὸς ἡμᾶς· εἴπερ ἡμεῖς τῷ παντὶ προσηγάγομεν ἡμᾶς αὐτούς, οἳ δὲ φύλακές εἰσιν τῆς ἀμφοτέρων κοινωνίας. μεταξὺ δὲ τῶν αἰτίων τῆς ἀτόπου ταύτης αἱρέσεως καὶ τῶν ἑπομένων τῇ ἐπιστάσει τῶν ἀκολούθων τῷ βίῳ τούτῳ κακῶν αὐτὸ τὸ εἶδος τῆς ζωῆς καὶ τὸ ἐκ τοῦ παντὸς αὐτῷ συνηρτημένον ἀτύχημα παραδέδωκεν ὁ μῦθος, τὸ μὲν τυραννίδα μεγίστην λέγων οἷον ἔθνους ὅλου τινός, τὸ δὲ βρῶσιν παίδων. ἀλλὰ τυραννίδα μὲν τὸ πᾶν φέρειν καὶ τυραννικὸν βίον οὐδὲν θαυμαστόν· ἔστι γὰρ καὶ τυραννίδι χρήσασθαι καλῶς· παίδων δὲ βρῶσιν ἆρα σημαίνειν αὐτῷ μόνον οἰητέον τὴν τοῦ παντὸς φοράν, εἰς ἣν ἀποβλέψας εἶδεν τοῦτο τὸ πάθος ἐνὸν τῷ βίῳ μετὰ τὴν ἐπίστασιν, ἢ καὶ ποιεῖν τοῦτο καὶ εἶναι αἰτίαν ἢ συναιτίαν κἀκείνην; καὶ οὐ τοῦτο μόνον ἄξιον ἀπορίας, ἀλλὰ κἀκεῖνο, πῶς κατὰ δίκην οὗτος ὁ βίος, εἰ τῶν ἐξ οὐρανοῦ τίς ἐστιν ἀφιγμένος, λήξεως δὲ ἔτυχεν οὐρανίας ἐν πολιτείᾳ χρηστῇ βεβιωκώς; πόθεν γὰρ ὅλως αὐτῷ τοιοῦτος προετάθη βίος, τίνα ζωὴν ἀξίαν ἔχοντι τῆς εἱμαρμένης ταύτης; οὐ γὰρ ἔχομεν ἐνταῦθα προβιοτὴν αἰτιᾶσθαί τινα τῆς τοιαύτης ποινῆς. Πῶς ἡ τῶν παίδων βρῶσις γίνεται ἐκ τοῦ παντό ς , καὶ πῶς τοῦτο ὀφείλεται ψυχῇ ἐκ τοῦ οὐρανοῦ κατιούσ η . Πρὸς μὲν οὖν τὸ πρότερον ἀποκρινόμεθα λέγοντες μὴ μόνον τ[αῦτ]ά τε καὶ τὰ τοιαῦτα ση[μ]αίνειν τὸ πᾶν, ὡς τοὺς ὄρνιθας, ἀλλὰ καὶ ποιεῖν. πᾶσα γὰρ κίνησις καὶ πᾶν σχῆμα καὶ πᾶσα μεταστροφὴ τοῦ κόσμου δραστήριός ἐστιν καὶ ἄλλων ἄλλοις οἰστικὴ φθορῶν καὶ γενέσεων· φθείρεται δὲ τὰ μὲν ὑφ’ ἑαυτῶν, τὰ δὲ δι’ ἄλλων, καὶ ἤτοι τῶν συστοίχων ἢ τῶν αἰτίων ἢ τῶν αἰτιατῶν.

in R.2.293 δεῖ γὰρ τὰ σώματα ἐξ ἀλλήλων γίνεσθαι καὶ τὰ γενόμενα ἔκ τινων ἀναλύεσθαι εἰς ἐκεῖνα, καὶ πάντα πορεύεσθαί τινα κύκλον οὕτως. ἐν μὲν οὖν τοῖς ἁπλοῖς φανερὸν πᾶσι τοῦτο γιγνόμενον συνεχῶς· τὸ γὰρ ἔκ του γεγονὸς εἰς ἐκεῖνο φθείρεται πάλιν ἐξ οὗ γέγονεν, οἷον ὁ ἐκ πυρὸς ἀὴρ εἰς πῦρ. οὕτω δὲ ἔχει καὶ τὰ σύνθετα πρὸς τὰ ἁπλᾶ· γενόμενα γὰρ ἐξ ἐκείνων ἀναλύεται αὖθις εἰς ἐκεῖνα· δανεισάμενοι γάρ, φησίν [Tim. p. 42c], οἱ ἐν τῷ κόσμῳ δημιουργοὶ μόρια ἐκ τοῦ παντὸς τὰ σύνθετα πλάττουσιν, ὡς ἀποδοθησόμενα πάλι ν . εἰ οὖν καὶ τὰ ἁπλᾶ ἐκ τῶν ἁπλῶν καὶ τὰ σύνθετα ἐκ τῶν ἁπλῶν οὕτως ἔχει γένεσιν, ὡς καὶ τὴν εἰς ταῦτα ἀνάλυσιν ὑπομένειν, ἐξ ὧν γέγονεν κατὰ φύσιν, ἔχει δήπου λόγον καὶ τὸ λειπόμενον, τὰ σύνθετα ὅσα ἐκ συνθέτων ἄλλων γέγονεν ἀναλύεσθαι εἰς τὰ ἐξ ὧν γέγονεν, πάντων κατὰ κύκλον μεταβαλλόντων. ὥστε καὶ ζῴων βρώσεις ὑπὸ τῶν γεννησαμένων αὐτὰ γιγνόμεναι κατά τινα τάξιν ἀποτελοῦνται φυσικὴν καὶ σωματικὴν εἰς ἐκεῖνα μεταβολὴν ἐξ ὧν γέγονεν. καὶ ὅταν μέντοι τὰ γεννηθέντα τρέφηται ἐκ τῶν γεννησάντων, κατὰ τὴν πρὸς τὰ ὅλα γίνεται καὶ τοῦτο μίμησιν. πόθεν γὰρ ἄλλοθεν τὰ σύνθετα τρέφεται ἢ ἐκ τῶν ἁπλῶν ἐξ ὧν γέγονεν; Τούτων δὴ τριῶν ὄντων φυσικῶν νόμων περὶ τὰς τῶν σωμάτων μεταβολάς, τὰ γεννηθέντα ἀναλύεσθαι εἰς τὰ γεννήσαντα, τὰ σύστοιχα συντελεῖν ἀλλήλοις εἰς τὰς γενέσεις, τοῖς γεννηθεῖσιν ἐκ τῶν γεννησάντων εἶναι τὴν τροφήν, γίνεται μὲν καὶ ἐν τοῖς ὅλοις ταῦτα καὶ ἐν τοῖς μέρεσιν κατὰ τὰς εἰρημένας τρεῖς μεταβολάς.

in R.2.294 καὶ τὸ πᾶν οὕτω δρᾷ τούτων ἕκαστον, ὡς κινοῦν εἰς ἄλληλα πάντα καὶ μεταβάλλον σώματα ἄλλα εἰς ἄλλα. — Τὴν δ’ ἀξίαν ἀφορίζει τὴν ἐν τούτοις κατὰ τὴν ζωὴν ἡ ἐν αὐτῷ δίκη (δεῖ γὰρ ἤδη καὶ πρὸς τὴν δευτέραν ἐπίστασιν ἀποκρίνασθαι) καὶ οὐ πάσαις, ἀλλὰ τισὶν ταῦτα ἀφορίζει ψυχῶν βίοις τὸ τὴν τοιαύτην ἀνάλυσιν ὑπομεῖναι, τῶν κατὰ φύσιν μὲν ἐν τῷ παντὶ γιγνομένων, αὐτῶν δὲ παρὰ φύσιν ἐνεργουσῶν· τῆς ⟦ δὲ ⟧ Δίκης κατὰ τὸ προσῆκον ταύτην περί τινων τὴν ψῆφον ἐκφερούσης, κατὰ δή τινας ἀνάγκας τιμωρητικὰς τῶν ἀξίων τούτου ψυχῶν. καὶ γὰρ τὰ ἄλλα πάντα ποιεῖ μὲν ἡ τάξις τοῦ παντὸς ᾗ ἕκαστα πέφυκεν, συναρμόζει δὲ τὰ

γιγνόμενα τοῖς βίοις ἡ Δίκη τοῖς ἡμετέροις καὶ διανέμει τὰ μὲν ἄλλοις τὰ δὲ ἄλλοις, καὶ γενέσεων τρόπους καὶ θανάτων καὶ πάντα ἁπλῶς, ὅσα ὡς εἰς τὸ πᾶν τελοῦντες χρώμεθα τοῖς ἐκ τοῦ παντός. καὶ δὴ καὶ τούτῳ τῷ πρώτῳ κληρωθέντι, καὶ εἰ τῷ ἐκ τοῦ οὐρανοῦ τις ἡκόντων ἦν, οὐ διὰ φιλοσοφίαν ἐκεῖ γεγονότων, ἀλλὰ διά δή τινα ἀρετὴν παισὶν οὐκ ἀνδράσιν οἰκείαν τὴν ἐξ ἐθῶν βελτίστων γενομένην, πάντως ἡ τῶν παίδων βρῶσις ποινή τις οὖσα κατὰ δίκην ἀποδέδοται· καὶ ὅπως κατὰ δίκην, εἰ καὶ μὴ ἐκ προβεβιωμένων δή τινων, αὐτὸς ἐ[π]ή[γ]α[γ]εν εἰπὼν ἐπιπηδῆσαι τῇ μεγίστῃ τυραννίδι τὸν ἄνθρωπον ὑπὸ ἀφροσύνης καὶ λαιμαργίας· καὶ γὰρ οὐδ' ἂν ἔπα[θε]ν ἄλλος τοῦτο μὴ τοιούτοις ἔνοχος ὢν κακοῖς. κολάζει τοίνυν ἡ Δίκη τὸν λαίμαργον βρώσει παίδων, διὰ τῆς ἀθέσμου τροφῆς καὶ ἀνοσίας τὴν τῆς ζωῆς ἀπληστίαν τιμωρουμένη· μόνον οὐκ ἐκεῖνο βοῶσα τοῖς κατακούειν τῶν τῆς Δίκης φθεγμάτων δυναμένοις, ὡς ἄρα ἡ ζωτικὴ λαιμαργία καὶ ἡ ἀπέραντος ὄρεξις ὧν μὴ δεῖ καὶ ἄπληστος ἐπομένην ἔχει καὶ τὴν παρὰ φύσιν τροφήν, ὡς μὲν σωμάτων σωματικὴν κατὰ φύσιν οὖσαν, ὡς δὲ ζῴων ζῴοις παρὰ φύσιν.

in R.2.295 Αἰτία δὲ ἡ ἀφροσύνη καὶ ταύτης τῆς λαιμαργίας· ἡ γὰρ τοῦ λόγου τυφλότης ἀκόρεστον ἐποίησεν ἐπιθυμίαν πλούτου καὶ δυνάμεως καὶ ζῆν ὡς ἄλογον καὶ θηρίον παρεσκεύασεν· ἀλογώσαντι οὖν ἑαυτὸν ὡς ἀλόγῳ χρῆται τὸ πᾶν. ὁ τοίνυν ἐκτείνας τὸ λαίμαργον τῆς ἑαυτοῦ ζωῆς εἰς τυραννίδος αἵρεσιν μεγάλης ὡς ἐκπλήσων τὴν οἰκείαν ἀπέραντον ὄρεξιν, ἐν ἐκείνῃ δίδωσι δίκην περὶ ἑαυτῷ τὴν λαιμαργίαν τρέψας καὶ ταῖς τῶν ἑαυτοῦ παίδων ἀπολαύσεσιν· μόνον οὐχὶ βοώσης τῆς Δίκης, ὅτι ἡ ἀπέραντος τῆς τυραννίδος ὄρεξις ταύτην ἔχει ποινὴν θηρίον γενέσθαι, τῶν τέκνων ἐμπιπλάμενον ὧν ἐγεννήσατο. Τοῦτο μὲν οὖν, εἰ ζητοίη τις, πῶς τηλικοῦτον ἔπεται κακὸν τὸ μὴ ἐκ προβεβιωμένων ὀφειλόμενον· εἰ μὴ ἄρα καὶ πρὸ τῆς τεταγμένης ζωῆς, δι' ἣν ἔτυχεν τῆς οὐρανίας λήξεως, ἦν τις αὐτῷ βίος γεγενη[μένος] .... 60 ... [δῆ]λον ὡς πολλων ... 22 ... ρικῶν, ἐπὶ ζωάρ ..... [διδόν]τες ἐν ἄλλοις ὕστερον χ[ρόνοις τῶν ἡμαρ]τημένων ἡμῖν ποινήν, οὕπω [κατ' ἀξίαν ἐν ἐκεί]νοις καθαρθέντες· καὶ ταῦτα ἐ[ξῆν] καὶ προβιοτὰς ἀεὶ αἰτιᾶσθαι· ὡς ἡμεῖς γε ἀποχρῆναι νομίζομεν τὴν ἐπὶ τῇ ἕξει τῆς ψυχῆς, ἀφ' ἧς ἡ αἵρεσις, ποινήν, κολάζοντος ἐκείνην τοῦ παντὸς διὰ τῶν ἑπομένων. δηλοῖ δὲ καὶ αὐτὸς [p. 619bc] εἰπὼν τῇ ἀφροσύνῃ καὶ λαιμαργίᾳ τὴν τῶν παίδων βρῶσιν ἀκολουθῆσαι, ἣν ἰδόντα θρηνεῖν τὸν ἀνεπισκέπτως ἑλόμενον τοῦτον τὸν βίον, παρὰ πόδας τυγχάνοντα τῆς Δίκης. Δεῖ δὲ μηδὲ ἐκεῖνο λανθάνειν, ὅτι καὶ δαιμόνων ἐπεισκωμάζουσαι ταῖς τοιαύταις ψυχαῖς, ὧν ἡ ἐπιθυμία τοσαύτη, ποιναίων κινήσεις τὰς τοιαύτας ἐμβάλλουσιν ὁρμάς· οἷς ὑπάρχει τὰ πρῶτα μιμεῖσθαι τῆς ἑαυτῶν σειρᾶς ἀνομοίως καὶ ὡς ἔσχατα εἰκός.

in R.2.296 ὅσα γὰρ ἐκεῖνα δρᾷ θείως, ταῦθ' οὗτοι πράττουσιν ποιναίως· οἷον τῆς Ἀρεϊκῆς σειρᾶς ταῖς ἀχράντοις ἑαυτῆς δυνάμεσιν καὶ διαιρετικαῖς τεμνούσης μὲν τὴν ὕλην, τὰς δὲ ψυχὰς ἀναγούσης διὰ μέσων τῶν ἀποκοπτικῶν ἀγγέλων τῆς ὑλικῆς ζωῆς καὶ τοῦ ἡγεμόνος αὐτῶν τοῦ τῆς τμήσεως ἐξάρχοντος, ὡς τὸ λόγιον εἴρηκεν (εἶναι γάρ τινα τμήσεως ἀγὸν τῶν ἐκτεμνόντων τὴν ὕλην ἀπὸ τῶν ψυχῶν ἀγγέλων), οἱ ἔσχατοι τῶν Ἀρεϊκῶν δαιμόνων μιμοῦνται χειρόνως τὴν οἰκείαν σειράν, φόνοις ἀκορέστοις χαίροντες καὶ ταῖς τομαῖς ταῖς τῶν σωμάτων καὶ τοιούτοις ... 95 .... ναλῶς ... 20 ... ποιεῖν ἀνεκφοίτη ... 20 ... ἐξεχόμενοι, χαί[ροντες τέ]κ[ν]ων βρ[ώ]σεσιν ὑπὸ πατέρων· καὶ γὰρ ἀ[πόπτω]σις τοῦτο τὸ κακὸν ἀγαθοῦ με[γάλου] γενόμενον ὑπὸ τῶν ἐσχάτων ἀλόγως, οὗ τὸ ἀρχέτυπον ὑπὸ τῶν πρωτίστων ἐγίνετο νοερῶς. καὶ ἡ ψυχὴ παρ' ἐκείνοις μένουσα καὶ ἐκεῖνα μιμουμένη ζῇ νοερῶς καὶ τὰ γεννήματα ἑαυτῆς ἐν ἑαυτῇ κατακλείει (νοερᾶς δὲ ζωῆς γεννήματα δήπουθέν ἐστιν, ὅσα προχειρίζεται νοήματα συνοῦσα ἐκείνοις), ἐν δὲ τοῖς ἐσχάτοις γενομένη καὶ δι' ἀφροσύνην τοῖς ἐσχάτοις τῆς σειρᾶς ἐκείνης ὁμιλήσασα κινεῖται πρὸς τὰς ἀποπτώσεις ἐκείνων, καὶ τὰ γεννηθέντα ζῳωδῶς ἀλλ' οὐ νοερῶς καὶ ὄντα μεριστὰ ἀλλ' οὐκ ἀμερῆ εἰς τὸ γεννῆσαν ἀναλύει, καὶ ἀναλύουσα ποινὴν

ἐσχάτην τίνει τῆς τῶν τοιούτων συνουσίας. ἐπεὶ καὶ τὸ τῇ μεγίστῃ τῶν τυραννίδων ἐπιτρέχειν ἀπόπτωσίς ἐστιν τοιαύτης τινὸς ζωῆς τῆς πάντα τὸν κόσμον διοικούσης, ἧς ἔχουσα φαντασίαν ὑποφέρεται πρὸς τὴν τοιάνδε πολλῶν ἄρχουσαν μετὰ ἀνάγκης δύναμιν.

in R.2.297 καὶ ὅλως πάντων τῶν μεγάλων κακῶν αἱ πράξεις ψυχῶν εἰσιν μεγάλῃ μὲν φύσει χρωμένων καὶ εὐφυῶν, δι' ἐννοίας δὲ ἀδιαρθρώτους ἐξεργαζομένων τὰ μέγιστα τῶν κακῶν (καὶ εἴρηται ἡμῖν ὁ λόγος καὶ ἐν ἄλλοις πολλάκις)· τάχα καὶ τῆς τῶν παίδων βρώσεως, εἰ χρὴ τολμήσαντα εἰπεῖν, ὁμοῦ τῇ μεγίστῃ τυραννίδι πρῶτον ἐκφανείσης. τοῦ γὰρ αὐτοῦ ... 32 ... ὺς, ε ... 30 ... καὶ ... 30 ... τὴν ἑαυτοῦ διακριν ... 16 ... ῶν κρατῇ θεῶν μόνος, ... 15 ... ειν τοῖς συνοχικοῖς. καὶ ταῦ[τ]α [καὶ οἱ θεολό]γοι γιγνώσκοντες τὸν βίᾳ λαβόντα τὴν βασιλείαν καὶ τοὺς ἑαυτοῦ παῖδας ἐ[σθί]ειν ἐμυθολόγησαν, ὡς δέον ὃν τὸν βιασάμενον 〈τὸν〉 πατέρα καὶ περὶ τοὺς παῖδας εἶναι τοιοῦτον· τοῦτο δέ ἐστιν τὸν δι' ὑπεροχὴν δυνάμεως ἑτέρας ἡγησάμενον βασιλείας καὶ ὅσα γεννᾷ παρ' ἑαυτῷ κατέχειν. Τόδε δὲ συλλογισώμεθα ἐκ πάντων, ὅτι ἡ τῶν παίδων βρῶσις γίνεται μὲν καθ' εἱμαρμένην ὡς πάσης ἀναλύσεως σωμάτων εἰς σώματα προστάτιν, ἁπλῶν εἰς ἁπλᾶ, συνθέτων εἰς ἄλλα σύνθετα, καὶ τούτων ἢ εἰς τὰ ἐξ ὧν γέγονεν ἢ εἰς τὰ ἐξ αὐτῶν γενόμενα ἢ εἰς τὰ μηδέτερα μὲν ἐκ δὲ τῶν αὐτῶν γεγονότα στοιχείων (καὶ γὰρ ἡ τῶν ζῴων βρῶσις τοιαύτη καὶ ἡ τῶν ἐκ γῆς καρπῶν), γίνεται δὲ καὶ ὑπὸ δαιμόνων ἐσχάτων, ἐκείνων τῶν θεῶν ἐξημμένων, οἳ τῶν αἰτιατῶν τῆς εἰς τὰ αἴτια ἐπιστροφῆς εἰσιν αἴτιοι, μιμουμένων ἀνομοίως τοὺς ἑαυτῶν ἀγελάρχας, γίγνεται δὲ καὶ ὑπὸ τῶν ἀνθρωπίνων ψυχῶν δι' ἐσχάτην ἐμπάθειαν ἢ θυμικὴν ἢ ἐπιθυμητικήν (πολλοὶ γοῦν καὶ διὰ λιμὸν ἥψαντο τῶν τέκνων, ὥσπερ ἐν Θετταλίᾳ μετὰ τὴν τῶν βαρβάρων ἔφοδον ἔναγχος), γίνεται δὲ πρὸ τούτων ὑπὸ τῆς ἐν τῷ παντὶ δίκης διὰ δή τινας ἁμαρτάδας ἀνιάτους ἐπαγόμενον τοῖς ποιοῦσιν ἅμα καὶ πάσχουσιν, τούτοις μὲν περὶ πατέρας ἀσεβήσασιν, ἐκείνοις δὲ περὶ τοὺς ὅρους [πάντας] τοῦ γένους ἤ τι ἄλλο τοιοῦτον πλημμελήσασιν (διὸ δ[α]πανᾶν ἄξιοι τὰ τῆς δια[μον]ῆς αἴ[τια το]ῦ γένους ἐκρίθησαν) εἰς τὴν .

in R.2.298 .... ν ἐν ... [ν]εύσασιν. Ἀλλὰ ταῦτα μὲν εὔστο[μα] κείσθω· λοιπὸν δέ ἐστιν ἐν τοῖς προκειμένοις ἐπισκέψασθαι ῥήμασιν, τίς ὁ δαίμων οὗτος καὶ τίς ἡ τύχη· τίνων μὲν γὰρ προεστήκασιν εἴπομεν. λέγεται τοίνυν ὁ μὲν δαίμων ἑκάστου τις ἴδιος, ἡ δὲ τύχη κυβερνῶσα τὸν ἑκάστου βίον. ἀλλ' ὅτι μὲν ὁ δαίμων εἷς ἐστι τῶν παρὰ τοῖς θεολόγοις ἀγγελικῶν δαιμόνων ὀνομαζομένων, εἴρηταί μοι καὶ πρότερον [p. 271, 23]· διὸ καὶ ὁ προφήτης αὐτὸν ἐφίστησιν, ὃν ἄγγελον ὄντα ἀπεδείκνυμεν [p. 270, 4]. τὴν δὲ τύχην ταύτην θεὸν μὲν εἰπεῖν οὐκ ἀληθές, τῷ δαίμονι σύστοιχον οὖσαν, δαιμονίαν δὲ πάντως, ἀντιδιαιρεῖσθαι δὲ πρὸς τὸν δαίμονα, καθ' ὅσον ὃ μὲν τὰς ἔνδον ἡμῶν ἐπιτροπεύει κινήσεις, ἡ δὲ τὰς εἰς τὸ ἔξω προϊούσας· μηδέ σε δαίμων ἐνταῦθα τρέψει ε , φίλος [Il. I 600]· φᾶρος μέν μοι πρῶτον ἐνέπνευσεν μέγα δαίμων [Od. τ 138], φησὶν ὁ πάνσοφος ποιητής · ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται [Od. γ 27]· καὶ ὅλως ἄφθονα παρ' αὐτῷ τὰ τὴν δαιμονίαν ἐπίπνοιαν εἰς τὰς ἔνδον ἡμῶν τρέποντα παντοίας ὁρμάς. ὅτι δὲ ἡ τύχη τῶν ἐκτὸς προέστηκεν, καὶ αὐτὸς ἡμᾶς ὁ Πλάτων πολλαχοῦ διδάσκει καὶ ἡ κοινὴ φήμη, τὰ τυχαῖα τῶν τοιούτων τιθεμένη πάντα τῶν ἐν ταῖς ἐνεργείαις ἡμῶν καὶ ταῖς ζωαῖς ταῖς ἐμφανέσιν ὁρωμένων.

in R.2.299 καὶ διὰ ταῦτα ἄρα καὶ τῷ μὲν τὸ ἀρρενωπὸν προσήκει, τῇ δὲ τὸ θηλυπρεπές, εἴπερ ὃ μὲν ἀφανῶν ἡ δὲ ἐμφανῶν προεστήκατον, καὶ ὃ μὲν ἀσωματωτέρων ἡ δὲ σωματοειδεστέρων· τὸ γὰρ δυνατώτερον καὶ ἐνοειδέστερον τοῖς ἄρρεσιν οἰκεῖον, τὸ δὲ ἐκ ..... τοῖς θήλεσιν. ἐπεὶ δὲ ἔνιοι τοῦτο [κατ' ἀ]πειρίαν οἴονται τὸν ἴδιον ἡμῶν δαίμ[ον]α καὶ τὴν τούτῳ σύστοιχον τύχην τοῦ ἀγαθοῦ δαίμονος καὶ τῆς ἀγαθῆς τύχης διαφέρειν οὐδέν, ἄξιον ἐπισημηναμένους εἰπεῖν, ὡς ἄρα οὗτοι μὲν ἀκράτως εἰσὶν ἀγαθῶν χορηγοί (διὸ καὶ μετὰ τῆς προσθήκης ὀνομάζονται ταύτης), καὶ εἰσὶν οὐκ ἀφωρισμένοι τοῖσδε τοῖς βίοις, ἀλλὰ κοινοὶ τῶν ἀξίων ἀπολαύειν τῆς

ἐκείνων χορηγίας, καὶ ἡγοῦνται σειρᾶς ἑκάτερος ὅλης· ὁ δὲ δαίμων οὗτος, ὃν ἴδιον καλοῦμεν, καὶ ἡ τύχη προεστήκατον ἀνθρωπίνων βίων εὐμοίρων ἢ καὶ ἐναντίων καὶ εἰδῶν ζωῆς ἀμεινόνων ἢ χειρόνων, καὶ κυβερνῶσιν τούτων ὅσα αὐτοῖς προσήκει κατὰ τὴν αἵρεσιν τῆς ζωῆς· ἀλλ᾽ ὁ μὲν δαίμων ὡς ἐπίτροπος ζωῆς ἧς ἐστιν ἔφορος ἡγεῖται τοῦ ἑλομένου τὴν ζωὴν ἐκείνην, οἷον τυραννικὴν ἢ βασιλικήν, ἡ δὲ τύχη τῶν ἀπονεμομένων ἐκ τοῦ παντὸς οὖσα προστάτις, ὡς προσήκουσα τῇ τάξει τῇ ταῦτα ἀφοριζούσῃ ταῖς ζωαῖς, ἄλλη καὶ ἄλλη καθ᾽ ἕκαστόν ἐστιν· καὶ τὸ πλῆθος αὐτῶν καὶ ἡ διαίρεσις οὐ τοῖς εἴδεσιν τῆς ζωῆς, ἀλλὰ ταῖς ἀναφοραῖς ὥρισται τοῦ παντός. ἀφορίζει δὲ ὡς ἓν αἴτιον τὸν μὲν ὁ Ἥλιος, τὴν δὲ ἡ Σελήνη· διὸ καὶ οἱ κλῆροι τούτων ἀπὸ τούτων εὑρίσκονται τῶν θεῶν ἐν ταῖς γενέσεσιν ἡμῶν, ὥς ἐστιν δῆλον τοῖς περὶ ἀστρολογίαν γεγυμνασμένοις. Ἀλλ᾽ ἐπὶ .

in R.2.300 … 85 … ἐπι[δρ]αμοῦσα ζῆν τυ[ράννου. τὸ δὲ ἀρετῆς] ἄνευ φιλοσοφίας τοῦ[τον μετασχόντα τῆς ἐν οὐ]ρανῷ τετυχηκέ[ναι ζωῆς διὰ] τὴν ἐν πολιτείᾳ χρηστῇ τρο[φήν, δίδω]σιν ἡμῖν ἐννοεῖν, ὡς ἄρα οὗτος καὶ [ἐν] οὐρανῷ μετὰ σώματος ἔζη, καὶ ὡς, εἰ τοῦτο, καὶ τὸ ὄχημα τῆς τούτου ψυχῆς ἀνάγειν ἔοικεν εἰς οὐρανόν. ψυχὴ γὰρ ζῶσα μετὰ σώματος ἐκεῖ λέγεται εἶναι καὶ ἔστιν ὅπου καὶ τὸ σῶμα διὰ τὴν σχέσιν· ὥστ᾽ εἰ ὑπὸ σελήνην αὐτῆς εἴη τὸ σῶμα, μεθ᾽ οὗ ζῇ, καὶ αὐτὴ ὑπὸ σελήνην ἐστίν· ἀνάγκη ἄρα καὶ τὸ ὄχημα αὐτῆς συνανιέναι. καὶ γὰρ τὸ ἐν Φαίδρῳ ῥηθέν [p. 249a], τὸ εἰς τοῦ οὐρανοῦ τινα τόπον ὑπὸ τῆς δίκης κουφίζεσθαι τὰς μὴ διὰ φιλοσοφίας κεκαθαρμένας, τοιόνδε τι δηλοῦν ἔοικεν· καὶ γὰρ τὸ κουφίζεσθαι καὶ τὸ εἴς τινα τόπον σωματοειδῆ συνεισάγει λήξεως ὑπόνοιαν. πλὴν ἐκεῖνο δῆλον, ὅτι τῶν μὲν τελέως κεκαθαρμένων ψυχῶν τὸ δεύτερον ὄχημα μεῖναν ὑπὸ σελήνην διὰ τὴν ἐκείνων περιστροφὴν ἀμυδρούμενον κατὰ τὴν ζωὴν ἀναλύεται εἰς τὰ στοιχεῖα ἐξ ὧν ἐστιν, τῶν δὲ ἐν ἕθεσι μόνον χρηστοῖς βεβιωκυιῶν διαμένει καὶ τοῦτο ἐλλαμπόμενον ὑπ᾽ αὐτῶν· οὐ γὰρ τελέως ἐχωρίσθησαν, ἅτε μήπω διὰ φιλοσοφίας κεκαθαρμέναι· καί πως καὶ τοῦτο συμπεριάγεται τοῖς συμφυέσιν ὀχήμασιν, ὡς οἱ κομῆται τισιν ἄστροις, ὡς πολλὰ τῶν ἐνταῦθα φυτῶν τοῖς οὐρανίοις φωστῆρσιν. εἰ δὲ ἔθη χρηστὰ διὰ βίου γενόμενα τοιαύτην προξενεῖ ταῖς ψυχαῖς μετὰ τῶν ὀχημάτων … 90 …. [θεω]ρίαν· τελέους δὲ … 20 … ὡς ἐν Φαίδρῳ μεμαθήκ[αμεν. δῆλον οὖν] κἀκεῖνο πάντως, ὅτι [τὰς τοι]αύτ[ης θεωρίας] τυχούσας ταῖς ἐμφανέσι πο[ρείαις ἕπεσθαι] μόνως τῶν οὐρανίων ἀναγκαῖον καὶ τὴν τάξιν αὐτῶν ἄγασθαι καὶ ζηλοῦν διὰ τὴν ἐκ μόνων τῶν ἐθῶν ἐγγεγονυῖαν τάξιν τοῖς ἤθεσιν· ὥσπερ λόγος μὲν αὐτὰς συνδεῖ ταῖς λογικαῖς αὐτῶν ψυχαῖς, νοῦς δὲ ταῖς νοεραῖς οὐσίαις, ἐνθεασμὸς δὲ ταῖς θεότησιν αὐταῖς, καὶ πανταχοῦ τῷ ὁμοίῳ τὸ ὅμοιον.

in R.2.301 Ὡς δὲ καὶ εἰπεῖ ν , οὐκ ἐλάττους εἶναι ἐν τοῖς τοιούτοις ἁλισκομένους τοὺς ἐκ τοῦ οὐρανοῦ ἥκοντας ἕως τοῦ οὐκ ἐξ ἐπιδρομῆς τὰς αἱρέσεις ποιεῖσθαι [p. 619d]. Θαυμαστὸς μὲν ὄντως ὁ λόγος, εἰ οἱ ἐκ τοῦ οὐρανοῦ ἥκοντες μάλιστα ταῖς αἱρέσεσιν ἐπεπήδων τῶν τυραννικῶν βίων· ὅμως δὲ κατεσκεύασεν καὶ αὐτὸς τὸν λόγον, χαυνότητα αἰτιασάμενος ἐκείνων διὰ πόνων ἀγυμνασίαν, τὰς δὲ ἐκ τῶν ὑπογείων τόπων ἀσφαλεστέρας εἶναι λέγων καὶ μὴ ἐξ ἐπιδρομῆς ποιεῖσθαι τὰς αἱρέσεις διὰ τὴν πεῖραν τῶν ἐκεῖ πόνων καὶ τῶν κολάσεων. ἐοίκασι δὲ καὶ τὴν φαντασίαν ταύτην ἔχειν τὴν τυραννικὴν αἱ ἐξ οὐρανοῦ, θεασάμεναι τὰς τῶν οὐρανίων ἀρχὰς καὶ δυνάμεις κυβερνώσας πᾶσαν τὴν γένεσιν καὶ ἄλλας ἄλλων μείζους καὶ δυνατωτέρας, ὅθεν καὶ αὐταὶ δυνάμεως ἐφίενται· δέοντος γιγνώσκειν, ὅτι παρ᾽ ἐκείνοις μὲν τὰ τρία σύνεστιν, ἀγαθότης δύναμις νοῦς, παρ᾽ ἡμῖν δὲ ἡ [δύναμις ἀρετῆς καὶ] νοῦ στερομένη μεγάλων [αἰτία ἐστὶν κακ]ῶν, καὶ ὡς δεῖ τὴν ἀληθινὴν [ἔχειν καὶ σωστική]ν, ἀλλ᾽ οὐ τὴν δοκοῦσαν δύναμιν, [ἧς ἡ κτῆσις μὴ] σώζῃ τὸ ἔχον αὐτήν· … 14 … ρ καὶ ἡ δοκοῦσα τιμή, ἀξίᾳ [συνοῦσα, καλὸν] ἐκείνης ὄργανον, ἄνευ δὲ [ταύτης] εἰς ὄλεθρον ἄγει τοὺς χρωμένους. ἀπὸ [δὲ τούτ]ων κἀκεῖνο λάβοις ἄν, ὅτι καὶ τὰ δοκοῦντα αἰσιώτερα εἶναι τῶν ἀπονεμομένων βλάπτει πολλάκις διὰ τὸ

μετέχον οὐκ ὀρθῶς αὐτοῖς χρώμενον, καὶ τἀναντία τούτων ὀνίνησιν, ἐπιστρέφοντα τὰς ψυχὰς εἰς τὴν προσοχὴν καὶ τὴν ἀμείνω ζωήν· καὶ ὅτι πολλοῖς ἡ ἱστορία τῶν κακῶν εἰς ἀγαθὸν τελευτᾶν οἶδεν, οἷς ἄνευ ταύτης οὐκ ἦν ὠφεληθῆναι δυνατόν.

in R.2.302 οὕτω γὰρ καὶ αἱ ὑπὸ γῆν ἐν πόνοις γενόμεναι καὶ ἄλλους ἰδοῦσαι τληπαθοῦντας ὠφέληνται πρὸς τὰς τῶν ἑξῆς βίων αἱρέσεις. Διὸ δὴ καὶ μεταβολὴν τῶν κακῶν καὶ τῶν ἀγαθῶν ταῖς πολλαῖς τῶν ψυχῶν γίνεσθαι καὶ διὰ τὴν τοῦ κλήρου τύχην ἕως τοῦ ἀλλὰ λείαν τε καὶ οὐρανίαν [p. 619de]. Ἀπὸ πάντων τῶν περὶ τοὺς κλήρους καὶ τὰς αἱρέσεις τῶν βίων ἱστορημένων οἷον συμπέρασμα ἓν ἐπιστημονικὸν συνάγει διὰ τούτων· ὅτι τούτοιν χρεία δυεῖν, ἑνὸς μὲν τῆς ὀρθῆς κρίσεως περὶ τὸ ἄμεινον καὶ χεῖρον τῶν προτεινομένων βίων, ἑτέρου δὲ τοῦ τὸν κλῆρον μὴ ἐν τοῖς ἐσχάτοις πίπτειν· τί γὰρ εἰ καὶ ὁ αἱρούμενος εἴη περὶ κρίσιν ἀσφαλής, ἀλλ' οἱ προτεινόμενοι βίοι διὰ δή τινας αἰτίας οἱ τυχόντες εἶεν; τί δὲ εἰ εὐμοιρία μέν τις εἴη περὶ τοὺς βίους, ὁ δὲ αἱρούμενος εἰς ἐκλογὴν τῶν ἀμεινόνων ἄτοπος; δεῖ οὖν ἀμφοτέρων, καὶ τῆς τοῦ κλήρου μοίρας ἀγαθῆς καὶ τῆς ἡμετέρας κρίσεως· τούτων γὰρ ὑπαρξ[άν]των, φησίν, καὶ ὁ τῇδε βίος εὐδαίμων καὶ ἡ ἐνθένδε ἐκεῖσε πορεία καὶ ἡ ἐκεῖθεν δεῦρο π[άλιν] εἰς ἕτερον βίον οὐ τραχεῖα καὶ χθονία γ[ίγνοιτ'] ἄν, ἀλλὰ λεία τε καὶ οὐρανία. τί δὴ οὖν δηλ[οῦν ταῦτα] λέγωμεν; τὸ μὲν δὴ τραχὺ καὶ χθόνιον σημαίνει τὴν ἐπίπονον καὶ κολάσεσιν ἔνοχον οὖσαν ζωήν, τὸ δὲ λεῖον καὶ οὐράνιον τὴν εὐπαθείας μέτοχον καὶ εὐμοιρίας.

in R.2.303 πᾶσα γὰρ τραχύτης ἐμποδών ἐστι ταῖς κινήσεσιν, οὐκ ἐῶσα ῥᾳστώνης μετέχειν, πᾶσα δὲ λειότης ἀπαραπόδιστον παρέχει τοῖς πορευομένοις τὴν διέξοδον· ζωῆς οὖν ἡ μὲν εὐκολίαν ἡ δὲ τληπάθειαν ταῖν ὁδοῖν περιποιεῖ. καὶ ἔοικεν ταῦτα μὲν παραγίνεσθαι τὰ ἀγαθὰ ταῖς ψυχαῖς ἀπό τε ἑαυτῶν καὶ τοῦ παντός, τὴν ἀξίαν μὲν τοῦ παντὸς ἀποδιδόντος, τῶν δὲ ψυχῶν ἑαυτὰς ποιουσῶν ἀξίας διὰ τῆς ἔμφρονος ζωῆς· ἐκεῖνα δὲ τἀναντία τούτων ἀπ' ἀμφοτέρων πάλιν, τῶν μὲν διὰ τὴν ἀφροσύνην ἑαυταῖς ἐπικλωσασῶν μοχθηροτέραν ζωήν, τοῦ δὲ παντὸς τὴν ὀφειλομένην αὐταῖς μοῖραν ἐπαρτήσαντος. Ἐκ δὴ τῶνδε τῶν ῥήσεων κἀκεῖνο συλλογιστέον, ὡς ἄρα κατὰ Πλάτων α , καὶ εἰ μὴ συντελεῖ πρὸς εὐδαιμονίαν τὰ ἐκ τοῦ παντὸς ἀπονεμόμενα ταῖς ψυχαῖς, ἀλλὰ συντελεῖ πρός γε τὸ εὐδαίμονας γενέσθαι, καὶ διὰ τὰ ἐκεῖθεν ἐμποδισθεῖεν ἂν πρὸς τὴν εἰς εὐδαιμονίαν ὁδόν. καὶ γὰρ σώματος τοιοῦδε πρὸς τὴν κατ' ἀρετὴν ἄσκησιν δεῖ, καὶ περιουσίας τινὸς εἰς τὸ μὴ τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας ἀφέλκεσθαι τῆς προηγουμένης ἑαυτῶν ἐπιμελείας, καὶ τῆς ἔξωθεν ἀταραξίας ἀπερισπάστους .... 80 ... ῆσθαι ..... τῶ ... 20 ... κοσμοῦσιν· καὶ ... 18 ... καὶ χαλεπὰ πράως ..... Ἀλλὰ τί π[οτέ] ἐστιν τὸ ὑγιῶς φιλοσοφεῖν, [καὶ τί τὸ τὸ]ν κλῆρον πίπτειν δηλοῖ; τοῦτο μὲν τοίνυν [εἴρηται] πρὸς τὴν ῥῖψιν συμφώνως. εἰ γὰρ [ὁ] προφήτης ῥίπτει τοὺς κλήρους ταῖς ψυχαῖς, ἀ[νά]γκη τοὺς ῥιφέντας κλήρους πίπτειν εἰς τὰς [ὑποδ]εχομένας αὐτοὺς ψυχάς. ἄμφω δὲ δηλοῖ δήπουθεν, ὡς ἄρα κατὰ τὴν ἀπὸ τῶν οὐρανίων περιόδων ποίησιν εἰς ἡμᾶς οἱ κλῆροι κατιοῦσιν, ἀπὸ ὑψηλοτέρων εἰς χαμαιζηλότερα φερόμενοι καὶ ἀπὸ ὁλικωτέρων εἰς μερικώτερα.

in R.2.304 καὶ τί δεῖ περὶ κλήρων λέγειν, ὅπου γε καὶ αὐτὸς ὁ Πλάτων ἐν Φιλήβῳ [p. 16c] ῥῖψιν ἐκάλεσεν τὴν εἰς ἡμᾶς μετάδοσιν ἀπὸ τῶν θεῶν τῆς διαλεκτικῆς ἅμα φανοτάτῳ πυρὶ διὰ Προμηθέως ῥιφείσης; οὕτως οἰκεῖον αὐτῷ τὸ ὄνομα τῆς εἰς τὸ κάτω ποιήσεως τῶν ἀνωτέρω σύμβολον ὄν, καὶ τῶν θεολόγων ῥίψεις καὶ πτώσεις θεῶν τὰς κατὰ βούλησιν τῶν κινούντων αὐτοὺς ἄνωθεν ἕως τῶν ἐσχάτων ἀποκαλούντων. Τὸ δὲ ὑγιῶς ἄρα φιλοσοφεῖν ἐστιν τὸ μήτε δι' ἄγνοιαν τῶν ἀμεινόνων καὶ χειρόνων βίων αἱρεῖσθαι τοὺς χείρονας ἀντὶ τῶν ἀμεινόνων, μήτε δι' ὄρεξιν ἄμετρον ἐφιστάντας τοῖς ἀμείνοσιν εἶτα ἐπιπηδᾶν τοῖς χείροσιν. τὸ γὰρ ὑγιὲς δηλοῖ τὸ μηδενὶ ἐλλεῖπον εἰς τὴν ὀρθότητα τὴν προσήκουσαν τοῖς εἰς τὰς αἱρέσεις ἀπαντῶσιν· ἐλλείπει δὲ πᾶν τὸ κατὰ θάτερα τούτων ἀτελές, ὡς τό γε κατ' ἀμφότερα χωλεῦον, κρίσιν καὶ ὄρεξιν, τελέως αὐτα ... 20 ... Ταύτην γὰρ δὴ ἔφη τὴν θέ [αν ἀξίαν εἶναι ἰδεῖ ν , ὡς ἕκαστα ι] αἱ ψυχαὶ ᾖρ [ο ῦ]ν

[το τοὺς βίους · ἐλεεινήν τε γὰρ ἰδεῖ ν] εἶναι καὶ γελοίαν καὶ θα [υμασίαν · κατὰ σ υ]νήθειαν γὰρ τοῦ προτέρου [βίου τὰ π ο]λλὰ αἱρεῖσθαι [p. 619e sq.]. Τίνα ποτέ ἐστιν τ[ὰ ἐν τούτοις] ἀγγελλόμενα, ἐξ ὧν συνήγαγεν, ὅ[τι δεῖ] τοῖς εὐδαίμοσιν ἐσομένοις τοῦ τε ὑγιῶς φιλοσοφεῖν ἐν ταῖς αἱρέσεσιν τῶν βίων καὶ τοῦ τὸν κλῆρον μὴ πίπτειν ἐν τοῖς ἐσχάτοις, θέ[λων] ἀναδιδάξαι φησὶν [p. 619e] ταύτην τὴν θέαν τῶν αἱρέσεων ἀξίαν ἰδεῖν εἶναι παρὰ τοῦ ἀγγέλου λελέχθαι· καὶ πῶς ἀξίαν ἰδεῖν, προσέθηκεν τριχῇ μὲν διελὼν αὐτήν, εἰς τὸ γελοῖον, εἰς τὸ ἐλεεινόν, εἰς τὸ θαυμάσιον, κοινὸν δὲ ἐπαγαγὼν πάσαις ταύταις ταῖς αἱρέσεσιν τὸ κατὰ συνήθειαν ὡς τὰ πολλὰ τῶν προβεβιωμένων γίνεσθαι τῶν βίων τὰς αἱρέσεις, καὶ τοῦτο εἰπὼν αἴτιον εἶναι τῆς παντοίας αὐτῶν ἐξαλλαγῆς.

in R.2.305 Τοῦτο μὲν οὖν ἀνάλογόν ἐστιν τῷ ἐν Φαίδρῳ [p. 248d] ῥηθέντι περὶ τῶν νεοτελῶν ψυχῶν· ὡς γὰρ ἐκείνας ἔφη κατὰ τὰ θεάματα πλείονα ἢ ἐλάσσονα ὄντα βίους ἄλλους καὶ ἄλλους προστήσασθαι, τοὺς μὲν ἀμείνους τοὺς δὲ χείρους, οὕτω καὶ ταύτας κατὰ συνήθειαν τῶν προβεβιωμένων ἐπιτρέχειν ἄλλοις καὶ ἄλλοις βίοις· πλὴν ὅτι προσέθηκεν ἐν τούτοις, ἐνδεχομένην τὴν πρότασιν ποιῶν, τὸ ὡς τὰ πολλ ά . διότι θαυμαστὸν οὐδὲν καὶ ἀποστέρξαι τινὰ ψυχὴν τὸ σύνηθες διά τινας πόνους, μεμνημένην ὧν ἔπαθεν ἐν τοῖς ἔμπροσθεν χρόνοις· οἵαν παραδώσει τὴν Ὀδυσσέως ψυχὴν πόνων καὶ φιλοτιμίας λελωφηκυῖαν [p. 620c] καὶ αἱ[ρουμένην ἰδιώτου καὶ ἀπράγμονο]ς βίον ἀνδρός. Πρὸς μὲν οὖν τοὺς] ἀπορήσαν[τας, πῶς ἡ συνήθεια] τοσοῦτον ἔχει κράτος [ἡ τοῦ προτέρου βίου, ὥστε] καὶ εἰς οὐρανὸν ἀνά[γειν ψυχὰς ἔθει] ἄνευ φιλοσοφίας βεβιωκυίας, [καὶ] εἰς ἄλογα ζῷα κατάγειν διὰ τὴν πρὸς [τὸ κάτω νεύ-] ουσαν ἐκ συνηθείας ζωήν, ἔλεγον [ἤδη] καὶ αὐτός, ὅτι παντάπασιν οὕτως ἔχει· [ἐπεὶ] πάμμεγα δύναται τὰ ἔθη παρὰ πᾶσιν ὡς εἰπεῖν, ὥστε καὶ ὑποτάττειν ἡμᾶς ἄλλοις καὶ ἄλλοις γένεσιν ἐν τῷ κόσμῳ καὶ πρὸς ἀλλήλους συνάπτειν ἢ διιστάνειν, καὶ ἐν τοῖς ἄλλοις ζῴοις. παρὰ τούτοις μὲν οὖν οὐδὲν θαυμαστόν, ἅτε λόγον οὐκ ἔχουσιν, μόνοις δουλεύειν τοῖς ἔθεσιν· ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν θείων ἀκούω τῶν λογίων λεγόντων ὅτι ἐθίσαντα τὰ στοιχεῖα τοιῶσδε ζῆν οὐ παραλλάττει τὸ ἔθος, καὶ περὶ αὐτοῦ τοῦ ἡλίου, ὅτι περὶ τὸ κέντρον ἐθὰς ἔρχεται τὸν ἑαυτοῦ δρόμον ἐξανύων.

in R.2.306 καὶ ἡμᾶς δὲ τοὺς ἀνθρώπους οὐκ ἄλλο τι ποιεῖ τοῖς πατρίοις ἑπομένους μὴ δύνασθαι ῥᾳδίως αὐτῶν ἀφίστασθαι, δίκην δὲ ὑπέχειν μεθισταμένους, ἢ τὰ ἔθη διὰ τὸν χρόνον κυρωθέντα· διὸ καὶ οὐκ ἀσφαλὲς αὐτὰ κινεῖν. τούτων δὲ ἀπορηθέντων ἐλέγομεν τὴν πρώτην τάξιν τινὰ δαιμονίαν ἐπίσκοπον εἶναι τῶν ἐθῶν τούτων, ὑπὸ τὸν αἰῶνα τεταγμένην· καὶ γὰρ τὸ ἔθος οὐδὲν ἄλλο εἶναι ἢ τὸ ποτὲ οὐκ ἄλλως ἀλλ' ὡσαύτως ἐπιτηδευθέν· οὔσης οὖν σειρᾶς ἀπὸ τοῦ αἰῶνος τῆς πάσης μὲν ζωῆς ἀεὶ ἑστώσης, πάσης δὲ ἀεὶ κινουμένης μετρητικῆς, εἶναί τινα τελευταίαν ἀπ' ἐκείνης τάξιν τῶν ποτὲ μὲν κρατούντων, ἀμεταβόλων δὲ ἔν τισιν χρόνων περιόδοις μείζοσιν ἢ ἐλάττοσιν φρουρητικὴν ἀναγκαῖον, ἵνα πᾶν τὸ ὡσαύτως εἰς ἐκείνην ἀν[ά]π[τῃ] τὴν αἰτίαν· καὶ δῆλον μ[ὴ ἕν, ἀλλὰ πολλὰ τῶν] ἐθῶν εἶναι κρατ[ητικὰ αἴτια, ἄρχοντα τὰ] μὲν νοερωτέρων τὰ δὲ ἀλογωτέρων [ἐθῶν], καὶ μονάδα μίαν πρὸ τούτων ἀνάλογ[ον τῷ] ὅλῳ αἰῶνι, πᾶσιν τοῖς τε ἀμείνοσι καὶ τοῖς χείροσιν τὸ κράτος αὐτὴν ἐνδιδοῦσαν, καθ' ὅσον κοινοῦ τινος καὶ ταῦτα μεταλαχόντα τὴν πρὸς τὰ ἄλλα πάντα τὰ περιόδοις μετρούμενά τισιν ἔλαχεν ἐξαλλαγήν. ὡς οὖν αἱ ὧραι τῆς σειρᾶς οὖσαι ταύτης ἀνακυκλοῦσι τὰ ἔργα τῆς φύσεως, οὕτως εἶναί τινα καὶ τῶν ἐθῶν μετρητικὴν αἰτίαν τὴν ὁρίζουσαν πάντα κατὰ περιόδους οἰκείας. Τούτων δὲ εὖ εἰρημένων, τοῦ μὲν ἄλλα τῶν ἐθῶν ἐν ἄλλοις χρόνοις λύεσθαι καὶ γένεσιν ἔχειν αὖθις ἐδόκει τὴν ἀρχὴν ὁ λόγος ἀνηυρηκέναι, πόθεν δὲ ὅλως τοῖς ἔθεσιν ἡ ἰσχύς, δι' ἣν τοσαύτην ἔχει πανταχοῦ τὴν ἐπικράτειαν, οὔπω διορίζειν.

in R.2.307 ἵν' οὖν καὶ τοῦτο πιέσωμεν, ἐδόκει χρῆναι πρότερον ἰδεῖν, τίνα δύναμιν ἔχει τὰ ἔθη παρ' ἡμῖν, εἶτ' ἐντεῦθεν ἐξαναστάντας τὴν ἐν τοῖς ὅλοις αὐτῶν αἰτίαν καταδήσασθαι. δῆλον τοίνυν ὅτι τὰ

ἔθη νόμιμα ἅττα βούλεται εἶναι, εἰ καὶ ἄγραφα, φασίν, νόμιμα δὲ ὅμως· ἐπεὶ καὶ οἱ ἀληθεῖς νόμοι δέονται γραμμάτων οὐδέν, ἀλλ' ἐν αὐταῖς κεῖνται ταῖς τῶν κατ' αὐτοὺς ζώντων ψυχαῖς ἀκίνητοι μένοντες. καὶ τὰ ἔθη οὖν τὰ παρ' ἑκάστοις ἴδιά τε καὶ κοινὰ νόμοι δή τινές εἰσιν ἔμψυχοι, καὶ ἕπεται νόμοις ἄλλα ἄλλοις, ἢ φυσικοῖς ὡς ἐπὶ τῶν ἀλόγων, ἢ πολιτικοῖς ὡς ἐπ' ἀνθρώπων. εἰ οὖν ταῦτα ἀληθῆ, δῆλον δήπουθέν ἐστιν τὸ ἐκ τούτων συμβαῖνον, ὡς ἄρα ... 25 ... πα ... 30 ... ῶν ... 25 ... σε ... 22 ... ον· ἄν τ' ἐπὶ τῶν [θείων καὶ οὐρανίω]ν θεωρῆται στοιχείων ἀ[εὶ τοῖς] αὐτ[οῖς] ἐ[νόντ]α καὶ ὡσαύτως καθ' ἕνα [λόγο]ν, ἄν τε ἐν ἀνθρώποις, ἔν τισι τακτοῖς δυναστεύοντα χρόνοις, ἄν τε ἐν τοῖς ἄλλοις ζῴοις, συμπληροῦντα τὴν κατὰ φύσιν ἑκάστων διεξαγωγήν. τὸν δὲ δὴ Νόμον τοῦτον ὅτι θεὸν ἡγεῖσθαι δεῖ συνοχέα τῶν τε εἱμαρμένων νόμων, οὓς ὁ ἐν Τιμαίῳ [p. 46e] δημιουργὸς ἐγγράφει ταῖς ψυχαῖς, καὶ τῶν εἰς πᾶσαν τὴν τοῦ κόσμου πολιτείαν διατεινόντων, ἠκούσαμεν πολλάκις τῶν τε θεολόγων αὐτὸν ἐξυμνούντων καὶ τοῦ Πλάτωνος ἔν τε Γοργίᾳ [p. 523a] καὶ ἐν Νόμοις [IV p. 714a 716a]. διὰ τοῦτον δὴ οὖν τὸν θεὸν ἤδη θαρροῦντες λέγωμεν καὶ τὴν τῶν ἐθῶν τῶν πανταχοῦ δύναμιν ὑποστῆναι μεγάλην μοῖραν ἐν τῷ κόσμῳ λαχοῦσαν, καὶ πολλὰ γίνεσθαι κατὰ ταύτην καὶ ἐν ταῖς ἡμετέραις ψυχαῖς. καὶ ὥσπερ οἱ μὲν ἀληθεῖς νόμοι τῶν κοσμικῶν εἰσι νόμων εἰκόνες, οἱ δὲ ἡμαρτημένοι νόμοι μέν, ἀλλ' ἐσκιαγραφημένοι τινὲς ὄντες ἀποπτώσεις ἐκείνων ὑπάρχουσιν, οὕτω καὶ ἔθη τὰ μέν ἐστιν ἐν ταῖς ἡμετέραις ζωαῖς ἐοικότα τοῖς τῶν ὅλων, τὰ δὲ εἴδωλα ἐκείνων ὄντα τυγχάνει· κράτος δὲ ὅμως ἔχει καὶ ταῦτα μεταλλάττειν τάς τε λήξεις ἡμῶν καὶ τὰς ἐν τῷ παντὶ τιμὰς καὶ ἀτιμίας.

in R.2.308 Ἀλλὰ τούτων μὲν ἄδην· ἐπανελθόντες δὲ εἰς τὰ προκείμενα λέγωμεν, ὅτι τριῶν διαφόρων εἰδῶν πρὸς ἄλληλα ῥηθέντων τὸ μὲν ἐλεεινόν ἐστιν, ἐν οἷς εἰς ἄλογα μὲν ζῷα ψυχὰς εἰσδυομένας παραδίδωσιν ἄλλα ἀστειότερα τῶν ἄλλων, καὶ ταῦτα δοκούσας ἡρωικὰς εἶναι· διὰ τοῦτο γὰρ ἐλεεινὸν αὐτῶν τὸ πάθος ἔδοξεν εἶναι, τοιαύτην ἀπόπτωσιν ἔχειν διὰ πάθος τηλικαύτας ψυχάς. τὸ δὲ γελοῖον, ἐν οἷς αἰσχρὰς εἰς ὅμοια ζῷα πιπτούσας ἱστορεῖ· τί γὰρ ἄλλο τὸ γελοῖόν ἐστιν ἢ τὸ αἰσχρὸν μετὰ ἀσθενείας; δι' ἀδυναμίαν οὖν ζωῆς καὶ εὐτέλειαν εἰς ἄλλα ζῷα τοιαῦτα φερομένας εἰκότως ἀποκαλεῖ γελοίας. τὸ δὲ θαυμάσιον, ἐν οἷς ἐρεῖ τινας ψυχὰς ἐπιστατικῶς αἱρεῖσθαι τοὺς βίους, οὐκ ἐπιπηδώσας ἀλόγως τοῖς ὑπ' ὀφθαλμοῖς· διὸ καὶ μεταβάλλειν τὰς τοιαύτας ἀπὸ χειρόνων τινῶν βίων εἰς ἀμείνονας, ἢ ἐξ ἀνθρωπίνων εἰς ἀνθρωπίνους, ἢ καὶ ἐξ ἀλόγων εἰς λογικὰ ζῷα μεθισταμένας. Εἰ δὲ βούλει καὶ ἄλλον τρόπον· τὸ μὲν θαυμάσιον τῆς ἀρίστης ἐστὶ ζωῆς καὶ εἰς εὐδαιμονίαν ἀγομένης, τὸ δὲ ἐλεεινὸν τῆς ἐναντίας πρὸς ταύτην καὶ τοῦ οἰκείου τέλους ἐκπεσεῖν κινδυνευούσης, τὸ δὲ γελοῖον τῆς μήτε ἀγαθὸν μέγα μήτε κακὸν ἐχούσης, αἰσχρᾶς μὲν οὔσης καὶ διὰ τοῦτο οὐδαμῶς εὐδαιμονικῆς, ἀσθενείᾳ δὲ συνούσης καὶ διὰ τοῦτο οὐ παντελῶς κακοδαιμονίαν ἀπειλούσης. καὶ γὰρ τῷ ὄντι πᾶς μὲν θαύματος ἄξιος βίος εἰς εὐδαιμονίαν φέρων, πᾶς δὲ ἐλεεινὸς εἰς κακοδαιμονίαν ὠθῶν, ὁ δὲ ἐν μέσῳ τούτων εὐτελής τε ὢν καὶ αἰσχρὸς γελοῖος ἂν εἰκότως ἐπονομάζοιτο διὰ τὴν ἀμφοτέρων τούτων συμπλοκήν.

in R.2.309 Ἀλλ' ἐπειδὴ καὶ εἰς ἄλογα ζῷα μεθίστησιν τὰς ψυχὰς ὁ μῦθος, τῶν δὲ παλαιῶν οἳ μὲν κατὰ τὴν ὁμοιότητα τῆς ἀνθρωπίνης ψυχῆς πρὸς τὴν ἄλογον ἀπεδέξαντο τὴν μεταβολήν, οὐ σωμάτων λέγοντες ἔνδυσιν ἀλόγοις ζῴοις προσηκόντων, ἀλλὰ ζωῆς προχείρισιν ἐκείνοις οἰκείας— εἶναι γὰρ καὶ ἐν ἡμῖν πάντα, ὅσα καὶ ἐν ἐκείνοις, καὶ ζῆν ἡμᾶς ποτὲ μὲν καθ' ὃ κοινωνοῦμεν τοῖς ἀλόγοις ἀλογωθέντας (οἴδε γὰρ οὐκ ἀπέχουσι κυνῶν ἀλόγων πολὺ μέτρο ν , οἱ ζῶντες πονηρὰν ζωήν, φησὶ τὸ λόγιο ν) , ποτὲ δὲ καθ' ὃ διεστήκαμεν ἐκείνων· ὃ γὰρ ἂν ζῶμεν, τοῦτο ἐσμέν, εἰ μὲν κατὰ λόγον, ἄνθρωπος, εἰ δὲ κατ' ἀλογίαν, θηρίον—, οἳ δὲ καὶ σφόδρα ταῖς εἰς τὰ ἄλλα πάντα ζῷα τῶν ἡμετέρων ψυχῶν μεταστάσεσιν ἐπέδραμον, οἱ πνεύματι τὴν ψυχὴν ἐοικέναι φάσκοντες συναλλοιουμένῳ τοῖς περιέχουσιν καὶ συσχηματιζομένῳ (καὶ γὰρ ἐν ἡμῖν

οὖσαν, τοῦτ’ ἔστι τοῖς ἡμετέροις σώμασιν, εἶναι λογικὴν καὶ ἐν τοῖς τῶν ἀλόγων ἄλογον)· ἐπεὶ δ’ οὖν ταῦτα πολλοῖς δή τισιν ἤρεσεν, τὰς μὲν ἀκριβεστάτας τούτων ἐξετάσεις ἐν τοῖς εἰς τὴν παλινῳδίαν ἡμῖν τοῦ Φαίδρου γεγραμμένοις πεποιημένοι περιττὸν ἡγούμεθα καὶ ἐν τούτοις αὖτις ἀριζήλως εἰρημένα ἐν ἐκείνοις μυθολογεύειν · συντόμως δὲ τὰ συμπεράσματα τῶν ἐκεῖ πεπιεσμένων ἐνταῦθα παραθώμεθα, διὰ τὸ μηδὲ τὸν τόπον τοῦτον ἀνενόχλητον ὑπὸ τῶν ἐξηγητῶν ἀπολειφθῆναι τῶν διὰ τὸ δόγμα τοῦτο πρὸς ἀλλήλους ἀντιρρήσεων. Λέγωμεν δ’ οὖν ὅτι πάντως μὲν κατὰ τὴν Πλάτωνος ψῆφον μετιέναι τὴν ψυχὴν εἰς ἄλογα ζῷα διὰ τὴν ὁμοιότητα τῆς ζωῆς καὶ ἡμεῖς φαμεν, ἀλλ’ οὐκ ἐνοικίζεσθαι τοῖς σώμασιν αὐτῶν (αἱ γὰρ φυσικαὶ διοργανώσεις μάχονται πρὸς τὴν τοιαύτην κατάταξιν), ἐν σχέσει δὲ μόνῃ τῆς ζωῆς συνδεῖσθαι πρὸς τὴν ἐκείνων ψυχὴν τὸ οἰκεῖον σῶμα ψυχώσασαν, οὐδὲν τῆς ἀνθρωπίνης προσδεομένην· τοῦτο γὰρ καὶ ὁ Ἀσιναῖος Θεόδωρος αὐτὸς πρῶτος ἐπιβάλλων καὶ ἡμᾶς ἀνέπεισε φρονεῖν τε καὶ γράφειν· συνάπτειν δὲ ἑκάστην τὸ πρόχειρον πάθος συνεφελκυσάμενον τὸ τῆς ψυχῆς κύτος εἰς τὴν ἑαυτοῦ ζωὴν καὶ ὁρμήν· τοῦτο γὰρ καὶ ὁ μέγας ἱκανῶς κατεδήσατο Πλωτῖνο ς .

in R.2.310 ὥστ’ ἔχειν ἡμᾶς παρ’ ἀμφοτέρων, καὶ τί τὸ συνδετικὸν ἡμῶν πρὸς τὰ ἄλογα, καὶ ὅτι πάθος μέν, συγγενὲς δὲ ἐκείνοις οἷς ἂν συνδεώμεθα (κρατεῖ γὰρ καὶ ἐκείνων ἄλλο ἐν ἄλλοις, καὶ ἐν ἡμῖν ἄλλο ἐν ἄλλοις· τὸ οὖν κρατῆσαν ἐν ἡμῖν συνδεῖ πρὸς τὸ ἐν ἐκείνοις κρατοῦν), καὶ μέντοι καὶ ὅπως ἡ συναφὴ τούτων γίνεται, καὶ ὅτι κατὰ τὴν ἐν σχέσει ζωήν· ἐν ἡμῖν μὲν γὰρ πάρεστιν ἡ ἡμετέρα ψυχὴ δῆλον ὡς ἐν κατατάξει, καὶ ἐν τοῖς ἀλόγοις ἡ ἐν αὐτοῖς· ἡ δὲ ἐν ἡμῖν πρὸς τὴν ἐν ἐκείνοις ἐν σχέσει γενομένη ψυχοῖ τὸ ἄλογον ἔξωθεν ἐφεστῶσα σχετικῶς· ἐπεὶ καὶ ἐν δαίμοσιν γίνεται καὶ ἐν θεοῖς καὶ δαίμων κατὰ σχέσιν καὶ θεός, ἀλλ’ οὐκ αὐτὸ δαίμων καὶ αὐτὸ θεός, ᾧ μὴ ὕπαρξίς ἐστιν δαίμοσιν πρέπουσα καὶ θεοῖς. ἔοικεν γὰρ καὶ ἐπὶ τὸ ἄνω διαβάλλουσα καὶ ἐπὶ τὸ κάτω γίνεσθαι πάντα ἐν σχέσει καὶ τὰ πρὸ αὐτῆς καὶ τὰ μετ’ αὐτήν, καὶ συμφύεσθαι πᾶσι. ψυχῆς γὰρ ὄντως ἀληθὲς ἐν τοῖς βίοις τάξιν οὐκ ἐνεῖναι [p. 618b], φέρεσθαι δὲ αὐτὴν ἐφ’ ἑκάτερα, καὶ μέχρι τἀγαθοῦ καὶ μέχρι τοῦ Ταρτάρου, καὶ γίνεσθαι διὰ μὲν νοῦν καὶ τὸ ὑπὲρ νοῦν δαιμονίαν καὶ θείαν, διὰ δὲ ὄρεξιν ἄλογον καὶ γνῶσιν ἄλλο καὶ ἄλλο τι τῶν ἀλόγων. Ὅτι δὲ καὶ ὁ Πλάτων οὐ τοῖς σώμασιν ἐνοικίζει τοῖς τῶν ἀλόγων τὴν ἡμετέραν ψυχήν, ἀλλὰ τοῖς ἤδη ζῴοις οὖσιν, δηλοῖ καὶ ἐνταῦθα λέγων τὴν μὲν εἰς κύκνον, τὴν δὲ εἰς [ἀηδό]να, τὴν δὲ εἰς ἀετόν, τὴν δὲ εἰς λέοντα χωρεῖν, τὴν δὲ ἐνδύεσθαι πίθηκον μάλα γελοῖον, ἀλλ’ οὐχὶ σώματα τούτων ἀμπίσχεσθαι τῶν ζῴων (οὐ γάρ που τὸν κύκνον καὶ τὸν λέοντα καὶ τὸν πίθηκον σῶμα δηλοῦν, ἀλλ’ οὐδὲ τὰ ἐκ ψυχῶν καὶ σωμάτων ῥητέον)· δηλοῖ δὲ ἐπὶ τοῦ ἐξ ἀνδρὸς εἰς γυναικὸς μεθισταμένου βίον οὐκέτ’ εἰπὼν εἰς γυναῖκα ἰέναι, ἵνα ἂν ἐποίησεν κατὰ σχέσιν καὶ ταύτην ὥσπερ ἐκείνας τὴν ψύχωσιν, ἀλλ’ εἰς γυναικὸς φύσιν τεχνικῆς [p.

in R.2.311 620c]. ἡ δὲ φύσις ὅτι σώματός ἐστιν ἐσχάτη ζωὴ δῆλον· εἰς ταύτην οὖν ἔρχεται γενομένην ἐκ τοῦ παντὸς καὶ ἐνδύεται οὐ ζῷον (αὐτὴ γὰρ ποιεῖ τοῦτο ζῷον), ἀλλὰ σῶμα φυσικόν. Συλλήβδην οὖν εἴπωμεν δυνατὸν εἶναι τὴν ψυχὴν εἰς ἄλογα ζῷα χωρεῖν καὶ ἐξ ἀλόγων εἰς ἄνθρωπον, οὐ πάσης τῆς ἐν τῷ ἀλόγῳ ζωῆς μετιούσης, ἀλλὰ τῆς ἀνθρωπίνης. οὕτω γὰρ καὶ ὁ ἐν Φαίδρῳ [p. 249b] Σωκράτης σαφέστατα διώρισεν, ὅτι δὴ καὶ ἐκ θηρίου μέτεισιν ὅς ποτε ἦν ἄνθρωπος εἰς ἄνθρωπον · διττῆς οὖν οὔσης τοῦ ἀλόγου ψυχώσεως, τῆς μὲν ἐν κατατάξει τῆς δὲ ἐν σχέσει, τὴν ἐν σχέσει μόνον εἶναι τὴν αὖθις εἰς ἄνθρωπον μετιοῦσαν καὶ γινομένην πάλιν ἄνθρωπον. καὶ ὡς αὗται αἱ παραφοραὶ τῶν ψυχῶν οὐκ εἰσὶ τῶν νεοτελῶν· οὐ γὰρ νόμος φυτεῦσαι τὴν ψυχὴν εἰς θήρειον φύσιν ἐν τῇ πρώτῃ γενέσει [p. 248d]· σφαλεῖσαν γὰρ αὐτὴν ὁ τοιόσδε διαδέχεται τρόπος τῆς ψυχώσεως. καὶ γὰρ οὐκ ἦν θεμιτὸν ἀμέσως τῇ θηριώδει ζωῇ συνάπτειν τὴν νοεράν, ἀλλὰ διὰ μέσης τῆς λόγῳ χρωμένης ἢ κρείττονι ἢ χείρονι γενομένην, ἢ .

in R.2.312 . 10 .. ει ἀλογίαν καὶ πάθος. Τοσαῦτα προείληφα περὶ τούτων, ὅπερ εἴπομεν, ἐξητασμένου μοι τοῦ πράγματος ἱκανῶς ἐν τοῖς τῆς παλινῳδίας ὑπομνήμασι ν , ἐνταῦθα δὲ προκειμένων ἄλλων εἰς ἐξέτασιν οὐδὲν τούτου λειπομένων εἰς τὸ δυστόπαστον. Ἰ [δεῖ ν] μὲν γὰρ ἔφη ψυχὴν τὴν ποτὲ Ὀρφέως γεγενημένην κύκνου βίον αἱρουμένην μίσει τοῦ γυναικείου γένους ἕως τοῦ καὶ πάσας μίξεις μίγνυσθαι [p. 620a—d]. Ὅτι μὲν παντελῶς ταῦτα ἀτοπίας μεστὰ τοῖς ἀπερισκέπτως αὐτὰ μετιοῦσίν ἐστιν, οὐδ' αὐτὸς ἄλλως ἂν εἴποιμι. τὸ γὰρ τὰς τῶν θείων ἀνδρῶν ψυχὰς εἰσοικίζειν εἰς ἄλογα ζῷα καὶ τὰς ἡρωικὰς ὑπερβολὴν οὐ καταλιμπάνει τῆς περὶ ἐκείνας πλημμελείας. καίτοι γε μαρτυρομένων ἀκούω παμπόλλων, ὡς Πλάτων φρονεῖ περὶ ἐκείνων οὐχὶ τοιαῦτα οἷα 〈ὁ〉 μῦθος οὗτος κατηγορεῖ. δηλοῖ δὲ τὰ ἐν Ἀπολογίᾳ [p. 41a] ῥηθέντα παρὰ τοῦ Σωκράτους, ὡς ἄρα πολλοῦ ἂν τιμήσαι τὸ ἐν Ἅιδου συγγενέσθαι τοῖς Ὀρφεῦσιν, τοῖς Μουσαίοις, τοῖς Αἴασιν· ἦκουεν γάρ που καὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων ἐξυμνούντων τὸν τὰς ἁγιωτάτας ἐκφήναντα τελετάς. πῶς οὖν εἰκὸς τοιαύτας ἔχοντα περὶ ἐκείνων ἐννοίας τοσαύτην αὐτῶν κατασκεδαννύναι τραγῳδίαν, ἢ τῷ Ἠρὶ πιστεύοντα τοιαῦτα περὶ τῆς λήξεως αὐτῶν παρὰ τὴν τελευτὴν φρονεῖν; πῶς δ' ἄν τις διανήξαιτο τοσοῦτον πέλαγος πλασμάτων; οὐ ῥᾴδιον ἔμοιγε καταφαίνεται· κύκνοι καὶ ἀηδόνες ἀπὸ τῶν ταῖς Μούσαις γεγόνασιν κατόχων, ἀετοὶ καὶ λέοντες ἀπὸ τῶν ἡρωικῶν· καὶ ταῦτα ἐν αὐτῇ ταύτῃ τῇ πραγματείᾳ [III p.

in R.2.313 391d] καταβοήσαντος αὐτοῦ τῶν ποιητῶν, οἳ ἐποίησαν τοὺς ἥρωας ἀνθρώπων οὐδὲν κρείττους, ἀλλὰ τοῖς ὁμοίοις ἐνόχους πάθεσιν. εἶθ' ὁ τὰ πάθη τῶν ἡρωικῶν ψυχῶν ἐν σώμασι στρεφομένων ἐξελὼν μετὰ τὸ σῶμα διὰ πάθη τοῖς ἀλόγοις αὐτὰς ἐνοικίζει ζῴοις; Μήποτε οὖν, ἵνα καὶ τῷ μύθῳ χαρισώμεθα καὶ συγχωρήσωμεν ἃ βούλεται πλάττειν καὶ τὸν Πλάτωνα τῆς εἰς τοὺς ἥρωας δυσφημίας ἐξέλωμεν, ἐκεῖνο ῥητέον, ὡς ἄρα διὰ τῶν τοιούτων πλασμάτων οὐκ αὐτὰς θέλει τὰς ψυχὰς ἐκείνας ὧν διαμνημονεύει νῦν ἡρώων εἰς τὰ ἄλογα κατασπᾶν, ἀλλὰ ζωῶν εἴδη αἰνίσσεσθαι διὰ τῶνδε τῶν ὀνομάτων, οἷα προσήκοντα μὲν ἦν τοῖς ὀνομαζομένοις, διὰ δέ τινας παθῶν προσθήκας ἀνομοίως ἐκείνους μιμούμενα κατέπεσεν εἰς ἀλογίαν ἀφομοιουμένην ἀλόγως τοῖς εἴδεσιν ἐκείνων· οἷον ἀπὸ τῆς Ὀρφέως ζωῆς καὶ τῆς Θαμύρου ζωὴν ἐνδεικνύμενος μουσικὴν μέν τινα πάντως, διὰ δὲ πάθος ἄλογον, οἷον μῖσος ἢ ζῆλον ἤ τι ἄλλο τοιοῦτον, εἰς μουσικὸν πίπτουσάν τι ζῷον, ὃ δὴ τῷ μὲν εἶναι μουσικὸν ἔχει συγγενῶς πρὸς τὴν ἀνθρωπίνην μουσικήν, τῷ δὲ αὖ ἄλογον εἶναι τὴν ἀλογωθεῖσαν ὑποδέχεται ψυχὴν διά τι πάθος· ἡ γὰρ τούτου πρόσθεσις ἀλογίας αὐτὴν ἀπέφηνεν οἰκείαν. Τεκμαίρομαι δὲ ταῦτα εἶναι ἀληθῆ, διότι καὶ ἐν Γοργίᾳ [p. 523f sq.] λέγοντος ἤκουσα τοῦ Σωκράτους τοὺς Μίνωας καὶ τοὺς Αἰακοὺς καὶ τοὺς Ῥαδαμάνθυας δικαστὰς ἐν Ἅιδου τῶν ψυχῶν καθῆσθαι, καὶ διὰ τούτων εἴδη ζωῆς δικαστικὰ σημαίνοντος. ἢ πῶς ἐκείνων διαζώντων τὸν τῇδε βίον αἱ ἐν Ἅιδου ψυχαὶ δίκης ἐτύγχανον; ἐκ γὰρ τούτων οἶμαι καὶ τῶν τοιούτων ἐναργὲς εἶναι πᾶσιν, ὅτι τοῖς ὀνόμασι τῶν ἡρώων εἰς ἔνδειξιν ἐν τοῖς μύθοις χρῆται τῶν εἰδῶν ὅλων τῆς ζωῆς, ἐν οἷς ἐκεῖνοι διαφερόντως τὸν βίον διεξήγαγον, καὶ διὰ τοῦτο ἐκεῖ μὲν τὰς δικαστικὰς ψυχὰς ἀντὶ τῶν παντοίων παρείληφεν δικαστικῶν τάξεων θείων τε καὶ δαιμονίων, ἀφ' ὧν ὡς ἔοικεν ἐγίγνωσκον οἱ κοινωνοὶ τῶν λόγων καὶ ὑπὲρ ὧν οὐκ ᾔδεσαν, διδάσκων ἀπὸ τῶν μερικῶν καὶ κατὰ σχέσιν ἀντὶ τῶν ὁλικῶν καὶ καθ' ὕπαρξιν δικαστῶν· ἐνταῦθα δὲ τὰς μουσικὰς ἀντὶ τῶν ὁμοίων ἐν τῷ παντὶ μουσικῶν ψυχῶν, τὰς ἐγνωσμένας ἀντὶ τῶν ἀγνώστων, τὰς ἀπαθεῖς ἀντὶ τῶν ἐμπαθῶν.

in R.2.314 ὡς εἰ σαφῶς ἔλεγεν ὅσα αἰνίσσεται διὰ τούτων, ἰδεῖν ἂν εἶπεν οἵαν τὴν Ὀρφέω ς , οἵαν τὴν Θαμύρου ψυχὴν διὰ δή τι πάθος εἰς κύκνους καὶ ἀηδόνας εἰσπηδῶσαν. καὶ τί τὸ πάθος, ἀπὸ τῆς ἑτέρας τούτων ἐνδεικνύμενος μίσε ι , φησίν, τοῦ γυναικείου γένου ς , ἵνα μὴ ἐκ γυναικὸς γένηται βίον ἀνθρώπινον ἑλομένη, διὰ δή τι μῖσος εἰς κύκνον ᾤχετο, καὶ μουσικῆς ἔχουσα

δυσαπαλλάκτως καὶ τὸ ἀνθρώπειον ἐκκλίνουσα γένος. καὶ ὁ Θαμύρας δὲ μουσικός, ἀλλὰ διὰ τὴν πρὸς τὰς Μούσας φιλοτιμίαν πηρὸς γενόμενος· ἄλλως οὖν ἡ διὰ τούτου δηλουμένη ψυχή, μουσικὴ μέν, πέρα δὲ τοῦ μέτρου φιλότιμος, ἐπέδραμεν ταῖς ἀηδόσιν, αἵ τε θαμὰ τρωπῶσιν ἐὴν πολυηχέα φωνὴν καὶ ᾄδουσαι νύχιαι διατελοῦσι καλλωπιζόμεναι ταῖς ἑαυτῶν ποικίλαις καὶ ἐναρμονίοις φωναῖς. Ἀποχρῆσθαι μὲν τοίνυν ἔοικεν τῷ κατὰ τὸν Ὀρφέα μύθῳ δηλοῦντι τὴν ἐξῃρημένην αὐτοῦ μουσικὴν ἀπὸ τῆς θηλυπρεποῦς καὶ ὄντως κεχαλασμένης—ἔνθεος γὰρ ἦν, εἰ καὶ μετὰ τὴν ἐκείνου τελευτὴν μεμερισμένως αὐτῆς μετέσχον (ὃ διὰ τῶν σπαραγμῶν οἱ μῦθοι δηλοῦσιν) καὶ τὸ κεφάλαιον αὐτῆς ἡ Λέσβος ὑπεδέξατο (τοῦτο 〈ὃ〉 δὴ κεφαλὴν Ὀρφέως προσειρήκασιν), ὅθεν καὶ ὄνομα ἔσχεν ἡ Λεσβία Μοῦσα καὶ τὸ μετὰ Λέσβιον ᾠδὸν εἰς παροιμίαν ἐξενίκησεν—, ἀποχρώμενος δὲ ἀντὶ τῆς ὑπεροψίας τῶν ἐκτεθηλυσμένων μελῶν ἀπέχθειαν πρὸς τὸ θῆλυ πᾶν λαβών, ἐμπαθῆ ποιήσας μουσικὴν ψυχὴν πρὸς ἀνθρωπίνην φύσιν καὶ ζωήν, μεθιστάνειν πᾶσαν τοιάνδε, κἂν ᾖ μουσική, ζωὴν εἰς ἀλογίαν, οὔτε ἔξω μουσικῆς ἣν ἐπετήδευεν, οὔτε ἀνθρωπίνην ἣν ἐξέκλινεν.

in R.2.315 οὐκ ἄρα οὐδὲ ὁ μουσικὸς βίος σῴζει τὴν ψυχὴν ἄνευ ἀπαθείας, ἀλλὰ καθάπερ ὁ ἐρωτικός, καὶ οὗτος ἀνάγει μετὰ φιλοσοφίας· πάθος δὲ ὑποσυμμιγὲς αὐτῷ γενόμενον ἀλόγοις συνάπτει ζῴοις μουσικοῖς. Ταῦτα μὲν οὖν περὶ ψυχῶν ἀνθρωπίνων, μουσικῶν μέν, οὐκ ἄνευ δὲ πάθους, πρὸς τὴν ἀνθρωπίνην ἀπεχθανομένων φύσιν· δεῖ γὰρ ὡς ἔοικεν ἀσχέτου ζωῆς ταῖς μὴ πεσουμέναις εἰς ἀλογίαν. εἰ δὲ καὶ κύκνος εἰς ἀνθρώπινον βίον μεθίστατο ἢ καὶ ζῷα ἄλλα μουσικά, πολλὰ δὲ τὰ τοιαῦτα, παντὶ δήπου δῆλον, ὅτι ψυχαὶ μὲν ἦσαν ἐν τούτοις ἀνθρώπιναι, πάλιν δὲ ἐπανῆεσαν εἰς τὴν ἑαυτῶν τάξιν ἀπὸ τῶν χειρόνων οἰκήσεων. οὐ γὰρ ἥ γε μή ποτε ἰδοῦσα τὴν ἀλήθειαν εἰς τόδε ἥξει τὸ σχῆμ α , φησὶν ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης [p. 249b], οὐ πᾶσαν τὴν ἐν τοῖς ἀλόγοις ζωὴν μετοικίζων εἰς ἀνθρώπους, ἀλλὰ τὴν ἐξ ἀνθρώπων εἰς ἀλογίαν ἐκπεσοῦσαν. οὐκοῦν ἐν τούτοις μουσικῶν εἰσι ψυχῶν μεταβάσεις ἐκ λογικῶν εἰς ἄλογα, καὶ αὖ ἐξ ἀλόγων εἰς λογικὰ ζῷα.

in R.2.316 καὶ φανερὸν ὡς, εἰ λόγος κρατήσας εἰς ἄνθρωπον ἤγαγεν, πάθος πλεονάσαν εἰς ἀλογίαν ἀπέωσεν. καὶ λεγέσθω πᾶσα μὲν ψυχὴ μουσικὴ Ὀρφέως ἢ Θαμύρου τινός, ἀπὸ τῶν μάλιστα μουσικῶν λαβοῦσα τὴν ἐπωνυμίαν· πάθος δὲ αἴτιον ἄμουσον καὶ ἀφιλόσοφον τῆς εἰς ἄλογα ζῷα πορείας. Διττῆς δὲ οὔσης μουσικῆς, τῆς μὲν ἐνθέου τῆς δὲ ἀνθρωπικῆς, καὶ τῆς μὲν ἐν Ὀρφεῖ τεθεωρημένης τῆς δὲ ἐν Θαμύρᾳ (Καλλιόπης μὲν γὰρ ἐκεῖνος υἱὸς διὰ τὴν ἔνθεον Μοῦσαν, πηρὸν δὲ τοῦτον ἔθεσαν αἱ Μοῦσαι διὰ τὴν ἄμιλλαν τῆς ἀνθρωπίνης μουσικῆς παρὰ τὴν θείαν), ἑκατέραν πάθει χραινομένην εἰς ἀλογίαν ἄγει, καὶ τὰς ἐνθέῳ μουσικῇ καὶ τὰς ἀνθρωπίνῃ χρησαμένας· ὡς ἄνευ φιλοσοφίας μηδὲ τὰ δοκοῦντα εἶναι δαιμόνια σῴζει τὰς ψυχὰς (μόνη γὰρ αὕτη προξενεῖ τὴν ἀπαθῆ ζωήν), καὶ μουσικὴ δὲ καὶ ἐρωτικὴ καὶ πᾶς ἄλλος βίος πάθους μέτοχος ὢν ἀλογίᾳ συνάπτειν πέφυκεν. φιλοσοφεῖν μὲν γὰρ οὐδὲν δύναται τῶν ἀλόγων, μουσικὴν δὲ φυσικὴν ἴδοις ἂν καὶ ἐν ἐκείνοις καὶ ἐναβρύνεταί γε ταῖς ᾠδαῖς ἐκείνων πολλὰ μᾶλλον ἢ ἄνθρωποι. μέτεστι γὰρ αἰσθήσεως καὶ ἐκείνοις, μουσικὴ δὲ καὶ ἐρωτικὴ προσχρῶνται ταῖς ἀκροτάταις τῶν αἰσθήσεων· φιλοσοφία δὲ πάλαι καταψηφίζεται πάσης αἰσθήσεως, ὡς οὔτε ἀκούομεν ἀκριβὲς οὐδὲν οὔτε ὁρῶμεν ἀπελέγχουσα καὶ διαμαρτυρομένη, λόγον δὲ πείθουσα μόνον ἡγεμόνα προΐστασθαι καὶ νοῦν. ὥστ' εἰκότως αὕτη γε μόνη ῥύεται τῶν εἰς τὴν ἀλογίαν φερουσῶν ὁδῶν. Τίνα μὲν οὖν τρόπον ἀκούειν χρὴ καὶ τῶν ὀνομάτων τούτων καὶ τῶν πλασμάτων, ἱκανῶς ὑπεμνήσαμεν, λέγω δὲ τοῦ Ὀρφέως, τοῦ Θαμύρου, τοῦ Αἴαντος, τοῦ Ἀγαμέμνονος, ὅλως τῶν ἡρωικῶν ψυχῶν. τοσοῦτον δὲ τοῖς ἔμπροσθεν προσθετέον, οἷς περί τε Ὀρφέως εἴπομεν καὶ Θαμύρου, περὶ τῶν λοιπῶν, ὡς ἡ μὲν Αἴαντος ψυχὴ πᾶσαν δηλοῖ ζωὴν ἀνδρικὴν μέν, πλεονάζουσαν δὲ κατὰ τὸν θυμὸν διὰ δή τινα φιλόνεικον ψυχῆς ἕξιν, καὶ διὰ ταύτην ἐνδυομένην εἰς ἀνδρικὸν μὲν ζῷον, ἄλογον δέ (τὸ γὰρ

φιλόνεικον προσκείμενον τῷ ἀνδρικῷ συνάπτει πρὸς ἀλογίαν)· ἡ δὲ τοῦ Ἀγαμέμνονος βασιλικὸν μὲν ἐπιδιώκουσαν αἰνίσσεται βίον ἐξῃρημένον τῶν πολλῶν (τοιοῦτος γὰρ ὁ βασιλεύς), διὰ δὲ πάθος ἕτερον, μῖσος πρὸς ἀνθρώπους, εἰς ἀετὸν μετοικιζομένην· Δίιος γὰρ καὶ ὁ ἀετὸς καὶ ἐν ὕψει πετόμενος καὶ βασιλεύων τῶν πτηνῶν, λόγου δὲ ἄμοιρος· διὸ πρὸς τὸ ὅμοιον ἡ τοιάδε ψυχὴ χωροῦσα τὸν ἀετοῦ βίον ἀλλάττεται καὶ τυ .

in R.2.317 .. 14 ... ερόμενος ἠλογωμένος ἦ[ν. Ἡ δὲ τῆς] Ἀταλάντης ψυχὴ καὶ τοῦ Ἐπειοῦ μεταμπ[ίσχεσθ]ον, ἣ μὲν ἀπὸ γυναικὸς εἰς ἀθλητικόν [τινα βίο]ν ἀνδρός· καὶ γὰρ ἐν γυναιξὶν οὖσα τὴν ἀνδρικὴν ἐπεδίωκεν ζωήν· ὃ δὲ ἀπὸ ἀνδρὸς εἰς γυναικεῖον τεχνικόν· καὶ γὰρ εἰς ἄνδρας τελῶν τεχνικὸς μὲν ἦν, ὅς γε καὶ τὸν ἵππον ἐτεχνήσατο, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ [Od. θ 493], ζωῆς δὲ ἀνδρικῆς ἄμοιρος, ὅς γε καὶ φησίν· ἢ οὐχ ἅλις ὅττι μάχης ἐπιδεύομαι [Il. Ψ 670]; μέτεισι τοίνυν εἰς τὸ προσῆκον ἣ μὲν εἰς τὴν ἀνδρωνῖτιν, ὃ δὲ εἰς τὴν γυναικωνῖτιν. καὶ ἔστιν ταῦτα ζωῆς εἴδη κατὰ τὴν ἀνθρωπίνην ζωὴν ἄνω τε καὶ κάτω διαβάλλοντα· διὸ καί φησιν ἐν μέσοις λαχεῖν αὐτὰ τὴν τάξιν, ὡς τῆς μεσότητος οὐκ ἐξιστάμενα τῆς ἀνθρωπίνης. εἰ δὲ δὴ τὴν Αἴαντος εἰκοστὴν εἶπεν λαχεῖν, δηλούτω μὲν εἰ βούλει διὰ τῆς εἰκοσάδος τὴν κατὰ θυμὸν ζωὴν προσεχῶς ἐκβᾶσαν ἀπὸ τῆς κατὰ λόγον, τῷ μὲν λόγῳ τῆς δεκάδος πρεπούσης, ὥσπερ τῷ νῷ τῆς μονάδος, τῷ δὲ θυμῷ τῆς εἰκοσάδος ὡς μετὰ λόγον τεταγμένῳ (τοιαῦτα γὰρ ὁ ἡμέτερος φιλοσοφεῖ περὶ τούτων πατήρ)· δηλούτω δὲ καὶ ὅσα φησὶν ὁ Πορφύριος παρ' Αἰγυπτίων μαθόντα τὸν Πλάτωνα περὶ τῶν ἀναφορικῶν χρόνων ἐνδείκνυσθαι διὰ τούτων, ὡς ἄρα κατὰ τὰς ἀναφορὰς τῶν τοὺς βίους ὁριζόντων χρόνων εἰκοστὴν εἶχεν τάξιν ἡ τοῦ Αἴαντος αὕτη ψυχή, καὶ τοῦτο ἀποβλέπων εἰς τὸ πᾶν ὁ τῶνδε τῶν λόγων ἄγγελος ἠρίθμει τὴν τάξιν, λέγω τῶν ψυχῶν τῶν πρώτων ἢ δευτέρων ἢ εἰκοστῶν ἢ ἄλλως ὁπωσοῦν αἱρουμένων.

in R.2.318 Καὶ γὰρ ἡμεῖς ἐνετύχομεν σφαίραις βαρβαρικαῖς Αἰγυπτίων καὶ Χαλδαίων κατὰ τὰς μοίρας τοῦ ζωδιακοῦ τὰς τῶν βίων διαφορὰς ὁριζούσαις, καὶ τὴν μὲν ποιούσαις εἰ τύχοι βασιλικήν, τὴν δὲ ἑξῆς, ὃ καὶ παράδοξον ἀκοῦσαι, ἐμπορικήν τινα καὶ ταύτης χείρονα τῆς ζωῆς, καὶ ἄλλην ἱερέως, καὶ τὴν μετ' αὐτὴν δούλου, καὶ τὸ τοῦδε χεῖρον, ἀπηρυθριακότος πρὸς τὴν ἄρρενα φύσιν. ὥστ' οὐδὲν θαυμαστὸν καὶ τὰς συγκλήρους ψυχὰς τὸ πρωτεῖον ἔχειν καὶ μέσον καὶ ἔσχατον κατὰ τὰς ἀναφορὰς τῶν μοιρῶν, εἴπερ καὶ αἱ διαφοραὶ τῶν βίων κατ' αὐτάς, ὡς αἱ εἰρημέναι σφαῖραι διασημαίνουσιν· ὧν μίαν τινὰ Κυρατος ἐπιγραφομένην εὕρομεν, καὶ ἄλλην εἰς ἄλλον ἀναφερομένην πατέρα τῶν λόγων, πάσας δέ, ὅπερ ἔφην, τὸν βίον ταῖς τῶν μοιρῶν ἀφοριζούσας ἰδιότησιν, ὡς τοῦ ποιοῦ τοῦ κατὰ τοὺς βίους ἀποτελουμένου διὰ τοὺς τῶν ἀστέρων πρὸς τὴν μοῖραν συσχηματισμούς. Τούτοις τοίνυν ἑπομένως ἡ τοῦ γελωτοποιοῦ Θερσίτου ψυχὴ πίθηκον ἐνεδύετο, φησίν [p.

in R.2.319 620c]. γελωτοποιὸς μὲν οὖν ἦν Θερσίτης, ὅ τι οἱ εἴσαιτο γελοίιον Ἀργείοισιν [Il. Β 215], λέγων· τὸν δὲ πίθηκον ἐνδύεται διὰ τὴν τοῦδε τοῦ ζῴου φύσιν καταγέλαστον ὄντως οὖσαν τῷ μιμεῖσθαι τὴν ἀνθρώπου ζωήν, ἀλλ' ἐπὶ τὸ αἴσχιον. ἅπας οὖν μετὰ τοῦ αἰσχροῦ καὶ ἀσθενοῦς γελοῖος ὢν πιθηκόμορφός ἐστιν, ὥσπερ λεοντόμορφος ὁ ἀνδρικὸς μετὰ φιλονείκου καὶ θυμικοῦ πάθους, καὶ ἀετόμορφος 〈ὁ〉 βασιλικὸς μετὰ τῆς πρὸς τὸ ἀνθρώπινον γένος ἐμπαθείας· καὶ ἐφ' ἑκάστων τρόπος ὁ αὐτός, τὰ μὲν εἴδη τῆς ζωῆς λαμβάνων ἀπὸ τῶν ἡρωικῶν ψυχῶν, τὰ δὲ ἀπὸ τῆς ἱστορίας ἔθη προστιθ[είς. εἰ οὖν] ἐκεῖνοι μὲν μετὰ τὰς ἐκ τῶν σωμάτων ἐξόδους ἀπαλλαγέντες χωριστὴν ἔσχον ζωὴν γενέσεως, οἱ δὲ ὅμοιον μὲν ἐκείνοις ἔχοντες τὸ τῆς ζωῆς εἶδος, τοῖς δὲ πάθεσιν ἐνισχόμενοι, τοιούτοις ζῴοις ἀλόγοις ἐνῳκίσθησαν, μόνον οὐχὶ βοᾶν οἰητέον τὸν παρόντα μῦθον· 'μὴ τὰ δοκοῦντα εἶναι ἀγαθὰ μετὰ παθῶν, ὦ ψυχαί, μετέρχεσθε· τοῦτο γὰρ ὑμᾶς εἰς ἀλογίαν κατάξει, παρ' ᾗ φυσικῶς ἐστιν ταῦτα καὶ ἐμπαθῶς, οἷον τὸν μουσικὸν εἰς ἄλογον μουσικήν, τὸν ἀνδρικὸν εἰς ἄλογον ἀνδρίαν, τὸν βασιλικὸν εἰς

ἄλογον βασιλείαν, καὶ ποιήσει κύκνους, λέοντας, ἀετούς· ἔστι γὰρ ταῦτα καὶ ἀλόγως ἔχειν καὶ λογικῶς, ποιεῖ δὲ ἀλογίαν ἐμπαθὴς ζωή, καὶ ἀνθρωπίνην ἀπαθήσ‘. Ὅτι δὲ οἱ εἰρημένοι βίοι πάντες συνᾴδουσι τοῖς ἐν Φαίδρῳ [p. 248de] βίοις, εὔδηλον. καὶ γὰρ ὁ μουσικὸς ἦν ἐν ἐκείνοις καὶ ὁ βασιλικὸς καὶ ὁ πολεμικὸς καὶ ὁ τεχνικὸς καὶ ὁ γυμναστικὸς καὶ ὁ μιμητικός, οἷον ἐπεδίωκεν ὁ τὸν πίθηκον ἐνδυόμενος ἐπὶ τὸ αἴσχιον, ὡς Ἐπειὸς τὸν τεχνικόν, ὡς ἡ Ἀταλάντη τὸν γυμναστικὸν καὶ οἱ λοιποὶ τῶν εἰρημένων τοὺς λοιπούς.

in R.2.320 Ἐν ἐσχάτοις τοίνυν ἡ Ὀδυσσέως ψυχή (ληπτέον δὲ καὶ ταύτην εἶδος εἶναί τι ζωῆς ἐνδεικνυμένην ὥσπερ τὰς ἄλλας ἐκείνας, τὸ ἔμφρον ἐν ταῖς τῶν βίων αἱρέσεσιν), αὕτη τοίνυν ἰδοῦσα βίον ὑπὸ τῶν ἄλλων ἠμελημένον, ἐσχάτη δὲ λαχοῦσα, φησὶν αὐτός, διὰ τύχην, ἧς ἔργον τὸ συντάττειν ἡμᾶς πρὸς τὸ πᾶν, ταύτην οὖν ἔχουσα τοῦ κλήρου τὴν τάξιν ὅμως διὰ φρόνησιν εἵλετο βίον ἄριστον, πόνων λελωφηκυῖ α , φησίν, καὶ φιλοτιμίας · ἀποδ[εικνὺς τὴν ὑπεροχὴν ταύτης τῆς] ψυχῆς· οὕτω γοῦν αὐτὸς [εἶπε λελωφηκυῖαν φιλοτ ι]μίας ὁ Πλάτω ν , ὡς ἀπὸ τῆς φιλοτιμουμένης ἐπὶ τὸ ἄνω πορευόμενος τῆς κατὰ γνῶσιν λελειμμένης· ἑλέσθαι δ’ οὖν τὴν τοιαύτην ψυχὴν τὸν ἄριστον ἐκ τῶν ἐνόντων, οὐκ ἀπερισκέπτως ἑλομένην, ἀλλὰ ζητοῦσαν ἐκ τῶν λοιπῶν (τοῦτο δὲ ὡς ἂν πλειόνων ἔτι ὄντων) τὸν ἀμείνω, καὶ περιιοῦσαν· ὃ δὴ σημαίνει τὴν μεταβατικὴν τοῦ λογισμοῦ τῆς διανοίας ἐνέργειαν· κρίνασαν δ’ οὖν τὸν ἰδιώτου καὶ ἀπράγμονος βίον ἄριστον ἑλέσθαι τότε τὸν τοιοῦτον (ἀντιδιῄρηται δὲ ὁ μὲν ἰδιώτης πρὸς τὸν τυραννικὸν καὶ ὅλως ἀρχικὸν καὶ φιλότιμον, ὁ δὲ ἀπράγμων πρὸς τὸν ἐπίπονον· εἴρηται γὰρ ὅτι πόνων ἐλελωφήκει καὶ φιλοτιμίας)· ἑλομένην δὲ τὸν τούτων ἀπηλλαγμένον εἰπεῖν, ὅτι τοῦτον ἂν εἵλετο τὸν βίον καὶ πρὸ ⟦ τοῦ ⟧ τῶν ἄλλων τυχοῦσα κλήρου. Καὶ πάλιν ὑπομνηστέον ὅτι τοῦτο δείκνυσιν, ὡς ἄρα οἱ κλῆροι περιέχουσιν οἱ πρότεροι τοὺς δευτέρους, καὶ ὅσοι μὲν τοῖς δευτέροις βίοι προτίθενται, καὶ τοῖς προτέροις, οὐ μέντοι καὶ ἀνάπαλιν· ὡς ἐξ ἀφθονωτέρων καὶ πλειόνων τοῖς ἀεὶ προτέροις κληρουμένοις τῆς αἱρέσεως ὑπαρχούσης.

in R.2.321 οὐ γὰρ ἂν ἡ Ὀδυσσέως ψυχὴ τοῦτον εἶπεν ἑλέσθαι ἂν βίον, 〈ὃν〉 εἵλετο ἐσχάτη κληρωθεῖσα τῶν ἄλλων, εἰ μὴ καὶ οὗτος ὁ βίος ἐν τοῖς τῶν προτέρων περιείχετο κλήροις. ἀπὸ ταύτης δ’ οὖν τῆς αἱρέσεως οὕτω γενομένης πιστὸν ἐποίησεν τὸν τοῦ προφήτου λόγον εἰπόντος· καὶ τελευταίῳ ἐπιόντ ι , σὺν νῷ ἑλομέν ῳ , κεῖται βίος ἀγαπητὸς οὐ κακός [p. 619b]· καὶ δῆλον ὅτι γίνεται μὲν ἐν τῷ παντὶ … 30 … μὲν … 30 … τούτω … 17 … οὐ μὴν ἀλλὰ καὶ ὡς σωφρονιστικὰ ταῦτα διεσκεύασται τοιῶσδε τῶν ψυχῶν, φρόνησιν δεικνύντα τῆς φαινομένης εὐπορίας αἱρετωτέραν, ὅταν ταῦτα μερίζηται ἀπ’ ἀλλήλων. 〈ἡ〉 μὲν γὰρ εἰς εὐδαιμονίαν οἶδεν ἄγειν, ἡ δὲ οὐκ ἐξ ἀνάγκης, εἰ μὴ καὶ φρόνησις εἴη περὶ τὰς αἱρέσεις. Τούτοις τοίνυν ἐπήγαγεν, ὃ δὴ λοιπόν ἐστι τῆς διαιρέσεως, ὅτι καὶ εἰς ἄλληλα τὰ ἄλλα ζῷα μεταβάλλει, τὰ μὲν ἄδικα εἰς τὰ ἄγρι α , τὰ δὲ δίκαια εἰς τὰ ἥμερα [p. 620d]. λείπεται τοῦτο μετὰ τὰς μεταβολὰς τὰς ἐξ ἀνθρώπων εἰς τὰ ἄλογα καὶ ἐκ τῶν ἀλόγων εἰς ἀνθρώπους, οἷος ὁ κύκνος ἔμπροσθεν, οἷα τὰ πρὸ τούτων, ἐν οἷς ἔλεγεν, ὅτι καὶ ἐκ τῶν ἄλλων θηρίων εἰς ἀνθρώπους γίνονται μετατάξεις [p. 620a], καὶ δὴ καὶ τὰς ἐξ ἀνθρώπων εἰς ἀνθρώπους, ὡς τοῦ Ἐπειοῦ καὶ τῆς Ἀταλάντης· ἃς διὰ τοῦτο εἶπεν ἐν μέσοις λαχεῖν ὡς ἐν τῇ μεσότητι τῆς ἀνθρωπίνης ζωῆς στρεφομένας καὶ τῷ ἐξ ἄρρενος εἰς θῆλυ ἢ τῷ ἐκ θήλεος εἰς ἄρρεν ἰέναι διενεγκούσας. Τούτων γὰρ ῥηθέντων ἐλείπετο καὶ τὴν ἐσχάτην εἰπεῖν μεταβολὴν τὴν ἐκ θηρίων εἰς θηρία γενομένην, ἣν τελευταίαν καὶ αὐτὸς προσέθηκεν, διορίζων καὶ ἐπὶ τούτων, ὅτι τὰ μὲν ἄδικα τῆς ζωῆς εἴδη μετέβαλλεν εἰς τὰ ἀγριώτερα, τὰ δὲ δίκαια εἰς τὰ ἡμερώτερα· καὶ ἐπὶ πᾶσιν ἐπήνεγκε τοῖς εἴδεσιν τῶν μεταβολῶν, καὶ πάσας μίξεις μίγνυσθαι τὰς ζωάς, πέρας ἐπιτιθεὶς τῇ ὅλῃ διαιρέσει τῶν βίων κοινόν.

in R.2.322 πᾶσα δὲ μῖξις ἢ ἐκ τῶν ὁμοίων εἰς τὰ ὅμοια (καὶ τοῦτο διχῶς, ἐκ λογικῶν εἰς λογικὰ καὶ ἐξ ἀλόγων εἰς ἄλογα) ἢ ἐξ ἀνομοίων εἰς ἀνόμοια, καὶ τοῦτο πάλιν διχῶς, ἢ ἐξ ἀλόγων εἰς λογικὰ [μετι]ουσῶν τῶν ψυχῶν ἢ ἐκ λογικῶν εἰς ἄλογα. [ταῦτα] μὲν οὖν [ἤδη] δῆλα διὰ τῶν

ἔμπροσθεν ἡμῖν γέγονεν. Ἃ δὲ τελευταῖα προσέθηκεν, σκεπτέον, ὅταν λέγῃ τὰ ἄδικα εἰς τὰ ἄγρια καὶ τὰ δίκαια μεταβάλλειν εἰς τὰ ἥμερα, πότερον ἀλόγων εἶναι τῷ ὄντι μετοικίσεις ψυχῶν εἰς ἄλλα ζῷα ἄλογα, οἷον κυνείας ψυχῆς εἰς ἵππειον ζῷον μετιούσης, ἢ καὶ ταύτας ψυχῶν μὲν ἀνθρωπίνων, μετενδυομένων δὲ ἀπὸ ἀλόγων εἰς ἄλογα, καὶ ἀπὸ μὲν τῶν ἀδικωτέρων ζῴων, οἷον ἰκτίνων καὶ λύκων καὶ ὅσα ἁρπακτικά, εἰς τὰ ἄγρια μεθισταμένων, οἷον ὅσα ἰοβόλα, ἃ δὴ παντελῶς ἐστιν ἀνήμερα· ἀπὸ δὲ τῶν δικαιοτέρων, οἷον πελαργῶν καὶ τοιούτων ἄλλων, εἰς τὰ ἥμερα, οἷον μελίσσας καὶ μύρμηκας, ἃ δὴ πολιτικὰ γένη καὶ ἥμερα προσεῖπεν αὐτὸς ἐν τῷ Φαίδωνι [p. 82b], τὰ μὲν βασιλικῆς τὰ δὲ οἰκονομικῆς ἔχοντα ζωῆς ἴχνος. Τούτων δὴ προκειμένων εἰς ζήτησιν λέγωμεν, ὅτι καὶ ταύτας τὰς μεταβολὰς οὐκ ἀλόγων ψυχῶν ἀλλὰ ἀνθρωπίνων οἴεσθαι δεῖ λέγεσθαι παρὰ τοῦ Πλάτωνος, καὶ περὶ τούτων εἶναι μόνων ἁπλῶς σύμπαντα τὸν περὶ τῶν μετενσωματώσεων αὐτῷ λόγον. τοῦτο δὲ ἡμεῖς ἐκ πολλῶν ἀποδείξομεν. πρῶτον μὲν γὰρ ὁ τοῦ προφήτου λόγος οὐ πρὸς ἀλόγους, ἀλλὰ πρὸς λογικὰς ἦν ψυχάς· γελοῖον γὰρ ἀλόγοις λέγειν Ἀνάγκης θυγατρὸς κόρης Λαχέσεως ὅδε λόγο ς , καὶ οὐχ ὑμᾶς λήξεται δαίμω ν , ἀλ λ ’ ὑμεῖς δαίμονας αἱρήσεσθ ε , καὶ αἰτία ἑλομένο υ , θεὸς ἀναίτιος [p.

in R.2.323 617de], καὶ τελευταίῳ ἐπιόντ ι , σ [ὺν νῷ ἑλομέν ῳ , κ]εῖται βίος ἀγαπητό ς , ο [ὐ κακός [p. 619b]· ταῦτα γὰρ μά]την ἂν κατέτεινεν πρὸς τὰς φ[ύσιν οὐκ ἐ]χούσας ἐπαΐειν οὐχ ὅτι τῶν ἀπὸ νοῦ προϊόντων λόγων, ἀλλ’ οὐδὲ ὅλως λόγων ψυχὰς οὐδὲ σὺν νῷ τι δυναμένας αἱρεῖσθαι καὶ πράττειν. ἔπειτα ὅτε διώριζεν αὐτός, πῶς δεῖ ποιεῖσθαι τὰς αἱρέσεις, καὶ ἔλεγεν ψυχῆς τάξιν μὴ ἐνεῖναι [p. 618b], σαφῶς ὡς περὶ λογικῶν διελέγετο ψυχῶν· ταύτας γὰρ ἠξίου μὴ ἐκπλήττεσθαι ὑπὸ δυνάμεων καὶ ὑπὸ πλούτων καὶ εὐγενειῶν, ἀλλὰ κρίσιν ἐφιστάνειν τοῖς βίοις καὶ σκοπεῖν τὸν εἰς εὐδαιμονίαν ἄγειν μᾶλλον δυνάμενον ἐκ τῶν προτεινομένων· ἐν τούτοις δὴ πᾶσιν καὶ τοῖς τοιούτοις δῆλος ὢν οὐ περὶ ἀλόγων ἀλλὰ περὶ λογικῶν μόνον διαταττόμενος ψυχῶν· ποία γὰρ ἔκπληξις ἢ κρίσις πλούτου καὶ πενίας καὶ δυνάμεως καὶ ἀδυναμίας καὶ τῆς ἐν τούτοις μεσότητος ἐν ἀλόγοις; τρίτον τοίνυν μετὰ τὸ συμπληρῶσαι τοὺς περὶ τῶν μεταβολῶν λόγους πάντας κατάγων λοιπὸν εἰς τὴν γένεσιν πάσας ἀκούσωμεν, ὅσα φησίν [p. 620d]· ἐπειδὴ δ ’ οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ᾑρῆσθα ι , πάσας ἰέναι πρὸς τὴν Λάχεσιν καὶ τὸν δαίμονα δέχεσθαι παρ’ αὐτῆς φύλακα καὶ ἀποπληρωτή ν , φησίν. εἰ οὖν πᾶσαι μὲν ᾕρηνται, ψυχαῖς δὲ ἀλόγοις αἵρεσις οὐκ ἔστιν (οὐδὲ γὰρ προαίρεσις), δῆλον ὡς οὐκ ἦσαν ἐν ταῖς εἰρημέναις μεταβολαῖς ἀλόγων μετοικίσεις, ἀλλὰ ἀνθρωπίνων εἰσὶν πᾶσαι ψυχῶν τὰς μετενδύσεις ἐκείνας ποιουμένων, καὶ ἀπ’ ἀρχῆς εἰς τέλος περὶ ἐκείνων ἐστὶν ὁ λόγος.

in R.2.324 Μὴ οὖν ζητῶμεν καὶ ἄλογα ζῷα πῶς εἰς ἄλογα ἄλλα μέτεισιν, ἀλλὰ μένωμεν ἐπὶ τῶν λογικῶν ψυχῶν. τὸ γὰρ αὐτεξούσιον καὶ τὸ ἐφ’ ἡμῖν ἐν λογικαῖς ἐστι ζωαῖς· ὡς καὶ ὁ Ἀθηναῖος ξένος εἶπεν [legg. X p. 904b] ταῖς ἡμετέραις ψυχαῖς τὸν θεὸν τοῦ πο[ιοῦ] δοῦναι τὴν ἐξουσίαν, ταύτας δὲ κυρίας οὔσας τοῦ μεταβάλλειν ἑαυτὰς κατὰ τὸ χεῖρον ἢ βέλτιον ὑπὸ τῆς εἱμαρμένης εἰς ἄλλην καὶ ἄλλην τάττεσθαι χώραν, ἐν ᾗ ταχθεῖσαι πᾶσαι νικῶσαν μὲν ἀρετὴν ἐν τῷ κόσμῳ παρέξονται, κακίαν δὲ ἡττωμένην. Ὅτι δὲ καὶ ἀνθρώπιναι ψυχαὶ μετίασιν ἀπ’ ἄλλων ἀλόγων ζῴων εἰς ἄλλα, δεδήλωκεν καὶ ἡ καθ’ ἡμᾶς ἱστορία καὶ μικρὸν πρὸ ἡμῶν. Νεστόριος γοῦν ὁ μέγας ἀνὴρ ἱερατικὸς εἰς τὴν Ῥώμην ἀφικόμενος γυναικὸς μιᾶς τῶν εὐπαρύφων μόλις ἐξειπεῖν ἐθελησάσης, θρηνούσης δὲ ἐπὶ τῇ μνήμῃ τῶν ἔμπροσθεν βίων αὐτὸς ἀκοῦσαι λέγεται περὶ ἑαυτῆς ἱστορούσης, ὡς ἄρα ἐν περιόδοις προτέραις ἐν Ἀδασμάστῃ τῆς Ἀττικῆς ἐγεγόνει παιδισκάριον καπήλοις τισὶν ὑπηρετοῦν, λήθῃ δὲ ὑπερβαλλούσῃ κατείχετο τῶν ἀεὶ προσταττομένων ὑπὸ τῶν χρωμένων, καὶ ἀπεκλάετο τὴν λήθην, ὥσπερ ὅτε ταῦτα ἔλεγεν τὴν μνήμην· συμμῖξαι οὖν αὐτήν τινι φάσματι καὶ αἰτῆσαι μνήμην καὶ αἰτήσασαν λαβεῖν, καὶ λαβοῦσαν πάντων ἑξῆς τῶν ἐκεῖθεν διαμνημονεύειν. γενέσθαι οὖν αὐτὴν ὡς ἐμέμνητο μετ’

ἐκεῖνον τὸν βίον κυνὸς ψυχήν, καὶ ἀχθεσθεῖσαν μετὰ τὴν σύνερξιν ὦσαι τὸν κύνα ἐκ τέγους τινός, ἀπαλλαγῆναι βουλομένην τοῦ δεσμοῦ· καὶ τῆς ἀδίκου πράξεως εἰς τὸν κύνα δίκην τίνουσαν εἰς ὄφιν ἐλθεῖν, καὶ ἐκεῖνον κτεῖναι δυσχεράνασαν τὴν ψύχωσιν, ἐκτείνασαν αὐτὸν ἁμάξης κινουμένης ἔμπροσθεν τῆς ἁμάξης· κἀκεῖνον μὲν κατατμηθέντα ἀπολέσθαι, μετὰ δὲ ἐκεῖνον ἄρκτον γενομένην καὶ τὸν εἱμαρμένον χρόνον τῷ ζῴῳ συμβιοῦσαν εἰς ἄνθρωπον ἐλθεῖν.

in R.2.325 ἐκείνην μὲν οὖν καὶ τῆς μνήμης καὶ τῶν ἐπὶ τῇ μνήμῃ θρήνων ὁ Νεστόριος ἰάσατο θεοῖς χρησάμενος συνεργοῖς καὶ περὶ τοῦ μέλλοντος ἔχειν ἀμείνους ἐλπίδας ἐποίησεν· ἐκ δὲ τούτων χρὴ λαβεῖν, ὅτι καὶ ἀπ' ἄλλων ζῴων εἰς ἄλλα κατὰ δίκην γίνονται μεταστάσεις καὶ δι' ἀδικίαν εἰς ἀγριώτερα, καὶ ὡς ἔστιν καὶ ἐν ἀλόγοις ἀδικία καὶ δικαιοσύνη, καὶ πάντων δίκη καὶ νόμος ἔφορος. Ὅτι μὲν οὖν πάσας τὰς ἐν ταῖς αἱρέσεσι ταύταις μεταβολὰς ψυχῶν εἶναι δεῖ νομίζειν λογικῶν ἢ εἰς τὰ ὅμοια μεθισταμένων ἢ εἰς τὰ ἀνόμοια, καὶ ἢ ἐπὶ τὸ κρεῖττον ἢ ἐπὶ τὸ χεῖρον τὴν μεταβολὴν ποιουμένων, εἴρηται πρότερον, καὶ εἴληπται πάντα ἐκ διαιρέσεως ἡμῖν τὰ εἴδη τῆς ζωῆς. συλλογισώμεθα δὲ ὅσα ἕπεται τοῖς δεδειγμένοις. ὧν ἐστι πρῶτον τὸ τὰς εἰς τὰ ἄλογα ζῷα καθόδους μὴ εἶναι τῶν ἐξ οὐρανοῦ ψυχῶν εἰς γένεσιν ἰουσῶν. οὐδὲ γὰρ ἄνοδος ἡ εἰς ἐκεῖνον τὸν τόπον ἐκ τῶν ἀλόγων γένοιτο ἄν, ἀλλ', ὡς εἴρηκεν αὐτός [p. 619c], 〈τῶν〉 καὶ ἄνευ φιλοσοφίας ἢ καὶ νοῦ τό γε ἐν τεταγμένῃ πολιτείᾳ βεβιωκέναι πάντως ἐχουσῶν. οὕτως γὰρ καὶ ἔσται πάλιν εἰς τὸ ὅμοιον ἡ μετοίκισις, ἀπὸ τεταγμένης παρ' ἀνθρώποις πολιτείας εἰς τὴν ἐν τῷ κόσμῳ τεταγμένην πολιτείαν· τοιαύτη δὲ ἡ τῶν κατ' οὐρανὸν περιιόντων, ὅπου 〈μήτε ἀδικεῖ μηδὲν〉 μήτε ἀδικεῖται, πάντα δὲ ἐν κόσμῳ φέρεται καὶ τάξει καὶ ζῇ μετ' ἀλλήλων τὴν κοινὴν ζωήν, καὶ ἕκαστον τὴν ἑαυτοῦ παρέχεται συμπλήρωσιν εἰς τὸ ὅλον, τὰ ἑαυτοῦ πρᾶττον, καὶ ἓν ἐπιτήδευμα ἔχει πρόχ[ειρον. μί]α γὰρ ἰδέα [τῆς] τεταγμένης ἐστὶν πολιτείας· ὡς καὶ τῆς πολιτείας ταύτης ἐν οὐρανῷ τὸ παράδειγμα ὁ Σωκράτης ἔλεγεν τετάχθαι τῆς ἀρίστης [IX p.

in R.2.326 592b]. χωροῦσιν οὖν εἰς οὐρανὸν οὐκ ἀπὸ τῶν ἀλόγων αἱ ψυχαὶ ζῴων· πορρωτάτω γὰρ ταῦτα τῶν οὐρανίων ζῴων τῶν νοῦν μιμουμένων τὰ ἄμοιρα λόγου, τῶν κύκλῳ κινουμένων τὰ εἰς γῆν κύπτοντα, τῶν ἀεὶ τεταγμένων τὰ ἀεὶ τῇ αὐτῶν φύσει ἄτακτα, τῆς μεταβολῆς πανταχοῦ δι' ὁμοιότητα γινομένης. Εἰ δὲ ἡ εἰς οὐρανὸν ἄφιξις οὐκ ἀπὸ ἀλόγου γίνεται οἰκήσεως, ἀλλ' ἀπὸ τεταγμένης πολιτείας, ὡς αὐτός φησιν, οὐδὲ τὸ ἀνάπαλιν τῶν ἐξ οὐρανοῦ κατιουσῶν εἰς ἄλογα ζῷα γένοιτο ἂν μετάστασις ἐκεῖθεν. καὶ γὰρ τοῦτο διώρισεν αὐτός, ὅτι κατὰ συνήθειαν τῶν ἔμπροσθεν βίων γίγνονται ταῖς ψυχαῖς αἱ αἱρέσεις [p. 620a]· ποία δὲ συνήθεια συγγενὴς πρὸς ἀλογίαν ἐστὶν πολιτείας ἀνθρωπίνης τεταγμένης; ἐπεὶ καὶ τὸ τυραννίσιν ἐπιτρέχειν διὰ τὰ κράτη τῶν οὐρανίων ἐγγέγονεν ταῖς ἐξ οὐρανοῦ κατιούσαις· καὶ τοῦτο ἐκ συνηθείας τῆς περὶ τὰ οὐράνια, τὸ δὲ ὅλως εἰς ἄνθρωπον χωρεῖν 〈ἐκ〉 τῆς ἀπ' ἀνθρώπων εἰς τὸν οὐρανὸν ἀφίξεως· μίξασαι οὖν ἀνθρωπίνην πολιτείαν καὶ δύναμιν κρατητικὴν εἰς ὄρεξιν τῆς τυραννικῆς κατέστησαν ζωῆς, ἀφελοῦσαι μὲν τῆς ἀνθρωπίνης πολιτείας τὸ τεταγμένον, ὅπερ ἐποίησεν αὐτὰς τῆς ἐν οὐρανῷ λήξεως τυχεῖν, τῆς δὲ ἐν οὐρανῷ δυνάμεως ἀγνοήσασαι τὸ κατὰ νοῦν, διότι καὶ ἄνευ νοῦ πεποίηντο τὴν ἄνοδον· τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον γνωστόν. Ὅτι μὲν οὖν τὰς οὐρανόθεν κατιούσας εἰς γένεσιν εἰς ἄλογα ζῷα χωρεῖν ἀδύνατον, δῆλον· ἑπόμενον δὴ τὰς ἐκ τῶν ὑπογείων τόπων τοῦτο τὸ πάθος ὑπομένειν, διὰ μὲν τὰ ἐν Ἅιδου δράματα καὶ μάλιστα τὰ περὶ τὸν Ἀρδιαῖον ἐκτρεπομένας τοὺς τυραννικοὺς βίους, φερομένας δὲ ὅμως ὡς αὐχμοῦ καὶ κόνεως μεστὰς εἰς τὰς χθονίας ζωὰς καὶ τὴν ἀλογίαν δηλον.

in R.2.327 Πῶς δὲ ἄρα διεγίγνωσκεν ὁ θαυμαστὸς τούτων ἄγγελος, ὅτι βεβιωκυῖαι πρότερον ἦσαν αἵδε αἱ ψυχαὶ λογικῶν ζῴων βίον ἢ ἀλόγων; τὰς μὲν γὰρ παρούσας αὐτῶν αἱρέσεις ἑώρα, καὶ εἰς αὐτὰς βλέπων καὶ εἰς τὸ πᾶν τοιῶνδέ τινων βίων οἰστικὸν ὑπάρχον· τὰς δὲ πρὸ τῆς χιλιέτους

περιόδου ζωὰς αὐτῶν, ἀφ' ὧν εἰς τὰς τότε παρούσας ᾔεσαν, πῶς ἑώρα; καὶ πόθεν εἶχεν φράζειν, ὡς αἳ μὲν ἐξ ἀνθρώπων εἰς κύκνους ᾔεσαν καὶ ἀηδόνας, αἳ δὲ ἐξ ἀλόγων εἰς ἀνθρώπους, ὡς αἱ ἀπὸ κύκνων εἰς ἀνθρώπους, αἳ δὲ καὶ ἐξ ἀλόγων εἰς ἄλογα, καθάπερ αἱ ἐκ θηρίων εἰς θηρία μετενδυόμεναι; Μήποτε οὖν ἀληθὲς μὲν καὶ τὸ σὸν δὴ τοῦτο, ὦ φίλε ἑταῖρε, καὶ διηγουμένων ἀκοῦσαι ταῦτα τὸν Ἦρα τῶν ψυχῶν (καὶ γὰρ εἴρηται τοῦτο πρότερον [p. 614e], ὅτι καὶ ἠσπάζοντο ἀλλήλας ὅσαι γνώριμαι καὶ διηγοῦντο τὰ σφῶν αὐτῶν, αἳ μὲν ὅσα ἴδοιεν ὑπὸ γῆ ς , αἳ δὲ τὰς ἐν οὐρανῷ πάσας εὐπαθείας · οὐδὲν οὖν θαυμαστὸν τὰς ἐκ τῶν ὑπὸ γῆς δικαιωτηρίων καὶ τοὺς 〈βίουσ〉 διηγεῖσθαι τοὺς ἔμπροσθεν, ἀφ' ὧν ὁρμηθεῖσαι τὴν περίοδον ἐκείνην ἀνέτλησαν)· ἀληθὲς δὲ καὶ τὸ τοῖς πνευματικοῖς αὐτῶν περιβλήμασιν ἐκφαίνεσθαι τοὺς τύπους καὶ τὰς μορφὰς ἔτι τῶν προτέρων βίων, εἰ μὲν 〈ἐν〉 ἀνθρώπου εἴδει ἐβεβιώκεσαν, ἀνθρωποειδεῖς, εἰ δὲ ἐν ἀλόγων, ἐκείνοις παραπλησίας· οὐχ ὡς ἐνδυομένων τῶν ψυχῶν τὰ σώματα καὶ τυπουμένων ὑπ' αὐτῶν εἰς τὴν ἑκάστου μορφήν, ἀλλ' ὡς διὰ τὴν τοῦ λόγου προβολὴν καὶ τὸ πνεῦμα τὸ ἑαυτῶν τυπουσῶν εἰς τὴν ὁμοίαν τοῖς ζῴοις σκιαγραφίαν. καὶ γὰρ αἱ φαντασίαι ποικίλας περὶ τὸ πνεῦμα παρέχονται τοῦτο μορφὰς συνεξαλλαττόμενον αὐταῖς καὶ συνδιατιθέμενον· ἢ πῶς οἰόμεθα καὶ ἐν τοῖς φάσμασιν πολλάκις ἐν ὀλίγῳ χρόνου διαστήματι τὸ αὐτὸ φαίνεσθαι πολύμορφον καὶ φωνὰς ἐκπέμπειν οἰκείας τοῖς σχήμασιν τοῖς φανταζομένοις, ἢ ὑπὸ τῆς φαντασίας μετασχηματιζόμενον ἕκαστον καὶ τοῖς μορφώμασιν οἰκείως συμφθεγγόμενον; οὐδὲν οὖν ἀπεικὸς δήπουθέν ἐστιν, καὶ τῶν ψυχῶν τὰ ὑλικὰ περιβλήματα σῴζειν τὸν τύπον τοῦ ἔμπροσθεν βίου, καὶ κατὰ τοῦτον οἷον ἐσκιαγραφημένον ἐν αὐτοῖς τῷ θεωμένῳ δηλοῦν, ἀφ' οἵων ἥκουσι ζῴων· μέχρις ἂν ἄλλου προβολὴ λόγου τοῦτον μὲν ἀφανίσῃ, τὸν δὲ προσήκοντα τῇ τοῦ παρόντος δυνάμει καὶ προκεχειρισμένου συμμεταμορφώσῃ, μετὰ τοῦ καὶ τὸ πᾶν εἰς τὴν ἐκείνου διάθεσιν συνεργεῖν καὶ φυλάττειν τὸν πρότερον καὶ τυποῦν τὸν δεύτερον, κατὰ τὴν οἰκείαν ἑκάτερον περίοδον.

in R.2.328 Τοῦτο μὲν τοίνυν οὑτωσὶ φήσομεν καὶ τῷ ἀγγέλῳ τοῦδε τοῦ μύθου γενέσθαι γνώριμον, ἐξ οἵων ἥκουσι ζῴων αἱ ψυχαί, λογικῶν ἀλόγων, εἰς τὴν ἑπομένην γένεσιν. Ἴσως δὲ ἄν τις ἀπορήσειεν, πῶς τῆς ἀπὸ γενέσεως ἐπὶ γένεσιν πρὸ ἀποκαταστάσεως τῶν ψυχῶν τελέας χιλιέτους οὔσης πορείας ὁ τῶν θεαμάτων τούτων ἄγγελος ἰδεῖν φησιν τὴν Ὀρφέως ψυχὴν καὶ τὴν Αἴαντος καὶ τὰς ἄλλας εἰς γένεσιν ἐρχομένας, αἷς οὐκ ἴσος ἦν χρόνος τοῦ τε παρόντος βίου καὶ τοῦ προτέρου καὶ ὅλως οὐδεμιᾶς χιλιοστύος· ταῦτα γὰρ οὐκ ἔστι συγκλώθειν, τόν τε τῶν χιλίων ἐτῶν ἀριθμὸν καὶ 〈τὸ〉 ψυχὰς τὰς μὴ ἅμα βεβιωκυίας εἰς δευτέραν γένεσιν ἄγειν ὁμόχρονον καὶ συγκλήρους ποιεῖν. Ἡμεῖς μὲν οὖν καὶ τὸν τῆς χιλιάδος ἀριθμὸν ὅπως ἀκούειν δεῖ συμβολικῶς καὶ τὰ ὀνόματα τῶν ἡρωικῶν ψυχῶν προείπομεν· καὶ κατὰ ταύτας τὰς ἐπιβολὰς οὐδέν ἐστιν ἐναντίον, εἴπερ ὃ μὲν εἶδός τι ζωῆς δηλοῖ περιοδικῆς, τὰ δὲ βίων διαφορὰς ὁμοίων ἐκείναις ταῖς ψυχαῖς, ἀλλ' οὐκ αὐτὰς ἐκείνας οὐδὲ μαθηματικὸν ἀριθμὸν τὸν χίλια .

in R.2.329 Δεῖ δὲ μηδὲ τὴν τῶν πρὸ ἡμῶν τινος ἐπιβολὴν ἀποκρύψασθαι, Ναυμάχιον λέγω τὸν Ἠπειρώτη ν , οὗ καὶ πρότερον ἐμνήσθην τὰς ἱστορίας παρατιθέμενος τῶν ἀναβίωσιν ἐχόντων ἃς ἐκεῖνος ἤθροισεν. περὶ γὰρ δυεῖν προβλημάτοιν εἰς τόνδε τὸν μῦθον μονόβιβλον συγγραψάμενος, περί τε τῆς ἀναβιώσεως καὶ περὶ τοῦ π[ῶς δεῖ λῦσαι τὴν] εἰρημένην ἀπορίαν, ἀξιοῖ πρὸς 〈τὸ〉 δεύτερον ἁπάντων, τὸν ἄγγελον τῶν θεαμάτων τούτων θειοτέραν ἀλλαξάμενον ζωὴν τῆς μετὰ τοῦ σώματος οὕτως ὁρᾶν τὰς ψυχὰς τὰς αἱρουμένας τοὺς βίους ὡς οἱ κρείττους ἡμῶν, τὸν δαιμόνιον τρόπον. ὥσπερ οὖν οἱ θεοὶ καὶ τὰ μήπω παρόντα ⟦ καὶ ⟧ ὁρῶσιν ὡς ἤδη παρόντα καὶ τὰ μὴ ἅμα ὄντα ὡς ἅμα (πάντα γὰρ ἐκείνοις ἅμα), τὸν αὐτὸν τρόπον καὶ τὸν Ἦρα κατὰ τὸ ἐν ἑαυτῷ θεῖον καὶ τὰς οὐχ ἅμα κατιούσας ψυχὰς ὡς ἅμα κατιούσας θεᾶσθαι (τοιαύτην γὰρ εἶναι πᾶσαν τὴν θείαν νόησιν καὶ τὴν ἐν ἡμῖν)· ταύτας δὲ θεᾶσθαι καὶ οὐκ ἄλλας ὡς ἔχοντά τινας

περὶ αὐτῶν ἐννοίας· καὶ τοῦτο μὲν ὡς ψυχὴν πάσχειν τὸ ἀφ' ὧν ἔχει τὴν περὶ ψυχῶν ἁπλῶς θεωρίαν ποιεῖσθαι, τὸ δὲ ὡς παρόντα ὁρᾶν τὰ μὴ παρόντα καὶ ἅμα τὰ μὴ ἅμα ὡς θείως ἐνεργοῦσαν. Τοσαῦτα μὲν ὁ Ναυμάχιος ἐξηυπόρησεν εἰς λύσιν τῆς προτεθείσης ἀπορίας. Τριῶν δὲ ἡμῖν δεδειγμένων ἐν τούτοις, ἑνὸς μὲν ὅτι ψυχῶν εἰσι λογικῶν αἱ μεταβολαὶ πᾶσαι μόνων ἢ ἀπ' ἀνθρώπων εἰς ἄλογα μετιουσῶν ἢ ἀνάπαλιν ἢ ἀπ' ἀρρένων εἰς θήλεα ἢ ἀνάπαλιν ἢ ἀπ' ἀλόγων εἰς ἄλογα, δευτέρου δὲ ὅτι αἱ εἰς ἄλογα μετοικήσεις τῶν ἀπὸ γῆς εἰσιν ψυχῶν, ἀλλ' οὐ τῶν ἐκ τοῦ οὐρανοῦ προελθουσῶν, τρίτου δὲ ὅπως ἐγνώριζεν ὁ τούτων ἄγγελος τῶν θεαμάτων τὰς ἐξ ἀνθρωπίνων βίων ἢ ἐξ ἀλόγων ὡρμημένας· καὶ δεδειγμένων πάντων οὐκ ἀπιθάνως ἕπεται τρία μετὰ ταῦτα συγγενῆ τούτοις διασκέψασθαι προβλήματα καὶ τὰ δοκοῦντα περὶ αὐτῶν εἰπεῖν· ὧν ἓν μέν ἐστιν, εἰ πᾶσαν ψυχὴν εἰς γένεσιν κατιοῦσαν εἰς ἄλογα ζῷα κατιέναι δυνατόν, ἢ ἔστιν γένος ψυχῶν τῆς τοιαύτης ἄδεκτον ἀποπτώσεως· ἕτερον δὲ εἰ πᾶν ἄλογον ζῷον ἔχει ψυχὴν ἐφεστῶσαν λογικὴν ἔξωθεν, καὶ οὐκ ἄλλως ψυχοῦσθαι καὶ ταῦτα δυνατὸν ἢ διὰ ψυχῆς λογικῆς δυναμούσης τὴν ἐν αὐτοῖς ψυχὴν ἐνοῦσαν· τρίτον δὲ εἰ διὰ πάντων ἀλόγων ζῴων ἡ κάθοδός ἐστι τῶν λογικῶν ψυχῶν κατὰ τὴν Πλάτωνος ψῆφον, καὶ εἰ μέχρι τούτων μόνων.

in R.2.330 Τούτων δὲ τῶν τριῶν τὸ μὲν πρῶτον ζητοῦντες οὐδαμοῦ τὸν Πλάτωνα σαφῶς διορίζοντα τὰς πιπτούσας εἰς ἀλογίαν ψυχὰς καὶ ἀπτώτους εὕρομεν ἀπ' ἀλλήλων, πᾶν δὲ τοὐναντίον ἐνδεικνύμενον, ὡς ἄρα πάσας οἴεται τοῦτο πάσχειν τὸ πάθος. καὶ γὰρ ἐν Τιμαίῳ [p. 42c] πρὸς πάσας ὁ δημιουργὸς τὰς ψυχὰς λέγων τοὺς εἱμαρμένους νόμους τὴν ἁμαρτοῦσαν εἶπεν ἥξειν καὶ εἰς θήρειον φύσιν, μὴ διελόμενος ὅτι τισίν ἐστι τοῦτο προσῆκον ψυχαῖς καὶ οὐ πάσαις· καὶ ἐν Φαίδρῳ [p. 248c sq.] τὴν μὲν φιλοσοφήσασαν εἰς τὸ αὐτό φησιν ἀφικνεῖσθαι, τρὶς ἑλομένην τὸν βίον τοῦτον, τὰς δὲ ἄλλας μετὰ τὸν πρῶτον βίον χωρεῖν καὶ εἰς ἄλογα ζῷα πιπτούσας, οὐχὶ γένει ψυχῶν ἀλλ' εἴδει ζωῆς ἀποδοὺς τὴν τοιαύτην πτῶσιν, ὡς καὶ τῆς φιλόσοφον βίον ἑλομένης, εἰ μὴ ἀδόλως φιλοσοφήσειεν, ταὐτὰ ταῖς ἄλλαις πάσχειν οὐκ ἀπεγνωσμένης παρ' αὐτῷ· καὶ ἐν αὐτῷ μέντοι τῷδε τῷ μύθῳ [p.

in R.2.331 618b] ψυχῆς τάξιν οὐκ ἐνεῖναι προείρηκεν διὰ τὸ ἄλλον αἱρεῖσθαι βίον, καὶ οὐδ' ἐνταῦθα τινὸς ψυχῆς ἔφη μὴ ἐνεῖναι τάξιν, ἀλλὰ ψυχῆς ἁπλῶς. ὥστ' ἐξ ἁπάντων τούτων εἶναι συλλαβεῖν πᾶσαν αὐτὸν ψυχὴν ὑπομένειν τὴν μεταβολὴν ταύτην μὴ ἀπογιγνώσκειν. Εἰ δὲ δὴ τὰς ἡρωικὰς ψυχὰς ἐξηλλάχθαι τῶν καλουμένων ἀνθρωπίνων κατ' οὐσίαν ὑπείληφεν, εἰκάζειν ἔξεστιν, ὅτι ταύτας ⟦ τὰσ ⟧ μέχρις ἀνθρώπων κατάγει, καθάπερ τὰς ἀνθρωπίνας μέχρι θηρίων. Ὅτι δὲ ἐκεῖνο Πλατωνικόν ἐστιν, λάβοις ἂν ἔκ τε τῶν ἐν τῇ πραγματείᾳ ταύτῃ [III p. 391d] ῥηθέντων πρὸς τοὺς μυθοπλάστας καὶ ἐπιτιμηθέντων, ὡς ἀνθρώπων τοὺς ἥρωας οὐδὲν βελτίους ποιοῦντας καὶ ἐπ' ἐκείνους πάθη προσήκοντα ἀνθρώποις ἀναπέμποντας, καὶ ἐξ ὧν ἐν Κρατύλῳ [p. 397d sq.] τῶν δαιμόνων καὶ τῶν ἀνθρώπων ἐν μέσῳ τὸ τῶν ἡρώων ἔταξεν φῦλον, ⟦ καὶ ⟧ ὡς οἱ δαίμονες τῶν ἡρώων ὑπέρτεροι κατὰ τὴν οὐσίαν, οὕτω τοὺς ἥρωας τῶν ἀνθρώπων ὑψηλοτέρους θέμενος· καὶ ἐπὶ τούτοις ἀπὸ τῶν ἐν Νόμοις διωρισμένων [IV p. 717b], ἐν οἷς ὡς θεῶν ἱερὰ καὶ θυσίας καὶ δαιμόνων, οὕτως καὶ τῶν θεῶν παίδων ἐδοκίμασεν σέβειν τοῖς ἑαυτοῦ τροφίμοις, ἐφεξῆς τάττων θεοὺς δαίμονας ἥρωας ἀνθρώπους, ὁσίας ἐξηλλαγμένας καὶ ψυχῶν γένη τέτταρα ποιῶν, θεῖον δαιμόνιον ἡρωικὸν ἀνθρώπινον, καθάπερ καὶ ἐν Κρατύλῳ [p. 397c—399c] τὰ ὀνόματα αὐτῶν ἐπισκοπῶν διώρισεν. εἰς γὰρ ταῦτα καὶ τὰ τοιαῦτα συχνὰ ὄντα ἀποβλέψας τις εἰκάσειεν ἄν, ὅτι τὰς ἡρωικὰς ψυχάς, ἃς ἀποκαλεῖ παῖδας θεῶν, οὐ κατάγει καὶ εἰς θήρειον φύσιν ὡς τὰς ἀνθρώπων (οὐδὲ γὰρ ἂν ἔτι τῇ οὐσίᾳ διαφέροιεν, ὁμοπαθεῖς οὖσαι τῶν ἀνθρωπίνων ὀνομαζομένων ψυχῶν), ἀλλ' εἰς ἀνθρώπων βίους, ὥσπερ τὰς δαιμονίας οὐδ' εἰς ἀνθρώπων βίους ἀπτώτους οὔσας εἰς γένεσιν.

in R.2.332

Ἔοικεν δὲ καὶ τὰ πράγματα τοῖς λόγοις τούτοις συμβαίνειν. δεῖ γοῦν πανταχοῦ ταῖς μεσότησι συμπληροῦσθαι πᾶσαν τῶν ὄντων σειράν· ὡς οὖν ἐπὶ τῶν σωμάτων οὐκ ἀπὸ τῶν ἀιδίων εὐθὺς τὰ πάμφθορα τὴν γένεσιν ἔσχεν, ἀλλὰ τὰ μεταξὺ τούτων ἀίδιά τε ὄντα καὶ οὐκ ἀίδια, καθάπερ τὰ στοιχεῖα τὰ ὑπὸ σελήνην, οὕτως ἄρα καὶ τῶν ψυχῶν οὐκ ἀπὸ τῶν ἀεὶ ἄνω μενουσῶν αἱ πᾶσαν ὑπομένουσαι πτῶσιν ὑπέστησαν, ἀλλὰ μέσαι τούτων 〈αἱ〉 πίπτουσαι μέν, ἐπιστρέφουσαι δὲ εἰς τὰς ἀρχάς, πρὶν εἰς βάθος πεσεῖν. εἰ δὲ ταῦτα κρατοίη, καὶ ὅσα ἐν Τιμαίῳ λέγει ὁ δημιουργός, καὶ ὅσα ἐν Φαίδρῳ γέγραπται περὶ τῶν πρώτας καθόδους ποιησαμένων ψυχῶν, καὶ τὸ ψυχῆς μὴ ἐνεῖναι τάξιν ἀνοίσομεν εἰς τὸν κοινὸν περὶ ἁπασῶν λόγον κατιουσῶν εἰς γένεσιν· ἐν γὰρ ταύταις εἶναι καὶ τὰς πιπτούσας ἐπ᾽ ἔσχατον, καὶ διὰ ταύτας συνείρειν αὐτὸν τὰ ἑπόμενα ταῖς ποικίλαις αἱρέσεσιν, καὶ τοὺς περὶ τῶν δευτέρων καὶ τρίτων βίων τύπους εἰς ταύτας ὁρᾶν, ἀλλ᾽ οὐκ εἰς πάσας τὰς κατιούσας ὁπωσοῦν ἐκεῖθεν δεῦρο ψυχάς. καὶ γὰρ ἐξ ὑποθέσεως λέγει τὰ ἐπακολουθοῦντα ταῖς ἁμαρτούσαις· εἴτε τινὲς εἶεν διὰ τὴν ἄχραντον ζωὴν ἀναμάρτητοι, ταύτας τῶν ἄλλων ἐξῃρῆσθαι ψυχῶν, εἴ 〈τε〉 τινὲς ποικίλων αἱρέσεων καθαρεύουσαι, τούτων εἶναι καὶ τοὺς βίους μονοειδεῖς. Τούτου μὲν δὴ τοῦ προβλήματος πέρι τοσαῦτα γράφομεν ἐφιστάντες. Ὅτι δὲ εἰς πᾶν ζῷον κατάγει τὴν λογικὴν καὶ ἀνθρωπίνην ψυχήν, δῆλον μέν ἐστι καὶ ἐξ ὧν ἐν τῷ μύθῳ τούτῳ προείρηκεν [p.

in R.2.333 618a], ὅτι βίοι πάντων ἦσαν ζῴων προκείμενοι ταῖς ψυχαῖς· εἰ γὰρ πάντων, ἔοικεν ἡ ψυχὴ πᾶσιν ἐγκαταδεῖσθαι ζῴοις, πτηνοῖς ἐνύδροις χερσαίοις· δῆλον δὲ καὶ ἀπὸ τῶν ἐν Τιμαίῳ [p. 91d sq.] ῥηθέντων, ἐν οἷς διὰ πάντων ἄγει τῶν ἀλόγων γενῶν τὰς ἐν ἀνθρώποις ἀφροσύνῃ συμβεβιωκυίας ψυχάς, ἡμέρων τε καὶ ἀγρίων. καὶ ἔοικεν τῆς εἰς φυτὰ μόνα πτώσεως αὐτὰς ἐξαιρεῖν καὶ ταύτῃ τοῦ Ἐμπεδοκλέους διαφέρειν, ὅς φησιν καὶ θάμνος γενέσθαι ποτέ, καθάπερ οἰωνὸς καὶ ἐξ ἁλὸς ἔμπορος ἰχθύς · προσήκειν ἡγούμενος αὐτὸς τὴν ἀνθρωπίνην ψυχὴν μὴ εἰς τὰ πορρωτάτω τῆς ἀνθρωπίνης ἐξολισθάνειν ζωῆς, ἀλλ᾽ εἰς τὰ καὶ αἴσθησιν ἔχοντα τρανεστέραν διὰ τὴν λογικὴν ζωήν (ἧς εἰκὼν ἡ αἴσθησις), καὶ τὴν κατὰ τόπον κίνησιν διὰ τὴν αὐτοκινησίαν (ἧς εἰκὼν ἡ τῶν ζῴων κατὰ τόπον μάλιστα κίνησις). καὶ ὁρᾷς πάλιν τὴν συμφωνίαν τῶν δογμάτων· ὡς γὰρ τὰς ἡρωικὰς ψυχὰς ἄγει μέχρις ἀνθρώπων, ἀλλ᾽ οὐ μέχρις ἀλόγων, οὕτω τὰς ἀνθρωπίνας μέχρις ἀλόγων, ἀλλ᾽ οὐ μέχρι φυτῶν. ὅτι γὰρ οὐ κατὰ τὸν Ἐμπεδοκλέα καὶ αὐτὸς ἐνδεῖ καὶ φυτοῖς τὴν ψυχὴν τὴν ἀνθρωπίνην, δηλοῖ μὲν καὶ ὁ Τίμαιο ς , τὰς τῶν ζῴων γενέσεις ἀπὸ ταύτης πάσας διατιθείς, τὰ δὲ φυτὰ λέγων [p. 77a] ἄλλαις αἰσθήσεσιν κεραννύντας τροφῆς ἕνεκα τῶν ζῴων δημιουρ[γῆσαι τοὺς θεοὺς] καὶ μέτοχα ποιῆσαι τοῦ τρίτου [εἴδους] τῆς ψυχῆς, τῆς ἐπιθυμίας δήπου λέγων· δηλοῖ δὲ καὶ ὁ ἐν Φαίδωνι [p. 81c sq.] Σωκράτης, εἰς τὰ τῶν ζῴων γένη μεθιστὰς τὴν ἡμετέραν ψυχὴν ἄλλην εἰς ἄλλα κατ᾽ ἄλλο ζωῆς εἶδος, ἀλλ᾽ οὐκ εἰς φυτὰ καθάπερ ἐκεῖνος. Τούτων δὴ οὖν διηρθρωμένων ἡμῖν ἐπὶ τὸ τρίτον ἐλθόντες τῶν προκειμένων εἰς ζήτησιν εἴπωμεν, ὅτι τὸν μὲν Τίμαιον οὐκ ἄν τις ἀμφιβάλλοι λέγειν, ὅτι πᾶσι τοῖς ἀλόγοις ἀπὸ ψυχῶν ἐστιν εἰς αὐτὰ μετοικησασῶν ἐξ ἀνθρώπων ἡ ψύχωσις· δόξειεν δ᾽ ἂν ὁ ἐν Φαίδρῳ [p.

in R.2.334 249b] Σωκράτης καὶ ἕτερον αὐτῶν εἰδέναι τρόπον ψυχώσεως καὶ οὐκ ἀπὸ λογικῶν ψυχῶν μόνων, ὁπόταν λέγῃ καὶ ἐκ θηρίου ψυχὴν ἀφικνεῖσθαι πάλιν εἰς ἄνθρωπο ν , ὅς ποτε ἄνθρωπος ἦν · οὐ γὰρ ἥ γε μήποτε ἰδοῦσα τὴν ἀλήθεια ν , φησίν, εἰς τόδε ἥξει τὸ σχῆμα · σαφῶς καὶ αὐτός, ὥσπερ καὶ Ἀριστοτέλης [de anima I 3 p. 407b 22] ἀξιοῖ, διορίζων μὴ τὴν τυχοῦσαν ψυχὴν εἰς τὰ τυχόντα σώματα εἰσδύεσθαι καὶ κατατάττεσθαι ἐν αὐτοῖς καὶ συμπληροῦν ζῷον ἕν. τὴν μὲν γὰρ ἀνθρωπίνην ψυχὴν ἐν ἀλόγῳ γενέσθαι δυνατόν, ἔξωθεν σχετικῶς συνοῦσαν (ὅπου γε καὶ ἐν ἡμῖν δαίμονος σχέσιν πρὸς τὸ ζῷον ὁ Τίμαιος [p. 41cd] τῇ λογικῇ ψυχῇ δέδωκεν· πολλῷ δὴ οὖν τῷ ἀλόγῳ μᾶλλον ὡς δαίμων ἐφέστηκεν, διὰ τῆς ἀλογίας δηλον 〈ότι〉 αὐτῷ συναφθείς), τὴν δὲ ἄλογον ἐν κατατάξει μὲν γενέσθαι ἐν ἀνθρώπου σώματι

πάντως ἀδύνατον διὰ τὴν εἰρημένην αἰτίαν, τῇ ἀλόγῳ ζωῇ τοῦ ἀνθρωπείου σχήματος μὴ συμβαίνοντος (τοῦτο μὲν γάρ, φησὶν ὁ Τίμαιος [p. 90a], εἰς οὐρανὸν ἀνακρεμάννυσιν τὴν κεφαλὴν δεικνῦον ὡς ἔστι φυτὸν οὐκ ἔγγειον ἀλ λ ’ οὐράνιο ν , ἐκείνη δὲ κάτω βλέπει καὶ οὐδὲν ἔχει πρὸς οὐρανὸν ἀνανεῦον), ἔξωθεν δὲ ἐφεστάναι τῇ ἀνθρωπίνῃ ψυχῇ κατὰ σχέσιν, ὡς ταύτην τῷ ἀλόγῳ, φαμὲν ἀδυνατώτερον· ποῦ γὰρ λόγῳ τὸ ἄλογον ἔχει φύσιν ἐφεστάναι; Τοῦτο τοίνυν τοῦ Σωκράτους λέγοντος, ὅς ποτε ἄνθρωπος ἦν εἰς ἄνθρωπον μετιέναι, δόξειεν ἄν τις καὶ ἄλλος εἶναι ψυχώσεως τρόπος τῶν ἀλόγων ἀπὸ τῆς ἰδίας ἐκείνων ψυχῆς, ἀλλ’ οὐκ ἀπὸ τῆς ἀνθρωπίνης μόνης, ὥσπερ δοκεῖ λέγειν ὁ Τίμαιος.

in R.2.335 Οὐ μὴν ἀλλὰ καὶ τὴν τοῦ Σωκράτους δόξαν ἐπαναγαγεῖν δυνατὸν εἰς τὴν τοῦ Τιμαίου παράδοσιν—ἔστω γὰρ ἐν ἅπασι τοῖς ἀλόγοις ἀνθρωπίνη ψυχή, μετὰ δὲ ταύτης ἡ ἰδία τοῦ ἀλόγου ζῴου καὶ πρὸ ταύτης· αὕτη οὖν ἐπάνεισιν εἰς ἄνθρωπον ἡ ἐν σχέσει ψυχοῦσα τὸ ἄλογον, ἀλλ’ οὐχ ἡ ἐν κατατάξει (καὶ τοῦτο ἂν λέγοι καὶ ὁ Σωκράτης λέγων οὐ γὰρ ἥ γε μήποτε ἰδοῦσα τὴν ἀλήθειαν εἰς τόδε ἥξει τὸ σχῆμ α , τὴν μηδέποτε ἰδοῦσαν τὴν ἀλήθειαν ἐκείνην λέγων τὴν πρὸ τῆς ἀνθρωπίνης ψυχώσασαν τὸ ἄλογον καὶ ποιήσασαν ἐξ ἑαυτῆς καὶ ἐκείνης ζῷον ἓν ὅλον)—καὶ τὴν τοῦ Τιμαίου μέντοι κρίσιν εἰς τὴν πᾶσιν πρόχειρον τοῦ Σωκράτους δόξαν περὶ τῆς διττῆς ψυχώσεως· καὶ γὰρ εἰ εἰς πάντα ἄλογα ζῷα δυνατὸν χωρεῖν ψυχὴν ἀνθρώπου καὶ πάντα δι’ ἑαυτῆς ψυχοῦν, ἀλλ’ οὔπω λέγεται ὅτι καὶ μόνη ψύχωσις αὕτη τῶν ἀλόγων ἐστὶν ὑπὸ τοῦ Τιμαίου· κωλύει τοίνυν οὐδὲν δύο τρόπων ὄντων τῆς ψυχώσεως τὸν ἕτερον μὲν μόνον ἐκλέξασθαι τὸν Τίμαιον δι’ αἰτίας εὐλογίστους, ἃς εἴπομεν ἐν τοῖς εἰς τὸν Τίμαιον ἐκδεδομένοις, μηκέτι δὲ προσθέντα καὶ ὅτι μόνον οἴεται τοῦτον εἶναι ψυχώσεως τῶν ἀλόγων τρόπον, χώραν διδόναι καὶ ταῖς τοῦ Σωκράτους περὶ ἀμφοτέρων ἐνδείξεσιν. Ταύτῃ δὲ συμφωνεῖν δυναμένων ἀλλήλοις αὐτὸ καθ’ ἑαυτὸ τὸ δόγμα λοιπὸν θεωρίας ἐστὶν ἄξιον, εἴτε καὶ πᾶν ζῷον ἄλογον μόνως ψυχοῦται ἀπὸ τῆς ἀνθρωπίνης ψυχῆς, εἴτε καὶ ἔστιν ἄνευ ταύτης ἰδία τις τῶν ἀλόγων ψύχωσις. τὸ μὲν οὖν ἑκάστῳ τῶν ἀλόγων ζῴων παρεῖναι *** δόξειεν, ἵν’ ἔχοι τὴν προσεχῶς ἐμπνέουσαν αὐτὸ ζωήν, τῆς ἐν κατατάξει διὰ τὴν ἐν τῷ σώματι τῷ ‘ σκιδναμένῳ ‘ κατάταξιν αὐτῆς ἑαυτὴν συνέχειν ἀσθενούσης καὶ δεομένης ἄλλης ἔξωθεν τῆς ζῳογονεῖν αὐτὴν δυναμένης ἀποσβεννυμένην, ὥσπερ καὶ τὸ σῶμα ἐν ᾧ ἐστιν.

in R.2.336 τὸ δὲ αὖ εἶναί τινα ζῷα ἄλογα καὶ μὴ ὑπὸ ψυχῆς ἀνθρωπίνης ζῳογονούμενα πιστὸν διὰ τὸν τῆς μεσότητος λόγον· εἰ γὰρ τὰ μὲν φυτὰ τοῦ τρίτου μετέχει τῆς ψυχῆς εἴδους, ἄδεκτα ὄντα ψυχῆς ἀνθρωπίνης, τινὰ δὲ τῶν ἀλόγων ζῴων ὑπ’ ἀνθρωπίνης ψυχοῦται ψυχῆς, εἶναι δεῖ που καὶ τὰ μέσα τούτων, μετέχοντα μὲν πάσης τῆς ἀλόγου ζωῆς καὶ ταύτῃ κρείττονα τῶν φυτῶν ὄντα, χωρὶς δὲ ἀνθρωπίνης εἰς αὐτὰ παρούσης ψυχῆς ζῶντα καὶ ταύτῃ τῶν καὶ ἐκείνης μετεχόντων χείρονα· καὶ ταῦτα ἄλλοτε ἄλλα γίνεσθαι, καθάπερ καὶ τῶν ἀνθρώπων ἄλλοτε ἄλλοι δαιμονίας ἐπιπνοίας μετέχουσιν. τοῦτο μὲν οὖν ἐπιστάσεως ἄξιον· καὶ παραβλητέον τῷ τῆς μεσότητος λόγῳ τὸν ἀπὸ τοῦ δεῖσθαι τὰς τῶν ἀλόγων ψυχὰς τῆς ἀνθρωπίνης ψυχῆς εἰς τὸ συνέχεσθαι παρ’ αὐτῆς. μήποτε γὰρ τοῦτο μὲν καὶ ἀπὸ τῶν ἐφεστώτων αὐταῖς δυνατὸν ὑπάρχειν, ἄνευ δὲ μεσότητος ἢ οὐσίας ἢ ζωὰς ἢ γνώσεις ἀδύνατον παραγενέσθαι. καὶ δεῖ τινα καὶ ἀλόγων εἶναι ζῴων φύσιν ἰδίαν ἔχουσαν ψύχωσιν, ὥσπερ καὶ τῶν φυτῶν, καὶ τὴν ἀνθρωπίνην ψυχὴν ἁμαρτοῦσαν ἐνδύεσθαι τὴν ἐκείνων ζωὴν καὶ παρὰ φύσιν· οὐκ ἂν παρὰ φύσιν οὔσης τῆς μεταστάσεως, εἰ μὴ δυνατὸν ἦν ἄλλως ψυχοῦσθαι τὰ ἄλογα, καθ’ ἕνα δὲ μόνον τρόπον διὰ ψυχῆς ἀνθρωπίνης. οὐδὲν γὰρ ἐκ τοῦ παρὰ φύσιν μόνον ἀεὶ γίνεται κατὰ φύσιν· τὸ οὖν πάντα γεννᾶσθαι παρὰ φύσιν πλὴν ἀνθρώπου παντελῶς ἄτοπον. ὅτι δὲ παρὰ φύσιν ταῖς ἀνθρωπίναις ψυχαῖς ἡ εἰς τὰ ἄλογα μετάβασις, οὐ τὰ λόγια μόνον διδάσκει λέγοντα θεσμὸν ἀπαὶ μακάρων εἶναι τοῦτον ἄλυτο ν , τὴν ἀνθρώπου ψυχὴν αὖτις ἐ π ’ ἀνθρώπων περάαν βίο ν , οὐκ ἐπὶ

θηρῶν ὡς τῆς εἰς τὰ θηρία μετοικήσεως ἀθέσμου ζωῆς ἐκγόνου, οὔσης· ἀλλὰ καὶ Πλάτω ν , ἁμαρτουσῶν ψυχῶν εἶναι τὴν τοιαύτην ψύχωσιν τιθέμενος.

in R.2.337 ἄτοπον δὴ τὸ μόνην καὶ πᾶσαν τὴν τῶν ἀλόγων σύστασιν κατὰ φύσιν μὴ εἶναι, καὶ φυτῶν καὶ ἀνθρώπων κατὰ φύσιν γινομένων. τίνι γὰρ ἔσται κατὰ φύσιν; ταῖς ψυχαῖς; ἀλλὰ πᾶσαι παρὰ φύσιν ζῶσιν ἐν τοιούτοις οὖσαι σώμασιν· ἀλλὰ τοῖς σώμασιν; ἀλλ' οὐδὲ τούτοις κατὰ φύσιν, ψυχῶν οὖσιν ὀργάνοις παρὰ φύσιν αὐτοῖς χρωμένων· πᾶν γὰρ ὄργανον κατὰ φύσιν ἐστὶν τοῦ χρωμένου κατὰ φύσιν. εἰ δὲ δὴ καὶ δαιμόνων ἔστιν φῦλον ἄλογον καὶ οὐ πᾶν τὸ δαιμόνιον λογικόν—ἐπεὶ πῶς ἡ Διοτίμα φησὶν τὴν γοητείαν καὶ οὐ τὴν ἱερατικὴν μόνην γίνεσθαι διὰ τοῦ δαιμονίου γένους, εἰ μὴ πρὸς τῷ λογικῷ τι δαιμόνιον καὶ ἄλογον ἦν; (ὃ δὴ καὶ τὰ λόγια κυσὶν ἀπεικάζειν εἴωθεν καὶ πηρὸν ἀποκαλεῖν ὡς νοῦ καὶ διανοίας ἄμοιρον)—, πῶς οὐχὶ καὶ θνητὸν ἔστιν τι μόνως ἄλογον γένος ψυχῆς ἀνθρωπίνης ἀμέτοχον; οὐ γάρ που κἀκεῖνο φήσομεν ὑπὸ τοιαύτης γεγονέναι ψυχῆς ἀίδιον ὄν, οὐδὲ ἀιδίου γένους ἀλόγου καὶ ἄνευ ἀνθρωπίνης ὄντος ψυχῆς θνητὸν ἀδύνατον εἶναι τοιοῦτον φήσομεν. ἔτι δὲ ἑκάστην τῶν ἰδεῶν μὴ κατὰ τὴν ἑαυτῆς ἰδιότητα τῶν ζῴων εἴδη γεννᾶν, ἀλλὰ πάσας δεῖσθαι μιᾶς, πρὸς ἣν ἀντιδιῄρηνται, παντελῶς ἄτοπον. δεήσονται γὰρ αἱ τῶν ἀλόγων ζῴων ἰδέαι μιᾶς πᾶσαι τῆς ἀνθρώπου διὰ τὴν ἀνθρωπίνην ψυχήν, ἄνευ ταύτης ἵππον ἢ κύνα ἢ λέοντα γεννήσασθαι μὴ δυνάμεναι μηδ' ἄλλο τι ζῷον, εἰ δι' ἐκείνης πᾶσαι ψυχοῦσιν τὰ τῇδε ζῷα, τρόπον δὲ ἄλλον ἀδυνατοῦσι ποιεῖν κύνας καὶ ἵππους καὶ λέοντας καὶ ἕκαστα τῶν ἄλλων ζῴων.

in R.2.338 τί οὖν ἐστιν ὃ δὴ γεννῶσιν; τὸ μὲν γὰρ εἶδος ἐξ ἄλλης παραγίνεται τοῖς ζῴοις ἰδέας τῆς ἀνθρωπίνης· εἰ δὲ τὴν ὕλην ὑφιστᾶσι μόνην οἷον τὸ σῶμα τῶν ζῴων, οὐκέτι ζῴων ἔσονται ἰδέαι, ἀλλὰ ὕλης τῶν ζῴων, καὶ ταύτης ἀλλοτρίας τῶν εἰδῶν. οὐκ ἄρα μόνος οὗτός ἐστι τῆς τῶν ἀλόγων ψυχώσεως ὁ τρόπος, ἀλλὰ πρὸ τούτου πάντως τῶν ἰδίων ψυχῶν ἑκάστοις ἐστὶ γένεσις, πρὸ τοῦ παρὰ φύσιν τῆς κατὰ φύσιν ψυχώσεως οὔσης καὶ πρὸ τῆς μερικῆς τῆς κοινῆς πάντων τῶν ὁμοειδῶν· ταῦτα καὶ τῆς Ὀρφικῆς ἡμᾶς ἐκδιδασκούσης θεολογίας. ἢ οὐχὶ καὶ Ὀρφεὺς [fr. 222] τὰ τοιαῦτα σαφῶς παραδίδωσιν, ὅταν μετὰ τὴν τῶν Τιτάνων μυθικὴν δίκην καὶ τὴν ἐξ ἐκείνων γένεσιν τῶν θνητῶν τούτων ζῴων λέγῃ πρῶτον μέν, ὅτι τοὺς βίους ἀμείβουσιν αἱ ψυχαὶ κατὰ δή τινας περιόδους καὶ εἰσδύονται ἄλλαι εἰς ἄλλα σώματα πολλάκις ἀνθρώπων· οἱ δ ' αὐτοὶ πατέρες τε καὶ υἱέες ἐν μεγάροισιν εὔκοσμοί τ ' ἄλοχοι καὶ μητέρες ἠδὲ θύγατρες γίνον τ ' ἀλλήλων μεταμειβομένῃσι γενέθλαι ς . ἐν γὰρ τούτοις τὴν ἀπ' ἀνθρωπίνων σωμάτων εἰς ἀνθρώπινα μετοίκισιν αὐτῶν παραδίδωσιν. τοῦτο δὲ οὐδ' ἂν Ἀριστοτέλης ἀπαγορεύσειεν, εἴπερ ἀθανάτους τε εἶναι δίδωσιν τὰς ψυχὰς καὶ τῷ πλήθει πεπερασμένας καὶ τὸν κόσμον ἀίδιον· ὧν τὸ μὲν καὶ λέγει καὶ δείκνυσιν, ἀίδιον εἶναι τὸν κόσμον· τὸ δὲ ὁμολογεῖ σαφῶς, ὅταν λέγῃ περὶ τοῦ δυνάμει νοῦ· καὶ τοῦτο μόνον τῶν ἐν ἡμῖν ἀθάνατον · τὸ δὲ ἀναγκάζεται συγχωρεῖν, τὸ πᾶν ἀίδιον πλῆθος εἶναι πεπερασμένον. Ἔπειθ' ὅτι καὶ εἰς τὰ ἄλλα ζῷα μετάβασίς ἐστι τῶν ψυχῶν τῶν ἀνθρωπίνων, καὶ τοῦτο διαρρήδην Ὀρφεὺς [fr.

in R.2.339 223] ἀναδιδάσκει, ὁπηνίκα ἂν διορίζηται· οὔνε κ ' ἀμειβομένη ψυχὴ κατὰ κύκλα χρόνοιο ἀνθρώπων ζῴοισι μετέρχεται ἄλλοθεν ἄλλοις · ἄλλοτε μέν θ ' ἵππο ς , τότε γίνεται ..... . ἄλλοτε δὲ πρόβατο ν , τότε δ ' ὄρνεον αἰνὸν ἰδέσθα ι , ἄλλοτε δ ' αὖ κύνεόν τε δέμας φωνή τε βαρεῖ α , καὶ ψυχρῶν ὀφίων ἕρπει γένος ἐν χθονὶ δί ῃ . τούτοις μέντοι τὸν Ἀριστοτέλη συγχωρῆσαι παντελῶς ἀμήχανον· δεῖ γά ρ , φησίν [de anima I 3 p. 407b 25], τὴν μὲν ψυχὴν τῷ σώματι χρῆσθα ι , τὴν δὲ τέχνην τοῖς ὀργάνοις · τὰ δὲ ὄργανα τὰ ἀλλότρια ταῖς τέχναις εἶναι ἄχρηστα πάσαις. ταῦτα μὲν οὖν μυριόλεκτα· καὶ εἴρηται καὶ ἡμῖν περὶ αὐτῶν ἐν τοῖς τῆς παλινῳδίας ὑπομνήμασι ν , ὅπως ἐστὶν ἐλεγκτέα, διὰ πλειόνων. Ὅτι δὲ καὶ ἰδία τῶν ἀλόγων τίς ἐστιν ψύχωσις, ἀλλ' οὐκ ἀπὸ μόνων τῶν ἀνθρωπίνων ψυχῶν, δηλοῖ λέγων ὁ Ὀρφεύς [fr. 224]· αἱ μὲν δὴ θηρῶν τε καὶ οἰωνῶν πτεροέντων ψυχαὶ ὅ τ ' ἀίξωσ ι , λίπῃ δέ μιν ἱερὸς αἰώ ν , τῶν οὔ τις

ψυχὴν παράγει δόμον εἰς Ἀίδα ο , ἀλ λ ’ αὐτοῦ πεπότηται ἐτώσιο ν , εἰς ὅ κεν αὐτὴν ἄλλο ἀφαρπάζῃ μίγδην ἀνέμοιο πνοῇσιν · ὁππότε δ ’ ἄνθρωπος προλίπῃ φάος ἠελίοι ο , ψυχὰς ἀθανάτας κατάγει Κυλλήνιος Ἑρμῆς γαίης ἐς κευθμῶνα πελώριον · δι’ ὧν τὰς μὲν ἀνθρωπίνας ψυχὰς βούλεται χωρεῖν εἰς τὸν ὑποχθόνιον τόπον καθάρσεως ἕνεκα καὶ κολάσεως καὶ εἰς τὰ δεσμωτήρια τῆς τίσεως, τὰς δὲ τῶν ἀλόγων αὐτοῦ περὶ τὸν ἀέρα πωτᾶσθαι, μέχρις ἂν εἰς ἄλλα σώματα πάλιν ἐνδεθῶσιν.

in R.2.340 εἰ δ’ ἦσαν καὶ αἱ τῶν ἀλόγων ψυχώσεις ἀπὸ ψυχῶν ἀνθρωπίνων μόνων, πάσας ἔδει φάναι τὸν Ἑρμῆν εἰς Ἅιδου κατάγειν ἢ καθαρθησομένας ἢ κολασθησομένας· ὥσπερ καὶ Πλάτων ποιεῖ καὶ τὰς ἐκ τῶν ἀλόγων, ἀνθρωπίνας δὲ οὔσας ψυχὰς εἰς τὸν ὑπὸ γῆς τόπον ἀπάγων καὶ πάλιν ἐκεῖθεν στέλλων εἰς ἄλλας βίων αἱρέσεις, ἃ δὴ πρότερον ἐπεδείξαμεν. ἐπεὶ καὶ τὰ ἄλλα παρ’ Ὀρφέως ἐμυθολόγησεν λαβών, οἷον ὅτι ἐν τῷ Ἀχέροντι καθαίρονται καὶ τυγχάνουσιν εὐμοιρίας τινός [fr. 154]· οἱ μέν κ ’ εὐαγέωσιν ὑ π ’ αὐγὰς ἠελίοιο ο , αὖτις ἀποφθίμενοι μαλακώτερον οἶτον ἔχουσιν ἐν καλῷ λειμῶνι βαθύρροον ἀμ φ ’ Ἀχέροντ α , καὶ ὅτι κολάζονται ἐν τῷ Ταρτάρῳ· οἱ δ ’ ἄδικα ῥέξαντες ὑ π ’ αὐγὰς ἠελίοιο ὑβρισταὶ κατάγονται ὑπὸ πλάκα Κωκυτοῖο Τάρταρον ἐς κρυόεντ α . διὰ γὰρ τούτων σαφῶς τὰς Πλατωνικὰς διατάξεις περὶ τῶν ὑπὸ γῆς λήξεων φαίνεται προλαβών, ὥσπερ καὶ τὰς περὶ τῶν μετεμψυχώσεων. Εἰ δὲ ταῦτα ἑπόμενος Ὀρφεῖ διατάττει Πλάτων, ἆρ’ οὐ γελοῖόν ἐστιν (ἀφίημι γὰρ θεμιτὸν λέγειν) τὸν τῶν τοιούτων ἡγεμόνα δογμάτων, οἷς ἡ Πλάτωνος φιλοσοφία διαφέρει τῶν ἄλλων ἁπασῶν, εἰς ἄλογα ζῷα κατάγειν καὶ κύκνου ψυχὴν ποιεῖν [p. 620a]; οὗ καὶ τὴν περὶ τῶν θείων ὑφήγησιν αὐτὸς ἐν Τιμαίῳ [p. 40e] πιστὴν εἶναί φησιν καίπερ ἄνευ τε εἰκότων λόγων καὶ ἀποδείξεων λεγομένην, ὡς δι’ ἐνθεασμὸν εἰδότος μάλιστα τὰ τῶν θεῶν πατέρων ὄντων, εἴ τις ἔστιν τῆς θεογονίας τοῖς Ἕλλησιν πατήρ, ἣν αὐτὸς παραδοῦναι προθέμενος ἐπὶ τοὺς παραδόντας πρώτους ἀνάγει τὴν περὶ αὐτῆς ἀλήθειαν.

in R.2.341 Ἀλλὰ τοῦτο μὲν καὶ ἐν ἀρχῇ τῶν ἐξηγήσεων τῆς ῥήσεως ταύτης διὰ πλειόνων ἐξητάσαμεν· τέλος δὲ ἀρχῇ συνάψαντες τῶν ἑπομένων λοιπὸν ἀντιλαβώμεθα τοῦ μύθου ῥημάτων· Ἐπειδὴ δ ’ οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ᾑρῆσθα ι , ὥσπερ ἔλαχο ν , ἐν τάξει προσιέναι πρὸς τὴν Λάχεσιν ἕως τοῦ ἀμεταστρεπτὶ ὑπὸ τὸν τῆς Ἀνάγκης θρόνον [p. 620de]. Μετὰ τὰς αἱρέσεις τῶν βίων αἱ πρὸς τὰ ὅλα τῶν ψυχῶν εἰσι συντάξεις καὶ αἱ ἀπὸ τῶν ὅλων εἰς τὰς ψυχὰς μεταδόσεις. δεῖ γὰρ ἐνεῖναι τὸ μὴ ἀπηρτῆσθαι τὰ μέρη ποτὲ τῶν ὅλων μηδὲ τὸ αὐτεξούσιον ἀφανίζειν τὴν τάξιν, ὥσπερ μηδὲ τὴν τάξιν ἀνατρέπειν τὸ αὐτεξούσιον, ὃ δὴ κατ’ οὐσίαν ἡμῶν ὑπάρχει ταῖς ψυχαῖς. συντάττονται δ’ οὖν οἱ βίοι τῶν ἑλομένων πασῶν ψυχῶν πρὸς τὴν Λάχεσιν τὴν καὶ τὸν κλῆρον αὐταῖς τὸν περιληπτικὸν τῶν βίων ἀφορίσασαν, εἰκότως· ὅλον γὰρ αὕτη κινεῖ τὸν οὐρανὸν ἐν τοῖς γόνασι κείμενον τῆς μητρός. ἡ δὲ Λάχεσις, φησίν, ὥσπερ ἔλαχον, οὕτω καὶ κατὰ τὴν αὐτὴν τάξιν προσελθούσαις τῶν μὲν πρώτων, τῶν δὲ δευτέρων, τῶν δὲ ταύταις ἑπομένων ἀπονέμει τὸν δαίμονα φύλακα τοῦ βίου, ὃν ἑκάστη προείλετο, καὶ τῶν αἱρεθέντων ἀποπληρωτήν. καὶ ὁ δαίμων οὖν ἡμῖν ἀπὸ τῆς αὐτῆς δίδοται Μοίρας, ἀφ’ ἧς ὁ κλῆρος καὶ τὰ παραδείγματα τῶν βίων. καὶ γὰρ οὗτος ἐπίτροπος ἡμῶν ἐστιν τοῦ βίου, τρίτος ὢν ἀπὸ τῆς Λαχέσεως· ἡ μὲν αὐτόθεν ὡς θεὸς ἡμῖν ἐφίστησιν τὸν δαίμονα τοῦτον, ὁ δὲ προφήτης ὡς ἄγγελος τῆς Λαχέσεως· διὸ καὶ ὃ μὲν λέγων αὐτὸν ἐπέστησεν, ἡ δὲ δρῶσα τοῦτο χωρὶς λόγων τὸν προσήκοντα θεοῖς τρόπον.

in R.2.342 τὸ μὲν οὖν προσελθεῖν ἐστιν τῇ Λαχέσει τὸ συνταχθῆναι πρὸς τὰς ποιήσεις αὐτῆς εἰς τὸ πᾶν προϊούσας καὶ ὑποδέξασθαι τὴν δόσιν τὴν εἰς ἡμᾶς καθήκουσαν, ὡς μέρη τοῦ παντὸς γενομένους. Ὁ δὲ δὴ δαίμων παρὰ τῆς Λαχέσεως ἡμῖν ἐπιστάτης δοθεὶς ἄγει πρὸς τὰς ἑξῆς Μοίρας ἤδη τῶν ἀπὸ τῆς Λαχέσεως μετασχόντας ἡμᾶς· καὶ πρῶτον ὑπὸ τὴν Κλωθὼ καὶ ὑπὸ τὴν ἐκείνης χεῖρα (τῇ γὰρ δεξιᾷ μόνῃ τὸν ἄτρακτον κινεῖ) καὶ ὑπὸ τὴν ἐπιστροφὴν ταύτην τῆς τοῦ

ἀτράκτου δίνη ς . καὶ προσεκτέον ὅπως εἶπεν ὑπὸ τὴν Κλωθὼ τὸν δαίμονα ἄγειν, ἀλλ᾽ οὐκ ἐπὶ τὴν Κλωθώ. καίτοι γε εἰ ἄνωθεν ἠγόμεθα, τοῦτον ἦν τρόπον ὀρθότερον εἰπεῖν· ἀπὸ τῆς Λαχέσεως ἐπὶ τὴν Κλωθώ. νῦν δὲ οὐχ οὕτως εἶπεν, ἀλλ᾽ ὡς ὑπὸ σελήνην οὖσαν τὴν ψυχήν, ὑποταττομένην δὲ ταῖς Μοιρῶν ποιήσεσιν διὰ τὴν εἰς γένεσιν ῥοπὴν ὑπὸ τὴν Κλωθώ φησιν ἄγεσθαι καὶ αὖθις ἐπὶ τὴν Ἄτροπον ὑπὸ τοῦ δαίμονος, ὡς ὑποκατακλινομένην ταῖς περιόδοις αὐτῶν καὶ ὑποδεχομένην τὰς εἰς ἡμᾶς κινήσεις διαβαινούσας ἐκεῖθεν. Τί οὖν ἀπὸ τῆς Κλωθοῦς παραγίνεται; κυρωθῆναί φησιν ἣν εἱλόμεθα μοῖραν· οὐχὶ τὸ τῆς ζωῆς εἶδος μόνον, ἀλλὰ καὶ τὰ ἀπονεμόμενα ἡμῖν ἀπὸ τοῦ παντός. ἐκ γὰρ τῆς Λαχέσεως, παρ᾽ ἧς καὶ βίος, τὰ συναμφότερα ἔχομεν· ἡ δὲ Κλωθὼ κυροῖ ταῦτα τοῖς ἑαυτῆς νήμασι καὶ κλώσμασιν, ἐπιρρέουσα ἡμῖν τὰς ἐκ τῆς ἀπλανοῦς δόσεις. αὕτη γὰρ ἡ κύρωσις· ἐπειδὴ δὲ ἀπὸ τοῦ ὑψηλοτάτου κύκλου πρόεισιν εἰς ἡμᾶς ὄντας ὑπὸ σελήνην, κλώσει τινὶ ἀπείκασται, καὶ τὸ ὄνομα ἔσχεν ἐντεῦθεν ἡ Κλωθώ. δηλοῖ δὲ καὶ τὴν συμπλοκὴν ἅμα τῶν ἐκεῖθεν διδομένων· καὶ γὰρ τὰ κλωθόμενα περιστρέφεταί πως ἑαυτοῖς (ἠλάκατα στρωφῶσ α , φησὶν ἡ ποίησις [Od.

in R.2.343 ζ 53 ρ 97]). οὔκουν μόνον ἀπὸ τῶν ζῳδίων, ἀλλὰ καὶ ἀπὸ τῶν παρανατελλόντων ἔρχεται εἰς ἡμᾶς παμπόλλη τις δόσις· ἀφ᾽ ὧν καὶ εἰώθασι Χαλδαῖοί τε καὶ Αἰγύπτιοι πολλὰ περὶ τῶν βίων ἡμῶν προγιγνώσκειν, ὡς μεγάλην μοῖραν καὶ τούτων ἐχόντων καὶ δραστήριον περὶ τὰς γενέσεις. τὴν οὖν ἀπὸ πάντων τούτων εἰρομένην ποίησιν καὶ συμπλεκομένην στρέψει καὶ περιστροφῇ μετὰ τῆς ἄνωθεν εἰς τὸ κάτω τοῦ νήματος τάσεως ἀπείκασαν οἱ παλαιοὶ καὶ ἀπεικάσαντες Κλωθὼ διὰ ταῦτα τὴν Μοῖραν ἐκάλεσαν. Μετὰ ταύτην τοίνυν ἐπὶ τὴν νῆσιν ἄγει τῆς Ἀτρόπου, πέρας ἐπιτιθεῖσαν τῇ κλώσει καὶ δι᾽ ὧν αὕτη νημάτων δίδωσιν ἀμετάστροφα τὰ κλωσθέντα ποιοῦσαν. παραδεξαμένη γὰρ αὕτη παρὰ τῆς Κλωθοῦς τὴν νῆσιν διὰ τῶν πλανωμένων κύκλων ἄλλα ἐπ᾽ ἄλλοις ἡμῖν ἐκεῖθεν ἐκ τῶν κινήσεων αὐτῶν προξενεῖ. καὶ ὅσῳ δὴ πλέον τὰ δεύτερα ἐπὶ τοῖς πρὸ αὐτῶν εἰς ἡμᾶς δρᾷ, τόσῳ μᾶλλον ἄφυκτα πάντα γίνεται τὰ μοιραῖα. βαθύνουσα γὰρ ἡ ψυχὴ πλείοσιν ὑποκατακλίνεται περιόδοις, ἀφ᾽ ὧν οὐκέτι δυνατὸν ἀναφυγεῖν μὴ τέλος ἐπιθεῖσαν τοῖς αἱρεθεῖσιν. Οὐκ ἄρα δεῖ μόνον οἴεσθαι τὰς γενέσεις συμπληροῦσθαι τῶν ἀνθρώπων ἢ τῶν ἄλλων ζῴων ἀπὸ τῶν ἀπλανῶν ἢ ἀπὸ τῶν πλανωμένων μόνων, ἀλλ᾽ ἀπὸ πάντων εἱρμὸν ἕνα γίνεσθαι καὶ τάξιν ἡμῖν ἐφήκουσαν, καὶ διὰ τῶν πλανωμένων ἡμῖν τὰ ἀπὸ τῶν ἀπλανῶν δίδοσθαι, τῶν τε κύκλων τῶν ἐκεῖ καὶ τῶν ἐν αὐτοῖς μοιρῶν καὶ τῶν ἀστέρων καὶ τῶν ὅλων ζῳδίων καὶ τῶν ἄλλων συστάσεων, οἵαί ποτ᾽ ἂν ὦσιν, ἃς ἄνθρωποι κατιδόντες ἐπεφήμισαν ἄλλας ἄλλοις ὀνόμασιν. τὰ μὲν γὰρ ἀπὸ τούτων ἔργα εἶναι πάντα τῆς μεγίστης Κλωθοῦς, τὰ δὲ ἀπὸ τῶν πλανωμένων τῆς Ἀτρόπου δευτέραν τάξιν λαχούσης καὶ διαπορθμευούσης εἰς τὰ τῇδε τὰς ἐκείνης δόσεις ἀπὸ τῶν ὑψηλοτέρων ὡρμημένας.

in R.2.344 ἃ δὴ πάντα κατιδὼν ὁ Πλάτων ἄγει τὴν ψυχὴν ὑπὸ τὴν Κλωθὼ προτέραν, εἶθ᾽ ὑπὸ τὴν Ἄτροπον, εἶθ᾽ οὕτως ὑπὸ τὸν τῆς Ἀνάγκης θρόνον· ὑφ᾽ ὃν καὶ θεῶν εἰσι καὶ δαιμόνων ἄρα τάξεις συντελοῦσαι πρὸς τὰς γενέσεις τῶν τῇδε κατὰ τῆς Ἀνάγκης διατης βούλησιν. Καὶ τοῦτο μὲν εἰσαῦθις· εἰ δὲ ἐφάπτεσθαι λέγει τὸν δαίμονα τῆς χειρὸς τῆς Κλωθοῦς καὶ οὕτως ἐπὶ τὴν Ἄτροπον ἄγειν τὴν ψυχήν, δῆλον δήπουθεν ὅτι τὴν ἑαυτοῦ πρόνοιαν ἐξάψας τῆς Κλωθοῦς καὶ ἀμέσως αὐτῇ συνὼν καὶ τῇ Ἀτρόπῳ παραπλησίως οὕτως ποδηγεῖ τὴν ἑλομένην αὐτὸν ψυχήν. καὶ εἰ μὴ μόνον ἡ Ἄτροπος, ἀλλὰ καὶ αὐτὸς ἀμετάστροφα ποιοῦσι τὰ κλωσθέντα, τῶν Μοιρῶν ἐστιν ὄντως ὑπουργός, συντελῶν ταῖς εἰς ἡμᾶς αὐτῶν δραστηρίοις δόσεσιν κατὰ τὸν περὶ ἑαυτοῦ ῥηθέντα λόγον ἱερόν · ‘ ὦ βασίλειον Ἡμετέρης γενέθλης Μοῖραι δόσαν ‘ . Ἐντεῦθεν δὲ ἤδη φησὶν ἀμεταστρεπτὶ τὴν ψυχὴν αὐτὸν ἄγειν ὑπὸ τὸν θρόνον τῆς Ἀνάγκης. ὑπὸ μὲν γὰρ τὴν Ἀνάγκην καὶ πρότερον ἦν, ὑπὸ δὲ τὸν θρόνον αὐτῆς τελέως ὑποταχθεῖσα λέγεται γίνεσθαι τοῖς κοσμικοῖς κλώσμασιν καὶ ταῖς περιόδοις πάσαις· ὥστε καὶ εἴ τις ἔστιν ὑπὸ σελήνην δαιμόνων ἢ

θεῶν γενεσιουργῶν τάξις ἀφορίζουσα ταῖς κατιούσαις ὅσα αὐτῇ προσῆκεν, καὶ ὑπὸ ταύτην ἤδη τελεῖν· διὸ τῷ θρόνῳ τῆς Ἀνάγκης παντελῶς ὑπέστρωται. Τὴν μὲν οὖν Ἀνάγκην τίνα δεῖ νομίζειν, καὶ πρότερον εἴπομεν καὶ μαρτυροῦσαν ἔχομεν τὴν ἱερατικὴν παραδοῦσαν καὶ αὐτοπτικὴν κλῆσιν τῆς μεγίστης θεοῦ ταύτης καὶ διδάξασαν πῶς ὀφθείσῃ προσιέναι 〈δεῖ〉· δεῖ γὰρ ἄλλον τρόπον ⟦ τὸ ⟧ παραδοξότερον ἢ τοῖς ἄλλοις θεοῖς, εἴ τῳ ταῦτα γράφων Πετόσειρίς ἐστιν ἀξιόχρεως ἀνήρ, παντοίαις τάξεσιν θεῶν τε καὶ ἀγγέλων συναλισθείς.

in R.2.345 ἀλλὰ καὶ ὅτι τῇ Θέμιδι τὴν αὐτὴν εἶναι τὴν Ἀνάγκην ταύτην οἰητέον, οὐ μόνον ἐκ τῶν Ἑλληνικῶν θεογονιῶν πιστόν, ἀλλὰ καὶ ἐκ τῶν Περσικῶν τῶν τοῦ Μίθρα τελετῶν, παρ’ αἷς πᾶσαι αἱ τῆς Θέμιδος ἐπικλήσεις, πρῶται μέσαι τελευταῖαι, συνάπτουσιν καὶ τὴν Ἀνάγκην, λέγουσαι σαφῶς Θέμι καὶ Ἀνάγκ η , καὶ τοῦτο ἐπὶ πασῶν. Τὸν δὲ δὴ θρόνον αὐτῆς εἴτε τὴν ζωὴν τὴν ὑποδεξαμένην αὐτῆς τὴν μόνιμον καὶ ἄκλιτον ἕνωσιν εἴτε καὶ ὅλον ἐκεῖνο τὸ θεῖον φῶς τὸ περιέχον τὴν τοῦ οὐρανοῦ περιφορὰν συμβολικῶς οἰητέον δηλοῦν, **** ἐν τῷ παρόντι πᾶσαν τὴν ἑστῶσαν ἀεὶ καὶ ἀκίνητον βασιλείαν τῆς Ἀνάγκης, ὑφ’ ἣν εἰς τὸ ἔσχατον προελθοῦσα τῶν περιόδων γίνεται ψυχή, πρόεισιν δὲ εἰς τὸ ἔσχατον ταῖς ἀπὸ τῶν οὐρανίων περιληφθεῖσα ποιήσεσιν. ὥστε μὴ μόνον εἶναι τοῦ κόσμου μέρος, ἀλλὰ καὶ ἕν τι τῶν ἐσχάτων μερῶν καὶ τῶν διοικουμένων ἀντὶ τῶν διοικούντων τὸ πᾶν· οἷον εἴ τις φιλόσοφος εἰς ναῦν ἐμβαίη καὶ γένοιτο πλωτήρ· ἀνάγκη γὰρ τοῦτον καὶ ὑπὸ τῶν ναυτῶν τὰ καὶ τὰ ἀκούειν καὶ ἔπεσθαι τῷ κυβερνήτῃ καὶ ἀνέμων ὑποκεῖσθαι ζάλαις καὶ εἶναι τρόπον τινὰ διαφέροντα τῶν ἑτεροκινήτων οὐδέν· οὕτω γὰρ καὶ ψυχὴ πεσοῦσα πάντως εἰς γένεσιν ἔκκειται δαίμοσιν ὑλικοῖς, ὑπέστρωται τῷ ἄγοντι δαίμονι, τῶν κοσμικῶν περιόδων τῆς ποιήσεως ἐξήρτηται ποιουσῶν ἄλλων ἄλλα εἰς αὐτήν. καὶ δ ι ’ ἐκείνου διεξελθόντ α , ἐπειδὴ καὶ οἱ ἄλλοι διῆλθο ν , πορεύεσθαι ⟦ καὶ ⟧ ἅπαντας εἰς τὸ τῆς Λήθης πεδίον ἕως τοῦ καὶ ὅσα γῆ φύει [p. 621a]. Δίεισι μὲν ὁ δαίμων διὰ τοῦ θρόνου τῆς Ἀνάγκης οὐχ ὡς τόπον ἐκ τόπου μεθιστάμενος οὐδὲ ὡς ἀμείβων τὴν τάξιν, ἀλλ’ ὡς τὴν ἐνέργειαν, δι’ ἧς ἄγει τὴν ψυχήν, εἰς τὸ τέλος τοῦ παντὸς ἐκτείνων, εἰς αὐτὴν ἄνωθεν κατιοῦσαν ἀπὸ τῶν ἄκρων τοῦ ὑπὸ σελήνην.

in R.2.346 ἄγει τοίνυν ταύτην μένων αὐτὸς κατὰ τὴν αὐτοῦ τάξιν διὰ πάσης τῆς ὑποδεξαμένης ζωῆς τὴν τῆς Ἀνάγκης ἕδραν ἄνωθεν ἕως τῶν τελευταίων. οὕτω μὲν οὖν εἰ τὸ διεξελθεῖν ἐπὶ τοῦ δαίμονος ἀκούοις· τοῖς δ’ ἑπομένοις ἀκολουθότερον ἐπὶ τῆς ψυχῆς τοῦ Ἠρὸς τοῦτό τε καὶ τὰ ἀκόλουθα τούτῳ νοεῖν. ἐπάγει γὰρ ὅτι ἀφικνεῖται εἰς τὸ πεδίον τῆς Λήθης, ὃ δὴ ἐπὶ τοῦ δαίμονος ἀκούειν ἄτοπον, ἀλλ’ ἔοικεν ὁ τούτων ἄγγελος περὶ ἑαυτοῦ λέγειν καὶ πρὸς τὸ ἐξ ἀρχῆς ἀποδιδόναι καὶ τοῦτο· προείρηται γάρ, ὅτι ἔφη ἰδεῖν τοίας καὶ τοίας αἱρέσεις. ἔφη οὖν διεξελθόντα ἑαυτὸν διὰ τοῦ θρόνου τῆς Ἀνάγκης, ἐπειδὴ καὶ οἱ ἄλλοι διῆλθο ν , οὕτως ἀφικνεῖσθαι πάντας εἰς τὸ τῆς Λήθης πεδίον διὰ καύματος καὶ πνίγους · καὶ γὰρ εἶναί φησιν αὐτὸ δένδρων κενὸν καὶ ὅσα γῆ φύει πάντων. Ὅτι μὲν οὖν ἀντίθετόν ἐστιν πρὸς τὸ τῆς Ἀληθείας πεδίον τὸ τῆς Λήθης πεδίον, δῆλον· εἴπερ τοῦτο μὲν ἄκαρπον καὶ ἄγονον καὶ αὐχμηρόν, ἐκεῖνο δὲ ζωῆς πλῆρες, τροφὸν τῶν ψυχῶν, τῶν νοερῶν καρπῶν ἀποπληρωτικόν, ὡς ἐν Φαίδρῳ [p. 248b] μεμαθήκαμεν. εἰ οὖν ἐκεῖνο τὸ πεδίον ἐν τοῖς ἀκροτάτοις, τοῦτο ἂν εἴη πάντως ἐν τοῖς ἐσχάτοις. δηλούτω τοίνυν ὡς ὁ λειμὼν ὁ τῇδε τὸν αἰθέριον, οὕτω τὸ πεδίον τὸν ἀέριον τόπον τὸν παχύν, ἐν ᾧ καὶ ἐρημία δένδρων ἐστὶν σκιὰν ποιεῖν δυναμένων καὶ αὐχμὸς διὰ τὰς διπλώσεις τῶν ἀκτίνων, καὶ ἄλλως τοῦ αὐχμοῦ τὴν ἄγονον ὕλην σημαίνοντος, ἣν καὶ τὰ λόγια προσαγορεύειν εἴωθεν αὐχμηρά ν .

in R.2.347 καὶ μὴν καὶ τὸ πνῖγος παρίστησιν ἐναργῶς, ὡς ἄρα ὅσῳ βαθύνουσιν εἰς τὸ κάτω αἱ ψυχαί, τοσούτῳ μᾶλλον ἀποστενοῦται πᾶσα αὐτῶν ἡ ζωὴ καὶ εἰς στενὸν κομιδῇ συνάγεται, καθάπερ εἰς τὸ ἄναντες χωρούσαις ὑπάρχει πλατεῖα τῶν ἄνωθεν ἀγαθῶν ὑποδοχή. διὸ καὶ τὰ λόγια παρακελεύεται πλατύνειν ἡμῖν διὰ τῆς ἀπολύτου ζωῆς ἑαυτούς, ἀλλὰ μὴ ἀποστενοῦν πνιγμὸν

ἔρωτος ἀληθοῦς ἐφελκομένους ἀντὶ τῆς εἰς τὰ ὅλα ἀνατάσεως· ἐπεὶ καὶ οἱ πνιγόμενοι τὰς εἰσόδους ἀποστενοῦσιν, δι' ὧν μετέχομεν τοῦ κοσμικοῦ πνεύματος. ὅσῳ δ' οὖν εἰς τὸν παχύτερον ἀέρα κάτιμεν ἐκ τοῦ αἰθέρος εἰς τὴν ὑλικὴν ἀζωίαν κατιόντες, τὰς ἀσχέτους ἡμῶν καὶ εἰς τὸ ὅλον ἀνηπλωμένας ζωὰς κατακλείομεν, ἵνα γενώμεθα διὰ στενότητα τῆς ζωῆς τῷ ἐσχάτῳ τούτῳ δεσμῷ σύζυγοι καὶ πρέποντες· οὐ γὰρ ἦν τὸ ὁλικῶς ζῶν θέμις τῷ μερικωτάτῳ συζῆν. Σκηνᾶσθαι οὖν σφᾶς ἤδη ἐσπέρας γενομένης παρὰ τὸν Ἀμέλητα ποταμὸν ἕως τοῦ πάντων ἐπιλανθάνεσθαι [p. 621a]. Τὴν μὲν ἑσπέραν συγγενῆ τῇ τελέᾳ πτώσει τῆς ψυχῆς ὁ μῦθος παρείληφεν, ὡς ἐμοὶ δοκεῖ. σκότος γὰρ ὄντως συμπίπτει περὶ αὐτὴν ἐκ τῆς πρὸς τὴν ὕλην ῥοπῆς καὶ στέρησις τοῦ θείου φωτός. ὡς οὖν ἡ ποίησις λέγει [A 592] ῥιφέντα τὸν Ἥφαιστον ἐκ τοῦ Ὀλύμπου πανημέριον φέρεσθαι καὶ ἅμα ἠελίῳ καταδύντι πεσεῖν εἰς τὴν Λῆμνον, τὸν ἔσχατον οὖσαν βυθὸν τῆς ὕλης καὶ ὄντως λημῶντα τοῖς ὑλικοῖς πάθεσιν, οὕτω δὴ καὶ ὁ μῦθος οὗτος ἄνωθεν ἀπὸ τῆς Λαχέσεως τὴν εἰς τὸν πυθμένα τοῦ κόσμου τῶν ψυχῶν ῥύσιν ἐκφαίνων ὡς ἀπὸ τῶν φωτεινοτάτων εἰς τἀναντία καταντῶσαν, ἑσπέρας ἤδη γενομένης αὐτὴν κατασκηνᾶσθαί φησιν, ὡς εἰς τὸ σκῆνος ὄντως τὸ σῶμα τοῦτο σπεύδουσαν ἐν σκότῳ τῆς ζωῆς.

in R.2.348 Τίς οὖν ὁ Ἀμέλης ποταμός, οὗ τὸ ὕδωρ οὐδὲν ἀγγεῖον στέγειν φησίν; λεγέσθω μὲν οὖν καὶ ὁ ἔνικμος ἀὴρ οὗτος ὁ περιρρέων τὴν γῆν, ὃν ὁ Τίμαιος [p. 58d] ὁμίχλην ἐκάλεσεν (καὶ γὰρ τοῦτον ἀέρα ὄντα στέγειν οὐδὲν ἀγγεῖον δύναται, καὶ ποταμῷ ἔοικεν ἀεὶ φερόμενος διὰ τὴν ἄστατον ῥοήν)· λεγέσθω δὲ καὶ πᾶσα ἡ περὶ τὴν γῆν ἐπίρρυτος καὶ ἀπόρρυτος γένεσις, ὅρον ἔχουσα οὐδένα· καὶ τοῦτο δηλούτω τὸ μηδὲν αὐτὴν ἀγγεῖον στέγειν, ὡς εἴδους οὐδενὸς ὄντος ἱκανοῦ στέγειν τὴν δεινὴν ἐκροὴν τῆς τοιαύτης γενέσεως. καὶ γὰρ ὡς ἀγγεῖον πᾶν τοῦ ἐνόντος ὑγροῦ μορφωτικόν ἐστι καὶ σχηματιστικόν, οὕτω καὶ τὸ εἶδος τῶν ἐν γενέσει φερομένων. δοκεῖ δέ μοι καὶ ὁ Τίμαιος [p. 43a] τούτοις σύμφωνα λέγειν, ἐν οἷς φησιν ἐπιούσας τὰς ψυχὰς εἰς ποταμὸν ἐνδεῖσθαι πολύ ν , τὴν ἀστάθμητον φορὰν τῶν τῇδε γιγνομένων ποταμῷ καὶ αὐτὸς εἰκάζων. Τί δὴ οὖν αἰνίσσεται τοῦτο, ὅτι μέτρον ἀπὸ τοῦ Ἀμέλητος ἕκαστον πιεῖν ἀναγκαῖον, τὸν δὲ φρονήσει μὴ σωζόμενον πλέονος ἐμφορεῖσθαι, πάντα δὲ τὸν πιόντα πλέον ἢ ἔλασσον πάντων ἐπιλανθάνεσθαι τῶν προβεβιωμένων; ἢ τοῦτο δὴ ἐκεῖνο παρίστησιν, τὸ τὴν ψυχὴν γενέσει κοινωνοῦσαν καὶ ἀνεγείρουσαν ἐπὶ μᾶλλον τὰς ἐμπαθεῖς ζωὰς καὶ φιλογενέσεις ἀποτυφλοῦν ἑαυτὴν καὶ περισπωμένην ὑπὸ τῶν πληττόντων ἐν τῷ τότε παθῶν ἐξίστασθαι τῆς μνήμης τῶν ἔμπροσθεν; πᾶσα γὰρ ἐνέργεια τῆς ψυχῆς ἀργὸς μένουσα τῶν οἰκείων, γνωστῶν εἰ γνωστικῆς εἴη τάξεως, ἢ τῶν ἐφετῶν, εἰ τῆς ὀρεκτικῆς, παντελῶς ἀφίσταται καὶ ἀποστᾶσα καὶ τοὺς ἐν τῇ ψυχῇ τύπους ἀφανίζειν ὀφείλει τῆς οἰκείας κινήσεως. ὅθεν δὴ καὶ ἄλλοτε ἄλλων ἡμῖν γίνεται λήθη, προχείρων μὲν ὄντων ἐκείνων, πρὸς οἷς ἂν ὄντες τυγχάνωμεν μᾶλλον, εἰς δὲ λήθην ἐκπιπτόντων, ὅσα ἂν μὴ πρόχειρα ποιώμεθα δι' ἀμελετησίαν καὶ ἀργίαν· δεῖ γὰρ τῆς μελέτης ἀνανεούσης ἡμῖν ἀεὶ τὴν μνήμην ὧν ἔγνωμεν.

in R.2.349 εἰ δὲ δὴ καὶ τὸ πνευματικὸν ὄχημα τῶν ψυχῶν ὑγρότερον γιγνόμενον διὰ τὸν ἔνικμον ἀέρα λήθην ποιοίη τῶν τύπων, οὐδὲν θαυμαστὸν καὶ τοῦτο αἰνίσσεσθαι τὴν πόσιν ἀναγκαίαν, τὴν ἐς τὸ πνεῦμα παραδοχὴν ἐξ ἀνάγκης γιγνομένην καὶ οἷον ὅλισθον ποιοῦσαν τῶν ἐν αὐτῷ τύπων, ἣν ἐπιτείνειν εἰκότως τοὺς φρονήσει μὴ σωζομένους διὰ τὴν ἑαυτῶν συμπάθειαν περὶ τὰ ἔνυλα, βαρύτερον τὸ πνεῦμα ποιοῦντας καὶ ἐπισπωμένους καὶ ἄλλα πολλὰ τῆς λήθης αἴτια 〈καὶ〉 καταγωγὰ τῶν ψυχῶν. Λέγεται μὲν δὴ καὶ ταῦτα φυσικῶς· λέγει δὲ καὶ ὁ δαιμόνιος Ἀριστοτέλης αἰτίαν, δι' ἣν ἐκεῖθεν μὲν ἰοῦσα ἡ ψυχὴ δεῦρο ἐπιλανθάνεται τῶν ἐκεῖ θεαμάτων, ἐντεῦθεν δὲ ἐξιοῦσα μέμνηται ἐκεῖ τῶν ἐνταῦθα παθημάτων· καὶ ἀποδεκτέον τοῦ λόγου. φησὶ γὰρ οὖν καὶ αὐτὸς ἐκ μὲν ὑγείας εἰς νόσον ὁδεύοντας λήθην ἴσχειν τινὰς καὶ αὐτῶν τῶν γραμμάτων ὧν ἐμεμαθήκεσαν, ἐκ νόσου δὲ εἰς ὑγείαν ἰόντα μηδένα πώποτε τοῦτο πάσχειν.

ἐοικέναι δὲ τὴν μὲν ἄνευ σώματος ζωὴν ταῖς ψυχαῖς κατὰ φύσιν οὖσαν ὑγείᾳ, τὴν δὲ ἐν σώμασιν, ὡς παρὰ φύσιν, νόσῳ. ζῆν γὰρ ἐκεῖ μὲν κατὰ φύσιν αὐτάς, ἐνταῦθα δὲ παρὰ φύσιν· ὥστ' εἰκότως συμβαίνειν τὰς μὲν ἐκεῖθεν ἰούσας ἐπιλανθάνεσθαι τῶν ἐκεῖ, τὰς δὲ ἐντεῦθεν ἐκεῖσε τῶν ἐνταῦθα διαμνημονεύειν. Δοκεῖ δέ μοι καὶ τοῦτο κατὰ τὴν τῶν θεῶν συμπίπτειν πρόνοιαν· τίς γὰρ τῶν ἐκεῖ μεμνημένη ψυχὴ σώματος ἐπιμελεῖσθαι καὶ γενέσεως ἠθέλησεν, πειρωμένη τοιαύτης τῆς ἐν σώματι ζωῆς, πόνων ἀνηνύτων οὔσης μεστῆς; ἀλλ' ἡ λήθη τοῦ ἐκεῖ βίου καὶ τῆς ἐκεῖ ῥᾳστώνης ἐξανίστησιν ἡμᾶς εἰς τὴν ἐπιμέλειαν τῶν ὑπ' ὀφθαλμοῖς κειμένων· ἔνθεν καὶ τέχναι πρὸς τὸν βίον ὤφθησαν ἀναγκαῖαι καὶ ἐπιστῆμαι πάντα τὸν τῇδε τόπον νοῦ καὶ θεῶν ἐπλήρωσαν, ὡς καὶ τὴν γένεσιν ἄλογον λογῶσαι καὶ τὸν τῶν κακῶν τόπον κατακοσμῆσαι τῇ ποικιλίᾳ τῶν ἀγαθῶν.

in R.2.350 Τάχα δ' ἂν καὶ Ἀμέλητα κεκληκὼς εἴη τοῦτον τὸν ποταμὸν ὡς δι' ἀμέλειαν ταῖς ψυχαῖς ἐμποιοῦντα τὴν πολλὴν ταύτην λήθην, ἣν ἠμέλησαν ἑαυτῶν καὶ ἐνέδυσαν τὸ τῆς γενέσεως σκότος. ὡς αἵ γε θεοπρεπέστεραι τῶν ἀφικνουμένων ἐπιπόλαιον ἔχουσαι τὴν λήθην διὰ τὴν ἐποχὴν τῶν ἐνεργειῶν ἀναμιμνήσκονται τῶν ἐκεῖ ῥᾳδίως· ἐπέχει δὲ τὰς ἐνεργείας ἥ τε φυσικὴ διὰ τῆς τροφῆς κίνησις καὶ ἡ τῆς αἰσθήσεως ἀήθεια τῶν προσπιπτόντων, ὡς ἐν Τιμαίῳ λέγεται [p. 43bc]. καὶ τό γε θαυμαστόν, ὅτι μᾶλλον ἀνάμνησίς ἐστι τῶν καθ' ὅλου ἢ τῶν μερικῶν· οἷον ὅτι πρὸ τῆς γενέσεως τοιόνδε βίον ἐζῶμεν ἐν τοῖσδε τοῖς τόποις. αἴτιον δὲ ὅτι ἡ μὲν τῶν καθ' ὅλου ἀνάμνησις τῆς λογικῆς μόνης δεῖται ψυχῆς εὐφυῶς ἐχούσης 〈πρὸσ〉 προβολὴν ὧν ἔχει λόγων, ἡ δὲ τῶν μερικῶν τῆς φανταστικῆς (ἐν ταύτῃ γὰρ οἱ τύποι τῶν αἰσθητῶν)· αὕτη δὲ ἅτε τῷ σώματι προσεχὴς ὑπὸ τῆς ἐν αὐτῷ ὑγρότητος κατακλυζομένη πρὸς λήθην εὔφορος γίνεται. Ἐπειδὴ δὲ κοιμηθῆναι καὶ μέσας νύκτας γενέσθαι μέχρι τοῦ εἰς τὴν γένεσιν ἅττοντας ὥσπερ ἀστέρας [p. 621b]. Μετὰ τὴν ἐσπέραν καὶ τὴν τοῦ ληθαίου πόσιν ὕδατος ὕπνος μὲν παραλαμβάνεται τῷ μύθῳ, σύνθημα τῆς τῶν ἐνεργειῶν τῶν γνωστικῶν ἀργίας καὶ παρέσεως (καὶ γὰρ ὁ ζωώδης ὕπνος ἐκλύει τὰς αἰσθήσεις, αἳ δὴ τῶν γνώσεών εἰσιν τῶν νοερῶν ἀποτελευτήσεις), μέσαι δὲ νύκτες αὐτὸ τὸ τῆς ζωῆς ἀφεγγέστατον ἐνδεικνύμεναι· κατὰ γὰρ ταύτας ἐστὶν ἡμῶν πορρωτάτω ὁ ἥλιος, ὃν τἀγαθῷ φαμεν ἀνάλογον ἐν τοῖς ὁρατοῖς ὑπάρχειν.

in R.2.351 πλεῖστον οὖν ἡμᾶς ἤδη τοῦ ἀγαθοῦ διεστάναι φησὶν ἡ μυθολογία, καθάπερ καὶ τῷ κοιμηθῆναι νοῦ καὶ τῆς ἀληθοῦς γνώσεως ἀποστῆναι πλεῖστον. καὶ ἔοικεν καὶ ἡ ἔνθεος ποίησις [Od. ω 2 sq.] τὸν Ἑρμῆν ἡγεμόνα καθόδων ψυχικῶν ὑπολαβοῦσα καὶ ἀνόδων τινῶν οὕτω δὴ φάναι τῇ ῥάβδῳ, χρυσῆν εἰποῦσα τὴν ῥάβδον καὶ τὸν θεὸν χρυσόρραπι ν , τῶν μὲν τὰ ὄμματα θέλγειν ὡσανεὶ κοιμίζοντα, τοὺς δὲ τῶν ἀνδρῶν καὶ ὑπνώοντας ἐγείρειν · ὕπνον μὲν καλοῦσα καὶ αὕτη τῶν ψυχῶν τὴν εἰς γένεσιν ὁδόν, ἐξέγερσιν δὲ ἀπὸ τοῦ κάρου τούτου πάρεσιν ἡμῖν ἐμποιήσαντος τῶν νοερῶν ζωῶν, ὡς τῶν αἰσθητικῶν ὁ ζωώδης ὕπνος, τὴν ἀπὸ γενέσεως αὖθις ἄνοδον ἐπὶ τὴν νόησιν κατὰ τὴν τῶν ὄντων ἀνάμνησιν. καὶ ἔστι καὶ ταῦτα τῷ τῆς ἀγγελικῆς τάξεως ἡγεμόνι πρέποντα, συνάπτειν καὶ τὰ ἄνω τοῖς κάτω διὰ τῶν ψυχικῶν καθόδων καὶ τὰ κάτω τοῖς ἄνω διὰ τῶν ἀνόδων. Ταῦτα μέν, ἵνα καὶ τὸν ὕπνον ἴδωμεν ἑπομένως τοῖς θεολόγοις ὑπὸ τοῦ Πλάτωνος εἰς τὸν προκείμενον μῦθον εἰσηγμένον, ἀναγκαίως εἴρηται. Μετὰ δὲ τὸν ὕπνον καὶ τὰς μέσας νύκτας βροντήν τινα γενέσθαι φησὶν καὶ 〈σεισμόν〉 · συνθήματα καὶ ταῦτα δήπουθεν, ἀλλὰ Διίων τινῶν καὶ Ποσειδωνίων ἐνεργειῶν. ἐπεὶ γὰρ κάθοδός ἐστιν ἄνωθεν ἀπὸ τῶν μετεώρων εἰς τὴν γῆν, ἀπὸ τοῦ Διὸς εἰς τὸν τοῦ Ποσειδῶνος τόπον, ἡ μὲν βροντὴ σύμβολον παρείληπται, ὡς ἄνωθεν γιγνομένη, τῆς Διίου ποιήσεως, ὁ δὲ σεισμὸς τῆς τοῦ Ποσειδῶνος δημιουργίας· ὡς ἂν ταῖς εἰς τὴν γένεσιν ἡμῶν καθόδοις συνεπισχυουσῶν ἀμφοτέρων τῶν δημιουργιῶν.

in R.2.352 εἰ δὲ καὶ πνεύματος κίνησις ἐν νέφεσιν μὲν τὴν βροντήν, ὑπὸ γῆς δὲ κινουμένου τὸν σεισμὸν ἀποτελεῖ, δῆλον δήπουθεν ὅτι σύμβολον καὶ τοῦτο τῆς τοῦ ψυχικοῦ πνεύματός ἐστι κινήσεως

ἄνω τε καὶ κάτω φερομένου διὰ τὴν παντοίαν τροφήν. ἢ καὶ τοῦ διττὰ γένη ψυχῶν εἶναι τὰ εἰς γένεσιν χωρήσοντα, τὰ μὲν οὐρανόθεν τὰ δὲ ἀπὸ τῶν ὑπογείων τόπων, καὶ ἡ μὲν βροντὴ τῶν ἄνωθεν ἡκουσῶν, ὁ δὲ σεισμὸς τῶν κάτωθέν ἐστι σύμβολον. Τέλος γοῦν ἐστιν τῆς τοιᾶσδε κινήσεως τὸ εἰς τὴν γένεσιν ἅττειν ἐξαπίνης πάντας. καὶ προσέθηκεν ὥσπερ ἀστέρας · ἔοικεν γὰρ τῇ κινήσει τῶν διαττόντων ἀστέρων περὶ γῆν ὄντως ἡ τοῦ ὀχήματος ἡμῶν κίνησις εἰς τὴν γένεσιν, ἄλλης δὲ ψυχῆς εἰς ἄλλο σῶμα κατατταττομένης εἰκότως καὶ τὰς τῶν ὀχημάτων φορὰς τὰς μετὰ τῶν ψυχῶν ἀστέρων διαττόντων ἀπείκασεν διαδρομαῖς. τὸ δὲ ἄνω πᾶσαν ἅττειν αἰτίαν ἔχει τὸ μετὰ τὴν πτῶσιν εἰς ζῳογονίαν αὐτὰς χωρεῖν, ὅπερ ἐστὶ κρεῖττον τοῦ πεπτωκέναι μόνον· συντελεῖν γάρ ἐστι πρὸς τὴν δημιουργίαν, ἀλλ᾽ οὐ πεπτωκέναι μόνον. ἴσως δὲ συντάττειν αὐτὸ δεῖ καὶ τῷ ὥσπερ ἀστέρα ς , ἵν᾽ ᾖ τὸ ὅλον· ‘ἅττοντας εἰς τὴν γένεσιν οὕτως ὡς ἄνω τῆς γενέσεως ἀστέρας ἅττοντας ὁρῶμεν ἐν τοῖς ἄκροις τοῦ ἀέρος‘. εἰ δὲ ἄλλην ἄλλῃ καὶ ἐξαπίνης ὁρμᾶν φησιν, δῆλον δήπουθεν ὡς διασπείρονται μὲν εἰς τὴν πεπληθυσμένην καὶ διῃρημένην ἐν τῇ γενέσει ζωὴν καὶ εἰς οἰκήσεις διαφερούσας καὶ μερίδας τῆς γῆς, ἀθρόως δὲ εἰσκρίνονται πᾶσαι καὶ ἀχρόνως τὰ σώματα ἐμψυχοῦσιν καὶ ἐνοικίζονται ἐν αὐτοῖς· ὡς τῆς ἔξω τῶν σωμάτων ζωῆς καὶ τῆς ἐν σώμασιν τὸν διορισμὸν ἀνεπαίσθητον ὑπάρχειν.

in R.2.353 τοιαύτην γὰρ ἐν Παρμενίδῃ [p. 156d] τοῦ ἐξαίφνης αὐτὸς ἡμῖν ἡρμήνευσεν φύσιν, ἄτοπον δή τινα οὖσαν ὡς ἐκεῖ λέγει, καθ᾽ ἣν αἱ ἀπὸ τῶν ἀντικειμένων εἰς τὰ ἀντικείμενα γίνονται μεταστάσεις. καὶ εἰσκρίσεις οὖν αἱ εἰς τὰ σώματα τῶν ψυχῶν ἐν τούτῳ δὴ τῷ ἐξαπίνης ἐπιτελοῦνται, καὶ πᾶσα μεταβολὴ εἴς τε στάσιν ἐκ κινήσεως καὶ εἰς κίνησιν ἀπὸ τῆς στάσεως. Αὐτὸς δὲ τοῦ μὲν ὕδατος κωλυθῆναι πιεῖν ἕως τοῦ καὶ τὴν ψυχὴν οὐ μιανθησόμεθα [p. 621bc]. Τρεῖς μὲν οὗτοι καιροὶ μάλιστα τὴν διαφορὰν ἐπέδειξαν ἡμῖν τοῦ τῶν λόγων τούτων γενομένου πατρὸς πρὸς τὰς ἄλλας ψυχάς. εἷς μὲν ὁ παρὰ τοῖς δικασταῖς· τῶν γὰρ ἄλλων ψυχῶν σημεῖα λαβουσῶν τῆς κρίσεως αὐτὸν μὴ λαβεῖν [p. 614d] ὡς οὔπω συμπεπληρωκότα τὸν τῇδε βίον. ἕτερος δὲ ὁ τῆς διακληρώσεως· αὐτὸν γὰρ τῶν ἄλλων κληρουμένων κλήρου μὴ τυχεῖν [p. 617c]· τούτῳ γὰρ οὔπω ἦν ἀρχὴ ἄλλης περιόδου. τρίτος δὲ ὁ τῆς πόσεως τῆς ἐκ τοῦ Ἀμέλητος· μὴ γὰρ συγχωρηθῆναι μόνον πιεῖν, ἵνα μὴ λήθῃ τῶν ὀφθέντων σχεθείη, δέοντος αὐτὸν ἄγγελον γίνεσθαι τοῖς τῇδε ἀνθρώποις τῶν πρὸ τῆς γενέσεως θεαμάτων. δῆλον οὖν ὅτι πάντες οἱ τοιοίδε λόγοι ψυχῶν εἰσιν μνήμην ἐχουσῶν ἱκανὴν τῆς χωριστῆς ζωῆς. ὥστ᾽ ἐν μύθου σχήματι δῆλός ἐστιν ὁ Πλάτων ἀναδιδάσκων, τίνος ἔργον ψυχῆς τὰ τοιαῦτα φράζειν, καὶ ὡς ταύτης ἦν μὴ κατέκλυσεν τὸ πόμα τοῦ ποταμοῦ τῆς Λήθης. Τὸ δ᾽ οὖν ἐφεξῆς πάντων τούτων, ὅτι πῶς μὲν ἐν τῷ σώματι γέγονεν, οὐκ οἶδεν—ἡ γὰρ ἐξαίφνης ὁδὸς οὐκ ἔδωκεν ἐπιστάσει χώραν· οὐδὲ γὰρ ἐπὶ τῶν ἄλλων ἐξαπίνης γινομένων ἐφίσταμεν, χρόνου παράτασιν τῆς ἐπιστάσεως ἀπαιτούσης, ἵνα παρακολουθήσῃ τῇ ἀρχῇ καὶ τῷ μέσῳ καὶ τῷ τέλει τοῦ συμβαίνοντος—, ἀναβλέψας δὲ ἔωθεν ἑαυτὸν εἶδεν ἐπὶ τῇ πυρᾷ κείμενον δωδεκαταῖον, ὡς εἴρηται ἐν προοιμίοις [p.

in R.2.354 614b]. Καὶ ὅπως οὐκ ἀπίθανος ἡ ἱστορία, δι᾽ ἐκείνων τῶν ἐν ἀρχῇ λελεγμένων ἡμῖν ὑπεμνήσαμεν· προσκείσθω δὲ ἐκεῖνο, ὅτι καὶ ἡ δυωδεκὰς περιόδου θείας ἐστὶν ἀριθμὸς εἰς τὸ πέρας τῶν ὄντων ἀπὸ τῆς ἀρχῆς καταντήσας, πέρατα καὶ μέσα τῶν ὅλων περιλαβών, ἅτε ἀπὸ τῶν ἀρχῶν μάλιστα προελθὼν τῶν ἐν τοῖς ἀριθμοῖς πρωτουργῶν. Τούτοις δὲ ἑπομένως ὁ Σωκράτης [p. 621b] τὸν μῦθον συμπερανάμενος σεσῶσθαί φησιν, ἀλλ᾽ οὐκ ἀπολωλέναι, καὶ ἡμᾶς σώσειν, ἐὰν πειθώμεθα αὐτῷ—πεισθέντες γὰρ οὐ μιανθησόμεθα τὴν ψυχὴν ⟦ καὶ ⟧ ἀνοσιουργίαις ἐπιτρέψαντες ἡμᾶς αὐτούς, διαβησόμεθα δὲ εὖ τοῦτον τὸν τῆς Λήθης ποταμόν· τὴν γένεσιν πᾶσαν αὖθις αἰνισσόμενος, ἀφ᾽ ἧς ἡ δεινὴ λήθη ταῖς ψυχαῖς τῶν τε θείων καὶ ἑαυτῶν. νῦν γὰρ ἐν τῷ τοιῷδε ποταμῷ ζῶμεν τῆς Λήθης, ὃν δεῖ διαβῆναι τὴν σύμφυτον αὐτῷ λήθην ἀποσκευαζομένους καὶ διὰ τῆς καθάρσεως τῆς ἐκ τῶν παθῶν ἀνανεουμένους τὴν

μνήμην τῶν ὄντων. μιασμὸς γὰρ ψυχῶν ἡ ἐμπαθὴς ζωὴ καὶ ἔνυλος, ἀφ' ἧς ἐπιγινόμενον τὸ τῆς λήθης πάθος· κάθαρσις δὲ ἡ ἀποβολὴ τῶν ληθαίων τούτων καὶ τῇ γενέσει συμφύλων παθῶν. Τοὺς μὲν οὖν πολλοὺς προστιθέναι τοῖς μύθοις ἔθος ἦν, ὅτι μῦθος ἀπώλετ ο , δεικνύναι βουλομένους ὡς ἄρα οἱ μῦθοι λέγουσιν μὴ ὄντα, πλασματώδεις ὄντες, καὶ ἅμα τε ἐρρήθησαν καὶ οὐκ εἰσίν. αὐτὸς δὲ πᾶν τοὐναντίον καὶ ἐνταῦθα καὶ ἀλλαχοῦ σῴζεσθαί τε καὶ σῴζειν φησὶν τοὺς μύθους τοὺς παρ' αὐτῷ.

in R.2.355 μάλα γε εἰκότως· τῶν γὰρ ὄντων εἰσὶν ἐξηγηταὶ καὶ ὠφέλιμοι τῶν ἀκουόντων ὑπάρχουσιν τοιοίδε ὄντες καὶ τοὺς πειθομένους αὐτοῖς ἐπανάγουσιν αὐτοφυῶς ἐπὶ τὴν τῶν ὄντων ἀλήθειαν, καίπερ ἄνευ εἰκότων καὶ ἀποδείξεων διδάσκοντες, ὡς ἂν ταῖς ἀδιαστρόφοις ἡμῶν προλήψεσιν περὶ τῶν πραγμάτων συνᾴδοντες. Τὰ μὲν δὴ τοῦ μύθου τέλος ἐχέτω. σμικρὰ δὲ προσθεὶς τούτοις σπέρματα πρὸς τὴν δόξαν τὴν Πλάτωνος τείνοντα περὶ τοῦ ἐφ' ἡμῖν καὶ εἱμαρμένης καὶ προνοίας περιγράψω καὶ αὐτὸς τὸν λόγον. Ὅτι μὲν οὖν ἐστι τοῦτο δὴ τὸ ἐφ' ἡμῖν δεικνύναι κατὰ Πλάτωνα περιττόν, πανταχοῦ τὰς αἱρέσεις τῶν ψυχῶν αἰτίας λέγοντος αὐταῖς εἶναι τῶν τε ἀγαθῶν πάντων καὶ τῶν κακῶν καὶ τὴν ἀρετὴν ἀδέσποτον καλοῦντος. πλὴν ὅτι κατ' αὐτὸν οὐκ ἔστι τὸ ἑκούσιον καὶ τὸ ἐφ' ἡμῖν ταὐτόν· ἀλλὰ τὸ μὲν ἑκούσιον ἐν μόνοις ἐστὶν τοῖς ἀγαθοῖς, εἴπερ ἀκούσιος καὶ ἀβούλητος ὁ τῶν κακῶν βίος· ἐφ' ἡμῖν δὲ καὶ ἀπὸ τῶν ἡμετέρων αἱρέσεων καὶ τὰ ἁμαρτήματα. καὶ γὰρ ταῦτα αἱρούμεθα καὶ ἑλόμενοι πράττομεν, ἀλλὰ δι' ἄγνοιαν. εἰ οὖν τὰ ἁμαρτήματα ἀκούσια μέν, ἐν ταῖς αἱρέσεσιν δὲ ἡμῶν ἐστι καὶ ταῦτα, πάντα μὲν τὰ ἑκούσια καὶ αἱρετὰ δήπουθέν ἐστιν, οὐ πάντα δὲ τὰ αἱρετὰ ἑκούσια. τούτων δὲ τὸ μὲν ἀκούσια εἶναι ὅσα ἁμαρτάνομεν ἐν τῷ ἐνάτῳ δέδεικται τῶν Νόμων [p. 860d sq.]· τὸ δὲ καὶ τὰ ἁμαρτήματα ἀπὸ τῶν αἱρέσεων εἶναι τῶν ἡμετέρων καὶ ἐν τοῖς τοῦδε τοῦ μύθου ῥήμασιν ἐκηρύττετο σαφῶς· αἰτία ἑλομένο υ , θεὸς ἀναίτιος [p. 617e]. τῶν γὰρ κακῶν δήπου θεὸς ἀναίτιος, οὐχὶ τῶν ἀγαθῶν. πάντων γὰρ αἰτιᾶσθαι χρῆναι τῶν ἀγαθῶν τὸν θεὸν ἐν τῷ δευτέρῳ τῆς Πολιτείας [p.

in R.2.356 379c] ἠκούσαμεν. ταῦτα μὲν οὖν, ὅπερ ἔφην, ὑπομιμνήσκειν διὰ πλειόνων περίεργον. Ὅτι δὲ τὴν εἱμαρμένην αἰτίαν εἶναί φησιν αὐτὸς τῶν τοῦ κόσμου περιόδων, καὶ οὔτε τὴν περίοδον οὔτε τὴν τάξιν τὴν ἐν αὐταῖς καὶ τὸν εἱρμόν, ὥς τισιν ἔδοξεν, δηλοῖ τὰ ἐν τῷ Πολιτικῷ [p. 272e] ῥηθέντα περὶ αὐτῆς· τὸν δὲ δὴ κόσμον ἀνέστρεφεν εἱμαρμένη καὶ σύμφυτος ἐπιθυμί α , τὴν ἐναντίαν τῇ προτέρᾳ περιάγουσα κυκλήσει. δῆλον γὰρ ὅτι κινεῖν μὲν ἐν τούτοις οἴεται τὴν εἱμαρμένην, κινεῖσθαι δὲ ὑπ' αὐτῆς τὸν κόσμον σύμπαντα κατὰ πάσας τὰς ἐν αὐτῷ κινήσεις. διὸ ἀρχόμενον μὲν ἀκριβέστερον ἀποτελεῖν, τελευτῶντα δὲ ἀμβλύτερον· ἥττων γὰρ ἡ τάξις ἐν τοῖς ἐσχάτοις τοῦ κόσμου, πλείων δὲ ἐν τοῖς πρωτίστοις. τοιαύτην δὲ τὴν εἱμαρμένην οὖσαν, κινητικὴν λέγω τῶν κοσμικῶν περιόδων αἰτίαν, ὅτι θεὸν οὐκ οἴεται εἶναι, λάβοις ἂν ἐναργῶς ἐκ τοῦ αὐτοῦ διαλόγου. φησὶ γὰρ [p. 269e] δύο κινήσεις ἐναντίας δύο θεοὺς ἐναντία φρονοῦντας μὴ κινεῖν· τὴν δὲ ἀνακύκλησιν ἐναντίαν εἶναι τῇ προτέρᾳ κυκλήσει τῇ θείᾳ· δῆλον ἄρα ὅτι τὴν ταύτης κινητικὴν οὐκ ἂν φαίη θεὸν εἶναι, θεὸν ἄρχειν ἐκείνης τῆς κυκλήσεως προειπών [p. 271d]. ἐπεὶ καὶ πάντων θεῶν ἀφέντων τὰ μέρη τοῦ κόσμου τῆς ἑαυτῶν ἐπιμελείας οὕτως ἐπήγαγεν, ὅτι τὸν κόσμον ἐκείνων ἀφέντων αὐτὸν ἀνέστρεφεν εἱμαρμένη λοιπόν [p. 272e]· οὐκ ἄρα θεός ἐστιν, εἴπερ τὴν ἐναντίαν κινεῖ κίνησιν τῇ προτέρᾳ κυκλήσει τοῦ παντός, ἣν ἐκίνει θεός, θεὸν δὲ ἐναντίαν θεῷ κίνησιν ἀμήχανον κινεῖν, καὶ εἰ μετὰ τὴν ἀπόλειψιν πάντων θεῶν οὕτω κινεῖ τὸν κόσμον ὡς ἂν αὐτὴ μὴ οὖσα θεός. Ὅτι δὲ οὐδὲ ἡ θεία ψυχὴ τοῦ παντός ἐστιν, μάθοιμεν ἂν ἐννοήσαντες, ὅπως ταύτην καὶ ἐν Τιμαίῳ θεὸν οἶδεν (εἴπερ ἐκάλει τὸν κόσμον εὐδαίμονα δι' αὐτὴν θεόν [p.

in R.2.357 34b]) καὶ θείαν ἀρχὴν ἄρξασθαί φησιν ἀπαύστου βίου καὶ ἔμφρονος [p. 36e], καὶ ἐν Νόμοις [X 897b] νοῦν θεῖον προσλαβοῦσαν εἶναι βούλεται θεόν, ὅπου καὶ πάσας τὰς ψυχὰς ἄστρων ὡρῶν

στοιχείων. εἰ οὖν ἡ μὲν εἱμαρμένη κατ’ αὐτὸν οὐ θεός, ἡ δὲ ψυχὴ τοῦ κόσμου θεός, οὐκ ἂν εἴη εἱμαρμένη ἡ τοῦ κόσμου ψυχή, οὔθ’ ἡ ἐν Τιμαίῳ οὔθ’ ἡ ἐν Νόμοι ς . Ὅτι δὲ ὅπερ ὑπόλοιπον ἀληθές, καὶ ὡς ἡ φύσις ἐστὶν τοῦ παντός, ἐκ τούτων συνάγειν δυνατόν. εἰ γὰρ μήτε ἡ ψυχή ἐστιν ἡ προσλαβοῦσα νοῦν μήτε τὸ σωματοειδές (τοῦτο μὲν γὰρ κινεῖ, θεὸς δὲ οὐκ ἔστιν ὥσπερ ἐκείνη), λείπεται μέσην αὐτὴν οὖσαν ἀμφοτέρων, τῆς μὲν ὡς θεοῦ μὴ θεὸν χείρονα, τοῦ δὲ ὡς κινουμένου κινοῦσαν κρείσσονα, τὴν φύσιν εἶναι τοῦ παντός. καὶ γὰρ ἐν Τιμαίῳ [p. 41e] ταῖς ψυχαῖς τοὺς εἱμαρμένους νόμους εἰπεῖν ἐθέλων πρότερον τὴν φύσιν δείκνυσιν τοῦ παντός (οὕτω γοῦν φησιν· καὶ ἐμβιβάσας ὡς εἰς ὄχημα τὴν τοῦ παντὸς φύσιν ἔδειξεν νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖ ς) , καὶ ἐν Νόμοις [X 892b] πρὸς τοὺς σωματικαῖς ἀρχαῖς χρωμένους ἀγωνίζεσθαι μέλλων 〈οὐ〉 καλῶς φησιν αὐτοὺς τὰ φύσει φύσιν ἀποκαλεῖν, ὡς ἄλλης δηλαδὴ παρὰ τὰ φύσει τῆς φύσεως οὔσης. εἰ οὖν τὰ σώματα πάντα φύσει, δῆλον ὡς φύσις ἄλλη τις παρὰ τὰ σώματα καὶ αἰτία τῶν φύσει καὶ κατ’ αὐτόν. δέδεικται τοίνυν, ὅτι φύσις ἐστὶν τοῦ παντὸς ἡ εἱμαρμένη καὶ κατὰ τὰς Πλάτωνος ἀρχάς. Ὅτι δὲ ταῦτα συντέτακται ἀλλήλοις, τό τε ἐφ’ ἡμῖν λέγω καὶ εἱμαρμένη, καὶ συνεμφαίνεται παρὰ τῆς προνοίας, λάβοις ἂν ἐκ τῶν ἐν τῷ δεκάτῳ τῶν Νόμων ῥηθέντων [p.

in R.2.358 904]. λέγει γάρ, ὅτι μὲν οὐ βιάζεται τὸ ἐφ’ ἡμῖν ἢ εἱμαρμένη ἢ πρόνοια, ταυτί (γράψω δὲ συντεμὼν τὰς ῥήσεις)· ἐπειδὴ κατεῖδεν ἡμῶν τὰς πράξεις ὁ βασιλεὺς ἐμψύχους οὔσα ς , καὶ πολλὴν μὲν ἀρετὴν ἐν αὐταῖς οὖσα ν , πολλὴν δὲ κακίαν (ὅπερ ἦν τοῦ ἐφ’ ἡμῖν ἴδιον), ἐμηχανήσατο ποῦ κείμενον ἕκαστον τῶν μερῶν ἀρετὴν μὲν νικῶσα ν , ἡττωμένην δὲ κακίαν ἐν τῷ παντὶ παρέχοι (τοῦτο δὲ ἦν προνοίας ἴδιον, πᾶσιν χρῆσθαι κατὰ τὸ δυνατὸν εἰς τὸ ἀγαθόν)· μεμηχάνηται δὴ πρὸς τοῦτ ο , ποῖον γιγνόμενον ἀεὶ ποίαν ἕδραν δεῖ μεταλαμβάνειν · τῆς δὲ γενέσεως τοῦ ποιοῦ τινος ἀφῆκεν ⟦ ἐν ⟧ ταῖς βουλήσεσιν ἑκάστων ἡμῶν τὰς αἰτία ς . ὅπῃ γὰρ ἂν ἐπιθυμῇ καὶ ὁποῖός τις ὢν τὴν ψυχή ν , ταύτῃ σχεδὸν ἑκάστοτε καὶ τοιοῦτος γίνεται ἅπας ἡμῶ ν . δι’ ὧν τὸ αὐτεξούσιον μάλιστα σώζει τῆς ψυχῆς καὶ τὸ ἐφ’ ἡμῖν· τὸ γὰρ ποιὸν τῆς ζωῆς τῆς ἡμετέρας ἠρτῆσθαι βουλήσεως· τὴν προαιρετικὴν δύναμιν ἀποκαλέσας ἐν τούτοις βούλησιν. τοιοῦτον δὲ ὂν πῶς συντάττεται πρὸς τὴν εἱμαρμένην, ἐπάκουσον· μεταβάλλει μὲν τοίνυν πάν θ ’ ὅσα μέτοχα ψυχῆ ς , ἐν ἑαυτοῖς κεκτημένα τὴν τῆς μεταβολῆς αἰτίαν (καὶ τοῦτο πάλιν διὰ τὸ ἐφ’ ἡμῖν εἰπών)· μεταβάλλον δ έ , φησίν, φέρεται κατὰ τὴν τῆς εἱμαρμένης τάξιν καὶ νόμον · καὶ πῶς φέρεται, καὶ ὅτι ταττόμενον εἰς τὴν ὀφειλομένην αὐτῷ χώραν· σμικρότερα μὲν τῶν ἠθῶν μεταβάλλοντα ἐλάττονα κατὰ τὸ τῆς χώρας ἐπίπεδο ν , πλείω δὲ μεταπεσόντα εἰς βάθος τά τε κάτω λεγόμεν α , ὅσα Ἅιδην καὶ τὰ τούτων ἐχόμενα ἐπονομάζοντες σφόδρα φοβοῦντα ι .

in R.2.359 τοῦτον μὲν οὖν τὸν τρόπον οὐκ ἐκβαίνομεν τῆς εἱμαρμένης, ἀλλὰ κατὰ τοὺς ἐν αὐτῇ νόμους φερόμεθα, μεταβάλλοντες κατὰ τὰς ζωάς, κύριοι τῆς μεταβολῆς ὄντες, εἰς ἄλλον καὶ ἄλλον τόπον ἁγιώτερον ἢ τιμωρητικώτερον ἢ καὶ μέσον ἀμφοτέρων. εἴρηται δὲ καὶ τὸ πάντα συντάττον, καὶ ὅτι πρόνοια καὶ ὁ τοῦδε τοῦ παντὸς βασιλεύς· εἰς ὃν καὶ ἀναδραμόντες ἐνταῦθα περιγράψομεν τὸν περὶ τοῦ μύθου σύμπαντα λόγον. Πρόκλου Λυκίου Πλατωνικοῦ διαδόχου εἰς τὸν ἐν πολιτείᾳ τοῦ Πλάτωνος μῦθον ὑπόμνημα. ΕΠΙΣΚΕΨΙΣ ΤΩΝ ΥΠ’ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΕΝ ΔΕΥΤΕΡΩΙ ΤΩΝ ΠΟΛΙΤΙΚΩΝ ΠΡΟΣ ΤΗΝ ΠΛΑΤΩΝΟΣ ΠΟΛΙΤΕΙΑΝ ΑΝΤΕΙΡΗΜΕΝΩΝ.

in R.2.360 (1) Τῆς Πλάτωνος πολιτείας ὁ δαιμόνιος Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῶν Πολιτικῶν ἐξέτασιν ποιούμενος, ὥσπερ εἴωθεν πρὸ τῶν αὐτὸν ἀρεσκόντων βασανίζειν τὰ τῶν παλαιοτέρων, πρῶτον ἐκεῖνο παρείληφεν ἀξίωμα κάλλιστον περὶ πάσης πολιτείας ἐκ διαιρέσεως, ὡς ἄρα ἀναγκαῖον ἢ πάντων εἶναι κοινωνίαν τοῖς μιᾶς πολιτείας μετειληχόσιν, ἢ μηδενός, ἢ τῶν μὲν τῶν δ’ οὐ κοινωνεῖν ἀλλήλοις. καὶ τὸ μὲν μηδενὸς εἶναι κοινωνίαν τοῖς τὴν αὐτὴν οἰκοῦσιν ἀδύνατον εἶναι· πᾶσα γὰρ πόλις κοινωνούντων ἐστὶν ἀλλήλοις ἀνθρώπων καὶ συμβαλλόντων·

τὸ δὲ πάντων ὁμοίως ἀμήχανον· τοῖς γοῦν σώμασιν ἰδίοις ἀνάγκη χρῆσθαι καὶ ταῖς αἰσθήσεσιν διαφερούσαις καὶ τοῖς φυσικοῖς ἔργοις ἅπασιν· ὧν ὑφαιρεθέντων λείπεται τῶν μὲν εἶναι κοινωνίαν ἐν ταῖς πόλεσιν, τῶν δὲ μὴ εἶναι τοῖς ἀνθρώποις. τοῦτο μὲν οὖν τὸ ἀξίωμα προὔλαβεν αὐτός· εἴρηται δὲ καὶ ὑπὸ Πλάτωνος, ὅτι πάντων μὲν εἶναι κοινωνίαν οὐκ ἐνδέχεται, τὸ δὲ ὡς πλείστων εἶναι τὴν κοινωνίαν αἱρετὸν ἐν ταῖς εὐνομουμέναις πόλεσιν. καὶ δεδήλωκεν τὸ μὲν πρότερον, ἐν οἷς διορίζεται καὶ προστάττει χρῆναι ἕκαστον ἕν τι ἐπιτηδεύειν, πρὸς ὃ πέφυκεν, καὶ μὴ ὑφαρπάζειν τινὰ τὸ μηδὲν αὐτῷ προσῆκον ἐπιτήδευμα καὶ ἔργον· εἰ γὰρ τοῦτο ἀληθές, οὐ πάντες πάντων κοινωνήσουσιν ἐπιτηδευμάτων, ἀλλ᾽ οἱ ὁμοφυεῖς τὰ αὐτὰ ἐπιτηδεύσουσιν μόνον· τὸ δὲ δεύτερον, ἐν οἷς φησιν χρῆναι συντετάχθαι πρὸς ἑαυτὴν οὕτω τὴν πόλιν ὡς ἑνὸς μέρη σώματος· καὶ γὰρ ταῦτα διαφέρει μὲν ἀλλήλων καὶ ἄλλο ἄλλου ἔργον, ὡς τὸ μὲν ὁρᾶν τὸ δὲ ἀκούειν τὸ δὲ κινεῖν τὸ δὲ τρέφειν, πάντα δὲ ἀλλήλοις συμπαθεῖ καὶ μίαν ζωὴν ζῇ καὶ εἰς μίαν ἀνήρτηται ψυχήν, καὶ διδόντα ἕκαστον εἰς πάντα τὸ οἰκεῖον ἔργον λαμβάνει παρὰ τῶν ἄλλων τὸ πρὸς τὴν αὐτοῦ χρείαν, καὶ διὰ τοῦτο ἑνὸς ἀλγοῦντος ἢ ὑγιαζομένου λέγεται ἀλγεῖν ὁ ἄνθρωπος ἢ ὑγιάζεσθαι, διότι καὶ τὸ τοῦ μέρους ἀγαθὸν ἢ κακὸν τοῦ ὅλου ἐστὶν ἀγαθὸν ἢ κακόν.

in R.2.361 Δεύτερον δὲ μετὰ τοῦτο τὸ ἀξίωμα λοιπὸν εἰς τὴν ἐξέτασιν καθεὶς ἀπορεῖ, πῶς τοῦτο δυνατὸν τὸ μίαν εἶναι τὴν πόλιν, ὡς τοῦτο ἄριστον ὄν. λαμβάνειν μὲν γὰρ ταύτην τὸν Σωκράτη τὴν ὑπόθεσιν· εἶναι δὲ τοῦτο παντελῶς ἄτοπον. μίαν γὰρ γιγνομένην τὴν πόλιν ἐπὶ μᾶλλον ἀπολλύναι καὶ τοῦτ᾽ αὐτὸ τὸ εἶναι πόλιν· μᾶλλον γὰρ μίαν οἰκίαν πόλεώς φαμεν εἶναι, καὶ ἕνα μᾶλλον τῆς οἰκίας ἕκαστον· εἰ οὖν καὶ δυνατὸν ἦν ἐπιτείνειν τὴν ἕνωσιν τῆς πόλεως, ὡς ἔοικεν, οὐκ ἦν ὀρθόν· ἀνῃρεῖτο γὰρ ἡ πόλις, καὶ τὸ λεχθὲν ὡς μέγιστον ἀγαθὸν ἐν ταῖς πολιτείαις, τὸ ἓν ὅτι μάλιστα γίνεσθαι τὴν πόλιν, φθαρτικὸν αὐτῆς ὑπῆρχεν ὅλως ⟦ τῆς πόλεως. ⟧ εἰ οὖν τὸ ἑνίζειν τὴν πόλιν ἀναιρετικόν ἐστι τῆς πόλεως, τὸ δὲ ἑκάστου ἀγαθὸν οὗ ἐστιν ἀγαθὸν σωστικόν ἐστιν καὶ οὐκ ἀναιρετικόν, λείπεται ἄλλο τι ἢ τὸ ἑνίζειν τὴν πόλιν μὴ εἶναι τῆς πόλεως ἀγαθόν, ὡς ἕνα ἄνθρωπον αὐτὴν ἀντὶ πόλεως ποιοῦν; Πρὸς δὲ ταύτην τὴν ἐπιβολὴν τοῦ λόγου δεῖ λέγειν, ὅτι τὸ ἓν οὐκ ἔστι τοιοῦτον οἷον αὐτὸς ὑπέλαβεν, τὸ ἄτομον καὶ τὸ τῷ ἀριθμῷ, εἰς ὃ κατήγαγεν τὴν πόλιν, ὃ δὴ λόγον ὕλης ἐπέχει πρὸς τὴν σύμπασαν πόλιν (ἐκ γὰρ τῶν πολλῶν ἀνθρώπων ἡ πόλις), ἀλλὰ τὸ κρεῖττον τῶν μερῶν καὶ ὃ συναγωγόν ἐστιν οὕτως τῶν πολλῶν, ὡς ὑπερέχειν αὐτῶν καὶ εἶναι τελικὸν αἴτιον, ἀλλ᾽ οὐ συναίτιόν τι καὶ ὑλικόν.

in R.2.362 ἐπεὶ καὶ τοῦ σώματος ἡμῶν ἐκ πολλῶν ὄντος ἕκαστον τῶν ἐν αὐτῷ μερῶν ἕν τί ἐστιν, ἀλλ᾽ ὡς ὕλη τοῦ ὅλου τοῦτο τὸ ἕν· τὸ δὲ μάλιστα ἓν τοῦτό ἐστιν τὸ συνέχον τὸ σῶμα, εἴτε λόγος εἷς φυσικὸς εἴτε καὶ ψυχή τις, δι᾽ ἣν ἓν τὸ σῶμά ἐστιν, καὶ ταῦτα ἐκ πολλῶν ὄν. διττὸν οὖν τὸ ἕν, ἢ τὸ ὑλικὸν ἢ τὸ τελικόν. καὶ ἐπεὶ ἑνίζειν θέλει τὴν πόλιν, οὐχ ὡς εἰς τὸ ὑλικὸν αὐτὴν ἓν κατάγων μηχανᾶται τὴν ἕνωσιν, ἀλλ᾽ εἰς τὸ τελικὸν καὶ αὐτὸ τὸ ἀγαθόν, δι᾽ ὃ καὶ ἀφ᾽ οὗ πᾶσιν ἡ ἕνωσις. ὅθεν καὶ ὁ Σωκράτης τοῦτο ζητῶν τὸ ἕν, οὐ τὸ ἄτομον, ὡς εἴπομεν, ἀλλὰ τὸ συνέχον τὴν πόλιν, μηχανᾶται τὴν κοινωνίαν τὴν ἐν τοῖς πλείστοις ὡς ὁμονοίας αἰτίαν καὶ ἀστασίαστον αὐτὴν φυλάττουσαν. ὅταν οὖν λέγῃ τὸ ἓν ἀναιρεῖν τὴν πόλιν, τὸ δὲ ἑκάστου ἀγαθὸν σώζειν ἕκαστον, αἰτιασόμεθα τὴν ἑτέραν πρότασιν τὸ ἓν ἐκεῖνο λαμβάνουσαν οὐχὶ τὸ συναγωγὸν τοῦ πλήθους καὶ συνεκτικόν, ἀλλὰ τὸ ὑλικόν· τοῦτο γὰρ ἀναιρετικὸν ὄντως τοῦ πλήθους καὶ τῆς ὁλότητος, μέρος ὂν ἀλλ᾽ οὐχ ὅλον, ἐκεῖνο δὲ σώζει μειζόνως τὸ ὅλον, συμπαθείας ὂν αἴτιον καὶ ὁμονοίας. Τρίτον τοίνυν τὴν αὐτάρκειαν, φησίν, ἀφανίζει τῆς πόλεως τὸ λίαν αὐτὴν ἑνίζειν· αὐταρκέστερον γὰρ ἑνὸς ἀνδρὸς οἰκία καὶ πόλις οἰκίας· εἰ οὖν τὸ ἧττον ἓν αὐταρκέστερον, ὡς πόλις οἰκίας καὶ οἶκος ἑνὸς ἀνδρός, τὸ μᾶλλον ἓν ἧττόν ἐστιν αὔταρκες.

in R.2.363 Πάλιν δὴ καὶ οὗτος ὁ λόγος λανθάνει παρὰ τὴν ὁμωνυμίαν τοῦ ἑνὸς τὸν ἔλεγχον ποιῶν, ὥσπερ καὶ ὁ πρότερος. πόλις γὰρ οἰκίας καὶ ἑνὸς ἀνδρὸς οἰκία καὶ αὐταρκέστερον καὶ μᾶλλον ἕν, καὶ ἧττον αὔταρκες καὶ ἧττον ἕν. εἰ μὲν γὰρ τὸ ἄτομον λαμβάνοις καὶ ὃ εἴπομεν ὕλης ἔχειν τάξιν, καὶ ἧττόν ἐστιν ἓν ἡ πόλις (πολλῶν γὰρ δεῖται τοιούτων οἷόν ἐστιν τὸ ἄτομον) καὶ ἧττον αὔταρκες· πλειόνων γὰρ δεῖ τῇ πόλει πρὸς 〈τὸ〉 εἶναι καὶ σώζεσθαι ἢ ὧν δεῖται ὁ εἷς, ὥσπερ καὶ πᾶν ὅπερ ἂν ᾖ ὅλον τοῦ οἰκείου μέρους· εἰ δὲ τὸ ὡς ἀληθῶς ἕν, ὃ δὴ τῷ τελείῳ ταὐτόν, καὶ μᾶλλον ἓν ἡ πόλις τοῦ ἑνὸς καὶ μᾶλλον αὔταρκες, ὥσπερ καὶ τὸ ὅλον μᾶλλον ἑκάτερον ἢ τὸ μέρος· τοῦτο γὰρ συνέχει, συνέχεται δὲ τὸ μέρος, τὸ δὲ συνέχον μᾶλλον ἓν ἢ τὸ ὑπ' αὐτοῦ συνεχόμενον καὶ μᾶλλον αὔταρκες ἢ τὸ ἐν αὐτῷ περιεχόμενον (δεῖται γὰρ τῶν ἄλλων μερῶν). Πάλιν οὖν καὶ οὗτος ὁ λόγος διελὼν τοῦ ὅλου καὶ τελείου τὸ ἓν καὶ εἰς τὸ ὡς μέρος καὶ ἀτελὲς φερόμενος οὕτως ἠρώτηται. καὶ δοκεῖ τὸ ἓν καὶ τὸ αὔταρκες ἀπ' ἀλλήλων διοικίζειν, ὥσπερ καὶ ὁ πρὸ αὐτοῦ· καίτοι γ' ἐχρῆν καὶ τοῦ ἐν Φαίδωνι [p. 99c] Σωκράτους ἀκούειν βοῶντος, ὡς ἄρα οὐδὲν οὕτως οἶδεν συνδεῖν τὰ ὄντα καὶ συνέχειν ὡς τὸ ἀγαθόν, παντὸς Ἄτλαντος ἰσχυρότερον ὂν εἰς ταύτην τὴν δύναμιν καὶ αὐτὸ τὸ δέον ὄντως ὑπάρχον· ἐπείσθη γὰρ ἂν τούτοις ἑπόμενος, ὅτι τὸ αὐταρκέστερον πᾶν ὁτουοῦν ἥνωται μᾶλλον καὶ ἓν μειζόνως ἐστίν, ὥσπερ καὶ αὔταρκες μειζόνως. τὸ γὰρ μᾶλλον τοῦ συνδέοντος μετέχον μᾶλλόν ἐστιν ἕν· τὸ δὲ τοῦ ἀγαθοῦ μᾶλλον μετειληχὸς τοῦ συνδεῖν δυναμένου διὰ τὸν ἐν Φαίδωνι λόγον μετέχει μᾶλλον· τὸ δὲ αὐταρκέστερον μᾶλλον τοῦ ἀγαθοῦ μετέχει (στοιχεῖον γὰρ τοῦ ἀγαθοῦ τὸ αὔταρκες)· ὥσθ' ἡ πόλις αὐταρκέστερον ἑνὸς μᾶλλον ἂν εἴη μετέχουσα τοῦ ὡς ἀληθῶς ἑνός.

in R.2.364 ἐπεὶ καὶ τόνδε τὸν κόσμον ἐκ πάντων ὄντα τῶν αἰσθητῶν, εἰ καὶ παράδοξον εἰπεῖν, κατὰ ταύτην τὴν ἕνωσιν μᾶλλον ἡνῶσθαί φαμεν ἑκάστου τῶν μερῶν ἐξ ὧν ἐστιν· εἰ γὰρ τὸν μέγιστον ἔχει τῶν δεσμῶν καὶ κάλλιστον, τὴν ἀναλογίαν λέγω, δι' ἣν φιλίαν ἄλυτον ἔχει τὰ ἐν αὐτῷ πάντα καὶ δέδεται τρόπον ἄλυτον παντὶ πλὴν τοῦ συνδήσαντος, ὡς ὁ τοῦ Τιμαίου λόγος [p. 32c], παντὶ δὴ φανερόν, ὅτι παντὸς ἥνωται τῶν ἐν αὐτῷ μᾶλλον. διὸ καὶ συμπάθεια πάντων ἐστὶ τῶν ἐν αὐτῷ, μιᾶς ζωῆς πάντα συνεχούσης καὶ εἴδους ἑνός. καίτοι γε εἶπεν ἄν τις ἓν τὸ πῦρ μᾶλλον ἢ τὸ πᾶν, καὶ τὸ ὕδωρ μᾶλλον ἢ τὸ πᾶν ἐκ πυρὸς καὶ ὕδατος ἐκεῖνο γεγονὸς ἕν. ἀλλὰ τὸ μὲν ἑκατέρου τούτων ἓν ὕλη τοῦ ἐν τῷ παντί ἐστιν ἑνός, τὸ δὲ τοῦ παντὸς ἓν εἶδός ἐστιν τούτων καὶ συνέχον ἄμφω, καὶ τέλος μᾶλλον καὶ ἀγαθὸν μᾶλλον, καὶ αὐταρκέστερον τὸ πᾶν ἑκάστου τῶν ἐν αὐτῷ, τῶν μὲν δεομένων ἄλλων, τοῦ δὲ οὐδενός. καὶ γὰρ ὅλον καὶ οὐχ ὅλον ἕκαστον, ὥς φησιν αὐτὸς Ἀριστοτέλη ς , μόνον δὲ ὅλον καὶ τέλειον πᾶν· εἰ οὖν ἡ ὁλότης ἑνότης ἐστὶν καὶ ἡ τελειότης, μόνως ἓν κυρίως τὸ πᾶν, αὐταρκέστατον μὲν ὂν ὡς μάλιστα τέλειον, ἡνωμένον δὲ μάλιστα ὡς ὅλον μάλιστα. συντρέχει ἄρα τό τε ἓν καὶ τὸ αὔταρκες· καὶ γὰρ τἀγαθὸν ἓν καὶ τὸ ἓν τἀγαθόν. οὐκ ἄρα δεῖ φάναι τὴν πόλιν αὐταρκέστερον μὲν ἑκάστου τῶν πολλῶν, ἧσσον δὲ ἕν, ἀλλ' ὡς ἑκάτερον καὶ τὸ λοιπόν· οὐδὲ τὸ ἑνίζειν ἀφανίζειν εἶναι τὸ αὔταρκες· οὐ γάρ ἐστι τὸ ἑνίζειν ἕνα ἄνδρα ποιεῖν αὐτήν, ἀλλὰ μένουσαν πόλιν εἰς μίαν ἄγειν κοινωνίαν πᾶσαν διὰ τὴν εἰς ἓν ἀγαθὸν πάσης καὶ τῶν ἐν αὐτῇ πάντων ἐπιστροφήν. τοῦτο γὰρ μὴ διῃρημένον ἐν τοῖς μέρεσιν, ἀλλ' ἓν καὶ κοινὸν πάντων ἀποφανθὲν ἑνίζει τὴν πόλιν ἐκ πολλῶν οὖσαν.

in R.2.365 δηλοῖ δὲ ταῦτα καὶ ὁ Σωκράτης αὐτὸς [V 462a] ὑφηγούμενος, τί ποτέ ἐστιν, ὃ μάλιστα ποιήσει τὴν πόλιν κοινωνεῖν αὐτὴν πρὸς ἑαυτὴν ὀρθῶς, οἰκισθεῖσαν διαφερόντως τῶν ἄλλων πόλεων· τὸ γὰρ ἐπὶ τοῖς αὐτοῖς, φησίν, ἥδεσθαι καὶ λυπεῖσθαι· τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ τὰ αὐτὰ νομίζειν ἀγαθὰ καὶ κακὰ πάντας τοὺς ἐν αὐτῇ· τοῦτο δὲ ἐκεῖνό ἐστιν τὸ μηδὲν πρὸς ἕτερον, ἀλλὰ πρὸς ἓν πάντας ἀγαθὸν τὸ τῆς ὅλης πόλεως ἀποβλέποντας ζῆν. Τέταρτον δὴ οὖν ἐπὶ τούτοις παραλογίζεσθαί φησι τὸν Σωκράτην λέγοντα ποιεῖν τὴν ἐν τῇ πόλει κοινωνίαν μάλιστα τὸ πάντας ταὐτὸν λέγειν τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμὸν καὶ μὴ τὸ μὲν ἄλλον τὸ δὲ ἄλλον

τῶν πολιτῶν. τὸ γὰρ πάντας εἶναι διττόν, ἢ τὸ ἕκαστον ἢ τὸ κοινῇ μὲν οὐχ ἕκαστον δέ· καθάπερ καὶ τὸ λέγειν ἄμφω ἄρτια ἢ ἄμφω περισσὰ διττόν· ἢ γὰρ τὸ ἐκ τῶν δύο λέγει περισσὸν ἢ ἄρτιον ἢ ἰδίᾳ ἑκάτερον ὁ τοῦτο λέγων, καὶ ποιεῖ παραλογισμὸν τοῦ ἄμφω τὸ διττόν. οὕτω δὲ καὶ τὸ πάντας διττόν· καὶ εἰ μὲν ἕκαστον σημαίνει τῷ Σωκράτει τὸ πάντας λέγειν ταὐτὸν τὸ ἐμὸν καὶ οὐκ ἐμόν, εἴη μὲν ἂν οὕτως ὃ βούλεται λέγειν ὁ Σωκράτης· ἕκαστος γὰρ ἐρεῖ τὸν αὐτὸν υἱὸν καὶ γυναῖκα τὴν αὐτήν. ἀλλ' οὐκ ἐροῦσιν οὕτως, ὡς ἕκαστον υἱὸν αὐτοῦ τοῦτον λέγειν καὶ ἕκαστον ἑαυτοῦ γυναῖκα ἑκάστην. εἰ δ' ὡς ἐκ πάντων ἕνα ἕκαστον, τοῦτο παντελῶς ἀδύνατον. πῶς οὖν ἐροῦσι πάντες ταὐτὸν τὸ ἐμὸν καὶ οὐκ ἐμὸν ταὐτόν, ὃ ποιεῖν μόνον ὁ Σωκράτης λέγει μίαν τὴν πόλιν; Πρὸς δὴ τοῦτο φήσομεν ἡμεῖς πάντας μὲν οὕτως ἐρεῖν ὡς ἕκαστον, ταύτην δὲ τὴν ὑπόληψιν ἕκαστον ἕξειν πάντων εἶναι πατέρα, καὶ κοινοὺς εἶναι τοὺς παῖδας, καὶ πάντων εἶναι γυναῖκας τὰς αὐτὰς ὁμοίως, διὰ τὸ μηδένα τῶν ἄλλων ἀποσπάσαντα χωρὶς ἔχειν τὴν συνοικοῦσαν καὶ αὐτῷ παιδοποιοῦσαν κατὰ τὴν αὐτοῦ βούλησιν, ἀλλὰ κατὰ τὴν τῶν ἀρχόντων κρίσιν καὶ ὃν ἂν ἀφορίζωσιν καιρὸν γίνεσθαι τὴν σύνερξιν.

in R.2.366 ὥσπερ οὖν καὶ τὰ χρήματα διὰ τοῦτο κοινὰ πᾶσιν, ὅτι τῆς πόλεως ὄντων πάντων ἕκαστος τυγχάνει τῶν ἀναγκαίων, ἐφ' ὅσον αὐτῷ δεῖ, καὶ κύριος τῶν πάντων οὐχ οὗτος, ἀλλ' ὁ νόμος, οὕτως καὶ γυναῖκες κοιναὶ πάντων, ὅτι κύριος αὐτῶν τῆς συναπογεννήσεως οὐκ αὐτός, ἀλλ' ὁ ἄρχων. οὕτως οὖν καὶ τοὺς παῖδας ὑπολήψονται κοινούς, ἀγνοοῦντες οὓς ἐγεννήσαντο (τραφήσονται γὰρ ἀγνοούμενοι τοῖς πατράσιν), καὶ οὐκ ἐροῦσι τὸ ἐμὸν ἐπὶ τούτων καὶ οὐκ ἐμόν. οὐ γὰρ οἶδεν ἕκαστος, ὅτου δὴ καὶ τυγχάνει πατὴρ ὤν, εἰ καὶ τίνι συγκεκοίμηται γιγνώσκει· μόνως δὲ τῷ χρόνῳ διορίζει τὸν υἱὸν καὶ μὴ υἱόν. πάντα γὰρ τὸν διαφέροντα τοῖς ἓξ καὶ εἴκοσι ἔτεσιν υἱὸν 〈ἢ〉 ἔγγονον προσερεῖ, διότι κατὰ τοῦτον γεννᾶν αὐτῷ δέδοται τῇ πόλει τὸν χρόνον, λέγω δὴ τὸν τῶν πέντε καὶ εἴκοσι ἐτῶν ἐλάχιστον, καὶ μετὰ τοῦτον τὸν τῆς πρώτης γεννήσεως, ὅς ἐστιν ὁ πλεῖστος δεκάμηνος. ἄλλως οὖν ἐρεῖ τὸ ἐμὸν ταὐτὸν ἕκαστος καὶ οὐκ ἐμὸν ἐπὶ τῶν γυναικῶν, καὶ ἄλλως ἐπὶ τῶν παίδων. ἐπὶ τούτων μὲν γὰρ καὶ ἡ ἄγνοια [ποιεῖ] πάντας τοὺς ὁμοχρόνους ἀλλήλοις παῖδας ἢ ἐγγόνους νομίζειν, ἐπὶ δὲ τῶν γυναικῶν ἡ τῆς ἐξουσίας ἀφαίρεσις, ἧς ἀφῃρημένοι κοινὰς αὐτὰς οὕτως ἐροῦσιν ὡς τῆς πόλεως οὔσας ἀλλ' οὐχ ἑαυτῶν. ὥστε ἕκαστος μὲν ἐρεῖ ταὐτὸν τὸ ἐμὸν εἰς τὴν πόλιν ἀναφέρων· καὶ γὰρ ἑαυτὸν ἓν ἀγαθὸν ἔχειν ἡγεῖται τοῦτο, ὃ καὶ τῆς πόλεώς ἐστιν. συμβαίνει δὲ τοῦτο τὸ πάντας ταὐτὸν λέγειν τῷ τὸ ἐκ πάντων ταὐτὸν λέγειν τὸ ἐμόν· ὃ γὰρ τῆς πόλεως ἐκ πάντων οὔσης ἐστὶν κτῆμα, τοῦτο καὶ ἕκαστος ἑαυτοῦ κτῆμα νομίζων φθέγγεται τὸ ἐμόν.

in R.2.367 Διττοῦ δὴ ὄντος τοῦ πάντας λέγειν ἄμφω ἀληθῆ καὶ ἰδίᾳ θάτερον καὶ θάτερον· τὸ γὰρ κοινῇ πάσης ὡς ἑνὸς τῆς πόλεως ὂν καὶ ἕκαστος ἑαυτοῦ καὶ ἡγεῖται καὶ ὀνομάζει κτῆμα· καὶ τοῦτό φησιν ἕκαστος ἐμόν, ὃ ἂν ἡ πόλις λέγῃ ἐμόν, ἵν' ὡς δυνατὸν ἅπαντες μίαν ἔχωσιν ζωὴν καὶ ἕνα τὸν τῆς πόλεως βίον. καὶ εἴρηται, ὅπως ἐπί τε γυναικῶν αὐτοῖς τοῦτο πρόχειρον ἔσται καὶ παίδων καὶ ἐπὶ τῶν χρημάτων. Πέμπτον δὴ οὖν ἐκεῖνο προστίθησιν, ὅτι βλάβην ἔχει τοῦτο ἑτέραν τὸ μηδὲν ἴδιον ἡγεῖσθαι, πάντα δὲ κοινά, τὰς γυναῖκας, τοὺς παῖδας, τὴν κτῆσιν. ἀμελεῖν γὰρ τῶν κοινῶν τοὺς ἀνθρώπους, πλέον δὲ τῶν ἰδίων φροντίζειν· συμβαίνειν οὖν πάντας πάντων ὡς κοινῶν ὄντων ὀλιγωρεῖν. Ταῦτα δὲ ἀπορεῖν περὶ τῶν οὕτω τραφέντων ὁ Σωκράτης εἴρηκεν ἄτοπον. πῶς γὰρ ἀξιοῖ διὰ μουσικῆς αὐτοὺς τρέφων … 15 … ἄγειν, δῆλον ἐκ τῶν γεγραμμένων. χρῆναι γὰρ βασανίζειν τοὺς ἀγο[μ]έν[ους] κατὰ πᾶσαν ἡλικίαν ἢ φυλάτ … 11 …. [το]ῦτο ἐκεῖνο τὸ μηδὲν ἡγεῖσ[θαι ἴδιον διαφέ]ρον τοῦ τῆς πόλεως ἀγαθ[οῦ] ….. ης ἄγοντας βα[σ]αν .. κατα . η .. ν … 16 … καὶ φ ….. , εἰ μὴ …. ενιαιτ … 10 … την τὴν τὸ ἀγαθὸν τῆς πόλεως … 10 … καὶ ἑκάστῳ τι . ε .. νης … 12 … [τρα]φέντας καὶ φ[ύσ]ιν φυ … 18 … δ .. ε … 13 … ὀλιγ … 30 … τερον· τῶν α .

in R.2.368

..... τῶν σπουδαίων καὶ τῶν ἀπαιδεύ[των] ... παιδευθέντων ..... τὰ δὲ κοινὰ ... 12 ... μη .... ο .. α .. λαττ ... 16 ... ετειν ἡ ἀρετὴ καὶ .. κ . ει τη . φύ ..... ν . ὥσπερ οὖν αὐτὸς εἶπεν ἐν ἠθικοῖς, [ὅτι τῶν πολλ]ῶν παραινούντων θνητὰ φρονεῖ[ν οὐ]κ ἐκείνοις ἕπεσθαι δέον ἐστίν, ἀλλ' ἀπαθανατίζειν ὡς δυνατὸν ἑ[αυτόν, οὕτω] καὶ Σωκράτης ..... ὅτι τῶν [π]ολλ[ῶν] τὰ ἴδια πρὸ τῶν κοινῶν [πρατ]τόντων ἀνά[πα]λιν χρὴ τοὺς εὖ τραφέντας τὰ κοινὰ [πρὸ τῶν] ἰδίων τιθεμένους ζῆν, ἐπεὶ καὶ τὰς ψυχὰ[ς μηδὲν] ἄλλο κατήγαγεν εἰς τὸν ἔσχατον μ[ερισμὸν] ἢ τοῦτο τὸ πάθος, ὃ καλοῦμεν ἰδίωσιν, καὶ [ἐκ] τοῦ τὰ ὅλα δι[οι]κεῖν μέρος τῶν διοικουμέν[ω]ν ἀπέφηνεν. [ἐπιστ]ρέψει τοίνυν εἰς τὸ ὅλον ἡ [τοῦ ἰδ]ίου καταφρόνησις, εἰς δὲ τὸ ἓν αὖθις ... 10 ... ν ἀνάτασις. οὐδ' ἄρα τοῦτ[ον] τὸν ..... σθαι τῶν ὑπὸ τ[ῷ] Σωκράτει παιδευθέν[των φή]σομεν ἀπὸ τῆς τῶν κ[οι]νῶν ἀ .....